
LIBRARY
OF THE
UNIVERSITY
OF ILLINOIS

281.1
G87
v. 25

CLASSICS

The person charging this material is responsible for its return to the library from which it was withdrawn on or before the **Latest Date** stamped below.

Theft, mutilation, and underlining of books are reasons for disciplinary action and may result in dismissal from the University.

UNIVERSITY OF ILLINOIS LIBRARY AT URBANA-CHAMPAIGN

AUG 8 1978
DEC 21 1981

L161—O-1096

Digitized by the Internet Archive
in 2012 with funding from
University of Illinois Urbana-Champaign

http://archive.org/details/diegriechischenc25kirc

DIE GRIECHISCHEN

CHRISTLICHEN SCHRIFTSTELLER

DER

ERSTEN DREI JAHRHUNDERTE

HERAUSGEGEBEN VON DER KIRCHENVÄTER-COMMISSION

DER KÖNIGL. PREUSSISCHEN AKADEMIE DER WISSENSCHAFTEN

EPIPHANIUS

ERSTER BAND

LEIPZIG
J. C. HINRICHS'SCHE BUCHHANDLUNG
1915

IN DER REIHENFOLGE DES ERSCHEINENS BAND 25

Druck von August Pries in Leipzig.

281.1
G87
V. 25

Classics

CLASSICS

LIBRARY
UNIVERSITY OF ILLINOIS
URBANA

Hermann und Elise geb. Heckmann
Wentzel-Stiftung

321029

EPIPHANIUS

(ANCORATUS UND PANARION)

HERAUSGEGEBEN

IM AUFTRAGE DER KIRCHENVÄTER-COMMISSION

DER KÖNIGL. PREUSSISCHEN AKADEMIE DER WISSENSCHAFTEN

VON

D. DR. **KARL HOLL**

ERSTER BAND

ANCORATUS UND PANARION HAER. 1–33

LEIPZIG
J. C. HINRICHS'SCHE BUCHHANDLUNG
1915

Vorwort

Nachdem ich die handschriftliche Überlieferung des Epiphanius in TU XXXVI 2. Leipzig 1910 dargelegt habe, bleibt mir vorläufig kaum etwas übrig, was ich dieser Ausgabe vorauszuschicken hätte. Die Grundsätze, nach denen ich den Text hergestellt habe, sind, denke ich, so einfach, daß sie unschwer aus dem Apparat abgelesen werden können; eine eingehende Erörterung wird der Schlußband bringen.

Nur eine Bemerkung sei mir jetzt schon gestattet. Die Mißachtung, in der Epiphanius als Zeuge und Kritiker steht, hat auch die Behandlung der sprachlichen Form seiner Schriften schwer beeinträchtigt. Es ist viel an ihnen herumgebessert worden, wo immer ein Ausdruck dem meist bloß gelegentlichen Benutzer als unklar oder unzulässig erschien. Daneben freilich gilt bei dem »konfusen« Epiphanius jeder, auch jeder sprachliche Unsinn als erträglich. Tatsächlich ist, wie ich dies bereits in meiner Abhandlung gezeigt habe, die Überlieferung des Epiphanius schlecht; selbst da, wo sie sich auf alte Handschriften stützt. Aber der Fall ist trotzdem nicht verzweifelt. Lebt man sich in die eigentümliche Redeweise des Epiphanius — sie ist ein höchst lehrreiches Beispiel einer gehobenen *κοινή* — etwas ein, so ergibt sich fast immer eine Möglichkeit, den Schaden, wo wirklich ein solcher vorliegt, irgendwie zu heilen. Ich konnte es bei dieser Sachlage nicht für meine Aufgabe halten, alle Besserungsvorschläge, die schon gemacht worden sind, im Apparat zu buchen. Was ein Blick auf den gesamten Sprachgebrauch des Epiphanius oder auf den Zusammenhang sofort ausschloß, blieb unberücksichtigt. Wie weit mir selbst die Wiederherstellung gelungen ist, mag der Kundige beurteilen. Jedoch hoffe ich, daß meine Indices mich über vieles rechtfertigen werden, was vielleicht beim ersten Lesen Anstoß erregt.

H. Diels und U. v. Wilamowitz haben die Freundlichkeit gehabt, die zwei ersten Druckbogen durchzuprüfen, und mich dabei nicht nur im einzelnen berichtigt, sondern mir auch für die Anlage des Ganzen höchst wertvolle Winke gegeben. Während des Drucks haben H. Dessau, H. Greßmann, J. Marquart, H. L. Strack mich mit Rat und Auskunft, so

oft ich dessen bedurfte, unterstützt. Durch den ganzen Band sind A. Jülicher und E. Klostermann bei der zweiten Correctur mit mir gegangen. Was die Ausgabe ihnen verdankt, konnte der Apparat nicht voll zum Ausdruck bringen. Ich möchte insbesondere betonen, welche Ermutigung es für mich immer gewesen ist, wenn Jülicher meinen Verbesserungen zustimmte. C. Schmidt hat von der Mitte an die letzte Correctur mitgelesen; den von ihm gelieferten Nachtrag bitte ich nicht zu übersehen. — Bei den Irenaeusstücken habe ich bedauert, daß G. Ficker wegen Geschäftsüberhäufung nicht in der Lage war, die Handschriften des lateinischen Textes für mich zu vergleichen. Infolge davon bin ich an einzelnen Stellen über die Lesart des Lateiners im Unklaren geblieben. Indes ist bei der Güte der Irenaeusüberlieferung kaum anzunehmen, daß schwerwiegende Mängel dadurch verursacht worden sind.

In meinen Dank muß ich auch den Verlag und die Druckerei mit einschließen. Der Verlag hat im August nicht gezögert, das Werk fortzusetzen, und die Druckerei hat die zweite Hälfte dieses Bandes, die während des Krieges fertiggestellt wurde, mit nicht geringerer Sorgfalt erledigt als die erste.

Berlin, den 3. März 1915.

Karl Holl.

Sigelverzeichnis

V = Vaticanus 503
G = Genuensis 4
M = Marcianus 125
U = Urbinas 17/18
L = Laurentianus VI 12
J = Jenensis mscr. Bose 1
v = Vaticanus 1196 s. XV f. 23^{r}—24^{v}
b = Barberinus 441 s. XIV f. $43^{r.v}$

Die übrigen Abkürzungen für benutzte Zeugen sind an Ort u. Stelle erklärt

P am Rand bedeutet die Seitenzahlen von Petavius
D die von Dindorf
Ö die von Öhler

Im Apparat ist Corn. = Cornarius
Op. = Oporinus
Pet. = Petavius
Dind. = Dindorf
Öh. = Öhler
Jül. = A. Jülicher
Klosterm. = E. Klostermann

Die Verbesserungen des Herausgebers sind mit * bezeichnet

+ = fügt hinzu
< = läßt aus
* = Lücke
† = Textverderbnis
[ ] = zu tilgen
⟨ ⟩ = einzusetzen

Nachtrag

C. Schmidt, der während des Drucks der ersten Hälfte von hier abwesend war, macht mich noch auf zwei Punkte bezüglich der S. 125, 8ff (so, nicht 6ff muß es auf S. 125 heißen) verwerteten saïdischen Übersetzung aufmerksam.

1) zu S. 125, 8 erklärt Schmidt es für unwahrscheinlich, daß neben Ἴσιδος ein Name ausgefallen sei. Das »*jener*« des Kopten in Z. 10 stütze diese Vermutung nur scheinbar. Auch der Kopte habe wohl ἐκείνης gelesen und nur verleitet durch die verschiedenen vorher aufgeführten Namen an eine Mehrzahl von Göttinnen gedacht. — Leipoldts Gleichsetzung von Ἄθω mit Hathor sei schon sprachlich völlig ausgeschlossen.

2) zu S. 130, 10 verweist er mich auf eine Bemerkung von Lemm (Bulletin de l'Académie Impériale des Sciences de St. Petersbourg 1909 S. 404). Dort ist überzeugend dargelegt, daß der Kopte statt ὑπόδειγμα vielmehr ὑπόδημα gelesen hat. Darnach wäre die Stelle so zu verbessern: *κακὸν ὑπόδημα θανασίμης ὁδοῦ τὸ ἐν ποσὶ τῶν ⟨ἀπ' ἀρχῆς⟩ οὕτω προαχθέντων.*

Ὁ θεῖος οὗτος καὶ μέγας πατὴρ ἡμῶν Ἐπιφάνιος ἀπὸ Ἐλευθεροπόλεως μὲν PII1 DI83
ὡρμᾶτο τῆς ἐν Παλαιστίνῃ, ἔνθα καὶ πατὴρ γέγονε μοναστῶν· τὴν δὲ πρώτην
ἄσκησιν * εἰς Αἴγυπτον ἀναχωρήσας, καὶ διατελέσας * ἕως ἐπανόδου ἐν τῷ εἰκοστῷ
ἔτει τῆς ἡλικίας αὐτοῦ εἰς τὴν Ἐλευθεροπολιτῶν περιοικίδα αὖθις ἐπανῆλθεν, οἰ-
κοδομήσας ἐν αὐτῇ μοναστήριον. Ἀγκυρωτὸς δὲ κέκληται ὁ λόγος αὐτοῦ, ὅτι
ἀγκύρας δίκην τὸν περὶ τῆς ζωῆς καὶ σωτηρίας ἐρευνῶντα νοῦν ἄγει, διὰ τὸ περι-
συλληπτικὸν τῆς ἐν αὐτῷ συντάξεως περὶ πολλῶν τῆς πίστεως μερῶν, φημὶ δὴ
τοῦ περὶ τῆς πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ὁμοουσιότητος, τοῦ περὶ τελείας
τῆς Χριστοῦ ἐνσάρκου παρουσίας, τοῦ περὶ ἀναστάσεως νεκρῶν καὶ ζωῆς αἰωνίου καὶ
κρίσεως σαρκός τε καὶ ψυχῆς ἐπὶ τὸ αὐτὸ καὶ τοῦ κατὰ εἰδώλων τε καὶ αἱρέσεων ἐν
μέρει καὶ Ἰουδαίων καὶ τῶν ἄλλων. περιέχει δὲ καὶ τῶν ὀγδοήκοντα αἱρέσεων τὰ
ὀνόματα καὶ τῶν ἐν τῇ θείᾳ γραφῇ ἄλλων ζητημάτων τὴν σαφήνειαν. ἐγράφη δὲ
τοῖς ἐν Σονέδροις τῆς Παμφυλίας, αἰτήσασι δι' ἐπιστολῶν τῶν ἐν τούτῳ προτε-
ταγμένων τῆς τοῦ λόγου πραγματείας. ἐπράχθη δὲ ταῦτα ἐν ἔτει ἐνενηκοστῷ μὲν
ἀπὸ Διοκλητιανοῦ, Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος δὲ δεκάτῳ, Γρατιανοῦ δὲ ἕκτῳ.

1—15 Die vorausgeschickte Lebensbeschreibung rührt wohl von dem Verfasser der ersten Gesamtausgabe der Werke des Epiphanius her, vgl. TU Bd. 36 Heft 2 S. 91ff — **5** vgl. die Deutung des Titels bei Epiphanius selbst Panarion h. 69, 27, 3 — **14** die Angabe über die Abfassungszeit stammt aus Ancoratus c. 60, 5

L J

1 in J ist über die Lebensbeschreibung von späterer Hand die törichte Überschrift *περιοχὴ λόγου τοῦ ἁγίου Ἐπιφανίου* gesetzt, L hat keine Überschrift **3** * ⟨*ἐποίησε*⟩ * | * ⟨*ἐκεῖ*⟩ * **4** *αὖθις ἐπανῆλθεν*] *καὶ* L **5** vor *μοναστήριον* + *τὸ προειρημένον* L | *ὁ λόγος αὐτοῦ* < L **6** *καὶ σωτηρίας* hinter *νοῦν* L | *ἄγει*] *ἄγχει* L **7** *περὶ*] *τῶν* J **8** *τοῦ*[1]] *τῆς* L | *τῆς* < L | *τοῦ*[2] < L **9** *τοῦ* < L **10** *τοῦ* < L **15** *Οὐαλεντινιανοῦ καὶ* < J | *δὲ δεκάτῳ* < L | *Γρατιανοῦ δὲ*] *καὶ Γρατιανοῦ* L | *ἕκτῳ* < L

Ἐπιστολὴ γραφεῖσα ἀπὸ Παμφυλίας ἐκ πόλεως Σουέδρων ὑπὸ P2
τῶν περὶ Ταρσῖνον καὶ Ματίδιον καὶ ἄλλους πρεσβυτέρους πρὸς
Ἐπιφάνιον ἐπίσκοπον Κύπρου πόλεως Κωνσταντίας περὶ πί-
στεως αἰτησάντων πατρὸς καὶ υἱοῦ | καὶ ἁγίου πνεύματος καὶ DS4
ἄλλων μερῶν τῆς αὐτῆς πίστεως.

Τῷ κυρίῳ θεοτιμήτῳ ἐπισκόπῳ Ἐπιφανίῳ Ματίδιος καὶ Ταρσῖνος καὶ Νέων καὶ Νουμεριανός, πρεσβύτεροι τῆς ἐν Σουέδροις καθολικῆς ἐκκλησίας, ἐν κυρίῳ θεῷ χαίρειν.

Ποικίλως ὁ ἐχθρὸς τῶν ἀνθρώπων διάβολος εἴωθε ταράττειν καὶ τὰ **1** ἴδια ἐπισπείρειν σπέρματα κατὰ τῶν ἁπλουστέρων καὶ μηδέπω εἰς τὴν πίστιν τῆς ἁγίας τριάδος τελειωθέντων καὶ βεβαιωθέντων. »ὁ μέντοι στερεὸς θεμέλιος« κατὰ τὸ γεγραμμένον »ἕστηκεν ἔχων τὴν σφραγῖδα ταύτην· ἔγνω γὰρ κύριος τοὺς ὄντας αὐτοῦ.« οἱ δὲ πάντα εὐχερεῖς **2** αἱρετικοὶ παρέντες τὴν κατὰ τοῦ Ἰησοῦ βλασφημίαν ἑτέρως εἰς τὸν θεὸν ἀσεβοῦσι, κατὰ τοῦ ἁγίου πνεύματος τὴν ἰδίαν »γλῶσσαν μεγαλύνοντες« καὶ »ἀδικίαν εἰς τὸ ὕψος λαλοῦντες«. ἀλλ' ὅμως καίπερ μυρίων κινηθέντων **3** αὐτοὶ χάριτι κυρίου εἰς τὴν ὑγιῆ ἑστήκαμεν πίστιν, ἐν μηδενὶ ὅλως παρακινηθέντες τῆς ὀρθῆς καὶ ὑγιοῦς διδασκαλίας. καὶ πολλοὶ τῶν δοκούντων ἀπατᾶσθαι ἐπανερρώσθησαν χάριτι κυρίου, διά τε γραμμάτων τοῦ μνήμης ἀξίου καὶ μακαρίου ἐπισκόπου Ἀθανασίου καὶ τοῦ θεοσεβεστάτου συλλειτουργοῦ σου Προκλιανοῦ. ἐπειδὴ δὲ λείψανα τῆς κακῆς διδασκαλίας **4** παρά τισιν ἔτι περιλείπεται καὶ χρὴ ταῦτα δι' ὑμῶν τῶν ἐμπείρων γεωργῶν εἰς καλλιέλαιον ἐγκεντρισθῆναι ἢ τέλεον ἐκκοπῆναι, τούτου χάριν γράφοντες τῇ θεοσεβείᾳ σου παρακαλοῦμεν καταξιῶσαι τὴν εὐλάβειάν σου γράμματα πρὸς τὴν ἡμετέραν ἐκκλησίαν διαχαράξαι καὶ διὰ πλατυτέρου διηγήματος τὴν ὀρθὴν καὶ ὑγιῆ πίστιν ἐκθέσθαι, πρὸς τὸ δυνηθῆναι καὶ τοὺς ἁπλουστέρους καὶ ἔτι περὶ τὴν πίστιν ἐνδοιάζοντας βεβαιωθῆναι διὰ τῶν ἱερῶν σου γραμμάτων καὶ τὸν ἐχθρὸν τῆς ἐκκλησίας διάβολον διὰ τῶν

9f vgl. Matth. 13, 25 — **11—13** II Tim. 2, 19 — **14f** vgl. Matth. 12, 31 | **15** Psal. 11, 5 — **16** Psal. 72, 8 — **23** vgl. Röm. 11, 17. 22

L J v (S. 2, 1 bis 9, 3)

1 *ὑπὸ* *] *ἐκ* L J *ἀπὸ* v **2** *Ταρασίνον* L | **3** vor *Ἐπιφάνιον* + *τὸν ἅγιον* L J | *ἐπίσκοπον Κύπρου πόλεως Κωνσταντίας* < L J **6** *κυρίῳ* + *μου* v | *Ταρασῖνος* L v **6f** *καὶ Νέων καὶ Νουμεριανός*] *οἱ* (*καὶ* L) *νέοι* L J **8** *θεῷ* < L J, vgl. S. 3, 8 u. 5, 19 **9f** *τὰ ἴδια* hinter *ἐπισπείρειν* v **10** *ἐπισπέρειν* L **11** *τελειωθέντων καὶ βεβαιωθέντων* *] *τελειωθέντων καὶ* < L J *τελειωθέντες καὶ βεβαιωθέντες* v **11—16** *ὁ μέντοι — κινηθέντων* < v **14** *παρέντος* J **15** *μεγαλύναντες* L **17f** *παρακινήματι* v **20** *καὶ*[1] < v | *θεοσεβεστάτου*] *κυρίου μου* v **22** *δι' ὑμᾶς* J **24** *τῇ σῇ θεοσεβείᾳ* v | *παρακαλοῦμεν* + *σε* v **26** *ὀρθῆ* L v | *πίστιν* + *δι' αὐτῶν* v | *καὶ*[2] < v **27** *ἀπενδοιάζοντας* v

ἁγίων προσευχῶν σου καταισχυνθῆναι. ἐρρῶσθαί σε πολλοῖς χρόνοις καὶ μεμνῆσθαι ἡμῶν ἐν εὐχαῖς θεῷ εὐχόμεθα. | P3 D85

Ἐπιστολὴ γραφεῖσα παρὰ Παλλαδίου τῆς αὐτῆς πόλεως Σουέδρων πολιτευομένου καὶ ἀποσταλεῖσα πρὸς τὸν αὐτὸν Ἐπιφάνιον ἐπίσκοπον Κωνσταντίας τῆς Κυπρίων νήσου, αἰτήσαντος καὶ αὐτοῦ περὶ τῶν αὐτῶν.

Τῷ δεσπότῃ μου τῆς ψυχῆς θεοτιμήτῳ ἐπισκόπῳ Ἐπιφανίῳ Παλλάδιος πολιτευόμενος ⟨ἐν⟩ Σουέδροις ἐν κυρίῳ θεῷ χαίρειν.

Οἱ τὴν μεγάλην καὶ εὐρύχωρον διαπλέοντες θάλασσαν, ἕως μὲν **1** γαληνὸν πνεῦμα τὴν ναῦν εὐθύνῃ, μικρὰ τῶν παρακειμένων ταῖς ὄχθαις λιμένων φροντίζουσιν, οἰόμενοι ἀκμητὶ περαιῶσαι τὸ σκάφος· ἐπειδὰν δὲ **2** ἐναντίον καὶ σφοδρὸν ἐμπέσῃ πνεῦμα, τὰς τρικυμίας εἰς ὕψος ἐπαῖρον πάντοθεν καὶ περικλύζον τὴν ναῦν, τότε δὴ τὸν εὔδιον ἐπιποθοῦντες λιμένα καὶ πᾶσαν τὴν ὑποκειμένην ἤπειρον περισκοποῦντες, μηδαμοῦ δὲ ἐνορμίσασθαι δυνηθέντες, λοιπὸν ἐπὶ τὴν πλησίον κειμένην ἂν οὕτω τύχῃ νῆσον ἀπαίρουσι, παντὶ τρόπῳ τὴν σωτηρίαν ἑαυτοῖς ποριζόμενοι· ταύτῃ τε πλησιάσαντες καὶ ὑπὸ τὴν σκέπην τῶν προβεβλημένων ὑπεισελθόντες ἀκρωτηρίων μόλις ποτὲ τῶν περιαντλούντων κακῶν ἀπαλλαγῆναι δεδύνηνται. καὶ ἡμεῖς αὐτοὶ τανῦν, ὦ δέσποτα, τὸν σωτήριον τοῦ θεοῦ λόγον **3** κατηχούμενοι τοῦ τε κοσμικοῦ σάλου ἑαυτοὺς ἀπαλλάξαι σπουδάζοντες καὶ εἰς τὸν ἀσάλευτον τοῦ Χριστοῦ λιμένα τὸ σκάφος ἡμῶν εἰσελάσαι βουλόμενοι, ἐπειδὴ κενάς τινας καὶ ἀλόγους ὡς γέ μοι δοκεῖ περὶ τοῦ ἁγίου πνεύματος κινουμένας ζητήσεις παρά τινων ἔγνωμεν, φασκόντων μὴ

3 neben Palladius schreibt nach S. 5, 11 Severianus, vgl. den Wechsel von Einzahl (S. 3, 22) u. Mehrzahl innerhalb des Briefs — **4** u. **8** *πολιτευόμενος ἐν* würde nach stehender Formel »Bürger in« bedeuten. Aber beachte, daß Palladius nach S. 5, 11 ff Mönch ist u. vgl. Ps. Epiphanius Physiologus c. 47; S. 277, 8 Lauchert *ὦ ἄνθρωπε πολιτευόμενε*

L J v

1—2 *ἐρρῶσθαι — εὐχόμεθα*] *ἔρρωσο τιμιώτατε* L J **2** *μεμνῆσθαι* + *πολλοῖς χρόνοις* v **3** *ἐπιστολὴ* + *ἑτέρα* L | *παρὰ*] *ἀπὸ* v | *τῆς αὐτῆς πόλεως* < v **4** *τὸν αὐτὸν*] < v, + *ἅγιον* J **5** *ἐπίσκοπον — νήσου* < L J **5f** *καὶ αὐτοῦ* < v **7** *μου* < v **8** *πολιτευόμενος ⟨ἐν⟩ Σουέδροις* < L J | *⟨ἐν⟩* * | *θεῷ* < L J **10** *ἰθύνει* L J **12** *ἐμπνεύση* J | vor *τὰς τρικυμίας* + *καὶ* v **13** *πάντοθεν καὶ*] *πανταχόθεν* v | *περικλύζει* v **13f** *λιμένα ἐπιποθοῦντες* v **14** *ὑποκειμένην* < v | *οὐδαμοῦ* L **15** *ἐνορμήσασθαι* J **16** *αὐτοῖς* J **19** *ἡμεῖς* < v | *τοίνυν* v | *τὸ σωτήριον τοῦ υἱοῦ θεοῦ λόγου* L **20** *σπουδάζοντες*] *βουλόμενοι* J

δεῖν τοῦτο τῇ θεότητι καὶ τῇ κυριότητι συνδοξάζεσθαι, ἀλλ᾽ ἐν ὑπηρέτου καὶ ἀποστόλου τετάχθαι σχήματι καὶ ἔτι φαυλοτέρας καὶ ταπεινοτέρας τὰς περὶ αὐτοῦ δόξας διαλαμβανόντων, διὰ τοῦτο ὥσπερ ἐν ἀστάτῳ σάλῳ 4 καὶ χαλεπῷ κλύδωνι συσχεθέντες μηδένα ⟨τε⟩ τῶν παρ᾽ ἡμῖν ἱκανὸν εὑρεῖν δυνηθέντες τὸν διαλύσοντα τὰ ζητούμενα καὶ τὴν ὑγιῆ πίστιν ἡμῖν ἐκθέσθαι δυνάμενον, | ἐπὶ τὴν σὴν θεοσέβειαν ἀνενέγκαι τὸ πρᾶγμα | ἠπείχθη- D86 P4
μεν, τὴν φωνὴν ταύτην εἰκότως καὶ αὐτοὶ ἀφιέντες· »ἐπιστάτα, σῶσον«. δεόμεθα οὖν τῆς ἀνυποκρίτου σου καὶ ὀρθῆς πίστεως, ἣν προλαβοῦσα 5 ἀγαθὴ φήμη καὶ μάρτυρες ἀξιόπιστοι μαρτυροῦσι καὶ ἀνακηρύττουσι· καταξίωσον, εἰς τοῦτο παρὰ τοῦ σωτῆρος τεταγμένος, ἀνεξικάκως τὴν παράκλησιν ἡμῶν δέξασθαι καὶ θελῆσαι ἱεροῖς συγγράμμασι διὰ πλατυτέρου καὶ σαφεστέρου διηγήματος τὴν τῆς ἁγίας τριάδος ἐκθέσθαι πίστιν καὶ ταῦτα ἡμῖν ἀποστεῖλαι, πρὸς τὸ καὶ ἡμᾶς ἐν ταύτῃ βεβαιωθέντας τυχεῖν τῶν σπουδαζομένων καὶ τοὺς ἤδη ἐν αὐτῇ εὖ βεβηκότας ἀγαλλιαθῆναι καὶ τοὺς σφαλλομένους εἰ δυνατὸν ἰαθῆναι καὶ »τὸν θεὸν ἐν πᾶσι δοξασθῆναι«. | P5

7 Luk. 8, 24 Matth. 8, 25 — 15f I Petr. 4, 11

L J v

1 *κυριότητι* + *τοῦ πατρὸς καὶ τοῦ υἱοῦ* v **2** *τετάχθαι σχήματι*] *τάξει τετάχθαι* v | *ἔτι* < L J **3** *διαλαμβανόντων* *] *διαλαμβάνουσι* L J v **4** ⟨*τε*⟩ * | *ἡμῶν* L **5** *τὸν* < L J | *ὑγιῆ*] *ὀρθὴν* v **5f** *ἐκθέσθαι ὑμῖν* v **6** *σὴν* + *τοῦ ἐμοῦ κυρίου* v | *ἀνενέγκαι*] *ἀναπέμψαι* v **9** *μαρτυροῦσι καὶ* < v | *κηρύττουσι* v **9f** *καταξιῶσαι* L J **12** *πίστιν ἐκθέσθαι* v **13** *ταῦτα*] *ταύτην* L J **14** *εὖ βεβηκότας*] *εὐσεβηκότας* L J

Ἐπιστολὴ γραφεῖσα εἰς Παμφυλίαν τοῖς περὶ τὸν πρεσβύτερον Ματίδιον καὶ Ταρσῖνον καὶ Νέωνα καὶ Νουμεριανὸν Σουέδρων καὶ Παλλάδιον πολιτευόμενον περὶ πίστεως πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος καὶ ἄλλων μερῶν τῆς πίστεως, ἀναστάσεώς τε νεκρῶν φημι καὶ ἐνανθρωπήσεως Χριστοῦ, ἐν ἐνενηκοστῷ ἔτει Διοκλητιανοῦ ἐν μηνὶ Ἰουλίῳ, περὶ ὧν ἐν ταῖς ἑαυτῶν ἐπιστολαῖς ᾔτησαν, ὡς ἐν αὐταῖς ἐμφέρεται καὶ εἰσὶ προτεταγμένα.

Τοῖς κυρίοις μου καὶ τιμιωτάτοις ἀδελφοῖς καὶ συμπρεσβυτέροις, Ματιδίῳ καὶ Ταρσίνῳ ⟨καὶ Νέωνι⟩ καὶ Νουμεριανῷ καὶ λοιποῖς πᾶσι τοῖς σὺν ὑμῖν καὶ τοῖς ποθεινοτάτοις τέκνοις ἡμῶν, Παλλαδίῳ καὶ Σευηριανῷ, τοῖς τὸν ἀγαθὸν ζῆλον ἐζηλωκόσι καὶ τὸν μακάριον καὶ περιπόθητον βίον ἑαυτοῖς ἑλομένοις ὀρθοδόξου τε πίστεως καὶ τελείας συγκαταθέσεως, τοῖς τὸ παρὰ τοῦ σωτῆρος εἰρημένον πληροῦσι, τό »εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς« καὶ τό »ἐπώλουν τὰ ὑπάρχοντα αὐτῶν καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων«, καὶ ὅσα εἰσὶ καίρια καὶ ἀγαθώτατα ἐν ἡμῖν προσπορίσασθαι ταῖς ἑαυτῶν ψυχαῖς προστιθεμ|ένοις, Ἐπιφάνιος | ὁ ἐλάχιστος τῶν ἐπισκόπων καὶ οἱ σὺν P6 D87
ἐμοὶ ἀδελφοὶ ἐν κυρίῳ θεῷ χαίρειν.

1. *Ἤδη μὲν οὖν μακαρίσαιμι ἂν ἑαυτόν, ποθεινότατοι, ὅτι γε μὴ* **1, 1**
ὄντες ἡμεῖς ἱκανοὶ πρὸς τὴν τῶν ἁγίων καὶ σπουδαίων καὶ ζῆλον θεοῦ ἀνειλημμένων ἐνάρετον πολιτείαν καταξιούμεθα ὑπὸ τῶν αὐ-

5 f zu der Angabe über die Abfassungszeit des Ancoratus vgl. c. 60, 5 u. 119, 1 — **14** Matth. 19, 21 — **15** Act. 4, 34 f

L J v

1—7 *Ἐπιστολὴ — προτεταγμένα*] *ἀντεπιστολὴ πεμφθεῖσα πρὸς αὐτοὺς παρὰ τοῦ ἁγίου Ἐπιφανίου, ἥτις καὶ πᾶσαν τὴν περὶ τῆς θείας πίστεως διδασκαλίαν, ἣν ᾐτήσαντο, ἐν ἑαυτῇ διαλαμβάνει* L J **2** *Ταρασῖνον* v **7** *ἐμφέρεται* *] *ἐκφέρεται* v **8** *τοῖς* < v | *μου* hinter *τιμιωτάτοις* L J | *καὶ*[1] < v **8 f** *πρεσβυτέροις* L J **9** *⟨καὶ Νέωνι⟩* * nach S. 2, 7 u. S. 5, 2 | *Νουμερίῳ* L J v **10** *σὺν ἡμῖν* L **11** *Σεβηρίνῳ* L J **15** *τὰ ὑπάρχοντά σου* v | *τὸ*] *ὅτι* v **15 f** *τὰ ἑαυτῶν ὑπάρχοντα* v **16** *ἐτίθεσαν* L J **17** *ἐν ἡμῖν προσπορίσασθαι* < L J, hinter *προστιθεμένοις* gesetzt v **18** *ὁ* < v **19** *θεῷ* < v **20 f** *μὴ ὄντες ἡμεῖς ἱκανοί*] *ἀνίκανοι ὄντες* v **22** vor *ἐνάρετον* + *καὶ* L, + *τὴν* v

τῶν ὑπονύττεσθαι ⟨εἰς τὸ⟩ τὸν νοῦν διεγείρειν τε καὶ παριστᾶν εἰς τὸ χρήσιμον. τὸ γὰρ ἐν ἡμῖν ἀεὶ ταπεινὸν φρόνημα ἡσυχῇ καρτερεῖν 2 σπουδάζον καὶ μὴ περαιτέρω ἐπεκτείνεσθαι τῶν ἄγαν σκοπούντων ἐκεῖνο τὸ παρὰ τῷ ἀποστόλῳ εἰρημένον »ἵνα μὴ ἐπεκτείνωμαι ὑπὲρ τὸ μέτρον τοῦ κανόνος οὗ δέδωκεν ἡμῖν ὁ θεὸς μέτρου«, ἀφικέσθαι πρὸς τοῦτο νῦν ἀναγκάζεται. ἐκ πανταχόθεν γὰρ αἱ ψῆφοι πρυτα- 3 νεύσασαι ὡς εἰπεῖν τοῦ ἐν ὑμῖν θεόθεν ζήλου τῶν τε ἄλλων ὁμοδόξων, φημὶ δὴ τῶν τὴν ὀρθοδοξίαν ζηλούντων, ἐν οἷς καὶ Ὑπατίου τοῦ τέκνου ἡμῶν ἀπὸ τῆς Αἰγυπτίων χώρας πρός με διὰ τοῦτο αὐτὸ ἥκοντος, πᾶσαν μὲν ῥᾳθυμίαν πάντα δὲ ὄκνον παρεσκεύασαν ἀποθέσθαι μηκέτι τε στέγειν μήτε ἐν δευτέρῳ τίθεσθαι τὰ περὶ πίστεως γράφειν ὑμῖν, ἐπιζητούντων ὑμῶν καὶ τῶν ἡμετέρων ἀδελφῶν τὰ περὶ τῆς ἐν ἡμῖν σωτηρίας ἐκ τῆς θείας καὶ ἁγίας γραφῆς, τὸν στερεὸν θεμέλιον τῆς πίστεως περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος καὶ τῆς ἄλλης ἁπάσης ἐν Χριστῷ σωτηρίας, ἀναστάσεώς τε νεκρῶν λέγω καὶ ἐνσάρκου παρουσίας τοῦ μονογενοῦς, καὶ περὶ τῆς ἁγίας διαθήκης παλαιᾶς τε καὶ καινῆς καὶ τῶν ἄλλων ἁπαξαπλῶς συστάσεων τῆς τελείας σωτηρίας. ἐγὼ γοῦν λαβὼν τὴν 4 τοιαύτην πρότασιν τῶν αἰτήσεων οὐκ ὀλίγων οὐσῶν παρὰ τῶν περὶ τὸν ἀδελφὸν Κώνωπα τὸν συμπρεσβύτερον καὶ τῶν αὐτῷ ἑπομένων, ἄλλων τε καὶ ὑμῶν τῆς τιμιότητος, τέκνα ποθεινότατα, οὐ μὴν ἀλλὰ καὶ τοῦ τέκνου ἡμῶν Ὑπατίου ἀπὸ τῆς Αἰγύπτου πρός με διὰ τοῦτο ἥκοντος, τὰς ὁμοφώνους ψήφους πολλὰς ὁρῶν ὁμοῦ, | DSS δηχθεὶς τὴν φρένα καὶ τὸν λογισμὸν ἐσκεψάμην καὶ ἔδοξέ μοι προθύμως ὁρμῆσαι κατὰ τὴν ὑμῶν διὰ γραμμάτων ἀξίωσιν ἀνενδοιάστως

1 vgl. Panarion prooem. II 2, 5 — **4** vgl. II Kor. 10, 13f u. Phil. 3, 13 — **6** zu *ἀναγκάζεται* vgl. Panarion h. 69, 27, 2 — **23** vgl. Panarion prooem. II 2, 5

L J v

1 ⟨εἰς τὸ⟩ * | περιϊστᾶν J **3** ἄγαν σκοπούντων] ἀγανακτούντων L; vermutlich ist auch *τῶν ἄγαν σκοπούντων* verderbt u. etwa zu lesen *τῶν ⟨ὅρων⟩, ⟨μετὰ τῶν⟩ ἄγαν ⟨ζηλούντων καὶ μὴ⟩ σκοπούντων* * **4** ἐκτείνωμεν v **5** ἔδωκεν v **6** πρὸς τοῦτο < L v | ἀναγκάζομαι v | ἐκ < L J **7** ὡς εἰπεῖν < L J **8** δὴ] δὲ v | ἐν οἷς < J | καὶ < L | ὑπάτου v | Ὑπατίου + δὲ J **10** αὐτὸ < L J | παρεσκεύασαν < L v **11** ὑπερθέσθαι v | τε < v | στέγειν] στένων v | τιθέναι v **12** ὑμῖν] ἡμῖν L | ὑμετέρων? * **13** ἐν ἡμῖν] ὑμετέρας L J | τῆς (vor θείας) < v **16** λέγω] λόγω v | καὶ hinter ἐνσάρκου v | παρουσίας + λέγω v **17** παλαιᾶς διαθήκης u. < τε v **19** παρὰ < L **20** Κόνωπα J Κόνωνα v **20f** ἑπομένων ἄλλων τε] ἑπομένων ἄλλων ἄλλων (!) τε καὶ ἄλλοτε v **21** τῆς ὑμῶν J | ποθεινὰ L **22** ὑπάτου v **23** τὰς < L J **25** διὰ τῶν γραμμάτων ὑμῶν v | ἀνενδοίαστον v

⟨τε⟩, ὅτι οὐ μόνον ἑκὼν ἀλλὰ καὶ ἄκων διὰ τὴν ὑπερβολὴν ⟨τῆς⟩ ὑμῶν τε καὶ τῶν καθ᾽ ὑμᾶς αἰτήσεως, ἐπὶ τὸ γράφειν ταύτην μου τὴν ἐπιστολὴν ἐμὲ τὸν βραχὺν τῷ ὑμετέρῳ πόθῳ. | P7

2. *Καὶ σφόδρα μὲν ἐκπέπληγμαι θαυμάσας τὴν τοῦ κυρίου καὶ θεοῦ* 2, 1
ἡμῶν οἰκονομίαν, ὃς εὐδόκησε τῇ ὑπερβολῇ τῆς αὐτοῦ ἀγαθότητος ἐν ἅπασι δοῦναι τὸ ἅγιον αὐτοῦ πνεῦμα τοῖς αὐτὸν ἐν ἀληθείᾳ ζητοῦσιν. οὐκ ἀθεεὶ γὰρ ⟨γενομένας⟩ τὰς ὑμῶν καὶ τῶν καθ᾽ ὑμᾶς αἰτήσεις τὰς διὰ τῶν γραμμάτων ἠγησάμην, ποθεινότατοι, ἀλλὰ τὴν κίνησιν ἐδοκίμασα ἐκ τῆς τοῦ θεοῦ χάριτος ἐν ὑμῖν ἀπάρξασαν. ἐπ᾽ ἀλη- 2
θείας γὰρ οἱ περὶ τοῦ υἱοῦ τοῦ θεοῦ ὀρθοδόξως ἔχοντες καὶ τοῦ ἁγίου πνεύματος καὶ εἰδότες συνῳδά τε καὶ σύμφωνα λέγειν τῷ μακαριωτάτῳ Πέτρῳ τῷ ἀποστόλῳ ὅτι »σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ζῶντος«, σαφῶς ὑπ᾽ αὐτοῦ τοῦ κυρίου μακαρισθήσονται, καθὼς καὶ ὁ ἅγιος ἐκεῖνος ἐμακαρίσθη ἀκούσας ⟨τό⟩ »μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ« τουτέστι υἱὲ Ἰωνᾶ· ὁ γὰρ πατὴρ αὐτοῦ Ἰωνᾶς ἐκαλεῖτο, 3
τὸ δὲ βὰρ ἑρμηνεύεται ἐκ τῆς Ἑβραϊκῆς διαλέκτου υἱός. αὕτη γὰρ ἦν ἡ ζωή, ἣν ἔδωκεν ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ τοῖς ἑαυτοῦ μαθηταῖς λέγων »ἵνα ἔχωσι τὴν ζωὴν ἐν ἑαυτοῖς«, αὕτη δὲ ἔστιν ἡ ζωὴ ἣν ἔφη· »ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν καὶ ὃν ἀπέ-
στειλας Ἰησοῦν Χριστόν«. ἐν τῷ οὖν εἰπεῖν »τὸν μόνον ἀληθινὸν 4
θεόν« εἰς μοναρχίαν ἡμᾶς ἤγαγεν, ἵνα μηκέτι »ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ὦμεν δεδουλωμένοι«, ἵνα μὴ πολυθεΐα ἐν ἡμῖν ἔτι ᾖ καὶ ἐπὶ τὴν πορνείαν τοιαύτην διασκορπίζηται τὰ τῶν ἀνθρώπων νοήματα, ἀλλ᾽ ἐπὶ ἑνότητα τοῦ μόνου ἀληθινοῦ θεοῦ· »πρώτη γὰρ πορνεία
ἐπίνοια εἰδώλων«, φησὶν ἡ γραφή. καί φησι »καὶ ὃν ἀπέστειλας 5

6 vgl. Luk. 11, 31 — **7** vgl. Panarion prooem. II 2, 6 — **12** Matth. 16, 16 — **14** Matth. 16, 17 — **18** vgl. Joh. 3, 15f; 17, 2 — **19** Joh. 17, 3 — **20—24** vgl. Panarion h. 62, 7, 10 — **21** Gal. 4, 3 — **24** Weish. Sal. 14, 12 — **25** Joh. 17, 3

L J v

1 ⟨τε⟩ * **1f** ὅτι οὐ — αἰτήσεως < J **1** [ὅτι] Diels | οὐ μόνον ἄκων, ἀλλὰ καὶ ἑκών? Klosterm. | ⟨τῆς⟩ * **2** τῶ νκαθ᾽ ὑμᾶς αἰτήσεως*] τῶν καθ᾽ ὑμᾶς ἀνάπαυσιν v τὴν ἀξίωσιν L **4** ἐκπλήττομαι L J | θαυμαστῶς L J | καὶ (vor θεοῦ) < v **5** ὃς] ὡς v | vor τῇ + ἐν v **7** ἀθέους L J | ⟨γενομένας⟩ * | τὰς < J | καθ᾽ ὑμῶν L **8** τῶν < v **9** ὑπάρξασαν v **10f** οἱ περὶ — πνεύματος < L J **11** σύμφωνα καὶ συνωδὰ v **12** τῷ ἀποστόλῳ < L J **14** καὶ < v | ἀκούων L J | ⟨τό⟩ * | εἶ + σὺ J **15** vor υἱὲ + Σίμων v **16** τὸ δὲ βὰρ] βὰρ γὰρ v | υἱὸς hinter ἑρμηνεύεται v | αὕτη γὰρ] καὶ τοῦτο L J **17** δέδωκεν v | τοῦ θεοῦ < J | αὐτοῦ v **18** τὴν < v | ἐν < L **18f** αὕτη — γινώσκωσί σε] τὸ γινώσκειν L J **19f** ἀπέστειλεν L J **20** οὖν] γὰρ v **22** εἴη v **23** τὴν < L J | ἐπισκορπίζηται L J **24** ἀλλὰ v **25** vor γραφὴ + θεία v

Ἰησοῦν Χριστόν«. Ἰησοῦν Χριστὸν τίνα ἀλλ᾽ ἢ θεόν; εἰ δὲ θεὸν Χριστὸν Ἰησοῦν, ὡς λέγει περὶ αὐτοῦ ὁ Ἰωάννης »ὁ μονογενὴς θεὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο«, εἷς θεὸς τοίνυν ὁ πατὴρ καὶ μόνος ἀληθινὸς θεὸς καὶ θεὸς ὁ μονογενής. οὐκ ἄρα 6
ἀλλότριος θεοῦ καὶ τῆς μονάδος· ἀλλ᾽ ἐπειδὴ υἱὸς ἐκ πατρός, διὰ τοῦτο μόνος ἀληθινὸς θεός. καὶ οὐ κατὰ τοὺς | ἐψευσμένους θεούς, D89
οὓς ἐνόμισάν τινες τῶν Ἑλλήνων θεούς, οὐκ ὄντας θεούς, ἀλλὰ μόνος ἀληθινὸς θεός, ἐπειδὴ μόνος ἐκ μόνου ὁ μονογενὴς καὶ μόνον τὸ ἅγιον πνεῦμα. τριὰς γὰρ ἐν μονάδι καὶ εἷς θεὸς πατήρ, υἱὸς καὶ ἅγιον πνεῦμα.

3. *Πτύρει δὲ ὁ λόγος τοὺς μὴ καταξιωθέντας πνεύματος ἁγίου.* 3, 1
»οὐδεὶς γὰρ δύναται εἰπεῖν κύριος Ἰησοῦς, εἰ μὴ ἐν πνεύματι ἁγίῳ«. τὸ μὲν γὰρ Ἰησοῦς ὄνομα καὶ Ἰουδαῖοι λέγουσιν, ἀλλ᾽ οὐ κύριον 2
ἡγοῦνται. καὶ Ἀρειανοὶ λέγουσι τὸ ὄνομα καὶ θεὸν *, θετὸν δὲ λέγουσι καὶ οὐκ ἀληθινόν, ἐπειδὴ | οὐ μετέσχον πεύματος P8
ἁγίου. ἐὰν γὰρ μή τις δέξηται πνεῦμα ἅγιον, οὐ λέγει τὸν Ἰησοῦν 3
κύριον ὄντως καὶ θεὸν ὄντως καὶ υἱὸν θεοῦ ὄντως καὶ βασιλέα ὄντως αἰώνιον. μάθωσι γὰρ οἱ τὴν κακὴν ὑπόληψιν ἐσχηκότες ὅτι 4
πάντα ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ οὐ θέλει περὶ ἑαυτοῦ μαρτυρεῖν. οὕτω γὰρ εἶπεν ἐν τῷ εὐαγγελίῳ »ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, 5
ἡ μαρτυρία μου οὐδέν ἐστιν· ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ«. καὶ τίς ἐστιν ὁ ἄλλος ἀλλ᾽ ὁ φωνήσας ἐξ οὐρανοῦ »οὗτός ἐστιν ὁ 6
υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα«; ὁ δὲ αὐτὸς ὁ λέγων

2 Joh. 1, 18 — **12** I Kor. 12, 3 — **14** zu *θεὸν* ⟨*ὀνομάζουσι*⟩ vgl. Panarion h. 62, 8 — **20** Joh. 5, 31 — **22** Matth. 3, 17

L J v b (von Z. 5 *ἐπειδὴ* bis S. 10, 11) **7—10** Siegel des Glaubens S. 26 Karapet (= arm.)

1 *ἀλλ᾽ ἢ*] *ἀληθινὸν* J **1f** *θεὸς Χριστὸς Ἰησοῦς*? * **1** *θεὸν*² < L J **3** *ἐκεῖνος*] *αὐτὸς* L J | *εἷς*] *εἰ* v **4** *θεὸς* (hinter *ἀληθινὸς*) < L **4—6** *καὶ θεὸς ὁ — ἀληθινὸς θεός* < J **5** *ἐπειδὴ*] *ἐπεὶ* L **6** *θεὸς* (hinter *ἀληθινὸς*) < L **7** *οὓς*] *ὡς* v | *οὐκ ὄντας — ἐν μονάδι* (Z. 9) < v | *ὄντας* + *δὲ* b **7f** *ἀλλὰ μόνος ἀληθινὸς θεός*] *wenn der Vater u. allein wahrer Gott ist, ist der Eingeborene auch allein wahrer* arm. **8** vor *ἀληθινὸς* + *ὁ* b | *μόνον* + *τὸ μόνον* J **9** *πνεῦμα* + *wahrer Gott* arm. | *υἱὸς* < v **11** *κατηξιωμένους* L J **13** *γὰρ* < b | *ὄνομα* hinter *λέγουσιν* v b | *κύριον*] *θεόν* v **14** * etwa ⟨*ὀνομάζουσι*⟩ * **15** *δὲ* < L J **16** *μὴ γὰρ* L J | nach *τὸν* + *κύριον ἡμῶν*, aber getilgt v **17** *θεοῦ ὄντως*] *ὄντως θεὸς* (!) b **18** vor *αἰώνιον* + *καὶ* v **19** vor *πάντα* (= in jeder Hinsicht; viell. besser *πάντῃ* zu schreiben) + *τὰ* v b **20** *οὕτω*] *αὐτὸς* b | *ἐγὼ* < J **21** *ὁ* < L J **22** *ἀλλ᾽* < L J **23** *εἷς ὢν* v b | *ὁ δὲ αὐτὸς*] *οὗτος δὲ* L J

»ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐδέν ἐστιν« πάλιν λέγει »κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστι« καὶ πάλιν »αὐτὰ τὰ ἔργα μαρτυρεῖ περὶ ἐμοῦ ἃ δέδωκέ μοι ὁ πατήρ« καὶ πάλιν »Μωυσῆς ἔγραψε περὶ ἐμοῦ« καί »Μωυσῆς μαρτυρεῖ περὶ ἐμοῦ«. τὸ πρῶτον μέν »ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐδέν ἐστιν«, ἐπειδὴ πολλοὶ ἑαυτοὺς δοξάζουσιν καὶ μαρτυροῦσι περὶ ἑαυτῶν, ἵνα ἐκκόψῃ τῶν καυχωμένων τὴν καύχησιν καὶ τῶν ἑαυτοὺς συνιστώντων. ἐπὰν δὲ εἴπῃ »κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστι«, δείκνυσιν ὅτι οὐκ ἀνθρώπου αὐτοῦ ἡ μαρτυρία, ἀλλὰ θεός ἐστιν ἀληθεύων ⟨ἐν⟩ τῇ αὐτοῦ μαρτυρίᾳ. ἀληθινὸς τοίνυν θεὸς ὁ | πατήρ, ἀληθινὸς θεὸς ὁ υἱός, ἀληθινὸν τὸ πνεῦμα τὸ ἅγιον, »πνεῦμα θεοῦ« ὂν καὶ »πνεῦμα ἀληθείας«, τριὰς ἐν ἑνὶ ὀνόματι ἀριθμουμένη. περὶ γὰρ τοῦ πατρὸς αὐτὸς ὁ υἱὸς λέγει »ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν«. ἀξιόπιστος δὲ μάρτυς ⟨περὶ τοῦ υἱοῦ⟩ ὁ ἐπὶ τὸ στῆθος αὐτοῦ ἀναπεσὼν μονογενῆ θεὸν αὐτὸν φάσκων. οὐ προσέθετο δὲ τῷ μονογενεῖ θεῷ τὸ θεὸς ἀληθινός, ἀλλὰ περὶ πατρὸς γέγραπται, ⟨ὅτι⟩ ἀληθινὸς θεός, περὶ υἱοῦ δέ, ὅτι μονογενὴς θεός. τὸ δὲ ⟨ἀνά⟩παλιν περὶ πατρός, ὅτι »φῶς ὁ θεός«· περὶ δὲ υἱοῦ, ὅτι »ἦν τὸ φῶς τὸ ἀληθινόν«.

4. Καὶ ὅρα μοι τὴν τῶν γραφῶν ἀκρίβειαν. ἔστι μὲν γὰρ ὁ πατὴρ φῶς, καὶ οὐ πρόσκειται τῷ περὶ πατρὸς φῶς ἀληθινόν· ἐπὶ δὲ τῷ περὶ υἱοῦ εἶπε φῶς ἀληθινὸν καὶ οὐδεὶς τολμᾷ ἄλλως λέγειν. τίς γὰρ μεμηνὼς ἢ μᾶλλον φρενοβλάβειαν ἑαυτῷ συνάγων τολμήσει

1 Joh. 5, 31 — **2** Joh. 8, 14 — **3** Joh. 5, 36 — **4** Joh. 5, 46 — vgl. Joh. 5, 39 — **5** Joh. 5, 31 — **8** Joh. 8, 14 — **12** Röm. 8, 9 — Joh. 14, 17 — **14** Joh. 17, 3 — **15** vgl. Joh. 13, 25 — vgl. Joh. 1, 18 — **17** vgl. Joh. 17, 3 — vgl. Joh. 1, 18 — **18** I Joh. 1, 5 — **19** Joh. 1, 9 — **20ff** vgl. Panarion h. 69, 32 u. h. 62, 8 — **21** I Joh. 1, 5 — **22** Joh. 1, 9

L J v (bis Z. 3 *πατήρ*) b **11—13** Siegel des Glaubens S. 26 Karapet (= arm.)

2 *ἐγὼ* < v **4** *περὶ ἐμοῦ* < L J **6** *δοξάζουσιν ἑαυτοὺς* J | *δοξάσουσι* L *ἑαυτοὺς δοξάσουσι* zweimal geschrieben L **8** *ἐπὰν*] *ὅταν* L J | *εἴπῃ* + *ὅτι* b | *κἂν* + *τε* b **9** *ἀνθρωπίνη* J **10** ⟨*ἐν*⟩ * | *ἑαυτοῦ* L J **11** *τοίνυν* < arm. | *ἀληθινὸν*] *wahrer Gott* arm. **13** *ὀνόματι* b arm., vgl. Anc. c. 22, 7] *πνεύματι* L J **15** ⟨*περὶ τοῦ υἱοῦ*⟩ * | *τοῦ στήθους* b **17** vor *πατρὸς* + *τοῦ* b | ⟨*ὅτι*⟩ *ἀληθινὸς θεός* *] *ἀληθινοῦ θεοῦ* L J b **18** ⟨*ἀνά*⟩*παλιν* * **19** vor *υἱοῦ* + *τοῦ* b **20** *ἔστι*] *εἰ* b **21f** *καὶ οὐ πρόσκειται τὸ φῶς περὶ πατρὸς καὶ φῶς ἀληθινὸν καὶ οὐδεὶς τολμᾷ* b **23** *ἢ μᾶλλον*] *μᾶλλον* (< *ἢ*) hinter *φρενοβλάβειαν* b **23f** *τολμήσει — κτήσασθαι* < b

βλασφημίας ὑπόνοιαν ἑαυτῷ κτήσασθαι, μὴ εὑρὼν ἐπὶ τῷ ῥητῷ προσκείμενον τὸ ἀληθινὸν καὶ εἰπὼν περὶ τοῦ πατρὸς ὅτι οὐκ ἔστιν φῶς ἀληθινόν; εἰ γὰρ ὁ ἐξ αὐτοῦ | γεγεννημένος γνήσιος υἱὸς φῶς **3** P9
ἐστιν ἀληθινόν, ὁ τοῦ υἱοῦ γεννήτωρ ἀναμφιβόλως φῶς ἐστιν ἀληθινόν, αὐτὸς [ὁ] γεννήσας αὐτὸν ἀνάρχως καὶ ἀχρόνως φῶς ἀληθινόν. καὶ ὥσπερ οὐ τολμητέον ἐπὶ τῷ πατρὶ λέγειν ὅτι οὐκ **4**
ἔστι φῶς ἀληθινόν, καίτοι γε μὴ προσκειμένου τοῦ ἀληθινόν, ἀλλ' ἀφ' ἑαυτῶν διὰ τὸ εὐσεβῶς νοεῖν οἴδαμεν, κἂν τε μὴ ᾖ γεγραμμένον, ὅτι ἔστι φῶς ἀληθινόν, καὶ οὐκ ἀμφιβάλλομεν, ἵνα μὴ ἀπολώμεθα, οὕτω καὶ ἐπὶ τοῦ υἱοῦ γέγραπται ὅτι θεὸς ὁ υἱός, καὶ κἂν οὐ πρόσκειται τὸ θεὸς ἀληθινός, μανίαν ἑαυτοῖς ἐπισωρεύομεν, εἰ τολμήσομεν βλασφημῆσαι καὶ μὴ εἰπεῖν τὸν υἱὸν θεὸν ἀληθινὸν κἂν τε μὴ ᾖ ἡ λέξις προσκειμένη. ἀρκεῖ γὰρ ἐπὶ τῷ ἑνὶ τὸν πάντα σύνδε- **5**
σμον τῆς τριάδος φέρειν καὶ ἀπὸ τοῦ πατρὸς νοεῖν τὸν υἱὸν θεὸν ἀληθινὸν καὶ τὸ πνεῦμα ἀληθινόν, ἀντιπαρακειμένων τοῖς ἑκατέροις ὀνόμασι τῶν ἰσορρόπων τῆς ἀληθείας, τῷ μὲν πατρὶ τὸ θεὸς ἀληθινός, τῷ δὲ υἱῷ τὸ θεός, ἀνάπαλιν δὲ τῷ υἱῷ τὸ | φῶς τὸ **6** D91
ἀληθινόν, τῷ δὲ πατρὶ τὸ φῶς, ἵνα τὰς δύο δόξας τὰς περὶ θεότητος συζεύξαντες περὶ πατρὸς μὲν ⟨τὸ⟩ θεὸς ἀληθινός, περὶ δὲ υἱοῦ ⟨τὸ⟩ φῶς ἀληθινὸν καὶ περὶ πατρὸς τὸ φῶς καὶ περὶ υἱοῦ τὸ θεός, ἀπὸ τοῦ φῶς καὶ θεὸς τὴν μίαν θεότητα καὶ ἀπὸ τοῦ θεὸς ἀληθινὸς καὶ φῶς ἀληθινὸν τὴν μίαν ἑνότητα τῆς δυνάμεως ὁμολογήσωμεν.

5. Ὡσαύτως καὶ ἐπὶ τοῦ ἁγίου πνεύματος »ἐὰν ἐγὼ ἀπέλθω, **5, 1**
ἐκεῖνος ἔρχεται« φησί »τὸ πνεῦμα τῆς ἀληθείας« καὶ ἔτι περὶ ἑαυτοῦ »ἐγώ εἰμι ἡ ἀλήθεια«· καὶ περὶ πατρός »τὸ πνεῦμα τοῦ πατρός

23 f Joh. 16, 7 u. 13 — **25** Joh. 14, 6 — Matth. 10, 20

L J b (bis Z. 11) **19**—S. **15, 23** Siegel des Glaubens S. 27—29 Karapet (= arm.)

2 τὸ ἀληθινὸν — περὶ τοῦ πατρὸς] τὸ φῶς τὸ ὁ θεὸς φῶς ἀληθινὸν τολμήσει περὶ πατρὸς λέγειν b **2 f** καὶ εἰπὼν — φῶς ἀληθινόν < J **2** εἰπὼν *] εἴπῃ L (ἀληθινόν, καὶ) εἰπεῖν Klosterm. | ἔστιν] ἦν L **5** [ὁ] * | αὐτὸν] ἡμῖν b **7** καίτοιγε — τοῦ ἀληθινόν < L J | προσκειμένου *] προσκείμενον b | ἀλλ' <, dafür hinter διὰ + δὲ b **8** εὐσεβὲς J **10** κἂν] εἰ καὶ b < L **11** vor μανίαν + καὶ οὐ L **11 f** εἰ τολμήσομεν < L **12 f** κἂν τε μὴ — προσκειμένη < J **13 f** τὸν — φέρειν verderbt? ⟨τῷ⟩ τὸν πάντα σύνδεσμον τῆς τριάδος φέροντι ⟨αὐτὸ προφέρειν⟩? * **19** ⟨τὸ⟩ u. ⟨τὸ⟩ * **20—22** καὶ περὶ πατρὸς — ὁμολογήσωμεν] *der Vater ist das wahre Licht, der Sohn das wahre Licht u. aus dem wahren Licht u. aus dem wahren Gott werden wir die eine Kraft der Gottheit bekennen* arm. **21** φῶς *] φωτὸς L J **24** φησὶ < arm. **24**—S. **11, 11** καὶ ἔτι — οὐκέτι στερεῶν < arm. **24** ἑαυτοῦ + ὅτι J

μου τὸ λαλοῦν ἐν ὑμῖν« καὶ περὶ τοῦ πνεύματος »τὸ πνεῦμά μου
ἐφέστηκεν ἐν μέσῳ ὑμῶν«. τὸ δὲ πνεῦμα ἀρρήτως συμπρᾶττον τῷ 2
υἱῷ »ἐκβάλλει αὐτὸν εἰς τὴν ἔρημον« »πειρασθῆναι ὑπὸ τοῦ διαβόλου«
καὶ αὐτὸς ὁ κύριος »πνεῦμα κυρίου, οὗ εἵνεκεν ἔχρισέ με«, τὸ δὲ 3
πνεῦμα τὸ ἅγιον ἐν προφήταις λαλοῦν »τάδε λέγει κύριος παντο-
κράτωρ« ⟨καί⟩ »ὁ λαλῶν ἐν τοῖς προφήταις κύριος«, »ὁ στερεῶν βρον-
τὴν καὶ κτίζων πνεῦμα«, βροντὴν μὲν τὴν ἐνηχουμένην ἀνθρώποις,
κτίζων δὲ πνεῦμα εἰς ἐνέργειαν ὑετῶν ἀποστελλομένων ἀπὸ τοῦ
θεοῦ τῇ γῇ. καὶ περὶ μὲν κτισμάτων οὕτω φησί »στερεῶν βροντὴν 4
καὶ κτίζων πνεῦμα«· ταῦτα γὰρ κτιστὰ ὑπάρχει· »ἀπαγγέλλων δὲ τὸν
Χριστὸν αὐτοῦ τοῖς ἀνθρώποις« οὐκέτι κτίζων οὐκέτι στερεῶν,
ἀλλ᾽ »ἀπαγγέλλων αὐτὸν τοῖς ἀνθρώ|ποις«, τὸν ἀληθῶς γεννηθέντα 5 P10
ἐξ ἀληθοῦς, τὸν ἄκτιστον, τὸν ἄτρεπτον, τὸν ἀναλλοίωτον, τὸν ἀεὶ
ὄντα ἐκ τοῦ ἀεὶ ὄντος, τὸν διὰ ⟨Μωυσέως καὶ⟩ Ἰωάννου κηρυχθέντα
ἀεὶ ὄντα· »ὁ ὤν, γάρ φησιν, ἀπέσταλκέ με« φησὶν ὁ Μωυσῆς καὶ ὁ
Ἰωάννης »ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο«·
ὢν ἐστὶν ὁ πατήρ, ὢν ἐστὶν ὁ υἱός, ὁ »ὢν πρὸς τὸν ὄντα«, ἐξ αὐτοῦ 6
γεννηθείς, οὐ συναλοιφὴ ὢν τῷ πατρί, οὐκ ἁρξάμενος τοῦ εἶναι,
ἀεὶ δὲ υἱὸς γνήσιος ⟨ὢν⟩ σὺν πατρί, | ἀεὶ πατὴρ γεννήσας τὸν υἱόν. D92
οὐκ ἦν γάρ ποτε καιρὸς ὅτε ὁ πατὴρ οὐκ ἦν πατήρ, οὐκ ἦν ποτὲ 7
καιρὸς ὅτε [ὁ] υἱὸς οὐχ ὑπῆρχε πατρὶ τῷ μόνῳ. εἰ γὰρ ἦν καιρὸς
ὅτε οὐκ ἦν πατήρ, ἄρα καὶ αὐτὸς ἦν υἱὸς ἑτέρου πατρὸς πρὸ τοῦ
εἶναι αὐτὸν πατέρα τοῦ μονογενοῦς. καὶ δοκοῦντες εἰς τὸν πατέρα 8
εὐσεβεῖν τελείως ἀσεβοῦσιν. ἐν θεῷ γὰρ οὐ χρόνος οὐ καιρὸς οὐ
στιγμὴ χρόνου οὐκ ἄτομον ὥρας οὐ ῥιπὴ ὀφθαλμοῦ οὐ διανοίας
μετέωρον ἐνδέχεται, ἀλλ᾽ ὅσον δᾶν ἀναβῇ σου ἡ διάνοια υἱὸν κατα- 9

1 Hagg. 2, 5 — **2f** vgl. Mark. 1, 12 Matth. 4, 1 — **4** Luk. 4, 18 — **5** allenthalben — **6** vgl. Hebr. 1, 1 — **6—7** Amos 4, 13, vgl. Resch, Agrapha² S. 208 — **9f** Amos 4, 13 — **12** Amos 4, 13 — **15** Exod. 3, 14 — **16** Joh. 1, 18 — **17** vgl. Joh. 1, 2 — **20ff** vgl. Panarion h. 69, 71, 4 (auch Ancoratus 71, 4)

L J arm.

6 ⟨καί⟩ * **11f** τοῖς ἀνθρώποις — τοῖς ἀνθρώποις am Rand von erster Hand nachgetragen J **11** κτίζων + ⟨φησί⟩? * **12** ἀλλ᾽ < L **12f** γεννηθέντα ἐξ ἀληθοῦς*] γεννητὸν ἐξ αὐτοῦ L J *den wahrhaft Erzeugten von dem Wahrhaftigen* arm. **13** τὸν ἄτρεπτον] *den Unverweslichen* arm. **14** ⟨Μωυσέως καὶ⟩ * **17** πατήρ .. υἱός*] υἱὸς ... πατὴρ L J arm. **19** υἱὸς < J | ⟨ὢν⟩ * | πατὴρ hinter υἱόν L **20** πατήρ² < arm. **21** [ὁ] * **22** ἄρα αὐτὸς — πατρός] *war der Vater vielleicht u. der Sohn selbst der Vater eines andern* arm. | καὶ < J **23** αὐτὸν] τὸν J (gemeint ist der Vater) **26f** καταλαμβάνειν καὶ πιστεύειν < arm.

λαμβάνειν καὶ πιστεύειν, νοεῖ ἅμα καὶ πατέρα. τὸ γὰρ ὄνομα * ἐστὶ σημαντικόν. ὅταν γὰρ υἱὸν καλέσῃς, υἱὸν λέγων νοεῖς πατέρα· ἀπὸ γὰρ τοῦ υἱοῦ πατὴρ νοεῖται, καὶ ὅταν καλέσῃς πατέρα, σημαίνεις υἱόν· πατὴρ γὰρ πάντως υἱοῦ καλεῖται.

6. Πότε οὖν δύνασαι τολμᾶν καὶ λέγειν ὅτι οὐκ ἦν πατὴρ ὁ **6, 1** πατήρ, ἵνα καὶ υἱὸν τολμήσῃς εἰπεῖν μὴ εἶναι ⟨υἱόν⟩; εἰ δὲ οὐ τολμᾷς ἀξίαν προσθεῖναι πατρί (τὸ γὰρ θεῖον ἐν ταυτότητι ὑπάρχει καὶ οὐκ ἐπιδέεται προσθήκης, οὐ δόξης οὐ προκοπῆς), »μάθε μὴ βλασφημεῖν«, ὦ ὁ πολεμῶν τὴν πίστιν, μᾶλλον δὲ σεαυτὸν ἀπὸ πίστεως διώκων, ἀλλ' ἀεὶ πίστευε πατέρα ἀίδιον ἀληθῶς γεννήσαντα υἱόν, τὸν ἀεὶ **2** ὄντως ὄντα πρὸς τὸν ὄντως ὄντα πατέρα. ἀλλὰ γεγεννημένον· υἱὸς **3** γὰρ ἀεὶ ⟨συνὼν⟩ οὐ συναλοιφή ἐστιν τῷ πατρί, οὐ συνάδελφος, ἀλλ' υἱὸς γνήσιος ἐκ πατρὸς γεγεννημένος, φυσικὸς υἱός, οὐ θετός, υἱὸς ὁμοούσιος τῷ πατρί, οὐ συνούσιος, ἀλλ' ὁμοούσιος, τουτέστιν οὐκ ἔξωθεν τοῦ πατρὸς γεννηθείς, ὥς τινες εἰρωνείᾳ φέρονται, θέσει θέλοντες εἶναι τὸν υἱὸν καὶ οὐκ ἀληθείᾳ. σύνδεσμος δὲ τῆς πίστεως **4** ὁμοούσιον λέγειν. ἐὰν γὰρ εἴπῃς τὸ ὁμοούσιον, ἔλυσας Σαβελλίου τὴν δύναμιν· ὅπου γὰρ ὁμοούσιον, μιᾶς ὑποστάσεώς ἐστι | δηλωτι- **5** P11 κόν· ἀλλὰ καὶ ἐνυπόστατον σημαίνει τὸν πατέρα καὶ ἐνυπόστατον τὸν υἱὸν καὶ ἐνυπόστατον τὸ πνεῦμα τὸ ἅγιον. ὅταν δέ τις | ὁμοούσιον **6** D93 λέγῃ, οὐκ ἀλλότριον τῆς αὐτῆς θεότητος σημαίνει, ἀλλὰ θεὸν ἐκ θεοῦ τὸν υἱὸν καὶ θεὸν τὸ ἅγιον πνεῦμα, τῆς αὐτῆς θεότητος, οὐ τρεῖς θεούς. οὐδὲ γὰρ ἐὰν εἴπωμεν τὸν υἱὸν καὶ τὸν πατέρα θεόν, **7** δύο θεοὺς λέγομεν· εἷς γάρ ἐστιν ἡμῶν ὁ θεός, ὥς φησιν ὁ μακάριος

12 vgl. I Tim. 1, 20

L J arm.

1 *ὄνομα* sc. *υἱοῦ* **2** * etwa ⟨*σχέσεως*⟩ *, ⟨*οὐχ ἑνὸς*⟩? Klosterm. | *νοεῖς* Wilamowitz] *νόει* L J arm. **4** *πατὴρ γὰρ — καλεῖται* < arm. **6** ⟨*υἱόν*⟩ * **7** *θεῖον*] *υἱὸν* J **8** lies viell. [*οὐ*] *δόξης ἢ προκοπῆς* *, vgl. S. 14, 12 **9** *ὁ* < J | *δὲ* + *καὶ* L **10** *υἱόν, τὸν ἀεὶ*] *τὸν υἱὸν καὶ* L **10 f** *τὸν ἀεὶ ὄντως — ἀλλὰ γεγεννημένον*] *u. immer wahrlich den Sohn gezeugt hat* arm. **11** *ὄντα*[1]] *συνόντα* L | *ἀλλὰ γεγεννημένον* < J **11 f** *υἱὸς γὰρ — τῷ πατρί*] *denn der Sohn war immer beim Vater* arm. **12** ⟨*συνὼν*⟩ * | *ἐστιν* *] *ὢν* L J **13 f** *φυσικὸς — τῷ πατρί*] *in Güte, u. nicht etwa darstellend einen Sohn, wesensgleich ähnlich dem Vater* arm. **14** nach *συνούσιος* noch einmal + *denn nicht gibt es eine Vereinigung* (*συναλοιφὴ*) *des Vaters u. nicht eine Bruderschaft* arm. | *οὐκ* < arm. **15** *ἔξωθεν*] *ἔξω μὲν* L | *γεννηθεὶς τοῦ πατρὸς* L **20** *τις* *] *τὸ* L J arm. **22** *θεὸν* (vor *τὸ ἅγιον πνεῦμα*)] *Gott von Gott* arm. **23** *τρεῖς* < arm. **23 f** *οὐδὲ γὰρ — δύο θεοὺς λέγομεν*] *denn nicht ist vielfache Gottheit in Gott* arm. **24** *δύο* < L

Μωυσῆς »κύριος ὁ θεός σου, κύριος εἷς ἐστιν«. οὐ θεοὺς λέγομεν 8
*θεὸν τὸν πατέρα, θεὸν τὸν υἱόν, θεὸν τὸ ἅγιον πνεῦμα * καὶ οὐ*
θεούς· οὐδὲ γὰρ πολυθεία ἐν θεῷ. διὰ δὲ τῶν τριῶν ὀνομάτων ἡ
μία θεότης πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ⟨σημαίνεται⟩. καὶ 9
οὐ δύο υἱοί· μονογενὴς γὰρ εἷς ὁ υἱός, τὸ δὲ ἅγιον πνεῦμα πνεῦμα
ἅγιον, πνεῦμα θεοῦ, ἀεὶ ὂν σὺν πατρὶ καὶ υἱῷ, οὐκ ἀλλότριον θεοῦ,
ἀπὸ δὲ θεοῦ ὄν, »ἀπὸ πατρὸς ἐκπορευόμενον« καὶ »τοῦ υἱοῦ λαμβά-
νον«. ἀλλ' ὁ μὲν υἱὸς μονογενὴς ἀκατάληπτος καὶ τὸ πνεῦμα ἀκατά- 10
ληπτον, ἐκ θεοῦ δέ, οὐκ ἀλλότριον πατρὸς καὶ υἱοῦ. οὐδὲ συναλοιφή
ἐστι πατρὸς καὶ υἱοῦ, ἀλλὰ τριὰς ἀεὶ οὖσα τῆς αὐτῆς οὐσίας· οὐχ
ἑτέρα οὐσία παρὰ τὴν θεότητα οὐδὲ ἑτέρα θεότης παρὰ τὴν οὐσίαν,
ἀλλ' ἡ αὐτὴ θεότης καὶ ἐκ τῆς αὐτῆς θεότητος ὁ υἱὸς καὶ τὸ ἅγιον
πνεῦμα.

7. Καὶ τὸ μὲν πνεῦμα ἅγιον πνεῦμα, ὁ δὲ υἱὸς υἱός, τὸ δὲ πνεῦμα 7, 1
παρὰ πατρὸς ἐκπορευόμενον καὶ τοῦ υἱοῦ λαμβάνον, »ἐρευνῶν τὰ
βάθη τοῦ θεοῦ«, ἀναγγέλλον τὰ τοῦ υἱοῦ ἐν κόσμῳ, ἁγιάζον ἁγίους
διὰ τῆς τριάδος, τρίτον τῇ ὀνομασίᾳ (ἐπειδὴ ἡ τριάς ἐστιν ⟨ὁ⟩ πατὴρ
καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα· »ἀπελθόντες« γάρ φησι »βαπτίσατε εἰς
ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος«), ἐπισφραγὶς τῆς χάρι-
τος, σύνδεσμος τῆς τριάδος, οὐκ ἀλλότριον τοῦ ἀριθμοῦ, οὐ διεστὼς
τῆς ὀνομασίας, οὐ ξένον τῆς δωρεᾶς, ἀλλ' εἷς θεὸς μία πίστις εἷς
κύριος ἓν χάρισμα μία ἐκκλησία ἓν βάπτισμα. ἀεὶ γὰρ ἡ τριὰς τριὰς 2
καὶ οὐδέποτε προσθήκην λαμβάνει, οὕτως ἀριθμουμένη· πατὴρ | D94
καὶ υἱὸς καὶ ἅγιον πνεῦμα. οὐ συναλοιφὴ ἡ τριάς, οὐ διεστώς τι ἐν 3

1 Deut. 6, 4 — **4 ff** vgl. Ancoratus c. 71, 1 — **7** vgl. Joh. 15, 26 u. Joh. 16, 14f — **15** vgl. Joh. 15, 26 u. Joh. 16, 14f — **15 f** I Kor. 2, 10 — **18** Matth. 28, 19 — **21** vgl. Ephes. 4, 5f

L J arm. (= pan.) 8—S. **14, 22** fast wörtlich übereinstimmend mit Panarion h. 74, 11, 6ff **14—19** Jos. Bryennios I 376 Bulgaris

1 *Μωσῆς* L J **1—3** *οὐ θεοὺς — ἐν θεῷ* < arm. **2** * etwa *⟨λέγοντες· θεὸν γὰρ καὶ θεὸν καὶ θεὸν λέγομεν⟩* * **4** *⟨σημαίνεται⟩* *, *ein Zeichen ist sie* arm. **5** *εἷς* < arm. | *δὲ* < J **5 f** *πνεῦμα ἅγιον* < arm. **6** *ὄν*] *Gott* arm. **7** *τοῦ* (vor *υἱοῦ*) < L **9** vor *οὐκ ἀλλότριον* + *καὶ* pan. | *υἱοῦ* + *u. des heiligen Geistes* arm. **11** vor *οὐσία* + *ἡ* J, < L pan. | vor *θεότης* + *ἡ* J, < L pan. **12** *ἀλλὰ* L | *ἡ αὐτὴ θεότης*] *αὐτοθεότης* pan. **15** vor *πατρὸς* + *τοῦ* Bryenn. | vor *τοῦ υἱοῦ* + *ἐκ* L J Bryenn. < pan. **17** *ἐπειδὴ ἡ τριάς ἐστι* pan. < L J arm. **17 f** *ἐπειδὴ ἡ — ἅγιον πνεῦμα* < Bryenn. **17** *⟨ὁ⟩* * **18** *γὰρ* pan. Bryenn. < L J | *βαπτίζοντες* Bryenn. **19** *ἐπεὶ σφραγὶς* J **23** *καὶ* pan. arm. < L J **24** *καὶ*[1] < J

αὐτῇ τῆς ἰδίας αὐτῆς μονάδος, ἐν ὑποστάσει δὲ τελειότητος τέλειος ὁ πατήρ, τέλειος ὁ υἱός, τέλειον τὸ πνεῦμα τὸ ἅγιον· πατὴρ καὶ | υἱὸς P12
〈καὶ〉 ἅγιον πνεῦμα. τὸ δὲ ἀνάπαλιν πνεῦμα χαρίσμασιν ἐνταττό- 4
μενον· »διαιρέσεις γὰρ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ
διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς κύριος· καὶ διαιρέσεις ἐνεργη-
μάτων εἰσίν, ὁ δὲ αὐτὸς θεός, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι«. μὴ 5
ἐκπέσωμεν τοῦ προκειμένου, μὴ ἀποστῶμεν τῆς ἀληθείας. ἡμεῖς οὐ
συνηγοροῦμεν ὑπὲρ θεοῦ, ἀλλ᾽ εὐσεβῶς νοοῦμεν, ἵνα μὴ ἀπολώμεθα,
καὶ φθεγγόμεθα οὐχ ὡς καταλαμβάνοντες· ὡς ἄνθρωποι γὰρ φθεγ-
γόμεθα ἃ κατειλήφαμεν. ἡ γὰρ εἰς θεὸν τιμὴ ἄπειρος καὶ μυριοντα- 6
πλασίως παρὰ τὸν ἡμέτερον νοῦν δεδόξασται 〈ἡ τριὰς〉 καὶ ἔστι δεδο-
ξασμένη, μηδὲν προσλαμβάνουσα δόξης μήτε ἀφαιρουμένη ἰδιότητος.
οὐδὲν γὰρ ἐν τριάδι κτιστὸν ἢ ἐπιγένητον, ἀλλ᾽ ὁ μὲν πατὴρ τὸν υἱὸν 7
γεννᾷ, οὐκ ἦν δὲ ποτὲ χρόνος ὅτε οὐκ ἦν ὁ υἱός. οὐδὲ γὰρ ὁ πατὴρ
ἐν χρόνῳ τινὶ πατὴρ οὐκ ἐκαλεῖτο, ἀλλὰ ἦν ἀεὶ πατὴρ καὶ ἦν ἀεὶ
υἱός, οὐ συνάδελφος, ἀλλὰ υἱὸς γεννηθεὶς ἀνεκδιηγήτως καὶ ὀνομαζό-
μενος ἀκαταλήπτως, σὺν πατρὶ δὲ ὢν ἀεὶ καὶ μηδέποτε διαλείπων
τοῦ εἶναι. πατὴρ οὖν ἀγέννητος καὶ ἄκτιστος καὶ ἀκατάληπτος, υἱὸς 8
γεννητός, ἀλλὰ καὶ ἄκτιστος καὶ ἀκατάληπτος· πνεῦμα ἅγιον ἀεί,
οὐ γεννητόν, οὐ κτιστόν, οὐ συνάδελφον οὐ πατράδελφον, οὐ προ-
πάτορον οὐκ ἔκγονον, ἀλλ᾽ ἐκ τῆς αὐτῆς οὐσίας πατρὸς καὶ υἱοῦ
πνεῦμα ἅγιον. »πνεῦμα γὰρ ὁ θεός«.

8. Ἕκαστον δὲ τῶν ὀνομάτων μονώνυμον, μὴ ἔχον δευτέρωσιν. 8, 1
καὶ γὰρ ὁ πατὴρ πατὴρ καὶ οὐκ ἔχει ἀντιπαράθετον, οὐδὲ ἑτέρῳ
πατρὶ συνζευγνύμενος, ἵνα μὴ δύο θεοί. καὶ 〈ὁ〉 υἱὸς μονογενής, θεὸς 2
ἀληθινὸς ἐκ θεοῦ ἀληθινοῦ, οὐ πατρὸς ἔχων ὄνομα οὐδὲ ἀλλότριος
πα|τρός, ἀλλ᾽ υἱὸς πατρὸς ὑπάρχων· μονογενὴς δέ, ἵνα μονώνυμος ᾖ D95
ὁ υἱός, καὶ θεὸς ἐκ θεοῦ, ἵνa εἷς θεὸς πατὴρ καὶ υἱὸς καλῆται.

4—6 I Kor. 12, 4—6 — **22** Joh. 4, 24

L J arm. pan. (bis Z. 22)

1 *ἐν ὑποστάσει δὲ τελειότητος*] *in der Vollendung der Persönlichkeit* arm. **2** *τὸ πνεῦμα τὸ ἅγιον* + *eine Gottheit in einer Vollendung* arm. **2—12** *πατὴρ καὶ — ἀφαιρουμένη ἰδιότητος* < arm. **3** 〈*καὶ*〉 * **11** 〈*ἡ τριὰς*〉 * **12** *ἰδιότητος* < J **14** *γεννᾷ* + *allein* arm. **18** *πατὴρ οὖν* + *von Natur* arm. | *καὶ*[2] < L **20f** *προπάτορον* + *seiend* arm. **22** *πνεῦμα ἅγιον*] *und des h. Geistes* arm. **25** *συνζευγνύμενος* *] *συνζευγνύμενον* L *ζευγνύμενον* J *und nicht irgend einen Vater unter dasselbe Joch gespannt* (sc. gibt es für ihn) arm. | 〈*ὁ*〉 * **26** *ἀλλότριος* *] *ἀλλότριον* L J **27** *υἱὸς* *] *ἑνὸς* L J *Sohn* arm. **28** *καὶ*[1] < arm. | vor *πατὴρ* + *ὁ* L

καὶ τὸ πνεῦμα τὸ ἅγιον μονογενές, οὐχ υἱοῦ ἔχον ὄνομα, οὐ πατρὸς τὴν 3
ὀνομασίαν, ἀλλὰ πνεῦμα ἅγιον οὕτω καλούμενον, οὐκ ἀλλότριον
πατρός. αὐτὸς γὰρ ὁ μονογενὴς λέγει »τὸ πνεῦμα τοῦ πατρός« καὶ 4
»τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον«, καὶ »ἐκ τοῦ ἐμοῦ λήψεται«, ἵνα
μὴ ἀλλότριον νομισθείη πατρὸς μηδὲ υἱοῦ, ἀλλὰ τῆς αὐτῆς οὐσίας,
τῆς αὐτῆς θεότητος, πνεῦμα θεῖον, »τὸ πνεῦμα τῆς ἀληθείας«, τὸ
πνεῦμα τοῦ θεοῦ, τὸ πνεῦμα τὸ παρά|κλητον, μονωνύμως καλούμενον, P13
μὴ ἔχον ἀντιπαράθεσιν, μὴ ἐξισούμενον ἑτέρῳ τινὶ πνεύματι, μὴ
καλούμενον ὀνόματι υἱοῦ ἢ ὀνομαζόμενον ὀνομασίᾳ πατρός, ἵνα μὴ
τὰ μονώνυμα ὀνόματα ὁμώνυμα ὑπάρχῃ· πλὴν ὅτι τὸ θεὸς [ἀλλ'] ἐν 5
πατρί, τὸ θεὸς ἐν υἱῷ, [τὸ θεὸς] ἐν ἁγίῳ πνεύματι τὸ θεοῦ καὶ θεός.
πνεῦμα γὰρ θεοῦ καὶ πνεῦμα τοῦ πατρὸς καὶ πνεῦμα υἱοῦ, οὐ κατά 6
τινα σύνθεσιν, καθάπερ ἐν ἡμῖν ψυχὴ καὶ σῶμα, ἀλλ' ἐν μέσῳ πατρὸς
καὶ υἱοῦ, ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, τρίτον τῇ ὀνομασίᾳ. »ἀπελ- 7
θόντες« γάρ φησι »βαπτίσατε εἰς τὸ ὄνομα πατρὸς καὶ υἱοῦ καὶ
ἁγίου πνεύματος«. εἰ δὲ βαπτίζει ὁ πατὴρ εἰς ὄνομα ἑαυτοῦ, εἰς
ὄνομα θεοῦ, καὶ τελεία ἡ σφραγὶς ἐν ὀνόματι θεοῦ ἐσφραγισμένη ἐν
ἡμῖν, καὶ βαπτίζει Χριστὸς εἰς ὄνομα ἑαυτοῦ, εἰς ὄνομα θεοῦ, καὶ
τελεία ἡ σφραγὶς ἐν ὀνόματι θεοῦ ἐσφραγισμένη ἐν ἡμῖν, τίς τολ-
μήσει καταπολεμῆσαι τὴν ἑαυτοῦ ψυχήν, τὸ πνεῦμα ἀλλότριον τῆς
θεότητος λέγων; εἰ γὰρ ⟨σφραγίζομεν⟩ εἰς ὄνομα πατρὸς καὶ εἰς 8
ὄνομα υἱοῦ καὶ εἰς ὄνομα ἁγίου πνεύματος, μία σφραγὶς τῆς τριάδος·
μία ἄρα δύναμις τῆς θεότητος ἐν τριάδι. εἰ δὲ τὸ ἕν ἐστι θεός, τὰ
δὲ ἄλλα κτιστὰ καὶ οὐ θεός, τίνι λόγῳ συνδέδεται τὰ δύο εἰς τὸ ἓν
τῇ σφραγῖδι τῆς τελειότητος; ἄρα γοῦν εἰς |βασιλικὸν ὄνομα ἐσφρα- 9 D96
γίσθημεν τὸ ἓν τὸ τοῦ πατρός, καὶ τὰ ἄλλα οὐ βασιλικά, *ἀλλ' ἔτι
στοιχείοις καὶ κτίσμασι δεδουλώμεθα, καὶ οὐκ ἠδύνατο μόνον τὸ
ὄνομα τοῦ πατρὸς σῴζειν, ἀλλὰ προσελάβετο ἑαυτῷ κτίσας ἄλλα δύο
στοιχεῖα κατὰ τὴν τῶν βλασφημούντων ὑπόνοιαν, ἵνα προσλάβῃ ἡ

3 Matth. 10, 20 — **4** Joh. 15, 26 — Joh. 16, 14 — **6** Joh. 15, 26 — **15** Matth. 28, 19 — **27** vgl. Gal. 4, 3

L J arm. (bis Z. 23 *ἐν τριάδι*) **14** Conc. Florent. Hardouin IX 360 C/D

1 *καὶ τὸ — μονογενὲς*] *der Eingeborene u. der h. Geist* arm. **5f** *τῆς αὐτῆς οὐσίας, τῆς αὐτῆς θεότητος*] *von derselben wesenhaften Gottheit* arm. **6** *πνεῦμα*[1] + *δὲ* L **10** [*ἀλλ'*] *, *ein anderes* (*ἄλλο*) arm.; viell. gehört *ἀλλ'* nach Z. 11 vor *ἐν ἁγίῳ πνεύματι* * **11** [*τὸ θεὸς*] * **11f** [*τὸ θεὸς*] — *γὰρ θεοῦ καὶ* < arm. **16** *δὲ*] *denn* arm. **18** *αὐτοῦ* L **18f** *καὶ τελεία — θεοῦ* < L **19** *ἐν ἡμῖν* < L **21** ⟨*σφραγίζομεν*⟩ *, *siegeln* arm. | *πατρὸς* Ausgg.] *θεοῦ* L J arm. **26** * etwa ⟨*καὶ οὐκ ἠλευθερώθημεν*⟩ * **28** *προσελάβετο* < J

αὐτοῦ θεότης καὶ ἄλλας δυνάμεις καὶ δυνηθῆ σῶσαι τὸν παρ᾽ αὐτοῦ σφραγιζόμενον καὶ λύτρωσιν δι᾽ ἀφέσεως ἁμαρτημάτων λάβῃ ὁ παρ᾽ αὐτοῦ κτισθεὶς ἄνθρωπος.

9. Φεῦ τῆς τοιαύτης ληρῳδίας, ὦ τῆς τοιαύτης βλασφημίας. **9, 1** πόθεν ὑπεισῆλθε τὸν βίον ἄλλη πάλιν καινὴ ἀπιστία, μᾶλλον δὲ εἴποιμι κακοπιστία; χείρων γὰρ ἡ κακοπιστία τῆς ἀπιστίας. ἡ μὲν γὰρ ἀπιστία πίστιν λαμβάνουσα διορθωθήσεται, ἡ δὲ κακοπιστία ἀκατόρθωτος, δυσχερῶς σῳζομένη, εἰ μή τι ἄν ἄρα τὸ χρῖσμα ἄνωθεν ἐπιφοιτήσῃ. φησὶν οὖν ὁ μακάριος Πέτρος τοῖς περὶ Ἀνανίαν | »τί **2** P14 ὅτι ἐπείρασεν ὑμᾶς ὁ σατανᾶς ψεύσασθαι τῷ πνεύματι τῷ ἁγίῳ;« καὶ φησιν »οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ θεῷ«. ἄρα θεὸς ἐκ πατρὸς **3** καὶ υἱοῦ τὸ πνεῦμα, ᾧ ἐψεύσαντο οἱ ἀπὸ τοῦ τιμήματος νοσφισάμενοι· ὡς καὶ ὁ Παῦλος συνᾴδει τῷ λόγῳ τούτῳ λέγων »ὑμεῖς δὲ ναὸς τοῦ θεοῦ ἐστε καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν«. ἄρα οὖν θεὸς τὸ πνεῦμα, ὡς προεῖπον. διὸ ναὸς θεοῦ κληθήσονται καὶ οἱ ἅγιοι **4** ἄνθρωποι, ⟨οἱ⟩ κατοικίσαντες ἐν ἑαυτοῖς τὸ ἅγιον τοῦ θεοῦ πνεῦμα· καθὼς μαρτυρεῖ ὁ κορυφαιότατος τῶν ἀποστόλων, ὁ καταξιωθεὶς μακαρισθῆναι ὑπὸ κυρίου, ὅτι ὁ πατὴρ αὐτῷ ἀπεκάλυψε. τοίνυν ὁ **5** πατὴρ ἀποκαλύπτει τὸν υἱὸν τὸν ἀληθινὸν αὐτῷ καὶ μακαρίζεται, καὶ ὁ αὐτὸς πάλιν ἀποκαλύπτει τὸ ἅγιον αὐτοῦ πνεῦμα. ἔδει * τὸν **6** πρῶτον τῶν ἀποστόλων, τὴν πέτραν τὴν στερεάν, »ἐφ᾽ ἣν ἡ ἐκκλησία τοῦ θεοῦ ᾠκοδόμηται, καὶ πύλαι Ἅιδου οὐ κατισχύσουσιν αὐτῆς«· πύλαι δὲ Ἅιδου αἱ αἱρέσεις καὶ οἱ αἱρεσιάρχαι. κατὰ | πάντα γὰρ **7** D97 τρόπον ἐν αὐτῷ ἐστερεώθη ἡ πίστις, ἐν τῷ λαβόντι τὴν κλεῖν τῶν οὐρανῶν, ἐν τῷ λύοντι ἐπὶ τῆς γῆς καὶ δέοντι ἐν τῷ οὐρανῷ. ἐν **8** τούτῳ γάρ ἐστι πάντα τὰ ζητούμενα λεπτολογήματα τῆς πίστεως εὑρισκόμενα. οὗτός ἐστιν ὁ τρίτον ἀρνησάμενος καὶ τρίτον ἀναθεμα- **9** τίσας πρὶν ἢ τὸν ἀλέκτορα φωνῆσαι· τὴν ὑπερβολὴν γὰρ τῆς αὐτοῦ πρὸς τὸν ἑαυτοῦ δεσπότην ἀγαπήσεως σημαίνων διϊσχυριζόμενος

8 vgl. I Joh. 2, 20; Luk. 24, 49 — **9f** Act. 5, 3 — **11** Act. 5, 4 — **13—16** vgl. Panarion h. 69, 27, 6 **13f** I Kor. 3, 16 — **16f** vgl. I Petr. 2, 5 — **18** vgl. Matth. 16, 17 — **21f** Matth. 16, 18 — **24f** vgl. Matth. 16, 19 **27f** vgl. Matth. 26, 34 u. 74 Mark. 14, 30 u. 71

L J

2 δι᾽ ἀφέσεως < J | λάβῃ + ἀφέσεως J **5** κενὴ L **7** διορθώσηται J **8** χρῖσμα] χάρισμα J **11** ἀνθρώπῳ L | τῷ (vor θεῷ) < L **16** ⟨οἱ⟩ * | κατοικίσαντες Dind.] κατοικήσαντες L J | ἐν < J **17** καθὼς + ⟨καὶ⟩? * **20** * ⟨δὲ τοῦτο κηρύσσειν⟩ *; gemeint ist unter der durch Petrus erfolgenden Verkündigung die Z. 9 angeführte Stelle Act. 5, 3f **22** κατισχύσουσιν L

ἔλεγεν »εἰ καὶ πάντες ἀρνήσονταί σε, ἐγὼ οὐκ ἀρνήσομαι«, ὅσον τὸ ἐπ᾽ ἀνθρώπῳ λέγω⟨ν⟩· οὗτός ἐστιν ὁ κλαύσας ἐπὶ τῇ φωνῇ τοῦ 10
ἀλεκτρυόνος, ἵνα ἀληθῶς ὁμολογήσῃ τὴν τοῦ υἱοῦ τοῦ θεοῦ σύλληψιν
οὐ δοκήσει οὖσαν, ἀλλ᾽ ἀληθινήν, ἵνα εἴπῃ αὐτὸν ἀληθινὸν ἄνθρω-
πον ἐν τῷ κλαίειν ἐπὶ τῇ αὐτοῦ συλλήψει παραδοθέντος ὑπὸ τῶν
Φαρισαίων· οὗτος ⟨ὁ⟩ ἀπελθὼν εἰς τὴν Γαλιλαίαν ἁλιεύειν, ὁ 11
συγκοινωνὸς τοῦ ἐπὶ τοῦ στήθους ἀνακλιθέντος (ὁ μὲν γὰρ παρὰ
τοῦ υἱοῦ μανθάνων καὶ ἀπὸ τοῦ υἱοῦ λαμβάνων τῆς γνώσεως τὴν
δύναμιν ἀπεκάλυπτεν, ὁ δὲ παρὰ τοῦ πατρὸς ὠφελεῖτο, τὴν ἀσφάλειαν 12
τῆς πίστεως θεμελιῶν), ὃς ἐν τῇ νηῒ ἐπὶ τῆς Τιβεριάδος ⟨λίμνης⟩ γυμνὸς
πάλιν μετὰ τὸ κληθῆναι ἠλίευεν (ὁ δὲ μαθητής, ὃν ἠγάπα ὁ Ἰησοῦς *)
ἐπὶ τῷ ῥήματι, ὃ εἶπεν ὁ σωτήρ »παιδία, μή τι προσφάγιον ἔχετε;«
καί (φησι) »βάλετε εἰς τὰ δεξιὰ τοῦ πλοίου καὶ εὑρήσετε«, ἐπὶ δὲ τῷ
γενομένῳ ῥήματι ἐκπλαγέντι τῷ Πέτρῳ φησὶν ὁ Ἰωάννης. ὃν ἠγάπα
ὁ Ἰησοῦς, »ὁ κύριός ἐστιν«, | ἄνθρωπος μὲν κατὰ σάρκα, ἀπὸ Μαρίας P15
γεννηθεὶς ἐν ἀληθείᾳ οὐ μὴν δοκήσει, θεὸς δὲ ⟨κατὰ⟩ πνεῦμα
ὤν, ἀπὸ τῶν ἐπουρανίων ἐκ πατρὸς ἐλθών· ⟨οὗτος⟩ ὁ ἀκούων 13
παρὰ τοῦ αὐτοῦ »Πέτρε, ποίμαινε τὰ ἀρνία μου«, ὁ πεπιστευμένος
τὴν ποίμνην, ὁ καλῶς ὁδηγῶν ἐν τῇ δυνάμει τοῦ ἰδίου δεσπότου. ὁ
ὁμολογῶν περὶ σαρκός, ὁ ἀληθινῶς τὰ πατρὸς ἀπαγγέλλων περὶ
υἱοῦ, ὁ τὸ πνεῦμα σημαίνων καὶ τὴν αὐτοῦ ἀξίαν ἐν θεότητι, ὁ
δεξιὰν διαδοὺς τῷ Παύλῳ καὶ Βαρνάβᾳ κοινωνίας σὺν Ἰα⟨κώβῳ καὶ D98
Ἰωάννῃ, ἵνα »διὰ τριῶν μαρτύρων σταθῇ πᾶν ῥῆμα«.

10. Οὐδὲν γὰρ ἄνευ τῶν δύο καὶ τριῶν μαρτυριῶν δύναται εἶναι. **10, 1**
εἰς αὐτὰ⟨ς⟩ γὰρ ἐβεβαιοῦτο δι᾽ αἰνίγματος ⟨καὶ ἡ πίστις⟩ τῶν ἐν τῷ
νόμῳ, μόνον πατέρα ἐπιγνόντων, εἰ μή τι λάβωσι δύναμιν υἱοῦ καὶ
διὰ τῶν μαρτυριῶν πατρὸς καὶ υἱοῦ ἐνδυναμωθῶσι διά τε τῆς τρίτης
μαρτυρίας λάβωσι πνεῦμα ἅγιον καὶ πληρωθῶσι, φανερῶς τῶν φωνῶν 2
τῶν Χερουβὶμ καὶ Σεραφὶμ κραζουσῶν [τὸ] τρίτον τὸ »ἅγιος ἅγιος

1 Matth. 26, 33 Mark. 14, 29 — **2** Mark. 14, 72 Matth. 26, 75 Luk. 22, 61 — **6** Joh. 21, 3; zu *ὁ συγκοινωνὸς* vgl. Luk. 5, 10 — **10** vgl. Luk. 5, 5 Joh. 21, 7 — **12** Joh. 21, 5 — **13** Joh. 21, 6 — **14** Joh. 21, 7 — **18** Joh. 21, 16 u. 17 — **21f** vgl. Gal. 2, 9 — **23** Deut. 19, 15 **29** vgl. Jes. 6, 3

L J **27**—S. **18, 10** Doctrina patrum 42, 3; S. 316, 11 Diekamp (kein Text gegeben)

1 *τὸ*] *τῷ* J **2** *λέγω⟨ν⟩* * **5f** *ὑπὸ τῶν — ἁλιεύειν* < J **6** *⟨ὁ⟩* * **10** *⟨λίμνης⟩* * **11** * etwa *⟨ἦν σὺν αὐτῷ⟩* * **14** *ἐκπλαγέντι* *] *ἐκπλαγέντες* L J **15** vor *ἄνθρωπος* Lücke Wilamowitz | *ἀπὸ Μαρίας* < L **16** *⟨κατὰ⟩* * **17** *⟨οὗτος⟩* * **24** *μαρτυριῶν* *, vgl. Z. 28 *μαρτυρίας*] *μαρτύρων* L J **25** *αὐτὰ⟨ς⟩* * | *⟨καὶ ἡ πίστις⟩* * **27** *μαρτυριῶν* *] *μαρτύρων* L J | *τε* *] *δὲ* L J **28** *πληρωθῶσι*] *τελειωθῶσι?* * **29** *κραζουσῶν* *] *κραζόντων* LJ | *[τὸ]* *

ἅγιος«. οὐ γὰρ διὰ δύο φωνῶν ἡ δοξολογία ἐν οὐρανῷ τελεῖται 3
οὐδὲ τέταρτον ἐπιφωνοῦσι τὰ αὐτὰ ἅγια καὶ ἀόρατα πνευματικὰ
ζῷα οὐδὲ τετάρτην φωνὴν ἀποδίδωσι τὰ αὐτὰ οὐδὲ μίαν μόνην,
ἀλλὰ τρεῖς φωνὰς ἑνικάς, τὸ ἅγιος ἅγιος ἅγιος· καὶ οὐ λέγουσιν 4
ἅγιοι ἅγιοι, ἵνα μὴ τὸ ἑνικὸν πολυώνυμον ἀποφήνωσι μηδὲ τῶν
τριῶν τὸν ἀριθμὸν ἀποκρύψωσιν, ἀλλὰ τρὶς μὲν διδόασι τὴν ἁγια-
στείαν, μονοειδῶς δὲ καὶ ἑνικῶς ἀποφθέγγονται τὸν λόγον, ἵνα μὴ
πολυθεΐαν ὀνομάσωσιν. εἷς γάρ ἐστι θεός, πατὴρ ἐν υἱῷ, υἱὸς ἐν 5
πατρὶ σὺν ἁγίῳ πνεύματι. καὶ διὰ τοῦτο »ἅγιος ἐν ἁγίοις ἀναπαύ-
μενος«, πατὴρ ἀληθινὸς ἐνυπόστατος καὶ υἱὸς ἀληθινὸς ἐνυπόστατος
καὶ πνεῦμα ἅγιον ἀληθινὸν ἐνυπόστατον, τρία ὄντα μία θεότης μία
οὐσία μία δοξολογία εἷς θεός. ὠνόμασας υἱόν, συμπεριείληφας τῇ 6
διανοίᾳ τὴν τριάδα· ἔσχες πνεῦμα ἅγιον, κατηξίωσαι τῆς δυνάμεως
τῆς πατρῴας καὶ τοῦ υἱοῦ τοῦ θεοῦ· ἐδόξασας τὸν πατέρα, ἐσήμανας
τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα. ἀλλὰ μὴ κατὰ συναλοιφήν· ἔστι γὰρ 7
ὁ πατὴρ πατήρ, ἔστιν ὁ υἱὸς υἱός, ἔστι τὸ ἅγιον πνεῦμα ἅγιον πνεῦμα.
ἀλλ᾽ οὐκ ἠλλοτριωμένη ἡ τριὰς τῆς ἑνότητος καὶ τῆς ταυτότητος·| P16
τιμᾶται δὲ ὁ πατὴρ καθὸ πατήρ ἐστι, τιμᾶται ὁ υἱὸς καθὸ υἱός ἐστι,
τιμᾶται τὸ πνεῦμα τὸ ἅγιον καθὸ πνεῦμα ἀληθὲς καὶ πνεῦμα θεοῦ.
οὕτω |λέγει ὁ μονογενής »ὁ τιμῶν τὸν πατέρα τιμᾷ τὸν υἱόν«· ἐν 8 D99
τῷ γὰρ λέγειν τὸν πατέρα υἱὸν σημαίνεις καὶ υἱὸν τιμᾷς. καί »ὁ
τιμῶν τὸν υἱὸν τιμᾷ τὸν πατέρα«· ἐν τῷ γὰρ ὀνομάζειν σε τὸν υἱὸν
τιμᾷς τὸν πατέρα, οὐκ ἐλάττονα τὸν Χριστὸν φάσκων τοῦ πατρός.
11. Εἰ γὰρ ἐν ἡμῖν τοῖς ἀνθρώποις ἄπεστι τὸ τοιοῦτον φρόνημα 11, 1
καὶ οὐχ ἥσσονας τοὺς υἱοὺς βουλόμεθα οὐδὲ ἐλαττουμένους παρὰ τὴν

9 Jes. 57, 15 — **20** vgl. Joh. 5, 23 — **21 f** vgl. Joh. 5, 23

L J **4—17** Sacra Parallela Coisl. 276 f. 25^{v} Rupefuc. f. 103^{v} Vatic. Migne 95, 1076 B
8—S. 19, 9 Siegel des Glaubens S. 29—30 Karapet (= arm.)

1 *τελεῖται ἐν οὐρανῷ* L **5** *μὴ* < L J Sa Pa$^{vat.}$ **6** *τρεῖς* L Sa Pa$^{rup.}$ **8** *πατὴρ* < arm. **9** *ἐν* < J **10 u. 11** *καὶ* < Sa Pa **12** *μία οὐσία* hinter *μία δοξολογία* Sa Pa | *οὐσία*] *ἐξουσία* L | *ὠνόμασας υἱόν* *] *ὠνόμασας θεόν* L J *ὀνομάσας υἱόν* Sa Pa^{c} *ὀνομαστικῶς* Sa Pa$^{rup.}$ | *τῇ* (vor *διανοίᾳ*) < Sa Pa **14—16** *ἐδόξασας — ἅγιον πνεῦμα*^{2} < Sa Pa$^{vat.}$ **15 f** *ἀλλὰ μὴ — ὁ πατὴρ πατήρ* < arm. | *ἀλλὰ μὴ — ἅγιον πνεῦμα*^{2} < Sa Pa$^{c\ u.\ rup.}$ **18** *τιμᾶται*^{2} + *δὲ* arm. **19** *τιμᾶται* + *auch* arm. | *τὸ ἅγιον*] *der wahre* arm. | *ἀληθὲς πνεῦμα* L **20** *ὁ μονογενὴς*] *der Sohn* arm. **20 f** *ἐν τῷ*] *αὐτῷ* J **21 f** *ὁ υἱὸν τιμῶν* J **22** *ἐν τῷ*] *αὐτῷ* J **22 f** *ἐν τῷ γὰρ — τοῦ πατρός*] *indem er nicht niedriger den Sohn nennt des Vaters* arm. **24** *ἔπεστι* J arm. **25** *οὐκ* J

τῶν πατέρων τιμήν (ἡ γὰρ εἰς τοὺς υἱοὺς ἀτιμία εἰς τοὺς πατέρας ἀναλογεῖται), πόσῳ μᾶλλον ὁ θεὸς καὶ πατὴρ οὐκ ἂν βουληθείη ποτὲ ἐλαττωθῆναι τὸν αὐτοῦ υἱόν; ὁ τοίνυν τὸν ἀληθῶς ὄντα τοῦ πατρὸς 2
υἱὸν ἀποδέοντα τῆς τοῦ πατρὸς δόξης ὑπολαμβάνων μᾶλλον ἀτιμάζει
5 ⟨τὸν πατέρα⟩, ἀντὶ τιμῆς *, ἀγνοίᾳ φερόμενος. ὡς οὖν ⟨ὁ υἱὸς⟩ 3
ἀποκαλύπτει τὸν πατέρα φάσκων »οὐδεὶς οἶδε τὸν πατέρα εἰ μὴ ὁ υἱὸς καὶ οὐδεὶς οἶδε τὸν υἱὸν εἰ μὴ ὁ πατήρ«, οὕτως τολμῶ λέγειν, οὐδὲ τὸ πνεῦμά τις οἶδεν εἰ μὴ ὁ πατὴρ καὶ ὁ υἱός, παρ' οὗ ἐκ-
πορεύεται καὶ παρ' οὗ λαμβάνει. πῶς δὲ ἀλλότριον θεοῦ τὸ πνεῦμα 4
10 λέγειν τολμῶσιν οἱ μανίᾳ μᾶλλον κατεχόμενοι καὶ οὐκ ἀληθείᾳ οἳ οὐ μανθάνουσι τὴν ἀληθινὴν φωνὴν τοῦ ἀξιοπίστου καὶ ἁγίου Παύλου τοῦ ἀποστόλου, ᾧ δεξιὰν ἔδωκεν ὁ κορυφαιότατος τῶν ἀποστόλων Πέτρος ὁ κατηξιωμένος ἔχειν τὴν κλεῖν τῆς βασιλείας, τοῦ ἀκούσαν-
τος ἀπ' οὐρανῶν »Σαοὺλ Σαούλ, τί με διώκεις«, τοῦ κατηξιωμένου 5
15 ἀκοῦσαι »ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι«, τοῦ λέγοντος »οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ κατοικοῦν ἐν αὐτῷ«, ἀπὸ τοῦ παραδείγματος τὰ ἄνω βουλομένου φράζειν, ἵνα μὴ τὸ τοῦ ἀνθρώπου παράδειγμα εἰς τὸν θεὸν ἀπεικάσῃ, ἀλλὰ τῷ παραδείγματι μέρος τῶν ἄνω ἀποκαλύψῃ; ὅλη γὰρ ἡ κτίσις 6
20 συναχθεῖσα ἀγγέλων καὶ ἀρχαγγέλων, Χερουβὶμ καὶ Σεραφὶμ σὺν στρατιᾷ ἐπουρανίῳ, οὐρανοῦ τε καὶ | γῆς, ἐπιγείων οὐρανίων καὶ D100
καταχθονίων, φωστήρων τε καὶ ἀστέρων, ξηρῶν τε καὶ ὑγρῶν καὶ πάντων ἁπαξαπλῶς τῶν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, οὐ δύναται ἐνδείξα-
σθαι οὔτε ὑποδείγματι ἀφομοιωθῆναι τῷ ἑαυτῶν δεσπότῃ. | κατὰ 7 P17
25 χάριν γὰρ τῷ ἀνθρώπῳ τὴν εἰκόνα χαρίζεται λέγων »ἐποίησεν ὁ

5—9 vgl. Ancor. c. 73, 1f; S. 91, 18ff — **6** Matth. 11, 27 — **12** vgl. Gal. 2, 9 — **13** vgl. Matth. 16, 19 — **14** Act. 9, 4 — **15** II Kor. 12, 4 — **16** I Kor. 2, 11 — **21f** vgl. Phil. 2, 10 — **25** Gen. 1, 27

L J arm. (bis Z. 9) **5—9** frei gestaltet Concil. Florent. Hardouin IX 193D 361A 610D = Jos. Bryennios I 275f Bulgaris

2f *πόσῳ μᾶλλον — τὸν αὐτοῦ υἱὸν* < arm. **5** ⟨*τὸν πατέρα*⟩ * | * ⟨*ἀτιμίαν αὐτῷ προσάπτων*⟩ *, *entehrt er nicht vielmehr* arm. | *ὡς οὖν*] *denn* arm. **5f** der Anfang lautet im Conc. Flor. *καὶ καθάπερ οὐδεὶς ἑώρακε* 193D *ὃν γὰρ τρόπον οὐδεὶς ἔγνω* 361A 610D *ὥσπερ γὰρ οὐδεὶς ἑώρακε* Bryenn. **5** ⟨*ὁ υἱὸς*⟩ *, *der Sohn* arm. **7** *οὕτως* Conc. Flor.] < L J *aber* arm. | *τολμῶ* + *δὲ* L **9** nach *ἐκπορεύεται* fährt das florent. Concil fort *οὔτε τὸν υἱὸν καὶ τὸν πατέρα εἰ μὴ τὸ πνεῦμα τὸ ἅγιον τὸ ἀληθῶς δοξάζον τὸ διδάσκον πάντα ὕπερ ἐστὶ* (nur *δ* < *ἐστι* 361A 610D) *παρὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ* **10** *τολμῶσι λέγειν* L | *οἳ* *] *καὶ* L J **17** *βουλομένου* *] *βουλόμενος* L J **21** vor *οὐρανίων* + *καὶ* J **23f** *ἐνδείξασθαι*] *ἀπεικασθῆναι* Jül.

θεὸς τὸν ἄνθρωπον, κατ᾽ εἰκόνα θεοῦ ἐποίησεν αὐτόν«. χαρίσματι γὰρ ἔχει τὴν εἰκόνα πᾶς ἄνθρωπος, οὐδεὶς δὲ τῷ ἑαυτοῦ δεσπότῃ ἀπεικασθήσεται. τὸ μὲν γὰρ ἀόρατον τὸ δὲ ὁρατόν, τὸ μὲν ἀθάνατον τὸ δὲ θανάτου δεκτικὸν καὶ τὸ μὲν πάσης σοφίας πηγὴ καὶ πάντα ἔχον ἐν ἑαυτῷ τετελειωμένα, ὁ δὲ ἄνθρωπος χάρισμα ἔχων ἀπὸ μέρους λειπόμενός ἐστι τῶν τελειοτάτων, εἰ μὴ θέλει ὁ θεὸς παρασχεῖν κατ᾽ ἀξίαν τοῖς κομιζομένοις τὴν διὰ χαρίσματος τελειότητα. 8

12. Ὅμως ὑποδείγματι κεχρημένος ὁ αὐτὸς ἅγιος ἀπόστολος »οὐδείς« φησίν »οἶδεν ἄνθρωπος τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ κατοικοῦν ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ θεοῦ οὐδεὶς ἔγνω«· καὶ οὐκ εἶπεν »εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ τὸ κατοικοῦν ἐν αὐτῷ«, ἀλλὰ »τὸ πνεῦμα τοῦ θεοῦ« μόνον, ἵνα μή τις σύνθετον καὶ συγκείμενον νοήσῃ τὸ θεῖον· »εἰ μή«, φησί, »τὸ πνεῦμα τοῦ θεοῦ«· »τὸ γὰρ πνεῦμα τοῦ θεοῦ πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ θεοῦ«. οὐκ ἀλλότριον τοίνυν τὸ πνεῦμα τοῦ θεοῦ τὸ ἐρευνῶν βάθη θεοῦ. εἰ γὰρ ἡμᾶς μέμφεται τὸ θεῖον γράμμα λέγον »ἃ προσετάγη σοι, ταῦτα διανοοῦ, καὶ οὐ χρεία ἐστί σοι τῶν κρυπτῶν«, καί »ὑψηλότερά σου μὴ ζήτει καὶ βαθύτερά σου μὴ ἐξέταζε«, ἆρα εἴπωμεν καὶ περὶ τοῦ ἁγίου πνεύματος ὅτι μᾶλλον περιεργίᾳ καὶ οὐχὶ μᾶλλον γνησιότητι ἐρευνᾷ τὰ βάθη τοῦ θεοῦ; ποῦ γὰρ ἐρευνᾷ τὰ βάθη τοῦ θεοῦ; διὰ ποίαν αἰτίαν; λέγε, ὦ ἀνόητε· ὡς περιεργαζόμενον; ὡς ἀλλοτριεπίσκοπον; ὡς μὴ ἰδίων ἐπιθυμοῦν; μὴ γένοιτο. ἀλλ᾽ ἐπειδὴ | καταξιοῦνται οἱ ἅγιοι τὸ πνεῦμα τὸ ἅγιον ἐν ἑαυτοῖς κατοικίζειν, ἐπὰν ἐν τοῖς ἁγίοις γένηται τὸ πνεῦμα τὸ ἅγιον, χαρίζεται αὐτοῖς ἐρευνᾶν τὰ βάθη τοῦ θεοῦ, εἰς τὸ βαθέως δοξάζειν, ὡς καὶ Δαυὶδ τοῦτο ὁμολογεῖ (»ἐκ βαθέων« γάρ φησιν »ἐκέκραξά σοι κύριε«), καὶ ἀπειρομεγέθως καὶ μὴ σμικρῶς καὶ εὐτελῶς. καθάπερ οἱ τῆς Ἀρείου αἱρέσεως καὶ αἱ ἔξωθεν πᾶσαι. καὶ ἐξότε ⟨ὁ⟩ νόμος διὰ Μωυσέως ἐδόθη, αἱ μετ᾽ αὐτὸν σχισθεῖσαι αἱρέσεις πρὸ τῆς Χριστοῦ ἐνσάρκου παρουσίας ἕνδεκα καὶ μετὰ τὴν ἔνσαρκον παρουσίαν ἄλλαι ἑξήκοντα, χωρὶς τῶν πρὸ τοῦ νόμου καὶ πασῶν τούτων πέντε καὶ τῶν | ἄλλων τεσσάρων Ἑλληνικῶν αἱρέσεων, αἵτινές εἰσι πρὸ νόμου P18

12, 1 2 3 4 5 6 D101 7

9—14 I Kor. 2, 11 — **14 f** I Kor. 2, 10 — **17** Sir. 3, 22 — **18** Sir. 3, 21 — **21 f** vgl. II Thess. 3, 11 u. I Petr. 4, 15 — **26** Psal. 129, 1 — **28 ff** die folgende Aufzählung der Häresen gibt bereits den Entwurf des Panarion

L J

15 ἐρευνοῦν L J **16** θεοῦ < J | λέγων J **27** ἀτελῶς J **28** αἱ < J | ἐξότου L | ⟨ὁ⟩ * **29** Μωσέως L J

ἐννέα· ὁμοῦ δὲ ἅπασαι σὺν ταῖς ἑαυτῶν μητράσι τὸν ἀριθμὸν ὀγδοήκοντα. ὧν εἰσι μητέρες μὲν πέντε οὕτως· Βαρβαρισμὸς Σκυθισμὸς 8
Ἑλληνισμὸς Ἰουδαϊσμὸς Σαμαρειτισμός. ἐκ τούτων, ἐξ Ἑλληνισμοῦ μὲν αἱρέσεις τέσσαρες· Πυθαγορείων Πλατωνικῶν Στωϊκῶν Ἐπικουρείων. ἀπὸ δὲ τοῦ νόμου πρὸ ⟨τῆς⟩ Χριστοῦ παρουσίας τῆς 9
ἐνσάρκου ἕνδεκα· ἐκ μὲν Ἰουδαίων ἑπτά· Γραμματέων Φαρισαίων Σαδδουκαίων Ὀσσαίων Νασαραίων Ἡμεροβαπτιστῶν Ἡρωδιανῶν· ἐκ δὲ Σαμαρειτῶν τέσσαρες· Γοροθηνῶν Σεβουαίων Ἐσσηνῶν Δοσιθέων· ὁμοῦ ἕνδεκα ἀπὸ νόμου ἐξ Ἰουδαίων καὶ Σαμαρειτῶν φύσασαι.

13. Πᾶσαι οὖν αἱ πρὸ τῆς ἐνσάρκου τοῦ Χριστοῦ παρουσίας ἀπὸ 13, 1
Ἀδὰμ ἀρξάμεναι καὶ μέχρις αὐτῆς εἴκοσίν εἰσι. μετὰ δὲ τὴν ἔνσαρκον τοῦ Χριστοῦ παρουσίαν ἕως βασιλείας Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος καὶ Γρατιανοῦ πᾶσαι αἱ αἱρέσεις αἱ ψευδῶς ἐπιφημίσασαι τὸ τοῦ Χριστοῦ ὄνομα ἑαυταῖς ἑξήκοντά εἰσιν, οὕτως ἀριθμούμεναι· Σιμωνιανοὶ Μενανδριανοὶ Σατορνῖλοι Βασιλειδιανοὶ Νικολαΐται 2
Γνωστικοί, οἱ καὶ Στρατιωτικοὶ καὶ Φιβιωνῖται παρὰ δέ τισι Σεκουνδιανῖται | παρ' ἄλλοις δὲ Σωκρατῖται παρ' ἑτέροις δὲ Ζακχαῖοι D102
παρὰ δέ τισι Κοδδιανοὶ λεγόμενοι καὶ Βορβορῖται ⟨καὶ Βαρβηλῖται⟩, Καρποκρατῖται Κηρινθιανοί, οἱ καὶ Μηρινθιανοί, Ναζωραῖοι 3
Ἐβιωναῖοι Οὐαλεντῖνοι Σεκουνδιανοί, οἷς συνάπτεται Ἐπιφάνης καὶ Ἰσίδωρος. Πτολεμαιονῖται Μαρκώσιοι Κολορβάσιοι Ἡρακλεωνῖται 4
Ὑφῖται Καϊανοὶ Σηθιανοὶ Ἀρχοντικοὶ Κερδωνιανοὶ Μαρκιωνισταὶ Λουκιανισταὶ Ἀπελληϊανοὶ Σευηριανοὶ Τατιανοὶ Ἐγκρατῖται κατὰ 5
Φρύγας, οἱ καὶ Μοντανισταὶ καὶ Τασκοδρουγῖται, Πεπουζιανοί, οἱ καὶ Πρισκιλλιανοὶ καὶ Κυϊντιλλιανοί, οἷς συνάπτονται Ἀρτοτυρῖται, Τεσσαρεσκαιδεκατῖται, οἱ τὸ πάσχα μίαν ἡμέραν τοῦ ἔτους ποιοῦντες, Ἄλογοι, οἱ τὸ εὐαγγέλιον καὶ τὴν ἀποκάλυψιν Ἰωάννου μὴ δεχόμενοι. Ἀδαμιανοὶ Σαμψαῖοι, οἱ καὶ Ἐλκεσαῖοι, Θεοδοτιανοὶ Μελχισεδεκιανοὶ Βαρδησιανισταὶ Νοητιανοὶ Οὐαλήσιοι Καθαροί, οἱ καὶ Ναυαταῖοι, οἱ καὶ Μοντήσιοι, οὓς ἐν Ῥώμῃ καλοῦνται, Ἀγγελικοὶ Ἀποστολικοί. ⟨οἱ καὶ⟩ Ἀποτάκται, Σαβελλιανοὶ Ὠριγενιασταί, οἱ καὶ αἰσχροποιοί, | 6 P19
Ὠριγενιασταὶ οἱ τοῦ Ἀδαμαντίου, ἢ Παύλου τοῦ Σαμοσατέως.

L J

1 τῶν ἀριθμῶν J **5** ⟨τῆς⟩ * **7** σαδδουκίων J | Ὀσσαίων *] Ἐσσαίων L J | Νασσαραίων L J **11** καὶ (vor μέχρις) < L **12** τοῦ < L **15** σατορνίλιοι L **16** φοβιονίται L **18** ⟨καὶ Βαρβηλῖται⟩ * **19** κορινθιανοί L κιρινθιανοί J | μιρινθιανοί L J **20** Ἐπιφάνιος L J **21** μαρκόσιοι L J **24** πεπουδιανοί L J **25** κυιντελιανοί L κυϊντιλιανοί J **25 f** τεσσαρισκαιδεκατίται J **29** βαλδισιανισταί L βαλσισιανισταί J **30** ἰκεμοντίσιοι L J **31** ⟨οἱ καὶ⟩ Pet. **32** ἡ (sc. αἵρεσις) *] οἱ L J

Μανιχαῖοι, οἱ καὶ Ἀκουανῖται, Ἱερακῖται Μελιτιανοί, οἱ κατ᾽ Αἴγυπτον σχίσμα ὄντες, Ἀρειανοί, οἱ καὶ Ἀρειομανῖται, Αὐδιανῶν τὸ σχίσμα, ἀλλ᾽ οὐχ αἵρεσις, Φωτεινιανοὶ Μαρκελλιανοὶ Ἡμιάρειοι Πνευματομάχοι, οἱ τὸ ἅγιον πνεῦμα τοῦ θεοῦ βλασφημοῦντες, Ἀεριανοὶ Ἀέτιοι, οἱ καὶ Ἀνόμοιοι, οἷς συνάπτεται Εὐνόμιος, μᾶλλον δὲ ὁ ἄνομος, Διμοιρῖται, οἱ μὴ τελείαν Χριστοῦ τὴν ἐνανθρώπησιν ὁμολογοῦντες, ⟨οἱ καὶ⟩ Ἀπολλινάριοι, καὶ οἱ τὴν ἁγίαν Μαρίαν τὴν ἀειπάρθενον λέγοντες μετὰ τὸ τὸν σωτῆρα γεγεννηκέναι τῷ Ἰωσὴφ συνῆφθαι, οὕστινας ἐκαλέσαμεν Ἀντιδικομαριαμίτας, καὶ οἱ εἰς ὄνομα αὐτῆς κολλυρίδα προσφέροντες, οἳ καλοῦνται Κολλυριδιανοί, Μεσσαλιανοί, οἷς | συνάπτονται Μαρτυριανοὶ ⟨οἱ⟩ ἀπὸ Ἑλλήνων καὶ Εὐφημῖται καὶ Σατανιανοί. D103

14. *Καὶ ἁπλῶς περιεκάκησα καὶ περικακῶ τοσούτων αἱρέσεων* **14, 1**
ὀνόματα εἰς ἀριθμὸν φέρειν καὶ τὰς ἀθεμίτους αὐτῶν πράξεις διηγεῖσθαι καὶ ἔτι τῶν δύο σχισμάτων, τῶν τε κατ᾽ Αἴγυπτόν φημι 2
προειρημένων Μελιτιανῶν, τῶν διὰ τὴν ἐπὶ τοῦ διωγμοῦ γενομένην τινῶν πτῶσιν παρὰ δὲ τῶν ἡμετέρων δεχθέντων ἐν τοῖς αὐτῶν κλήροις μετὰ μετάνοιαν ἑαυτοὺς σχισάντων, οὐ μὴν δὲ ἐν αἱρέσει ὄντων καὶ τῶν κατὰ τὴν Μεσοποταμίαν προειρημένων ὡσαύτως 3
Αὐδιανῶν, τῶν καὶ ⟨αὐτῶν⟩ σχίσμα ὄντων, ἀλλ᾽ οὐκ ἀλλοτρίαν πίστιν ἐχόντων, μόνον ἰδιωτικῶς περὶ τοῦ κατ᾽ εἰκόνα φιλονεικούντων, οὐ διὰ πίστιν ⟨δὲ⟩ ἀφηνιαζόντων καὶ ἑαυτοὺς ἀφοριζόντων οὐδὲ διά τι ἕτερον, ἀλλὰ κατὰ ἐθελοακρότητα δικαιοσύνης δῆθεν, διὰ τὸ μὴ συγκοινωνεῖν ἐπισκόποις καὶ πρεσβυτέροις τοῖς χρυσὸν καὶ ἄργυρον κεκτημένοις καὶ διὰ τὸ ποιεῖν τὸ πάσχα ἐν ᾧ καιρῷ Ἰουδαῖοι ποιοῦσι, καὶ σχιζόντων ἑαυτοὺς τούτων χάριν καὶ ἀπαλλοτριούντων τῆς ἑνώσεως τῆς ὀρθοδόξου ἐκκλησίας. οἱ γὰρ μὴ λαβόντες πνεῦμα 4
ἅγιον οὐκ ἔμαθον τὰ βάθη τοῦ θεοῦ καὶ εἰς ταύτας περιεκλάσθησαν τὰς αἱρέσεις καὶ εἰς τὰς τῶν σχισμάτων διὰ προφάσεως ἐρεσχελίας. καταλείψαντες γὰρ τὴν ἀλήθειαν ἐπὶ πολλὰς τρίβους ἐβάδισαν, ἄλλοτε ἄλλως καὶ ἄλλα διανοούμενοι. φησὶ δὲ ὁ αὐτὸς ἅγιος ἀπόστολος, 5
δηλῶν ἡμῖν δι᾽ ἣν αἰτίαν τοῦτο εἶπεν, »ἡμεῖς δὲ τὸ πνεῦμα τοῦ θεοῦ

32 I Kor. 2, 12f

L J

2 *Αὐδιανῶν* *] *Αὐδιανοὶ* L J **3** *Φωτιανοί* L J **4** *ἀερινοί* L J **5** *οἱ* < L **7** *⟨οἱ καὶ⟩* * | *ἀπολιναρίοι* J *ἀπολινάριοι* L | *καὶ οἱ* *] *οἱ καὶ* L J **9** *Ἀντιδικομαριανίτας* L J **10** *κολλυριανοί* L J | *μεσαλιανοί* L J **11** *⟨οἱ⟩* * **12** *σατιανοί* L J **15** *ἔτι* *] *περὶ* L J **17** *τινῶν* *] *τινα* L J **18** *ἀναιρέσει* J **20** *⟨αὐτῶν⟩* * | *σχισματικῶν* J | *ἀλλ᾽* < L **21** *τοῦ*] *οὗ* L **22** *⟨δὲ⟩* * **26** *σχιζόντων* *] *σχίζοντες* L J | *ἀπαλλοτριούντων* *] *ἀπαλλοτριοῦντες* L J **28** *καὶ* + *⟨οὕτως⟩*? * **32** *τοῦτο*] gemeint ist die S. 20, 9 (vgl. S. 22, 28) angeführte Stelle I Kor. 2, 10

ἐλάβομεν, ὅπως γνῶμεν τὰ ἐκ | θεοῦ χαρισθέντα ἡμῖν. ἃ καὶ λαλοῦμεν, P20
οὐκ ἐν διδακτοῖς σοφίας λόγοις, ἀλλ᾽ ἐν διδακτοῖς πνεύματος ἁγίου,
πνευματικοῖς πνευματικὰ συγκρίνοντες« καὶ τὰ ἑξῆς. τὸ πνεῦμα
τοίνυν τοῦ θεοῦ οὐκ ἀλλότριον θεοῦ. εἰ γὰρ ἀλλότριον θεοῦ ἐστι,
πῶς τὰ βάθη τοῦ θεοῦ ἐρευνᾷς; ἀλλὰ τί ἐρεῖς μοι, ὦ κενόδοξε, ὁ 6
πολεμῶν | σεαυτόν, ἵνα μὴ εἴπω τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ; τί D104
γάρ, κενόδοξε, πολεμεῖς τὸν ἀκαταπολέμητον; τί μάχῃ τῷ ἀκαταμαχήτῳ;
»σκληρόν σοι πρὸς κέντρα λακτίζειν«. σεαυτὸν σκανδαλίζεις
καὶ οὐ τὸν Λόγον, σαυτὸν ἀλίσκεις καὶ οὐ τὸ πνεῦμα, σαυτὸν ἀπαλ-
λοτριοῖς ἀπὸ τῆς τοῦ θεοῦ χάριτος καὶ οὐ τὸν υἱὸν ἀπὸ πατρὸς
οὐδὲ τὸ πνεῦμα τὸ ἅγιον ἀπὸ πατρὸς καὶ υἱοῦ.

15. *Πάντως γὰρ λέγεις κατὰ δεινότητα· ἤκουσα γὰρ ἤδη καί* **15, 1**
τινας ματαιόφρονας τὴν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἀλήθειαν μετα-
τιθέντας εἰς βλασφημίας καὶ λέγοντας· »ἐρευνᾷ μὲν τὰ βάθη τοῦ
θεοῦ, ἀλλ᾽ οὐ καταλαμβάνει«, διὰ τὸ μὴ προσκεῖσθαι τῷ ῥητῷ τὸν
λόγον τοῦτον, ἀλλὰ μόνον εἰπεῖν τὸν ἀπόστολον »ἐρευνᾷ τὰ βάθη
τοῦ θεοῦ«· καὶ οὐ πρόσκειται τὸ καταλαμβάνει. ὦ πολλῆς ἠλιθιό- **2**
τητος. χρεία γὰρ ἦν, ὦ θεήλατε, μετὰ τὸ εἰπεῖν ἐρευνᾷ εἰπεῖν τὸ
καταλαμβάνει; κατὰ γὰρ τὴν σὴν ἀφυΐαν χωλὸν ἂν ηὑρίσκετο τὸ
πρᾶγμα ⟨μὴ⟩ προστιθεμένης τῆς λέξεως ταύτης; νῦν δὲ οὐχ ὑπολεί- **3**
πεταί σοι πρόφασις. πανταχόθεν γὰρ ἡ γραφὴ συνάγει τῷ εὐλαβε-
στάτῳ ἀνδρὶ τὴν ἀλήθειαν. περὶ γὰρ τοῦ παντοκράτορος θεοῦ γέ-
γραπται οὕτως ὅτι »ὁ θεὸς δοκιμάζων νεφροὺς« καὶ »ἐρευνῶν
ταμιεῖα κοιλίας«. εἰ δὲ δοκιμάζει νεφρούς, ἆρα οὐκ οἶδεν ὅ τι δοκιμάζει; **4**
ἢ τὸ πᾶν τῆς γνώσεως ἐν τῷ δοκιμάζειν ἀπεφήνατο; »ἐρευνῶν
δὲ ταμιεῖα κοιλίας«, πάλιν οὐ πρόσκειται τὸ καταλαμβάνων. ἆρα,
ἐὰν μὴ πρόσκειται τῷ ῥητῷ τὸ καταλαμβάνει, θάνατον ἐμαυτῷ προ-
ξενήσω παραπλέξας τῷ ῥητῷ τὸ »οὐ καταλαμβάνει« κατὰ τὸν σὸν
λόγον, ὦ ἀνόητε; οὕτως οὖν καὶ περὶ τοῦ πνεύματος τοῦ ἁγίου εἴ- **5**
ρηται ὅτι ἐρευνᾷ καὶ οὐ χρεία ἦν εἰπεῖν ὅτι καὶ καταλαμβάνει. ἐπ᾽
αὐτοῦ ⟨γὰρ τοῦ⟩ λόγου δηλοῖ ὅτι ἔστιν ἐν τῷ πνεύματι τῷ ἁγίῳ ἡ
γνῶσις τοῦ θεοῦ καὶ τῶν βαθέων τοῦ θεοῦ. κἂν τε μὴ εἴπῃ κατα-
λαμβάνει, τὸ αὐτό μοι νόησον | καὶ μὴ τὴν ἑαυτοῦ ψυχὴν ἀπόλλυε. D105

8 Act. (9, 5); 26, 14 — **12** vgl. Panarion h. 74, 13, 8 — **16** I Kor. 2, 10 — **23** Jer. 11, 20; 17, 10 — **23 f** Prov. 20, 21

L J

5 ἀλλ᾽ u. < *τί* L **9 f** *ἀπαλλοτριεῖς* J **14** *βλασφημίαν*? * **20** ⟨*μὴ*⟩ Pet. | *ταίτης* < J **25** Sinn: oder steckt in *δοκιμάζων* alles, in *ἐρευνῶν* aber nicht? Wilamowitz **31** ⟨*γὰρ τοῦ*⟩ * **32** *τε*] *σε* J **33** *ἀπόλυε* L J

ὡς γὰρ ἐπὶ τοῦ πατρὸς οὐ τολμητέον | λέγειν τὸ ἐρευνᾷ καὶ οὐ κατα- 6 P21
λαμβάνει (αὐτὸς γὰρ τὸν ἄνθρωπον ἔκτισε σὺν υἱῷ καὶ ἁγίῳ πνεύ-
ματι· ἀεὶ γὰρ ἡ τριὰς τριὰς καὶ οὐδέποτε προσθήκην λαμβάνει),
οὕτω δὴ καὶ περὶ τοῦ ἁγίου πνεύματος νοητέον. ὅταν γὰρ εἴπῃ ὅτι 7
»ποιήσωμεν τὸν ἄνθρωπον« (»ἐν ἀρχῇ γὰρ ἐποίησεν ὁ θεὸς τὸν
οὐρανὸν καὶ τὴν γῆν«), σημαίνει πατρὸς φωνὴν συγκαλοῦσαν εἰς δη-
μιουργίαν καὶ τὸ ποιήσωμεν λέγων οὐ μόνον εἴποιμι ἂν περὶ τοῦ
υἱοῦ ⟨σημαίνει, ἀλλὰ⟩ καὶ ⟨περὶ τοῦ⟩ ἁγίου πνεύματος. οὕτω γὰρ 8
λέγει »τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι
τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν«. συνδημιουργεῖ τοίνυν
ὁ Λόγος τῷ πατρί, συνδημιουργεῖ καὶ τὸ ἅγιον πνεῦμα. ὁ τοίνυν 9
ποιήσας τὸν ἄνθρωπον παντοκράτωρ θεὸς οὐκ οἶδε τὰ τοῦ ἀνθρώ-
που, »ἐρευνῶν ταμιεῖα κοιλίας«; ἀλλὰ τὸ πλεῖστον τῆς τοῦ θεοῦ γνώ-
σεως ὁ λόγος ἐπιφέρει τοῦτο λέγων, ἵνα μή τις τῶν ἐν ἡμῖν ἁμαρ-
τανόντων νομίσῃ τι ἀπὸ θεοῦ κεκρύφθαι. αὐτὸς γὰρ οἶδε τὸν ἄν-
θρωπον καὶ τὰ τοῦ ἀνθρώπου.

16. Ἐρευνᾷ τοίνυν ὁ πατὴρ ταμιεῖα κοιλίας καὶ οἶδεν, ἐρευνᾷ 16, 1
τὸ πνεῦμα τὰ βάθη τοῦ θεοῦ καὶ οἶδεν. ἀποκαλύπτει γὰρ ἁγίοις τὰ
τοῦ θεοῦ μυστήρια καὶ διδάσκει βαθέως τὸν θεὸν δοξάζειν καὶ τὴν
τούτου ἀκαταληψίαν τοῖς αὐτοῦ ὑποδεικνύει. ἆρα γοῦν οὐκ ἀλλό- 2
τριον τοῦ θεοῦ τὸ πνεῦμα. οὐ γὰρ εἶπε περὶ ἀγγέλων ἐρευνᾶν βάθη
θεοῦ οὐδὲ περὶ ἀρχαγγέλων. »οὐδεὶς γὰρ οἶδε τὴν ἡμέραν οὐδὲ τὴν
ὥραν«, φησὶν ὁ υἱὸς τοῦ θεοῦ »οὔτε οἱ ἄγγελοι τοῦ οὐρανοῦ οὔτε ὁ
υἱός, εἰ μὴ ὁ πατήρ«. νομίζουσι δὲ οἱ ἀνόητοι, οἱ μὴ κεκοσμημένοι 3
πνεύματι ἁγίῳ, μὴ ἔστι τι ἐν τῷ πατρί, ὅπερ οὐκ ἔστιν ἐν τῇ θεό-
τητι τοῦ υἱοῦ. * »ὡς γὰρ ἔχει ὁ πατὴρ ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔχει ὁ
υἱὸς ζωὴν ἐν ἑαυτῷ« καί »πάντα | τὰ τοῦ πατρός μου ἐμά ἐστι« φησὶν D106
ὁ αὐτὸς τοῦ θεοῦ ἅγιος Λόγος. τίνα δέ ἐστι τὰ τοῦ πατρὸς ἀλλ' ἢ 4
ταῦτα· τὸ θεὸς τοῦ πατρός ἐστι, τοῦτο καὶ τοῦ υἱοῦ· ἡ ζωὴ τοῦ
πατρός ἐστι, τοῦτο καὶ τοῦ υἱοῦ· τὸ φῶς τοῦ πατρός, δηλονότι καὶ
τοῦ υἱοῦ· τὸ ἀθάνατον τοῦ πατρός, ὡσαύτως καὶ τοῦ υἱοῦ· τὸ ἀκα-
τάληπτον τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. πάντα τὰ τοῦ πατρὸς τοῦ υἱοῦ 5

4 f Gen. 1, 26 — **5** Gen. 1, 1 — **9** Psal. 32, 6 — **15** vgl. Hiob 11, 11 — **22** Mark. 13, 32 Matth. 24, 36 — **26** Joh. 5, 26 — **27** Joh. 16, 15

L J

1 *ἐρευνᾶν* L **5** *ποιήσωμεν* *] *ἐποίησε* L J **7** *καὶ* < L | *οὐ μόνον* < J | *ἂν* < L **8** ⟨*σημαίνει ἀλλὰ*⟩ * | ⟨*περὶ τοῦ*⟩ * **15** *τι* *] *ἔτι* L J **20** *αὐτοῦ* + ⟨*προσκυνηταῖς*⟩ ? * **21** *τοῦ* (vor *θεοῦ*) < L **26** * etwa ⟨*ἀλλ' εὐθὺς ἐλέγχονται*⟩ *

ἐστιν. εἰ τοίνυν τὰ τοῦ πατρὸς αὐτοῦ ἐστι, καὶ ἡ ἐν τῷ πατρὶ
γνῶσις καὶ ἐν τῷ υἱῷ καὶ ἐν τῷ | ἁγίῳ πνεύματι ὑπάρχει. εἰ δέ τις 6 P22
νομίζει τὸν υἱὸν ἀγνοεῖν τὴν ἡμέραν, μαθέτω ὁ ἀμαθὴς καὶ μὴ
βλασφημείτω. προτείνω γὰρ αὐτῷ γνῶσιν καὶ γνώσεται. λέγε μοι,
ὦ ἀγαπητέ, — ἀγαπητὸν γάρ σε καλῶ· οὐδένα γὰρ μισῶ ἢ μόνον τὸν
διάβολον καὶ τὰ ἔργα τοῦ διαβόλου καὶ τὴν κακοπιστίαν· ἐπὶ σοὶ
δὲ εὔχομαι, ἵνα ἔλθῃς εἰς τὴν τοῦ θεοῦ ἀλήθειαν καὶ μὴ σεαυτὸν
ἀπολέσῃς ἐν τῇ εἰς θεὸν βλασφημίᾳ. βαθέα γάρ εἰσι τὰ ῥήματα τοῦ 7
ἁγίου θεοῦ, πνεύματι δὲ ἁγίῳ ⟨ἡ γνῶσις⟩ διὰ τῶν χαρισμάτων δίδο-
ται. »ᾧ μὲν γάρ« φησί »δίδοται λόγος σοφίας, ᾧ δὲ λόγος διδασκα-
λίας« καὶ τὰ ἑξῆς, »τὸ δὲ αὐτὸ πνεῦμα τὸ διαιροῦν ἑκάστῳ ὡς βού-
λεται«, ἵνα σοι δείξῃ καὶ τὴν τοῦ ἁγίου πνεύματος αὐθεντίαν. ὅταν 8
γὰρ τὸ αὐτὸ πνεῦμα πᾶσι τὰ χαρίσματα δίδωσιν ὡς βούλεται, τοίνυν
παρακάλεσον τὸν πατέρα, ἵνα ἀποκαλύψῃ σοι τὸν υἱόν, καὶ παρα-
κάλεσον τὸν υἱόν, ἵνα ἀποκαλύψῃ σοι τὸν πατέρα, καὶ πάλιν παρα-
κάλεσον τὸν πατέρα, ἵνα σοι δῷ τὸν υἱὸν καὶ ἀποκαλύψῃ σοι τὸ
ἅγιον πνεῦμα καὶ δῴη σοὶ αὐτὸ ἔχειν ἐν σοί, ἵνα δοθὲν ἐν σοὶ ⟨τὸ⟩
ἅγιον πνεῦμα ἀποκαλύψῃ σοι τὴν πᾶσαν γνῶσιν πατρὸς καὶ υἱοῦ καὶ
ἁγίου πνεύματος, ἵνα μάθῃς ὅτι ἐν τῷ υἱῷ οὐκ ἔνι οὐδεμία ἀγνωσία
οὐδὲ ἐν τῷ ἁγίῳ πνεύματι. 17. εἰ γὰρ καὶ ἄγγελοι λείπονται τῆς 17, 1
μείζονος ἐξουσίας καὶ γνώσεως, μὴ γένοιτο καὶ τὸν υἱὸν τοῦ θεοῦ | D107
καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα λείπεσθαι. πνευματικῶς δὲ λέγει ὁ υἱός,
ὁ ἀπὸ τοῦ πατρὸς ἐλθὼν πρὸς ἡμᾶς ἅγιος Λόγος· οἱ δὲ ψυχικοὶ ἀνα-
κρίνονται μὴ νοοῦντες τοῦ υἱοῦ τὴν σοφίαν, μᾶλλον δὲ τῆς σοφίας
τὸν λόγον — ἐπερωτῶ σε, καὶ λέγε μοι· τίς μείζων ἐστὶν ὁ πατὴρ ἢ 2
ἡ ἡμέρα ἐκείνη περὶ ἧς λέγει; οὐ τολμήσεις λέγειν μὴ εἶναι τὸν πα-
τέρα μείζονα. εἰ τοίνυν μείζων ὁ πατὴρ καὶ τῆς ἡμέρας καὶ τῆς
ὥρας καὶ πάντων τῶν ὑπ' αὐτοῦ γεγενημένων καὶ γενηθησομένων
καὶ οὐδεὶς αὐτὸν ἐπιγινώσκει εἰ μὴ ὁ υἱός, ποῖον ἄρα μεῖζον τὸ τὸν
πατέρα γινώσκειν ἢ ἐκείνην τὴν ἡμέραν; εὔδηλον ὅτι τὸ τὸν πατέρα
γινώσκειν. πῶς οὖν ὁ τὰ μείζω εἰδὼς τῶν ἐλαττόνων ὑστερεῖ; εἰ 3
γινώσκει τοίνυν τὸν πατέρα, γινώσκει πάντως καὶ τὴν ἡμέραν καὶ
οὐδέν ἐστιν οὗ λείπεται κατὰ γνῶσιν ὁ υἱός. ἀλλ' ἐρεῖς ὅτι μείζων 4

10 I Kor. 12, 8 — **11** I Kor. 12, 11 — **23** vgl. I Kor. 2, 14f — **25 ff** bis S. 31, 6 vgl. die Ausführung im Panarion h. 69, 43—47 — **33 ff** vgl. Panarion h. 69, 53

L J

1 ἡ < L **4** die Wiederaufnahme erfolgt erst Z. 25 **7** ἔλθῃς] ἔχῃς L **9** ⟨ἡ γνῶσις⟩ * **12** τὴν vor αὐθεντίαν L **17** ⟨τὸ⟩ * **18** τὴν < J **22** αὐτοῦ < J | υἱός *] θεός L J **29** τὸ < J

ὢν ὁ πατὴρ πάντων ἔχει τὴν γνῶσιν, ὁ δὲ υἱὸς οὐδαμῶς, καθὼς | P23
καὶ αὐτὸς λέγει »ὁ πατήρ μου μείζων μού ἐστιν«. ἀλλὰ τοῦτο τιμῶν
τὸν πατέρα λέγει ὁ υἱὸς ὡς ἔπρεπε, μειζόνως τετιμημένος ὑπὸ τοῦ
πατρός. ἔδει γὰρ ἀληθῶς τὸν γνήσιον υἱὸν τιμᾶν τὸν ἴδιον πατέρα,
ἵνα δείξῃ τὴν γνησιότητα. πῶς δὲ σὺ νομίζεις μείζονα εἶναι 5
αὐτόν; περιφερείᾳ ἢ ὄγκῳ ἢ χρόνῳ ἢ καιρῷ ἢ ἀξίᾳ ἢ θεότητι ἢ
ἀθανασίᾳ ἢ ἀιδιότητι; μὴ ταῦτα νόμιζε. οὐδὲν γὰρ ἐν τῇ θεότητι
ἄνισον ὑπάρχει πρὸς τὸν υἱόν, ἀλλὰ καθὸ πατὴρ ὁ πατήρ ἐστι καὶ
καθὸ ⟨ὁ υἱὸς⟩ υἱὸς γνήσιος, τιμᾷ τὸν ἑαυτοῦ πατέρα. οὔτε γὰρ ὄγκῳ 6
φέρεται τὸ θεῖον, ἵνα ὑπέρογκος τοῦ υἱοῦ ᾖ ὁ πατήρ, οὐδὲ χρόνῳ
ὑποπίπτει, ἵνα ὑπέρχρονος ὁ πατὴρ γέννηται τοῦ υἱοῦ, οὔτε τῷ ὕψει
μερικῶς τάττεται ὁ πατήρ (πάντα γὰρ περιέχει, αὐτὸς ὑπ᾽ οὐδενὸς
περιεχόμενος), ἵνα ὁ υἱὸς ὑπερβεβηκὼς νοοῖτο. ἐκάθισε γὰρ ἐν δεξιᾷ
τοῦ πατρὸς καὶ οὐκ εἶπεν, εἰσῆλθεν εἰς τὸν πατέρα, ἵνα Σαβέλλιον
παραλύσῃ καὶ Ἄρειον καθέλοι τῆς αὐτοῦ βλασφημίας. | D108

18. Διὰ τοῦτο μὴ ζήτει τὰ μὴ ζητούμενα, ἀλλὰ τίμα τὸν υἱόν, 18, 1
ἵνα τὸν πατέρα τιμήσῃς. ἀκούων δὲ περὶ τοῦ θεοῦ »οὐδεὶς ἀγαθὸς
εἰ μὴ εἷς ὁ θεός« μὴ τολμήσῃς διὰ τὸ τὸν υἱὸν ὑπερβαλλόντως τιμᾶν
τὸν πατέρα· οὐκ ἀγαθὸν ἀποφῆναι τὸν υἱόν. οὐδὲ γὰρ ἀρνούμενος 2
ἑαυτὸν ἀγαθὸν εἶναι λέγει τὸν πατέρα ἀγαθόν, ἀλλὰ τοσούτῳ μει-
ζόνως ἑαυτὸν ἀποκαλύπτει ἐν τῷ τὴν τιμὴν παρὰ τῶν ἀνθρώπων
μὴ βούλεσθαι, ἀλλ᾽ ἀναφέρει⟨ν⟩ τὴν τιμὴν ἐπὶ τὸν ἴδιον αὐτοῦ πα-
τέρα, ἵνα ἀπὸ τῆς ἀγαθότητος τοῦ πατρὸς γνωσθῇ ἡ γνῶσις τῆς
τοῦ υἱοῦ τοῦ θεοῦ ἀγαθότητος, ἀπὸ ἀγαθοῦ πατρὸς θεοῦ γεγεννη-
μένου. πολλὴ γὰρ ἀδράνεια τῶν τολμώντων λέγειν περὶ τοῦ υἱοῦ 3
τὸ τοιοῦτον, κἂν τε εἴπῃ »εἷς ἐστιν ἀγαθὸς ὁ θεός«. ἰδοὺ γὰρ ἐν 4
πολλοῖς διδάσκει ἡμᾶς ἡ θεία γραφή, ἀγαθὸν καλοῦσα παῖδα πτωχὸν
καὶ σοφόν, καί »ἀγαθὸς ἦν Σαμουὴλ μετὰ θεοῦ καὶ ἀνθρώπων« καί
»ἀγαθὸς ἦν Σαοὺλ υἱὸς Κὶς ἐκ φυλῆς Βενιαμίν, ὑψηλότερος παντὸς
Ἰσραὴλ ὑπὲρ ὠμίαν καὶ ἐπάνω« καί »ἀγαθὸν πορεύεσθαι εἰς οἶκον
πότου« καί »ἄνοιξον, κύριε, τὸν οὐρανόν, τὸν θησαυρόν σου τὸν

2 Joh. 14, 28 — **13** vgl. Psal. 109, 1 — **17 ff** bis S. 27, 13 vgl. Panarion h. 69, 57 — **17** Mark. 10, 18 — **21 f** vgl. Joh. 5, 41 — **26** Matth. 19, 17 — **27** Pred. 4, 13 — **28** I Sam. 2, 26 — **29** I Sam. 9, 2 — **30** Pred. 7, 3 — **31** Deut. 28, 12

L J

9 ⟨ὁ υἱὸς⟩ * | τὸν zweimal geschrieben J **11** γέννηται ὁ πατὴρ L **13** ὑποβεβηκὼς? * **21 f** παρὰ τῶν ἀνθρώπων — τὴν τιμὴν < J **22** ἀναφέρει⟨ν⟩ * **24** ἀγαθότητος < L **26** εἴπῃ *] εἴπῃς L εἴποις J **29** παντὸς ὑψηλότερος J **31 f** τῶν ἀγαθῶν σου L

ἀγαθόν« καί »ἀγαθὸς λόγος ὑπὲρ δόμα« καί »ἀγαθὸς ὁ κύων ὁ ζῶν ὑπὲρ τὸν λέοντα τὸν νεκρόν« καί »ἀγαθὸν δύο ὑπὲρ τὸν ἕνα« καί »ἀγαθὴ ἐσχάτη λόγων ὑπὲρ ἀρχήν« καί »εἰ ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγα|θὰ διδόναι τοῖς τέκνοις ὑμῶν«, περὶ ἰχθύος καὶ P24
ἄρτου λέγων. πῶς ⟨οὖν⟩ τολμᾶς διανοεῖσθαι ἀπαρνούμενον τὸν υἱὸν 5
τὴν ἑαυτοῦ ἀγαθότητα καὶ μὴ δι' ὑπερβολὴν τῆς τιμῆς ⟨ἐπὶ⟩ τοῦ 6
πατρὸς φέρειν τὴν ἀγαθότητα; ἑώρα γὰρ τὸν λέγοντα αὐτῷ »διδά-
σκαλε ἀγαθέ« λέγοντα στόματι καὶ οὐ καρδίᾳ, καὶ ἐλέγξαι αὐτὸν
βουλόμενος, ὅτι οὐ τοῖς χείλεσιν αὐτοῦ ἐπείθετο, ἀλλὰ τὴν καρδίαν
διήλεγχεν, ὡς καὶ ἐν ἄλλῳ τόπῳ λέγει »τί μοι λέγετε κύριε κύριε.
καὶ οὐ ποιεῖτε τοὺς ἐμοὺς λόγους«, καὶ ὧδε ἐβούλετο αὐτὸν ἐλέγχειν.
ἔλεγε γὰρ αὐτὸν ἀγαθὸν | διδάσκαλον καὶ οὐκ ἔμενεν ἐν τῇ αὐτοῦ D109
πίστει ⟨τοῦ⟩ πιστεύειν εἰς τὴν αὐτοῦ ἀγαθότητα.

19. Αὐτὸς τοίνυν ὁ ἅγιος Λόγος ὁ ζῶν ὁ ἐνυπόστατος, ὁ βασιλεὺς **19, 1**
ὁ ἐπουράνιος, ὁ υἱὸς ὁ γνήσιος, ὁ ἀεὶ ⟨ὢν⟩ σὺν πατρί, ὁ ἐκ πατρὸς
προελθών, τὸ »ἀπαύγασμα τῆς δόξης, ὁ χαρακτὴρ τῆς ὑποστάσεως«,
»ἡ εἰκὼν τοῦ πατρὸς« ἐν ἀληθείᾳ, ὁ σύνθρονος τοῦ φύσαντος, »οὗ
τῆς βασιλείας οὐκ ἔσται τέλος«, »ὁ κριτὴς ζώντων καὶ νεκρῶν«, ὁ 2
σοφία ὢν ἐκ σοφίας, ὁ πηγὴ ὢν ἐκ πηγῆς (»ἐμέ«, γάρ φησιν »ἐγκατ-
έλιπον πηγὴν ὕδατος ζωῆς καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμ-
μένους«), ὁ ποταμὸς ὁ ἀένναος, ὁ »εὐφραίνων τοῖς ὁρμήμασι τὴν
πόλιν τοῦ θεοῦ«, ὁ ἐκ τῆς πηγῆς προελθών, »ἐξ οὗπερ, ⟨ὡς⟩ φησι,
ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι«, τὸ σκῆπτρον Δαυίδ, ἡ ῥίζα 3
τοῦ Ἰεσσαί, τὸ ἄνθος τὸ ἀπ' αὐτῆς, ὁ λέων, ὁ βασιλεὺς ὁ ἐκ φυλῆς
Ἰούδα, τὸ πρόβατον τὸ λογικόν, ὁ λίθος ὁ ζῶν, ὁ »τῆς μεγάλης 4
βουλῆς ἄγγελος«, ὁ ἄνθρωπος ἐν ἀληθείᾳ γεγονὼς καὶ θεὸς ἐν ἀλη-

1 Sir. 18, 17 — Pred. 9, 4 — **2** Pred. 4, 9 — **3** Pred. 7, 9 — Matth. 7, 11 — **7** Mark. 10, 17 — **10** Luk. 6, 46 — **16** Hebr. 1, 3 — **17** Kol. 1, 15 — Luk. 1, 33 — **18** Act. 10, 42 u. a. St. — **19** Jer. 2, 13 — **21** Psal. 45, 5 — **22** Joh. 7, 38 — **25** Jes. 9, 6

L J **14**—S. **28**, **21** Timotheus Aelurus Widerlegung der chalcedonensischen Lehre S. 17 Karapet = Siegel des Glaubens S. 266 Karapet (= arm.)

5 ⟨οὖν⟩ * | τολμᾶς διανοεῖσθαι *] τολμᾶν διανοεῖσθε L J **6** ⟨ἐπὶ⟩ * **10** λέγετε] λέγεται J **13** ⟨τοῦ⟩ * **14** ὁ (vor ἐνυπόστατος) < J **15** ⟨ὢν⟩ * | πατρὶ + von dem Vater zeitlos geboren (ὁ ἐκ πατρὸς ἀχρόνως γεννηθείς) arm. **16 f** ὁ χαρακτὴρ τῆς ὑποστάσεως, ἡ εἰκὼν τοῦ πατρὸς ἐν ἀληθείᾳ] die Zeichnung (χαρακτὴρ) der Wahrheit, indem er ist die Gestalt des Vaters in Wahrheit arm. **17 f** οὗ τῆς — τέλος < arm. **18** νεκρῶν + Leben vom Leben (ζωὴ ἐκ ζωῆς) arm. **22** ⟨ὡς⟩ * | ⟨ὥς⟩ φησι < arm.

θεία ὑπάρχων, μὴ τραπεὶς τὴν φύσιν, μὴ ἀλλοιώσας τὴν θεότητα, ὁ γεννηθεὶς ἐν σαρκί, ὁ σαρκωθεὶς Λόγος, ὁ Λόγος σὰρξ γενόμενος, ὁ ἔχων μεταξὺ τοῦ γενόμενος τὸ σάρξ (»ὁ Λόγος« γὰρ οὐκ εἶπεν »ὁ γενόμενος«, ἀλλὰ μετὰ τὸ εἰπεῖν ὁ Λόγος ἀπαρεμφάτως τίθησι τὸ »σάρξ«, μετὰ δὲ τὸ σὰρξ λέγει »ἐγένετο«, ἵνα τὸ ἐγένετο ἐκ Μαρίας δοκιμασθῇ, ἵνα ὁ Λόγος ἄνωθεν παρὰ πατρὸς κατελθὼν νοηθῇ). — οὗτος ὁ ἅγιος ὁ ζῶν Λόγος, ὁ πρὸς πατρὸς θεός, »ὁ μεγάλης βουλῆς ἄγγελος«, ὁ ἀγγέλλων τὰ τῆς βουλῆς τοῦ πατρός, »⟨ὁ⟩ πατὴρ τοῦ μέλλοντος αἰῶνος«, αὐτὸς εἶπεν »οὐδεὶς οἶδε τὴν ἡμέραν καὶ τὴν ὥραν οὔτε οἱ ἄγγελοι οἱ ἐν τῷ οὐρανῷ«· * καὶ γὰρ οὐκ οἴδασιν ὅτι ὁ υἱὸς νοηματικῶς λέγει »εἰ μὴ μόνος ὁ πατήρ«. | εἰ τοίνυν οἶδεν ὁ υἱὸς τὸν πατέρα, μείζων δὲ ὁ πατὴρ καὶ τῆς ἡμέρας καὶ τῆς ὥρας, καὶ οὐδεὶς ἀμφιβάλλει, πῶς ἄρα | ὁ τὸ μεῖζον εἰδὼς τὸ ἧσσον ἀγνοεῖ; οὐδὲ γὰρ οἶδέ τις τὸν πατέρα εἰ μὴ ὁ υἱὸς καὶ οὐδεὶς οἶδε τὸν υἱὸν εἰ μὴ ὁ πατήρ. ὡς γὰρ μέγας ὁ πατήρ, ὅτι οἶδε τὸν υἱόν, οὕτως καὶ ὁ υἱὸς μέγας, ὅτι οἶδε τὸν πατέρα. εἰ οἶδε τοίνυν τὸν πατέρα, τὸ μεῖζον, τὸ μικρὸν πῶς ἀγνοεῖ, τουτέστι τὴν ἡμέραν καὶ τὴν ὥραν; ἐρεύνησον τὰς θείας γραφὰς καὶ μάθε τοῦ ἁγίου πνεύματος τὴν δύναμιν, καὶ αὐτὸ τὸ πνεῦμα τὸ γινῶσκον τὸν πατέρα καὶ τὸν υἱὸν ἀποκαλύψει σοι τὴν τοῦ Λόγου τοῦ υἱοῦ τοῦ θεοῦ γνῶσιν, ἵνα μὴ πλανηθῇς τῆς ἀληθείας καὶ ἀπολέσῃς τὴν σεαυτοῦ ψυχήν.

20. Δύο γὰρ γνώσεις ἐν τῇ θείᾳ γραφῇ, δύο εἰδήσεις, μία κατὰ ἐνέργειαν καὶ μία κατὰ εἴδησιν. ἵνα δὲ ἀπὸ παραδειγμάτων τὰ ὅμοια παραστήσω, εἰς τὸ διὰ πολλῶν ἐξομαλισθῆναι τὴν πεπλανημένην σου διάνοιαν καὶ τῶν τοῦτο φρονούντων, μάθε τί λέγει ἡ γραφὴ περὶ τοῦ Ἀδάμ· »ἦσαν« φησί »γυμνοὶ ἐν τῷ παραδείσῳ καὶ οὐκ ἠσχύνοντο«. τυφλοὶ δὲ οὐκ ἦσαν· ἔβλεπον γάρ· εἰ μὴ γὰρ ἔβλεπον, πῶς εἶδον τὸ ξύλον, ὅτι »καλὸν εἰς βρῶσιν καὶ ὡραῖον τοῦ κατανοῆσαι«; »καὶ λαβοῦσα« φησίν »ἡ γυνὴ ἔφαγε καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς τῷ μετ'

2f Joh. 1, 14 — **7** Jes. 9, 6 — **8** Jes. 9, 6 — **9** Mark. 13, 32 — **11ff** vgl. Panarion h. 69, 43, 5 — **14** Matth. 11, 27 — **22ff** bis S. 31, 6 vgl. Panarion h. 69, 45—47 — **26** Gen. 3, 1 — **27f** vgl. Clement. Hom. III 42; S. 48, 9ff Lagarde — **28** Gen. 3, 6a — Gen. 3, 6b.

L J arm. (bis Z. 21)

4 εἰπεῖν < J **7** ὁ πρὸς πατρὸς θεός] *Gott beim Vater* (θεὸς ὢν πρὸς πατέρα?) arm. **8** ⟨ὁ⟩ * **9** αὐτὸς + ὁ Χριστὸς arm. **10** * etwa ⟨εἰ μὴ μόνος ὁ πατήρ. σφάλλονται δὲ οἱ λέγοντες τὸν υἱὸν διὰ τοῦτο μὴ εἰδέναι τὴν ἡμέραν⟩ * **13** ἀμφιβάλλει] *widerspricht* (ἀντιλέγει?) arm. | τὸ μεῖζον] τὸν πατέρα μείζω L **15** γὰρ] *nun* (οὖν) arm. | οὕτω J **18** ἁγίου < arm. **20** ἀποκαλύψει *, *wird dir enthüllen* arm.] ἀποκαλύπτει L J **23** ἀπὸ + τῶν L **24** σοι L **29** ἡ γυνὴ < L

αὐτῆς«. ἆρα οὖν οὐκ ἦσαν τυφλοί, ἀλλ᾽ ἠνεῳγμένους εἶχον τοὺς 4
ὀφθαλμούς· γυμνοὶ δὲ ὄντες οὐκ ἠσχύνοντο βλέποντες, καὶ γυμνοὶ
ὄντες ἑαυτοὺς ἤδεισαν. ἤδεισαν δὲ κατὰ εἴδησιν καὶ οὐ κατὰ
πρᾶξιν. μετὰ γὰρ τὸ ἐκβληθῆναι τοῦ παραδείσου βεβρωκότας τοῦ 5
ξύλου, μετὰ πολὺν χρόνον φησίν »ἔγνω ὁ Ἀδὰμ Εὔαν τὴν γυναῖκα
αὐτοῦ«. πῶς τοίνυν ἔσται τοῦτο; καίτοι γε ἑώρων ἀλλήλους γυμνοὶ 6
ὄντες καὶ ἤδεισαν ἑαυτοὺς τῇ ὁράσει· ἀλλ᾽ οὐ τῇ πράξει. τὸ δὲ
ἀλλήλοις συναφθῆναι γνῶσιν εἶπεν ἡ γραφή. οἶδε δὲ καλεῖν εἴδησιν 7
καὶ εἴδησιν. πάλιν γὰρ οὕτω λέγει »ἔγνω Ἰακὼβ Λείαν τὴν γυναῖκα
αὐτοῦ καὶ συλλαβοῦσα ἔτεκε«. καὶ τὸ πρῶτον μὲν ἤδει | αὐτήν· σὺν D111
αὐτῇ γὰρ ἑπτὰ ἔτη ἦν ποιμαίνων τὰ πρόβατα Λαβὰν τοῦ πατρὸς
αὐτῆς. εἴδησιν δὲ τὴν δι᾽ ὁράσεως καὶ διὰ γνώσεως ἤδει, ⟨οὐκ⟩ ἔγνω
δὲ καὶ διὰ πράξεως. »καὶ ἔγνω Ῥαχὴλ τὴν γυναῖκα αὐτοῦ« καὶ 8
πάλιν ⟨ἐν⟩ ἑτέρῳ τόπῳ »καὶ ἐγήρασε Δαυίδ« φησί »καὶ ἔσκεπον αὐτὸν
ἱματίοις. | καὶ οὐκ ἐθερμαίνετο, καὶ εἶπον τῷ βασιλεῖ ζητηθήτω παρ- P26
θένος καλή«. καὶ εὑρέθη Ἀβισὰκ ἡ Σουμανῖτις. καί φησιν »ἠνέχθη
τῷ βασιλεῖ καὶ συνεκοιμᾶτο αὐτῷ καὶ συνέθαλπεν αὐτόν· καὶ οὐκ
ἔγνω αὐτὴν Δαυίδ«, τὴν οὖν αὐτῷ, τὴν σύσσωμον καὶ σύμπλευρον.
ἆρα ποίαν εἴδησιν λέγει; τὴν δι᾽ ὁράσεως ἢ τὴν διὰ πράξεως; καί 9
»ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ«· ἆρα οὖν τοὺς οὐκ ὄντας ἀγνοεῖ;
καί »ἀπόστητε ἀπ᾽ ἐμοῦ, ἐργάται τῆς ἀνομίας· οὐδέποτε γὰρ ἔγνων
ὑμᾶς«· ἆρα ἔστιν ἄγνοια ἐν τῷ υἱῷ τοῦ θεοῦ; καὶ πάλιν »ὑμᾶς ἔγνων 10
ἐκ πάντων τῶν ἐθνῶν«. ἆρα οὖν τὰ ἔθνη τὰ λοιπὰ ἀγνοεῖ; μὴ
γένοιτο. ἀλλ᾽ οἶδε γνῶσιν ἡ θεία γραφή, ἄλλην μὲν κατὰ εἴδησιν,
ἄλλην δὲ κατὰ πρᾶξιν.

21. Ἐπεὶ οὖν τοῦ πατρὸς ὁ μονογενὴς πληρῶν τὸ θέλημα *, ἀπέ- 21, 1

5 Gen. 4, 1 — **9** vgl. Gen. 29, 32 — **13** vgl. Gen. 30, 22 — **14—18** I Kön. 1, 1—4 — **20** Num. 16, 5 II Tim. 2, 19 — **21** Luk. 13, 27 — **22** Amos 3, 2

L J **2 6 ff** zusammengefaßt bei Scotus Erigena *de divisione naturae* p. 83 Gale 1681 Epiphanius . . . in libro, quem de fide scripsit . . . dicens: patrem solummodo nosse futurum iudicium non solum per praescientiam, sed etiam per experimentum. pater siquidem per experimentum cognoscit iudicium, iam enim re ipsa omne iudicium dedit filio; omnino enim pater peregit iudicium, dum omne illud dedit filio. filius vero et scit et nescit iudicium. praescientia namque scit, nondum tamen experimento, et ideo experimento nescit, quia nondum re ipsa factum est iudicium.

2 δὲ < L **4** γὰρ < L **5** Εὔαν < L **8** ἀλλήλους J **12** ⟨οὐκ⟩ * **13** καὶ¹ < J **14** ⟨ἐν⟩ * **16** Σουμανίτης J **17** συνεκοιμάτω J **21** ἔγνω J **22** ἆρ᾽ L **23** τῶν < J **24 f** ἄλλην — πρᾶξιν] οἶδε μὲν κατὰ ἐπιφέρειν τῷ εἰδησιν ἄλλην καὶ ἄλλην κατὰ πρᾶξιν καὶ εἴδησιν L **26** * etwa ⟨κρίσιν ἔμελλεν ἐπιφέρειν τῷ κόσμῳ⟩ *

δειξεν ἤδη τὰ πάντα τετελειωμένα, * ἔγνω γὰρ ὁ πατὴρ τὴν ὥραν καὶ τὴν ἡμέραν, ἔγνω αὐτὴν καὶ κατὰ γνῶσιν καὶ κατὰ πρᾶξιν· οἶδε γὰρ αὐτὸς πάντα καὶ ἐν τῷ εἰπεῖν τὸν υἱόν »ὁ πατὴρ πᾶσαν τὴν κρίσιν δέδωκε τῷ υἱῷ« καὶ μὴ κρίνων διὰ μὲν τοῦ δεδωκέναι τῷ υἱῷ αὐτὸς κρίνει· οὐ γὰρ ἠλλοτρίωται ὁ θεὸς ἀπὸ τοῦ κρίνειν τοὺς κρινομένους καὶ ἐν τῷ μὴ κρίνειν τὸν πατέρα ἤδη κέκρικεν. ὁ δὲ **2** υἱὸς οἶδε πότε ἔρχεται· αὐτὸς γὰρ αὐτὴν φέρει τὴν ἡμέραν καὶ αὐτὸς ὁρίζει καὶ ἄγει καὶ τελεῖ. λέγει γάρ »ὡς κλέπτης ἐν νυκτὶ ἔρχεται ἡ ἡμέρα ἐκείνη« καί φησιν »οὐκ ἔστε ἐν νυκτί, ἵνα ἡ ἡμέρα ἐν σκότει ὑμᾶς καταλάβῃ«. εἰ οὖν οἱ δοῦλοι τοῦ Χριστοῦ ἡμέρας εἰσὶ **3** τέκνα, ἆρα αὐτὸς ὁ υἱὸς ⟨ὁ⟩ φέρων τὴν ἡμέραν ἀγνοεῖ, ἵνα αὐτὸν καταλάβῃ ἡ ἡμέρα καὶ | οὐχὶ αὐτὸς μᾶλλον τὴν ἡμέραν φέρῃ; τίς D112 ταῦτα διανοούμενος οὐ βλασφημήσει, τὰ μὴ πρέποντα περὶ πατρὸς καὶ υἱοῦ λογιζόμενος; καὶ ὁ πατὴρ μὲν οἶδε τὴν ἡμέραν καὶ τὴν ὥραν **4** κατὰ δύο τρόπους, κατὰ εἴδησιν καὶ κατὰ πρᾶξιν. οἶδε γὰρ πότε ἔρχεται καὶ πάλιν ἤδη κέκρικεν ὁρίσας κρίνειν τὸν υἱὸν καὶ ἔγνω κατὰ πρᾶξιν. ὁ δὲ υἱὸς τοῦ θεοῦ οἶδε μὲν πότε ἔρχεται καὶ αὐτὸς **5** φέρει αὐτὴν καὶ οὐκ ἀγνοεῖ, οὔπω δὲ αὐτὴν ἔπραξε κατὰ γνῶσιν, τουτέστι ⟨οὔπω ἔγνω⟩ κατὰ πρᾶξιν. ἔτι γὰρ ἀσεβεῖς ἀσεβοῦσι καὶ ἄπιστοι ἀπιστοῦσι καὶ κακόπιστοι βλασφημοῦσι καὶ ὁ διάβολος ἐνεργεῖ καὶ ἁμαρτήματα γίνεται καὶ ἡ ἀδικία κρατεῖ | καὶ ἡ κρίσις μακρο- P27 θυμεῖ, ἕως ἂν ἔλθῃ καὶ γνῷ αὐτὴν κατὰ πρᾶξιν καὶ ποιήσῃ τὴν ἐκδίκησιν καὶ σώσῃ τοὺς ἐν ἀληθείᾳ ἐλπίζοντας ἐπ᾽ αὐτὸν καὶ μὴ βλασφημοῦντας αὐτοῦ τὴν θεότητα καὶ πατρὸς καὶ ἁγίου πνεύματος.

22. Ἐξ ἁγίων δὲ ἀγγέλων λείπεται κατὰ δύο τρόπους ἡ τοιαύτη **22, 1** ἀξία. τίμιοι μὲν γάρ εἰσιν, ἀπὸ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος τοῦτο κεκτημένοι· λείπεται δὲ αὐτοῖς τοῦτο· οὐ γὰρ οἴδασι τὰ ὡρισμένα πότε γίνεται. ἐπὶ μὲν γὰρ τῇ ἰδίᾳ ἐξουσίᾳ ὁ πατὴρ ἔθετο τοὺς χρόνους. εἰ δὲ ὁ πατὴρ ἐν υἱῷ καὶ ὁ υἱὸς ἐν πατρί, ἆρα οὐ λείπεται ἡ ἐξουσία ἐξ υἱοῦ ἢ ἐν πατρί. λείπεται δὲ ἀπὸ τῶν ἀγγέλων· κτιστοὶ **2** γὰρ ἄγγελοι καὶ ἀρχάγγελοι καὶ δυνάμεις, πατὴρ δὲ ἄκτιστος, υἱὸς

3 Joh. 5, 22 — **8** I Thess. 5, 2 vgl. Resch, Agrapha² S. 146 — **9** I Thess. 5, 4 vgl. Joh. 12, 35 — **21f** vgl. Luk. 18, 7f — **29** vgl. Act. 1, 7

L J

1 * (Lücke von Pet. angezeigt) etwa ⟨*φάσκων· ὁ πατὴρ τὴν πᾶσαν κρίσιν δέδωκεν τῷ υἱῷ*⟩ * **2** *οἶδε* *] ᾔδει L J **9** ἔσται L J **10** *ὑμᾶς* *] ἡμᾶς L J **11** ⟨*ὁ*⟩ * **12** *καταλάβοι* J | *φέρει* ᾖ J **19** ⟨*οὔπω ἔγνω*⟩ * **22** *ποιήσει* L J **24** *καὶ πατρὸς* *] *πατρὸς καὶ υἱοῦ* L J **31** *ἡ*²] ᾗ L

ἄκτιστος, πνεῦμα θεοῦ ἄκτιστον. οὐκ οἴδασιν οὖν οἱ ἄγγελοι οὔτε 3
κατὰ εἴδησιν οὔτε κατὰ πρᾶξιν τὴν ἡμέραν καὶ τὴν ὥραν. οὐκ οἴδασι
γὰρ πότε βούλεται ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα ἐνεγκεῖν
τὴν ἡμέραν, καὶ οὐκ οἴδασι κατὰ γνῶσιν πράξεως· οὔπω γὰρ ἐπετά-
χθησαν ἐξελθεῖν καὶ συναγαγεῖν δίκην ζιζανίων καὶ δῆσαι δεσμὰς
δεσμὰς εἰς τὸ καίειν πυρὶ ἀσβέστῳ. οὔπω τοίνυν οὐδὲ ἔπραξαν οὐδὲ 4
οἴδασιν, ὁ δὲ πατὴρ | οἶδε καὶ ἔπραξεν· ὁ δὲ υἱὸς οἶδε μέν, οὐδέπω D113
δὲ ἔπραξε. τουτέστιν ⟨τό⟩ »εἰ μὴ ὁ πατὴρ μόνος, οὔτε οἱ ἄγγελοι
οὔτε ὁ υἱός«. νοήσωμεν τὴν δύναμιν τῆς γραφῆς, ἵνα μὴ γένηται 5
ἡμῖν τὸ γράμμα θάνατος. »τὸ γράμμα«, γάρ φησιν »ἀποκτέινει, τὸ
δὲ πνεῦμα ζωοποιεῖ«. λάβωμεν τὸ πνεῦμα, ἵνα ὠφεληθῶμεν ἐκ τοῦ
γράμματος. οὐ γὰρ τὸ γράμμα ἀποκτέινει, ἐν γὰρ τῷ γράμματι ἡ
ζωή· ἀποκτέινει δὲ τὸν ἀσυνέτως τῷ γράμματι προσερχόμενον καὶ μὴ
ἔχοντα τὸ φράζον πνεῦμα, τὸ ἀνοῖγον τὸ γράμμα καὶ ἀποκαλύπτον
τὸ ἐν αὐτῷ. οὗτος οὖν ὁ πατὴρ ὁ ἅγιος τὸν μονογενῆ αὐτοῦ υἱὸν 6
γνήσιον, γεγεννημένον ἐξ αὐτοῦ, καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα ἔδωκε
τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ ἐν μιᾷ γνώσει ὁμονοίας, ἐν ἑνὶ συνδέσμῳ
τελειότητος, ὅπως ἐν ὀνόματι πατρὸς τελείου καὶ θεοῦ τὴν σφραγῖδα
κομισώμεθα καὶ ἐν ὀνόματι υἱοῦ τελείου καὶ θεοῦ καὶ ἐν ὀνόματι
πνεύματος θείου καὶ τελείου λάβωμεν τὴν σφραγῖδα. ὦ τριὰς ἁγία 7
ἀριθμουμένη, τριὰς ἐν ἑνὶ ὀνόματι ἀριθμουμένη. οὐ γὰρ λέγεται
ἑνὰς καὶ δυὰς | οὐδὲ μονὰς καὶ μονάς, ἀλλὰ μονὰς ἐν τριάδι καὶ τριὰς P28
ἐν μονάδι, μονοειδῶς μονωνύμως εἷς θεός, πατὴρ ἐν υἱῷ, υἱὸς ἐν
πατρὶ οὐν ἁγίῳ πνεύματι.

23. Κάλει δέ μοι μάρτυρας τῆς ἀληθείας, κάλει μοι τοὺς παῖδας **23**, 1
τοὺς ἀπὸ τῆς καμίνου τῆς Βαβυλωνίας σωθέντας, τοὺς καταξιωθέν-
τας ἐν πυρὶ καταβληθῆναι, μὴ ἀναλωθῆναι δέ, οὐ σβέσαι τὸ πῦρ,
ἵνα μὴ ὑποληφθῶσι καινὰ ἔργα ἀντιμηχανησάμενοι, ἀλλ᾽ ἐν πυρὶ μὲν
εἶναι, ἐν πυρὶ δὲ μὴ ἀναλωθῆναι διὰ τὴν ὀρθὴν πίστιν αὐτῶν, τοῦ
θεοῦ δι᾽ αὐτῶν ἡμᾶς διδάσκοντος, τίνα μέν ἐστι τὰ κτιστὰ τίνα δὲ

4—6 vgl. Matth. 13, 30 — **8** Matth. 24, 36 — **10** II Kor. 3, 6 — **12** vgl. Joh. 5, 39 — **25** vgl. Dan. 3

L J **20—24** Sacra Parallela Coisl. 276 f. 25^{v}—26^{r} Rupef. f. 16^{v} Vat. Migne 95, 1076 C

4 f ἐπετάχθεισαν J **8** ⟨τό⟩ * **12** γὰρ τὸ < J | γράμμα + ⟨αὐτὸ⟩? * | γὰρ^{2} < L **15** οὗτος] οὕτως Pet., Dind. falsch **20** [λάβωμεν την σφραγῖδα]? * **21** vor ἀριθμουμένη^{1} + ⟨τριὰς⟩? *; vgl. Panarion h. 62, 3, 6 | ἀριθμουμένη, τριὰς < SaPa **22** ἑνὰς] μονὰς SaPa **22 f** μονὰς ἐν τριάδι καὶ τριὰς ἐν μονάδι < SaPa

τὰ ἄκτιστα, τίνα ἐστὶ τὰ ποιητὰ τίνα τὰ μὴ γενόμενα, τίνα τὰ ἀεὶ ὄντα τίνα δὲ τὰ ἐξ αὐτῶν ὄντα, γενόμενα δέ. οἱ τοιοῦτοι σωθέντες 2
παῖδες ἠθέλησαν εὐχάριστον ἀποδεῖξαι γνώμην εἰς τὸν θεὸν τὸν
σώσαντα αὐτούς, εἰς ὃν ἀπ᾽ ἀρχῆς ἤλπισαν καὶ οὐκ | ἐδίστασαν καὶ D114
οὐκ ἔκλιναν αὐχένα εἰκόνι καὶ θράσει βασιλέως καὶ τυραννίδι. καὶ 3
ὅτε ἠθέλησάν τι ἀπονεῖμαι θεῷ ἀνερευνήσαντες τὰ βάθη τῷ ἁγίῳ
πνεύματι ἐν τῇ καρδίᾳ, ἅγιοι ὄντες, διανοηθέντες τε τὸν οὐρανὸν
καὶ πάντα τὰ ἐν αὐτῷ, τήν τε γῆν καὶ πάντα τὰ ὑπ᾽ αὐτὴν καὶ
πάντα ὅσα ἔστι μὴ ἄξια εἶναι εἰς προσφορὰν θεῷ προσενεχθῆναι
(οὔτε γὰρ εἶχον ἐξουσίαν τὰ ὑπὲρ ἑαυτοὺς θεῷ προσφέρειν), καὶ κατὰ 4
τὴν ἀξίαν μὲν καὶ κατὰ τὴν ἐξουσίαν θέλοντες μόνον ὕμνοις ὑμνεῖν
τὸν θεόν (τοῦτο γάρ ἐστι τὸ γεγραμμένον »θύσατε θυσίαν αἰνέσεως«
καὶ »θυσία αἰνέσεως δοξάσει με«), ἤδη μεταβαλόντες τὴν παλαιὰν εἰς
καινὴν διαθήκην πνεύματι ἁγίῳ ὑπονυττόμενοι, οὐ ζῴων θυσίας
οὐδὲ ὁλοκαυτωμάτων χρείαν ἔχοντες (φασὶ γάρ »οὐκ ἔστι τόπος τοῦ
καρπῶσαι οὐδὲ θυσία οὐδὲ θυσιαστήριον«, ὡς τῶν πάντων περι-
ληφθέντων), βουλόμενοι δὲ τὴν τοιαύτην αἴνεσιν προσφέρειν καὶ ἐά- 5
σαντες τὴν ἑαυτῶν σμικρότητα ταπεινοφρόνως φέρονται (»πᾶς γὰρ
ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται. ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται«·
μετὰ ⟨γὰρ⟩ τοῦ χαρίσματος τῆς αὐτῶν σωτηρίας λαμβάνουσι καὶ
ταύτην τὴν δωρεὰν τῆς ταπεινοφροσύνης) καὶ βούλονται τὸν αἶνον
θεῷ προσφέρειν καὶ μὴ ἐκκακεῖν. καὶ ἑαυτοὺς δοκιμάσαντες πρὸς τὴν 6
τοῦ θεοῦ ἄρρητον δοξολογίαν ἀξιοῦσι συμπαραλαβεῖν μεθ᾽ ἑαυτῶν
τὴν κτίσιν εἰς δοξολογίαν καὶ ἄρχονται λέγειν συμπεριειληφότες
πᾶσαν τὴν ποίησιν. | P29

24. Διελόντες δὲ τὰ ποιήματα ἀπὸ τοῦ ποιήσαντος καὶ τὰ κτιστὰ 24, 1
ἀπὸ τοῦ κτίσαντός φασιν »εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν
κύριον«. πάντα εἶπον καὶ οὐδὲν κατέλιπον. ἵνα δὲ τὸ πνεῦμα τὸ 2
ἅγιον χαρακτηρίσῃ τὴν τελείαν γνῶσιν εἰς τὸ εἰδέναι, ποῖον τὸ θεῖον
ποῖα δὲ τὰ ὑπὸ τοῦ θεοῦ γενόμενα, ἵνα μὴ συμμίξωμεν τῷ ἀιδίῳ τὰ
ἐξ οὐκ ὄντων γενόμενα. ἵνα μὴ ἀπολέσωμεν | ἑαυτῶν τὴν διάνοιαν, D115
ἀριθμῷ μὲν τὰ πάντα συνήγαγεν. ἀπεκάλυπτε γὰρ αὐτοῖς τὸ πνεῦμα
τὸ ἅγιον ὡς καταξιωθεῖσιν ἅμα ἀγγέλοις εἶναι συνδιαίτοις ⟨τε⟩ γενομένοις 3

12 Psal. 106, 22 — **13** Psal. 49, 23 — **15** Dan. 3, 38 — **18** Luk. 18, 14 — **27** Dan. 3, 57

L J

2 δέ² < J **3** τὸν² < J **4** καὶ (vor οὐκ ἔκλιναν) < J **13** ἤδη + γὰρ J **14** θυσίας *] θυσίαν L J **16 f** περιλειφθέντων J **20** ⟨γὰρ⟩ * | αὐτῶν *] αὐτοῦ J αὐτῆς L **22** καὶ (vor ἑαυτοὺς) < L | δοκιμάσαντας J **28** καὶ < J **33** ⟨τε⟩ *

ἀγγέλων, τὰ ἐν οὐρανοῖς καὶ τὰ ἐν τῇ γῇ καὶ τὰ ὑποκάτω τῆς γῆς καὶ λοιπὸν οὐκ ἠγνόουν. καί φασιν οἱ αὐτοὶ ἅγιοι παῖδες, ὡς προ- 4
εἶπον· »εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον« καὶ ἄρχονται ἀριθμεῖν τε καὶ διαιρεῖν ποῖα τὰ ἔργα ποῖα τὰ ποιήσαντα, ποῖα τὰ ἐργαζόμενα ποῖα δὲ τὰ ἐργασθέντα· καὶ ἀριθμοῦσιν οὐρανὸν γῆν 5
ὕδατα ἐπάνω τοῦ οὐρανοῦ καὶ ἀγγέλους (κτιστοὶ γὰρ οἱ ἄγγελοι) καὶ θρόνους καὶ δυνάμεις (κτιστὰ γὰρ ταῦτα), ἥλιον σελήνην (ποιητὰ γὰρ καὶ οὐκ ἄκτιστα), νέφη καὶ νιφετούς, ἀνέμους χιόνας ἀστραπὰς βροντὰς γῆν θάλασσαν πηγὰς ἀβύσσους ποταμοὺς πᾶσαν ἀνθρω-
πότητα ὄρη πετεινὰ οὐρανοῦ, κτήνη καὶ ζῷα, ψυχὰς ὁσίων πνεύματα δικαίων, Ἀνανίαν Ἀζαρίαν Μισαήλ, ἱερεῖς καὶ δούλους θεοῦ. πάντα γὰρ ταῦτα ποιητά ἐστι καὶ κτιστά, ὑπὸ θεοῦ γεγονότα διὰ 6
τοῦ Λόγου καὶ τοῦ ἁγίου πνεύματος· »τῷ λόγῳ γὰρ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις
αὐτῶν«. ὅρα δέ, ἀγαπητὲ ἀδελφέ, πῶς τὰ πάντα ἠρίθμησαν πνεύ- 7
ματι ἁγίῳ φερόμενοι καὶ οὐκ ἠρίθμησαν υἱὸν ἐν τοῖς ποιήμασιν, ἀλλ' οὔτε ἅγιον πνεῦμα, ἀλλ' ἔγνωσαν τὴν αὐτὴν θεότητα εἶναι ἐν τριάδι καὶ τὴν αὐτὴν τριάδα εἶναι ἐν μιᾷ θεότητι. καὶ ἐδόξασαν πατέρα ἐν υἱῷ καὶ υἱὸν ἐν πατρὶ σὺν ἁγίῳ πνεύματι, μίαν ἁγιαστείαν μίαν
λατρείαν μίαν θεότητα μίαν δοξολογίαν.

25. Ἀλλὰ πάντως καὶ τοῦτο τολμᾷ ὁ διάβολος κινεῖν ἐν τοῖς **25, 1**
ἀνθρώποις, ἀπιστίας τολμηρίαν καταψεύσασθαι τῶν ἁγίων παίδων
[πλάσαι] καὶ εἰπεῖν· οὐκ ἤδεισαν εἰπεῖν ὄνομα ἁγίου | πνεύματος· Ἰου- P30
δαῖοι γὰρ | ἦσαν καὶ οὐδὲ υἱὸν ἤδεισαν, Ἰουδαῖοι ὄντες. εὐθὺς δὲ οἱ 2 D116
λόγοι ἐλέγχουσι τῶν κακοδόξων τὴν ἀπιστίαν. φησὶ γάρ »καὶ ἦν τὸ πρόσωπον τοῦ τετάρτου ὡς πρόσωπον υἱοῦ θεοῦ«. ἰδοὺ ὄνομα υἱοῦ θεοῦ· ἆρα οὐκ ἔστιν ἄγνοια περὶ τούτου * καὶ πρὸ τοῦ χρόνου τοῦ τῆς καμίνου, ὅτι »ἐπλήσθη Δανιὴλ πνεύματος ἁγίου καὶ εἶπε καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος αὐτῆς, καὶ ἐπέστρεψαν εἰς τὸ κριτήριον« καὶ
ἔκρινε τοὺς πρεσβυτέρους πνεύματι ἁγίῳ ἐμφορούμενος. ἆρα οὖν **3**
ἤδεισαν τὸν υἱὸν καὶ ἤδεισαν τὸν πατέρα καὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ οὐκ ἀγνοίας χάριν οὐκ εἶπον τὰ ὀνόματα, ἀλλ' ἀσφαλείας ἕνεκα. »εὐλογεῖτε, γάρ ⟨φησιν⟩, πάντα τὰ ἔργα κυρίου τὸν κύριον« καὶ οὐκ

3 Dan. 3, 57 — **3—11** vgl. Dan. 3, 58ff — **13** Psal. 32, 6 — **25f** Dan. 3, 92 — **28f** vgl. Sus. 45—49 (Theod.) — **33** Dan. 3, 57

L J

13 τῷ γὰρ λόγῳ J **19** ἁγιαστίαν J **23** [πλάσαι] * | ἔδεισαν J **27** * ⟨ἀλλ' οὐδὲ περὶ τοῦ πνεύματος τοῦ ἁγίου· ἤδεισαν γὰρ καὶ τοῦτο⟩ * **33** ⟨φησίν⟩ * | καὶ οὐκ — τὸν κύριον (S. 34, 2) von erster Hand am untern Rand nachgetragen L

εἶπον, εὐλόγει υἱὸς τοῦ θεοῦ τὸν κύριον οὐδ' εὐλόγει ἅγιον πνεῦμα τὸν κύριον, ἀλλ' »εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον«. καὶ 4 μή τις τῶν προφάσεις ἑαυτοῖς θηρωμένων εἴπῃ· ὅτι οὐκ εἶπον Χερουβὶμ ἢ Σεραφίμ· λοιπὸν οὐδὲ ταῦτά ἐστιν ἔργα τοῦ θεοῦ. προέλαβε γὰρ ὁ θεῖος λόγος ἀσφαλίσασθαι τὰ πάντα ⟨κατὰ⟩ τῶν τὰς μηχανὰς ἑαυτοῖς ἐπινοούντων, προγινώσκων τὴν εἰς αὐτοὺς [καὶ] τοὺς παῖδας λύμην. τρισσῶς γὰρ τὸν ὕμνον ἐδιπλασίασαν οἱ ἅγιοι παῖδες οἱ αὐτοὶ τὰ 5 κτιστὰ καὶ ποιητὰ εἰς ὕμνον θεοῦ προβαλλόμενοι καὶ πρῶτον φήσαντες »εὐλογητὸς εἶ, κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας«, εἶτα μεθ' ἕτερα »εὐλογημένος εἶ ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ« καὶ πάλιν »εὐλογημένος εἶ ὁ καθήμενος ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου« καὶ »εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, καθήμενος ἐπὶ Χερουβίμ«· ἵνα 6 ἀπὸ τοῦ εἰπεῖν τὸν θρόνον νοήσῃς Σεραφὶμ καὶ Χερουβίμ, καὶ ἀπὸ τοῦ ὀνόματος τῶν Χερουβὶμ καὶ ἀβύσσων καὶ θρόνου ἡγιασμένου καὶ λοιπῶν πάντων ὀνομάτων νοήσῃς ἀπὸ τοῦ ἀριθμοῦ πάντων τῶν ὠνομασμένων ὅτι ἐκ τῶν ἔργων εἰσὶ τοῖς ἄλλοις συν-|αριθμούμενα. D117 καλέσαντες γὰρ εἰς ὕμνον ταῦτα πάντα εὐθὺς ἐπιφέρουσι λέγοντες »εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον«, ἵνα Γαβριὴλ καὶ Μιχαὴλ εὐλογήσῃ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα.

26. Σεμνοὶ δὲ ἄγγελοι ἐν οὐρανῷ τὸν ἐπινίκιον ὕμνον ᾄδουσι, **26, 1** σὺν Σεραφὶμ καὶ Χερουβὶμ | τὴν τριάδα ὁμοδόξως καὶ ὁμοστοίχως P31 καὶ ὁμοουσίως δοξάζοντες καὶ λέγοντες τό »ἅγιος ἅγιος ἅγιος«, τρεῖς φωνὰς ἀποτελοῦντες, ἐν ἑνότητι δὲ λέγοντες καὶ οὐ πολυωνύμως. οὐ γὰρ λέγουσιν ἅγιος τέταρτον. ἵνα μὴ προσθῶσι ⟨τι⟩ τῇ τῆς τριάδος **2** ὀνομασίᾳ· οὐ λέγουσι δὶς τὸ ἅγιος, ἵνα μὴ ἐλλιπὴς εἴη ἡ δόξα τῆς τελειότητος, ἀλλὰ τρίς, ἵνα πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ἐν τῇ αὐτῇ τιμῇ ἁγιάσωσι. καὶ οὐ λέγουσιν ἅγιος καὶ ἡμιάγιος, ἀλλ' **3** ἴσως λέγουσι τὸ ἅγιος, μιᾷ φωνῇ καὶ ἑνὶ λόγῳ καὶ μιᾷ τελειότητι τριάδα δοξάζοντες ὁμοῦ ἐν ἑνότητι καὶ ἑνότητα ἐν τριάδι. ταύτην **4**

9f Dan. 3, 52 — **11** vgl. Dan. 3, 54 — Dan. 3, 55 — **13** Dan. 3, 54 — **19** Dan. 3, 57 — **23** Jes. 6, 3

L J

3 *προφάσει* J **5** *τὰ πάντα* < J | ⟨*κατὰ*⟩ * **6** [*καὶ*] Jül. **10** *εἶτα μεθ' ἕτερα — Χερουβίμ* (Z. 11) Glosse? vgl. Z. 13 u. die Wiederaufnahme in Z. 14f * **15** *θρόνου*] *ναοῦ* L **16** *ὀνομάτων*] *νοημάτων* L | *νοήσας* L **17** *ὀνομασμένων* J **15—17** *καὶ λοιπῶν — ὠνομασμένων*] wohl Vermengung einer Randbemerkung mit einer verderbten Lesart; lies etwa: *καὶ ἀπὸ τοῦ ἀριθμοῦ λοιπῶν πάντων τῶν ὠνομασμένων νοήσῃς* * **17** *τοῖς ἄλλοις* < L | *συνηριθμούμενα* J **4** *δὲ* < L **25** ⟨*τι*⟩ *

γὰρ τὴν γνῶσιν ἦλθεν ὁ μονογενὴς ⟨υἱὸς⟩ τοῦ θεοῦ ἡμᾶς διδάξαι, ταύτην τὴν σύνεσιν ἡμῖν ἐκήρυξε τὸ ἅγιον πνεῦμα, ταύτην τὴν τελειότητα ἀπεκάλυψεν ἡμῖν ὁ πατήρ· ἐν ἀληθείᾳ ταύτην τὴν ζωὴν ἐχαρίσατο ἡμῖν σαρκωθεὶς ὁ Λόγος, ταύτην τὴν οἰκοδομὴν ᾠκοδόμησεν ἡμῖν τὸ ἅγιον πνεῦμα. »εἴ τις γὰρ ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσίον ἄργυρον λίθους τιμίους ξύλα χόρτον καλάμην« ⟨καὶ τὰ ἑξῆς⟩. οὐ γὰρ ἔστιν ἄλλος θεμέλιος· »θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός«, ὁ υἱὸς τοῦ θεοῦ, »οὗ ἐσμεν οἰκοδομή, καὶ οὗ ἐσμεν γεώργιον«, »οἰκοδομηθέντες ἐπὶ τὸν θεμέλιον προφητῶν τε καὶ ἀποστόλων«, τοῦ εἰδέναι τὴν ἡμῶν οἰκοδομὴν στερεὰν οὖσαν ἐν ἀληθείᾳ καὶ τὸν ἡμῶν θεμέλιον ἀεὶ ὄντα καὶ μὴ ἀρξάμενον τοῦ εἶναι. ἀλλ' »οὐκ ἐν 6
πᾶσιν ἡ γνῶσις« κατὰ τὸν ἀποστολικὸν λόγον, ἀλλ' ἐν τοῖς καταξιωθεῖσι πνεύματι ἁγίῳ τὰ τῆς ἀληθείας εἰδέναι | μυστήρια. αὐτὸς 7 D118
γὰρ ὁ ἀποκαλύψας ἑαυτὸν καὶ τὸν ἑαυτοῦ πατέρα καὶ τὸ ἅγιον πνεῦμα ἐπιμεμφόμενός τινας τῶν ἐν ἀγνωσίᾳ ἔλεγεν »οὐκ οἴδατε τὰς γραφὰς οὐδὲ τὴν δύναμιν αὐτῶν« καὶ πάλιν ἀλλαχόθι »ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω« καὶ πάλιν »εἰ ἤδεις τίς ἐστιν ὁ ζητῶν παρὰ σοῦ πιεῖν, σὺ ἂν ἤτησας« τῇ Σαμαρείτιδι ἔλεγε, καὶ πάλιν »οὐκ οἴδατε οἵου πνεύματός ἐστε«. ἆρα οὖν »ἡ γνῶσις οὐκ ἐν πᾶσι« 8
»χαρίσματα γὰρ ἔχει ἕκαστος ἐκ θεοῦ διάφορα«. καί φησιν ὁ ἅγιος λόγος »ᾧ δίδοται περισσότερον, περισσότερον ἀπαιτήσουσιν αὐτόν«, ὡς τινῶν μὲν λαμβανόντων βραχύ, τινῶν δὲ οὐδ' ὅλως, ἄλλων δὲ περισσοτέρως εἰληφότων. | P32

27. Καὶ ὅτι μὲν ταῦτα οὕτως ἔχει ἐξ αὐτῶν τῶν ἐν ταῖς θείαις 27, 1
γραφαῖς εἰρημένων ἔστιν εὑρεῖν. τῆς γὰρ θείας γραφῆς πνευματικῶς ⟨δια⟩λεγομένης τὰ πλεῖστα, μάλιστα περὶ τῆς ἡμετέρας ζωῆς, γνώσεως δέ φημι τοῦ κυρίου, ὅσα [γὰρ] ἐστὶ βαθύτερα καὶ περισσοτέρως τὴν ἡμετέραν ψυχὴν ἀπασφαλιζόμενα ῥήματα, ταῦτα εἰς πρόσκομμα τοῖς τὴν γνῶσιν θεοῦ μὴ κατειληφόσι συμβέβηκεν, ὥς 2
φησιν Ὡσηὲ ὁ προφήτης »τίς συνετὸς καὶ συνήσει ταῦτα;« καί »ᾧ

5 I Kor. 3, 12 — **7** I Kor. 3, 11 — **9** I Kor. 3, 9 — Ephes. 2, 20 — **12** I Kor. 8, 7 — **16** Matth. 22, 29 Mark. 12, 24 — **17** Matth. 13, 43 — **18** Joh. 4, 10 — **19** Luk. 9, 55 — **20** I Kor. 8, 7 — vgl. I Kor. 7, 7 — **22** Luk. 12, 48 — **31** Hos. 14, 10 — Hos. 14, 10

L J

1 ⟨υἱὸς⟩ *, nach stehender Formel **6** ἀργύριον L **6f** ⟨καὶ τὰ ἑξῆς⟩ * **14** αὐτοῖς J **16** ἀγνωσίᾳ + ⟨ὄντων⟩? * **19** πιεῖν] ποιεῖν L **20** ἐστε] ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου L **21** ἕκαστος < J **27** ⟨δια⟩λεγομένης * **28** δέ *] τε LJ | [γὰρ] * **31** συνετὸς J

λόγος γνώσεως κυρίου δίδοται, καὶ γνώσεται αὐτά· ὅτι εὐθεῖαι αἱ ὁδοὶ κυρίου, ἀσεβεῖς δὲ προσκόψουσιν ἐν αὐταῖς«. εὐθεῖαι μὲν γάρ 3
εἰσιν, ἀλλ᾽ οἱ ἀσεβεῖς προσκόπτουσι ⟨ἐν⟩ ταῖς ὁδοῖς κυρίου, ἀναιτίων τούτων οὐσῶν ἀνθρώποις προσκόμματος. οἱ γοῦν προσκόπτοντες τῷ λίθῳ τοῦ προσκόμματος ἀδιαφόρως προσκόπτουσι· »προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος« καὶ ἐσκανδαλίσθησαν. εὐθὺς μὲν 4
γὰρ οἱ Ἰουδαῖοι ὁρῶντες τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ ἐν σαρκὶ ἐληλυθότα θεοσημείας ἐργαζόμενον καὶ μὴ κατηξιωμένοι τῆς γνώσεως τῆς ἐπουρανίου ἔλεγον »τίς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃς λαλεῖ βλασφημίας;« καὶ ἄλλοτε »εἰ ἦν ὁ ἄνθρωπος οὗτος ἐκ θεοῦ, οὐκ ἂν ἔλυε τὸ σάββα|τον«. ἆρα οὖν τὴν θεότητα ἠγνόουν, ἄνθρωπον δὲ ψιλὸν D119
μόνον αὐτὸν ἐνόμιζον. οἱ δὲ καὶ θεὸν αὐτὸν ἐγνωκότες, ἀγνοήσαντες ⟨δὲ⟩ τὴν τελείαν αὐτοῦ δόξαν, ἀκούσαντες τὰ ἐν βάθει περὶ αὐτοῦ εἰρημένα ῥήματα καὶ κατὰ τὴν εἰς ἡμῶν πραγματευθεῖσαν σωτηρίαν ⟨σαρκὸς⟩ οἰκονομίαν, σφαλλόμενοι εἰς τὴν αὐτοῦ θεότητα κακοδοξοῦσιν. ἔσφαλλε γὰρ αὐτοὺς ἡ διάνοια. ὡς γὰρ οἱ Ἰουδαῖοι ἐσφάλησαν 6
ἀκούσαντες, οὕτω καὶ αὐτοὶ ἀκούοντες ἐσφάλλοντο. ἐκεῖνοι γὰρ ἑώρων τὰ ἐν προφήταις προειρημένα, εἰς δὲ τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν πληρωθέντα ἀγνοοῦντες ἐταράχθησαν. καὶ οὗτοι πάλιν 7
διὰ τὴν αὐτοῦ οἰκονομίαν τὰ προειρημένα ἀκούοντες, ψιλῶς δὲ αὐτὰ νοοῦντες ταράσσονται καὶ προβάλλονται εἰς τὴν ἑαυτῶν καταστροφὴν τὰ εἰς τὴν ἡμῶν οἰκοδομὴν ⟨εἰρημένα⟩ καὶ φασίν· ἀλλ᾽ εἶπεν »ἐγὼ ἀπέρχομαι πρὸς τὸν θεόν μου καὶ θεὸν ὑμῶν καὶ πατέρα μου καὶ πατέρα ὑμῶν«· ὁρᾷς ὅτι καὶ αὐτὸς ἕν ἐστι τῶν κτισμάτων,
βλασφημοῦντες τολμῶσι λέγειν. | P33

28. *Βλέπεις τοίνυν ὅτι σφάλλει αὐτοὺς ἡ τῆς ἐνσάρκου παρουσίας* 28, 1
*οἰκονομία. ἀναλάβωσι γὰρ ἐξ ὑπαρχῆς καὶ ἐρωτήσωσι χρόνους ἢ καιρούς· »*αἱ γὰρ διέξοδοι αὐτοῦ« φησίν »ἀφ᾽ ἡμερῶν αἰῶνος«. ἴδωμεν τοίνυν τὰ πρὸ τούτων. φησὶν ὁ πατήρ »ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν«, καὶ οὐκ εἶπε, ποιήσω ἄνθρωπον κατ᾽ εἰκόνα ἐμήν. ἐλέγχθητι ὁ ἔχων πεπωρωμένην τὴν καρδίαν 2
κατὰ τὸ γεγραμμένον »ἀλλ᾽ ἐπωρώθη ἡ καρδία αὐτῶν« καὶ μάθε

5f Röm. 9, 32 — **7f** I Joh. 4, 2 — **9** Luk. 5, 21 — **10** Joh. 9, 16 — **19**—S. **39**, **27** vgl. Panarion h. 69, 55 — **23** Joh. 20, 17 — **28** Mich. 5, 2 — **29** Gen. 1, 26 — **32** Mark. 6, 52

L J

3 ⟨ἐν⟩ * | τῶν ὁδῶν L **8** θεοσημίας L **12** αὐτόν[1]] αὐτοί L **13** ⟨δὲ⟩ * | βάθη L **14f** σωτηρίαν ⟨σαρκὸς⟩ Jül.] σωτήριον J σωτηρίας L **16** ἔσφαλε J **17** ἐσφάλοντο J **22** ⟨εἰρημένα⟩ * **27** ἀναλάβωσι Ausgg.] ἀναλάβουσι L J | ἐρωτήσωσι Ausgg.] ἐρωτήσουσι L J

τὸν υἱὸν ὄντα ἀεὶ πρὸς τὸν πατέρα· τὸ γὰρ εἰπεῖν ποιήσωμεν οὐχ ἑνός
ἐστι σημαντικόν, ἀλλὰ πατρὸς λέγοντος πρὸς τὸν υἱόν. ἐλέγχθητι 3
καὶ ὁ λέγων τὸν υἱὸν ἀνόμοιον τῷ πατρί· ἐν τῷ γὰρ εἰπεῖν αὐτὸν
κατ᾽ εἰκόνα ἡμετέραν οὐ διέκρινεν ὁμοίωσιν υἱοῦ ἀπὸ πατρὸς οὐδὲ
διεῖλέ τι τῆς ταυτότητος τοῦ πατρὸς πρὸς τὸν υἱόν. οὐ γὰρ εἶπε
κατ᾽ | εἰκόνα ἐμὴν ἢ κατ᾽ εἰκόνα σήν, ἀλλὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ D120
καὶ τοῦ ἁγίου πνεύματος μίαν οὐσίαν ἐδήλωσε καὶ θεότητα. φησὶ
γάρ »κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν«, ὡς εἶναι μὲν μίαν
τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος τὴν θεότητα,
ἄνθρωπον δὲ γεγονέναι κατ᾽ εἰκόνα τῆς μιᾶς θεότητος πατρὸς καὶ
υἱοῦ καὶ ἁγίου πνεύματος. ἐλέγχθητι καὶ σύ, Ἄρειε, καὶ ἄκουε τὸν 4
πατέρα λέγοντα τῷ υἱῷ »ποιήσωμεν« συνδημιουργὸν καλοῦντα τὸν
υἱόν. πολλάκις γὰρ ἀκήκοά τινας λέγοντας, ὅτι ὁ υἱὸς ἐποίησεν
οὐδέν, ἀλλὰ »δι᾽ αὐτοῦ ἐγένετο« τὰ γενόμενα. εἰ δι᾽ αὐτοῦ δὲ γέγονε,
καὶ αὐτὸς ἐποίησεν, ὡς σαφῶς ἀποδέδεικται. ὁ γὰρ ἀρχιτέχνης Λόγος 5
πάντων ἐστὶ ποιητὴς καὶ δι᾽ αὐτοῦ πατὴρ ἐργάζεται. ἀκουέτωσαν
γὰρ αὐτοῦ σαφῶς λέγοντος »ὁ πατήρ μου ἐργάζεται ἕως ἄρτι, κἀγὼ
ἐργάζομαι«· καὶ ⟨γὰρ⟩ ὧδε τὸν πατέρα ἑαυτοῦ συνδημιουργὸν καλεῖ ἐν
τῷ λέγειν τοῦτο. ἀλλὰ πάλιν μή σε ἀπατάτω ἡ διάνοια καὶ προσέλθῃς 6
τῷ υἱῷ ὡς δούλῳ καὶ μὴ ὡς ἀληθινῷ δεσπότῃ. εἰ γὰρ δοῦλος ἦν
καὶ οὐκ ἀληθινὸς δεσπότης, πῶς μορφὴν δούλου ἀνέλαβεν ἐλθὼν ὁ
ἐν μορφῇ θεοῦ ὑπάρχων; πῶς δὲ ἐκένου ἑαυτόν, εἰ μὴ εἶχε τὸ
τέλειον; ὡς θεῷ οὖν τελείῳ πρόσελθε τῷ υἱῷ καὶ ⟨ὡς⟩ υἱῷ γνησίῳ
ὄντι παρὰ πατρός. | P34

29. Καὶ μὴ διὰ κακόνοιαν εἴπῃς· ἀλλὰ ὁ πατὴρ εἶπε τῷ υἱῷ 29, 1
»ποιήσωμεν«, ὁ δὲ υἱὸς οὐκ εἶπε τῷ πατρί »ποιήσωμεν« καὶ ὁ υἱὸς
οὐ λέγει ὅτι ἐγὼ ἐργάζομαι καὶ ὁ πατήρ μου ἐργάζεται, ἀλλὰ τὸν
πατέρα τάττει πρῶτον λέγοντα καὶ ἐργαζόμενον. τοῦτο γὰρ ἠλι- 2
θίως λέγεις καὶ πολλὰς ἀρχὰς θέλεις νοεῖν τὸ θεῖον. μία δέ ἐστιν
ἀρχὴ καὶ ἡ αὐτὴ μία θεότης, οὐδαμοῦ δὲ ἐνταῦθα ὁ υἱὸς λέγει

8 Gen. 1, 26 — **14** Joh. 1, 3 — **17** Joh. 5, 17 — **21** vgl. Phil. 2, 6f

L J

2 ἐλέχθητι J **3** καὶ < J **5** τῆς < L | τοῦ < L **7** οὐσίαν] οὖσαν L | ἐδήλωσε Pet.] ἐδήλω δὲ J < L **9** τὴν < L **10** κατ᾽ < L **12** ποιήσομεν L | vor συνδημιουργὸν + ⟨τουτέστιν⟩? * **14** εἰ < L | δὲ < J **18** ⟨γὰρ⟩ * | καλεῖ συνδημιουργὸν L **21** ὁ < L **22** ἐκένου] ἐκείνου und + συνδημιουργὸν ἑκάλει J **23** ὡς < L | ⟨ὡς⟩ * **25** διὰ < L | ὁ < L **27** ἀλλὰ < L **30** ἐνταῦθα] ἐν τῷ θεῷ J; der Sinn von ἐνταῦθα ergibt sich aus dem Folgenden, vgl. insbesondere S. 39, 9ff

»θεός μου«. οὐκ ἀρνούμενος δὲ τοῦ υἱοῦ τὴν πρὸς τὸν πατέρα τιμὴν λέγω, ἀλλὰ πῶς ἔχει ἡ τῆς θεότητος ἀκολουθία. καὶ πάλιν »ἤκουσεν | 3 D121
Ἀδάμ« φησί »τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν«· καὶ οὐδαμοῦ φησιν ὁ υἱὸς θεόν μου καὶ θεὸν ὑμῶν, ἀλλὰ θεὸν αὐτοτελῆ ἐνταῦθα λέγει. καὶ πάλιν »καὶ ἐλάλησεν ὁ θεὸς τῷ Νῶε« 4
καὶ οὐδαμοῦ ἐμφέρεται ἡ τοιαύτη λέξις. »καὶ ὤφθη« φησίν »ὁ θεὸς 5
τῷ Ἀβραάμ, καθεζομένου αὐτοῦ πρὸς τῇ δρυῒ τῇ Μαμβρή· καὶ ἰδοὺ τρεῖς ἄνδρες, καὶ ἔδραμεν εἰς συνάντησιν καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν καὶ εἶπεν· εἰ εὗρον χάριν ἐνώπιόν σου«, ἵνα τὸν ἕνα δείξῃ θεόν,
τοὺς δὲ συνεπομένους αὐτῷ ἄλλους δύο ἀγγέλους αὐτοῦ. περὶ γὰρ 6
τούτου καί ⟨φησιν⟩ »ἀνέβη ὁ θεὸς ἀπὸ Ἀβραάμ«· αὐτὸς δὲ ὁ ἐλθὼν πρὸς αὐτὸν λέγει »μὴ κρύψω τι ἀπὸ τοῦ παιδός μου Ἀβραάμ; κραυγή« φησί »Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρός με« καὶ τὰ ἑξῆς· καὶ οὐδαμοῦ ἐμφέρεται ἐν τοῖς χρόνοις τούτοις τὸ θεός μου καὶ θεὸς ὑμῶν. »καὶ εἰσῆλθον οἱ δύο ἄνδρες εἰς Σόδομα«, ὡς 7
τοῦ ἀναβεβηκότος ὑπεράνω τοῦ Ἀβραὰμ ἀπολειφθέντος ἀπὸ τῶν δύο τῶν εἰσελθόντων εἰς Σόδομα ἐπὶ τῇ καταστροφῇ. περὶ δὲ τοῦ ἀναβεβηκότος φησὶν ἡ γραφή »καὶ ἔβρεξε κύριος ἐπὶ Σόδομα καὶ Γόμορρα παρὰ κυρίου πῦρ καὶ θεῖον«· καὶ οὐκ ἦν τῆς λέξεως χρεία
τοῦ εἰπεῖν θεόν μου καὶ θεὸν ὑμῶν. καὶ Μωυσῆς φησιν ἐν τῇ ᾠδῇ 8
»καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ«. ἐὰν δὲ εἴπῃ »ἄγγελοι θεοῦ« καὶ »πῦρ παρὰ κυρίου« καὶ μὴ εἴπῃ ἄγγελοι μόνον, ἵνα δείξῃ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἓν βασίλειον, τῶν ἀγγέλων μὴ μεριζομένων εἰς ἀρχάς, ἀλλὰ θεοῦ ὄντων, προσκυνούντων δὲ τῷ υἱῷ καὶ θεῷ· ἄγγελος γὰρ ἀγγέλῳ οὐ προσκυνεῖ. καὶ οὐδαμοῦ ἐνταῦθα τὸ θεός μου καὶ θεὸς ὑμῶν. | P35

30. Δαυὶδ δέ φησιν »εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ 30, 1
δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου«. κύριος, φησί, τῷ | κυρίῳ μου· ἡ γὰρ οἰκονομία τῆς σαρκὸς D122
οὔπω ἦν, ἧς χάριν χρεία ἦν εἰπεῖν αὐτὸν θεόν μου καὶ θεὸν ὑμῶν. »ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱὸν καὶ καλέσεις 2

1 Joh. 20, 17 — **2** Gen. 3, 8 — **5** vgl. Gen. 6, 13; 7, 1; 9, 12 — **6—9** Gen. 18, 1ff — **11** vgl. Gen. 18, 33 — **12** Gen. 18, 17 — **13** Gen. 18, 20 — **15** Gen. 19, 1 — **18** Gen. 19, 24 — **21** Deut. 32, 43 — **27** Psal. 109, 1 — **31—S. 39, 2** Jes. 7, 14 u. Matth. 1, 23

L J

1 *ἀρνούμενος* *] *ἀρνουμένου* L J | *δὲ* < L | *τὸν* < L **5** *πάλιν καὶ* < L **7** *μαμβρὶ* L *μανβρῦ* J **11** ⟨*φησίν*⟩ *, vgl. Z. 17f **16** *ἀποληφθέντος* L **20** *Μωσῆς* L J **22** *μόνον* + *λέγει τοῦτο* J; aber die Ellipse ist bei Epiph. das Gewöhnliche **23** *ἀγγέλων* < L **25** *ἄγγελος*] *ἀγγέλω* L | *ἐνταῦθα* < L **26** *τὸ* < J **29** *κύριος* + *γὰρ* J **31** *καλέσει* L *καλέσης* J

τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστιν ἑρμηνευόμενον μεθ' ἡμῶν ὁ θεός«· καὶ οὔπω ⟨χρεία⟩ ἦν εἰπεῖν θεόν μου καὶ θεὸν ὑμῶν. καί »σὺ 3
Βηθλεέμ, οἶκος τοῦ Ἐφραθᾶ, οὐκ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται εἰς ἄρχοντα ἐν τῷ Ἰσραὴλ καὶ αἱ διέξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἀφ' ἡμερῶν αἰώνων«, καὶ κατὰ ἄλλα ἀντίγραφα »καὶ σὺ Βηθλεὲμ οὐχὶ ἐλαχίστη ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος καὶ ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ«. καὶ ὁρᾷς ὅτι οὐδέπω χρεία ἦν εἰπεῖν θεόν μου καὶ θεὸν ὑμῶν. ὅτε δὲ ἡ προφητεία ἐπληροῦτο Ἱερεμίου καὶ Ἡσαΐου ὡσαύτως, 4
τὸ ἐκ παρθένου γεννηθῆναι τὸν Λόγον καὶ σάρκα σχεῖν, καθάπερ Ἱερεμίας φησί »καὶ ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν;«, τότε μετασχὼν τῆς σαρκὸς καὶ εἰς ἑαυτὸν χωρὶς σπέρματος ἀνδρὸς ἀπὸ τῆς θεοτόκου Μαρίας ἀναπλάσας τὴν αὐτὴν ἁγίαν σάρκα (κατὰ τὸ εἰρημένον »γενόμενος ἐκ γυναικός«) καὶ μετασχὼν τοῦ ἡμετέρου διὰ τὸ ἡμέτερον φησὶ »θεόν μου«· διὰ δὲ τὸ ἀίδιον αὐτοῦ τῆς γνησιότητος κατὰ φύσιν λέγει »πατέρα μου« καὶ διὰ τὴν αὐτοῦ πρὸς τοὺς αὐτοῦ μαθητὰς χάριν »πατέρα ὑμῶν«, διὰ δὲ τὸ κατὰ φύσιν αὐτῶν τῶν μαθητῶν πρὸς τὴν αὐτοῦ θεότητα καὶ τοῦ ἀιδίου αὐτοῦ πατρός »θεὸν ὑμῶν«. θεὸς γὰρ τῶν μαθητῶν, πατὴρ δὲ τοῦ κυρίου κατὰ 6
φύσιν, τῶν δὲ μαθητῶν πατὴρ κατὰ χάριν· θεὸς δὲ τοῦ υἱοῦ ἐστιν ὁ πατὴρ διὰ τὴν σάρκα, πατὴρ δὲ διὰ τὸ ἀίδιον καὶ ἀκατάληπτον τῆς αὐτοῦ γεννήσεως καὶ γνησιότητος, ὅτι ἐν ἀληθείᾳ ἐστὶν αὐτοῦ πατήρ, γεννήσας αὐτὸν ἀχρόνως καὶ ἀνάρχως κατὰ τὴν θεότητα. θεὸν δὲ ἐδέησεν εἰπεῖν αὐτοῦ δι' ἣν δι' ἡμᾶς ἐποίησεν οἰκονομίαν, 7
ὧν ἀεὶ πρὸς τῷ πατρί, γεννηθεὶς | ἀνάρχως Λόγος, ἐν σαρκὶ δὲ ἀπὸ D123
Μαρίας ἐπ' ἐσχάτου τῶν ἡμερῶν γεννηθεὶς κατὰ σάρκα, ἐκ Μαρίας δὲ τῆς αὐτῆς ἁγίας παρθένου διὰ πνεύματος ἁγίου. | P36

31. Νοείτωσαν τοίνυν τὰ βαθέα τῆς τοῦ θεοῦ πραγματείας καὶ **31**, 1
μὴ τὴν χάριν εἰς ἀχαριστίαν τρέψωσιν, ἀδοξίαν λογιζόμενοι εἰς τὴν ἄφραστον καὶ ἀκατάληπτον τοῦ θεοῦ φύσιν τὴν εἰς ἡμᾶς σωτηρίαν.
ἀλλά, φασί, περὶ τοῦ θεοῦ γέγραπται »οὐ πεινάσει οὐδὲ διψήσει 2

2—5 Micha 5, 2 — **6** vgl. Matth. 2, 6 — **11** Jerem. 17, 9 — **14** Gal. 4, 4 — **15—19** vgl. Joh. 20, 17 — **31ff** vgl. Panarion h. 69, 48f — **31** Jes. 40, 28

L J

1 ὅ ἐστιν < L **2** ⟨χρεία⟩ * | ἦν < L | θεὸν beidemale *, vgl. S. 38, 20. 30 u. Z. 8] θεὸς L J **3** Εὐφραθᾶ L Εὐφρανθᾶ J **5** κατὰ + τὰ J **9** ἐν προφητεία L **17** αὐτοῦ] αὐτοὺς L **22** αὐτοῦ ἐστιν L **25** vor ὧν + ⟨ὁ⟩? * | πρὸς τῷ πατρὶ] ebenso S. 47, 4; gewöhnlich heißt es πρὸς τὸν πατέρα oder σὺν τῷ πατρί **30** φύσιν τὴν εἰς ἡμᾶς < L **31** φησί L

οὐδὲ ἔστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ«, περὶ δὲ τοῦ υἱοῦ, ὅτι ἐπείνασεν ἐν τῇ ἐρήμῳ κατὰ τὸν πειρασμόν. καί φησιν »ὁ θεὸς ἡμῶν οὐ κοπιάσει«, ὁ δὲ κύριος Ἰησοῦς ἐκοπίασεν ἐν τῇ ὁδοιπορίᾳ· καί »οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ«, ὕπνωσε δέ, φησίν, ὁ κύριος ἐν τῇ νηΐ. ὦ μάταιαι ὑπόνοιαι τῶν τὰ τοιαῦτα **3** λογιζομένων. οὐ μόνον γὰρ τὰ ἡμῶν βάρη ἀνεδέξατο ὑπὲρ ἡμῶν ἐλθὼν ὁ ἅγιος Λόγος, ἀλλὰ καὶ ὑπὸ ἀφὴν ἐγένετο καὶ σάρκα ἔλαβε καὶ ἄνθρωπος εὑρέθη καὶ ὑπὸ τῶν γραμματέων συνελήφθη καὶ * ⟨ὥς φησι⟩ »τὸν νῶτον εἰς μάστιγας ἔδωκα, καὶ τὸ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων«. ἀλλὰ καὶ »ἔκλαυσε«, ⟨ὡς⟩ κεῖται ἐν τῷ **4** κατὰ Λουκᾶν εὐαγγελίῳ ἐν τοῖς ἀδιορθώτοις ἀντιγράφοις, — καὶ κέχρηται τῇ μαρτυρίᾳ ὁ ἅγιος Εἰρηναῖος ἐν τῷ κατὰ αἱρέσεων πρὸς τοὺς δοκήσει τὸν Χριστὸν πεφηνέναι λέγοντας, ὀρθόδοξοι δὲ ἀφείλαντο τὸ ῥητόν, φοβηθέντες καὶ μὴ νοήσαντες αὐτοῦ τὸ τέλος καὶ τὸ ἰσχυρότατον — καὶ »γενόμενος ἐν ἀγωνίᾳ ἵδρωσε, καὶ ἐγένετο ὁ ἱδρὼς **5** αὐτοῦ ὡς θρόμβοι αἵματος, καὶ ὤφθη ἄγγελος ἐνισχύων αὐτόν«. οὐ **6** μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ὡς ἄνθρωπος ἐρωτᾷ »ποῦ τεθείκατε τὸν Λάζαρον;« καὶ περὶ τῆς αἱμορροούσης »τίς μου ἥψατο;« καὶ περὶ τῶν ζητούντων αὐτόν »τίνα ζητεῖτε;«, ἀλλὰ καὶ τοὺς μαθητὰς ὡς ἄνθρωπος ἐρωτᾷ »τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου;«, | ἀλλὰ καί »πόσους ἄρτους ἔχετε μεθ' ἑαυτῶν;« ἔλεγε, **7** D124 καὶ κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκάθισε παρὰ τὸ φρέαρ ἐν τῇ Σαμαρείᾳ, ἀλλὰ καί »τὸ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο τῷ πνεύματι« καί »προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ ὁ Ἰησοῦς«, ἀλλὰ καί »πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας«, ὁ σοφία ὢν καὶ »διδάσκων **8** ἀνθρώπους γνῶσιν καὶ φυτεύσας τὸ οὖς τῷ ἀνθρώπῳ« καὶ ἐναρθρώσας λαλιὰν τοῖς υἱοῖς τῶν ἀνθρώπων »καὶ ποιήσας γλῶσσαν τρανὴν μογγιλάλων«. τὰ τοιαῦτα πάντα ὑπέμεινεν ὑπὲρ ἡμῶν, ἵνα | P37

1f Matth. 4, 2 Luk. 4, 2 — **2f** Jes. 40, 28 — **3** Joh. 4, 6 — **4** Psal. 120, 4 — **4f** Luk. 8, 23 Matth. 8, 24 Mark. 4, 38 — **9** Jes. 50, 6 — **10** vgl. Luk. 19, 41; aber Epiph. meint Luk. 22, 41ff — **12ff** Irrtum; vgl. Irenaeus adv. haer. III 22, 2; II 122 Harvey (adv. haer. I 20, 2; I 179 Harvey) — **15** Luk. 22, 44 — **17** Joh. 11, 34 — **18** Mark. 5, 30 Luk. 8, 45 — **19** Joh. 18, 4 — **20** Matth. 16, 13 — **21** Mark. 6, 38 — **22** vgl. Joh. 4, 6 — **23** Luk. 2, 40 — **24** Luk. 2, 52 — **24—26** Jes. 8, 4 — **26f** Psal. 93, 10. 9 — **28** Jes. 35, 6 Weish. Sal. 10, 21

L J

4 δέ < L **8** * etwa ⟨ἐνεπτύσθη⟩ * | ⟨ὥς φησι⟩ * **9** ἔδωκε L **10** ⟨ὡς⟩ * **11** εὐδιορθώτοις L **14** τέλος] τέλειον, *or* auf Rasur von erster Hand L | καὶ² < L **23** τῷ < J **25** λήψεσθαι L

τὴν πᾶσαν ἀκολουθίαν τῆς δι' ἡμᾶς οἰκονομηθείσης ἐνανθρωπήσεως φυλάξας μὴ ἀφανίσῃ τὸν χαρακτῆρα τῆς ἀληθείας.

32. *Ἀλλ' ἵνα μὴ τὰς μαρτυρίας, ἃς παρηγάγομεν ὡς ἀπὸ προσώ-* 32, 1
που τῶν δι' ἐναντίας πρὸς τὴν ἀλήθειαν ἀντιλεγομένας ἐκ θείων
γραφῶν συνάξαντες, κακῶς δὲ ὑπ' αὐτῶν νοουμένας, οὕτως ἐάσωμεν
ἀνερμηνεύτους, ἑκάστης λέξω τὴν θεωρίαν τῆς ἐν αὐτῇ δυνάμεως,
δι' ἣν αἰτίαν ὡς ἀνθρωποπαθῶς εἴρηται· καὶ αὖθις πάλιν ἐροῦμεν, 2
πολλὰ ⟨ἤδη⟩ εἰς τὸ θεός μου καὶ θεὸς ὑμῶν εἰρηκότες, ὡς ἔχει † τῷ
τὸν νοῦν ἔχοντι γνῶναι ἀπ' αὐτῆς τῆς ἀκολουθίας εὐλόγως εἰρῆσθαι.
»Ἄνθρωπος γάρ ἐστι, καὶ τίς γνώσεται αὐτόν;« ἐν ταὐτῷ τὰ δύο 3
ὑποφαίνει τὸ θεῖον γράμμα, ὁρατόν τε καὶ ἀόρατον, διὰ μὲν τὸ
ὁρατὸν εὐλόγως τὸ θεός μου εἰρῆσθαι, διὰ δὲ τὸ ἀόρατον ⟨τὸ⟩ πατήρ
μου λελέχθαι, μὴ ἀντιλεγομένης οὐδ' ὁποτέρας ποιήσεως τῷ λόγῳ.
πῶς γάρ, εἰ ἦν ἄνθρωπος, οὐκ ἐγινώσκετο; εἰ δὲ οὐκ ἦν ἄνθρωπος, 4
πῶς ἄνθρωπος ἐλέγετο; πάντως γὰρ πᾶς τις ὁ ἐξ ἀνθρώπων γε- 5
νόμενος ὑπὸ ἀνθρώπων γινώσκεται, ἀπὸ τῆς γεννησάσης ἀπὸ τῶν
συγγενῶν ἀπὸ τῶν οἰκείων ἀπὸ τῶν γειτόνων ἀπὸ τῶν συσκήνων
ἢ συμπολιτῶν. καὶ ἀδύνατον τοῦτο πληροῦσθαι εἰς ἄνθρωπον ψιλόν· 6
πληροῦται | δὲ ἐν τῷ θεῷ Λόγῳ καὶ υἱῷ θεοῦ, ἐν τῷ εἰπεῖν »ἄνθρωπός D125
ἐστιν«, ⟨ὅτι ἄνθρωπός ἐστιν⟩ ἐν ἀληθείᾳ ⟨καὶ τό⟩ »τίς δὲ γνώσεται
αὐτόν;« ὅτι θεός ἐστι· διότι συμμετέχει ἀνθρώποις καὶ θεός ἐστιν ἄγνω-
στος ἀνθρώποις διὰ τὸ ἀκατάληπτον. ἄνθρωπος δὲ ἀπὸ Μαρίας ἐν 7
ἀληθείᾳ δίχα σπέρματος ἀνδρὸς γεγεννημένος· »καὶ ἡ παρθένος, ⟨φησί⟩,
(τὸ γὰρ μέλλον πρὸ τοῦ χρόνου ἐκήρυττεν ὁ προφήτης) ἐν γαστρὶ ἕξει
καὶ [τὸ] τέξεται υἱόν«. εἰ τοίνυν παρθένος, οὐκ ἐξ ἀνδρῶν ἡ οἰκονομία 8
τῆς κυήσεως διὰ τὸ πρὸ τούτου τοῦ χρόνου εἰρῆσθαι τῷ Ἄχαζ »αἴτησαι
σεαυτῷ σημεῖον εἰς βάθος ἢ εἰς ὕψος«· ὁ δὲ ταπεινοφρονῶν »οὐ μὴ
αἰτήσω οὐδ' οὐ μὴ πειράσω κύριον τὸν θεόν μου« φησί, παραιτησά-

8 Joh. 20, 17 — **10** Jerem. 17, 9 — **10**—S. **42**, **9** vgl. Panarion h. 30, 20 u. h. 54, 4 — **23** Jes. 7, 14 — **26** Jes. 7, 11 — **28** Jes. 7, 12

L J

3 *παρήγαγεν* L **4** *τῶν*] *τοῦ* J **6** *λέξω*] lies wohl *λέξεως* u. setze hinter *δυνάμεως* ⟨*δείξομεν*⟩ ein *, *δείξω* Jül. **7** *καὶ* < L **8** ⟨*ἤδη*⟩ * | *ἔχῃ* L | † lies etwa: *ὡς ἔχει ⟨τὴν δύναμιν εἰς⟩ τὸ τὸν νοῦν ἔχοντα ⟨δύνασθαι⟩ γνῶναι* * **9** *ἀπ'* *] *ἐπ'* L J | *ἀλόγως* L **12** ⟨*τὸ*⟩ * **13** *ὁπωτέρας* L **18** *ἢ*] *καὶ* L **20** ⟨*ὅτι ἄνθρωπός ἐστιν*⟩ * | ⟨*καὶ τό*⟩ * **21** hinter *συμμετέχει* + *καὶ* J | *ἀνθρώποις**] *ἄνθρωπος* L J | *ἐστιν* < L **23** ⟨*φησί*⟩ * **24** *πρὸ* *] *ἐκ* L J | nach *προφήτης* noch einmal wiederholt *ἡ παρθένος ἐν γαστρὶ ἕξει· μέλλον γὰρ* J **25** [*τὸ*] *

μενος τὸ αἰτήσασθαι σημεῖον. εὐθὺς δὲ διὰ τὸ μὴ αἰτήσασθαι αὐτὸν 9
σημεῖον δύο χαρίζεται ὁ τὰ μεγάλα δωρούμενος ἀνθρώποις θεὸς
δῶρα, ἀπὸ ὕψους τὸν Λόγον ἰδίᾳ θελήσει καὶ αὐτοῦ τοῦ Λόγου ἰδίᾳ
θελήσει πέμψας, | ἀπὸ βάθους δὲ τὴν σάρκα εὐδοκίᾳ ἰδίᾳ σὺν αὐτῷ P38
τῷ Λόγῳ οἰκονομήσας. φησὶ γὰρ ὕστερον »καὶ καλέσουσι τὸ ὄνομα 10
αὐτοῦ Ἐμμανουήλ«. καὶ οὐκ εἶπε καλέσω, ἀλλὰ καλέσουσιν· ἀνθρώ-
ποις μὲν γὰρ ἀπεκαλύπτετο θεὸς ὁ ποτὲ παρ' αὐτοῖς ἀγνοηθείς.
ἀλλ' οὐ προσφάτως λαμβάνει τὸ ὄνομα· οὐ γὰρ εἶπε »καλέσω τὸ
ὄνομα αὐτοῦ Ἐμμανουήλ«, ἀλλὰ καλέσουσι.

33. *Τὸ δὲ »γενόμενος ἐκ γυναικός«, καθάπερ ἄνω μοι προδε-* **33, 1**
δήλωται, ἵνα ἐν τῷ ἀπὸ γυναικὸς τὸ γενόμενος ⟨σὰρξ⟩ πληρωθῇ,
ὁ δὲ Λόγος ἀίδιος πᾶσι σαφῶς ἀποφανθῇ. εἰ δὲ καὶ τὸ »οὐ διψήσει« 2
περὶ θεοῦ λόγος, περὶ δὲ υἱοῦ, ὅτι ἐπείνασε καὶ ἐδίψησεν, ἀναγκαῖον
ἡμῖν τοῦτο ᾠκονόμηται. πῶς γὰρ εὑρίσκετο ἡ οἰκονομία ἐν ἀλη-
θείᾳ οὖσα, εἰ μὴ εἶχε τὴν τῆς ἐνανθρωπήσεως χρειώδη συνήθειαν;
ἐν τούτῳ ἀπέδειξεν ἡμῖν πάντων τῶν ζητημάτων τῶν αἱρετικῶν
τὰς λύσεις. εὐθὺς γὰρ ἔλυσεν | ὑπόνοιαν Μανιχαίων· ἐν τῷ γὰρ εἰπεῖν 3 D12
ἐσθίειν καὶ πίνειν σάρκα ἀληθινὴν ὑποδείκνυσιν. ἔλυσε Λουκιανι-
στῶν τὸν τρόπον καὶ Ἀρείου τὴν δύναμιν· Λουκιανὸς γὰρ καὶ πάντες 4
Λουκιανισταὶ ἀρνοῦνται τὸν υἱὸν τοῦ θεοῦ ψυχὴν εἰληφέναι, σάρκα
δὲ μόνον φασὶν ἐσχηκέναι, ἵνα δῆθεν προσάψωσι τῷ θεῷ Λόγῳ
ἀνθρώπινον πάθος, δίψαν καὶ πεῖναν καὶ κάματον καὶ κλαυθμὸν
καὶ λύπην καὶ ταραχὴν καὶ ὅσαπερ ἐν τῇ ἐνσάρκῳ αὐτοῦ παρουσίᾳ
ἐμφέρεται. εὐηθες δ' ἂν εἴη ταῦτα εἰς τὴν θεότητα τοῦ υἱοῦ τοῦ θεοῦ
λογίζεσθαι. ἀλλά, φασί, σὰρξ καθ' ἑαυτὴν οὖσα οὔτε ἐσθίει οὔτε 5
πίνει οὔτε κάμνει οὔτε ⟨τὰ⟩ ἄλλα πράττει. καὶ αὐτὸς σύμφημι σάρκα
καθ' ἑαυτὴν μὴ ἔχειν ταῦτα. ἔσχε δὲ πᾶσαν τὴν οἰκονομίαν ἐλθὼν 6
ὁ Λόγος, καὶ σάρκα καὶ ψυχὴν καὶ ὅσαπέρ ἐστιν ἐν ἀνθρώπῳ· τῆς
δὲ ψυχῆς καὶ τῆς σαρκὸς ἦν μέρη ἡ πεῖνα καὶ ὁ κάματος, ἥ τε δίψα
καὶ ἡ λύπη καὶ τὰ ἄλλα. δακρύει μὲν γάρ, ἵνα ἐλέγξῃ τὴν πλάνην 7
Μανιχαίου, ὅτι οὐ δοκήσει ἠμφίεστο τὸ σῶμα, ἀλλ' ἀληθείᾳ· καὶ διψᾷ
δέ, ἵνα δείξῃ μὴ μόνον τὴν σάρκα ἔχειν, ἀλλὰ καὶ τὴν ψυχήν. οὐ

1 f Jes. 7,14 — **5** Jes. 7,14 — **10** Gal. 4, 4; vgl. S. 39,14 — **12** Jes. 40, 28; vgl. oben c. 31; S. 39, 31 ff — **13** Matth. 4, 2 Luk. 4, 2 — **17** vgl. Acta Archelai 8, 4; S. 12, 10 ff Beeson = Panarion h. 66, 26, 5 — **19** vgl. Panarion h. 69, 19, 7 u. ebenda 48, 1 ff

L J

6 *καὶ οὐκ*] *οὐ γὰρ* J | *καὶ οὐκ εἶπε καλέσεις* (so) a. R. v. 1. Hd. nachgetragen L **7** *ποτὲ* < J **8** *λαμβάνων* L | *καλέσαι* L **11** ⟨*σὰρξ*⟩ * **13** *λόγος*] *λέγεται*? * **14** *εὑρίσκεται* J **21** *δὲ*] *μὲν* J | *μόνην* L **26** ⟨*τὰ*⟩ gemäß Z. 30 Jül. **29** *ἡ*[1] < J

γὰρ ἡ αὐτοῦ θεότης ἐδίψησέ που, ⟨ἀλλὰ τῇ σαρκὶ⟩ καὶ τῇ ψυχῇ ἐδίψησε καὶ κεκοπίακεν ἀπὸ τῆς ὁδοιπορίας διὰ τὴν τῆς σαρκὸς καὶ ψυχῆς ἀκολουθίαν. | P39

34. Ὅτι δὲ σῶμα ἔχων καὶ ψυχὴν ἦλθεν ὁ Λόγος, πεισάτω- **34, 1**
σαν αὐτοὺς αἱ θεῖαι γραφαὶ παλαιᾶς τε καὶ καινῆς. εὐθὺς γὰρ Δαυὶδ περὶ αὐτοῦ λέγει καὶ Πέτρος τῷ Δαυὶδ συνῳδὰ *· »οὐκ ἐάσεις τὴν ψυχήν μου εἰς Ἅιδην οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν«, ἵνα τὸ σύνθετον τοῦ κυριακοῦ ἀνθρώπου νοοῖτο καὶ σαφῶς περὶ τούτου γνῶσις ἡμῖν γένηται, ἵνα συστήσῃ ψυχὴν μὲν σὺν θεότητι τῷ τριημέρῳ * συγκατατεθεῖσθαι, ἵνα τὴν σάρκα ὁσίαν ἀποδείξῃ, καὶ τὴν θεότητα σὺν τῇ ψυχῇ ἀκατασχέτως ἐν Ἅιδῃ τὸ μυστήριον τετελειωκέναι. ἔχει γάρ που καὶ ἄλλην μαρτυρίαν οὕτω **2**
λέγουσαν »ἐν | νεκροῖς ἐλεύθερος«· τὸ ἐλεύθερος τοῦ μὴ κυριεύειν D127
αὐτοῦ τὸν Ἅιδην σημαντικόν, τῇ δὲ ἰδίᾳ θελήσει ἕως Ἅιδου καταβεβηκέναι σὺν τῇ ψυχῇ. φησὶ δὲ ὁ Πέτρος »καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ«, τουτέστιν ὑπὸ τοῦ Ἅιδου. καὶ αὐτὸς **3**
δὲ ὁ σωτὴρ φησιν »ἐξουσίαν ἔχω λαβεῖν τὴν ψυχήν μου καὶ θεῖναι αὐτήν« καί »ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων« καί »ἡ ψυχή μου τετάρακται« φησί »καὶ τί εἴπω; (ὡς ἐπ' ἀμφιβόλῳ λέγων »τί εἴπω;«) πάτερ, σῶσόν με ἀπὸ τῆς ὥρας ταύτης· ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην«, ἵνα δείξῃ **4**
ὅτι ἑκοῦσα ἡ αὐτοῦ θεότης εἰς τοῦτο ἐλήλυθε· τὸ δὲ »τετάρακται«, ἵνα τὸ εἶδος τῆς ἀληθείας τῆς ἐνσάρκου αὐτοῦ παρουσίας μὴ παρα⟨χαρα⟩χθῇ. οὐ γὰρ δοκήσει ἦν ἡ ἔνσαρκος παρουσία, ἀλλὰ δίκην βασι- **5**
λέως μεγάλου πόλεμον ἔχοντος πρὸς ὑποδεέστερον καὶ γινώσκοντος ὅτι ὁ ἐχθρὸς αὐτοῦ, εἴπερ ἴδῃ αὐτὸν ἐν δυνάμει ἐρχόμενον καὶ ἰσχύϊ πολλῇ, παραιτήσεται καὶ τραπήσεται πρὸς φυγὴν καὶ πολλὰς χώρας

4 ff vgl. zur Deutung der folgenden Bibelstellen Panarion h. 69, 66 — **6—8** Psal. 15, 10 Act. 2, 27 — **13** Psal. 87, 6 — **15** Act. 2, 24 — **17** Joh. 10, 18 — **18** Joh. 10, 11. 15 — **19—21** Joh. 12, 27

L J **16**—S. **44, 18** Siegel des Glaubens S. 308 Karapet (= arm.)

1 ⟨ἀλλὰ τῇ σαρκὶ⟩ * **2** τῆς[2] < J **4** ἦλθεν + ἔχων L **6** περὶ αὐτοῦ Δᾶδ L | τῷ < J | * etwa ⟨προφέρει⟩ *; συνῳδᾷ ist unmöglich, da Epiphanius dieses Wort nicht kennt **10** * etwa ⟨μετὰ τῆς σαρκὸς⟩ * **13** ἐλεύθερος[2] *] ἐλεύθερον L J **17** λαβεῖν u. θεῖναι vertauscht arm. **18** ψυχὴν] *meine Seele* arm. **20** λέγων τί] λέγοντι J **24** παρα⟨χαρα⟩χθῇ *] ταραχθῇ J παραχθῇ L *nicht mangelhaft erscheinen möge* arm. **26 f** ὁ ἐχθρὸς αὐτοῦ — ἰσχύϊ πολλῇ] *jener* arm. **27** τραπῇ L | vor πολλὰς + *nach der Flucht* arm.

τῶν ὑποχειρίων ἀφανίσει, καὶ διὰ τοῦτο σχηματιζομένου τῇ ἰδίᾳ σοφίᾳ προφάσεις καὶ νῶτα διδόντος καὶ ἀποδιδράσκοντος, ἕως ὁ ἐχθρὸς λαβὼν θάρσος κατεπιθῆται ὡς δειλοῦ καὶ ἀδυνάτου τοῦ βασιλέως καὶ διώξῃ αὐτόν, ὁ δὲ βασιλεὺς στραφεὶς αἰφνιδίως μετὰ τῆς αὐτοῦ δυνάμεως ὅλον ὑποχείριον δέξηται τὸν ἀσθενῆ καὶ ὑπεναντίον, οὕτως καὶ ὁ κύριος ἡμῶν οὐκ ἐφοβήθη τὸν θάνατον, ὁ 6 πρὸ τοῦ ἐλθεῖν αὐτὸν εἰς τὸ παθεῖν σημάνας ἐν τῇ ὁδοιπορίᾳ ὅτι μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι καὶ σταυρωθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι καὶ τοῦ Πέτρου λέγοντος | »ἵλεώς σοι, κύριε· P40 οὐ μὴ ἔσται σοι τοῦτο« ἐπιτιμήσας, »ὕπαγε ὀπίσω μου, σατανᾶ« εἰπών »ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων«. ὁ οὖν 7 ταῦτα προλέγων καὶ διὰ τοῦτο αὐτὸ ἥκων πῶς | ὕστερον εὔχεται D128 παρελθεῖν τὸ ποτήριον, ἵνα μὴ πίῃ; ὁ εἰπὼν πρὸ τοῦ θανεῖν περὶ τοῦ θανάτου κἂν διὰ τὸ μὴ ὑποληφθῆναι ψεύστην αὐτὸν οὐκ ἠδύνατο εὔξασθαι παρελθεῖν τὸ ποτήριον· ἀλλὰ προκαλεῖται διὰ 8 τοῦ τοιούτου προσώπου τὸν ἀντίδικον, ἵνα ἐκείνου ὑπολαβόντος δεδιέναι τὸν σωτῆρα τὸν θάνατον ἐπαγάγῃ αὐτῷ τὸν θάνατον εἰς σωτηρίαν τοῖς θνῄσκουσι διὰ τῆς οἰκονομίας. ἀλλὰ κἂν ἀκούσῃς ὅτι 9 τέθνηκεν ὁ κύριος, γνῶθι τὸ πάθος τοῦ θανάτου ποῦ πεπλήρωται. ἑρμηνεύει γάρ σοι ὁ κορυφαιότατος τῶν ἀποστόλων Πέτρος τὴν περὶ τοῦ θανάτου αὐτοῦ ὑπόθεσιν λέγων »θανατωθεὶς σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι«. ἡ γὰρ αὐτοῦ θεότης ἀναδεξαμένη τὸ ἐν σαρκὶ παθεῖν ἀπαθής ἐστι καὶ ἀπαθὴς ἦν καὶ ἀπαθὴς διέμεινε, μὴ τραπείσης τῆς ἀπαθείας μηδὲ ἀλλοιωθείσης τῆς ἀιδιότητος.

35. Πάλιν τε ἐὰν εἴπωσιν οἱ κενόδοξοι· οὐκ ἀπὸ τῶν τοιούτων 35, 1 ῥημάτων δύνασαι ἡμᾶς πεῖσαι τὸν Χριστὸν ψυχὴν ἐσχηκέναι. εὑρήκαμεν γὰρ ἄνω ἐν ταῖς θείαις γραφαῖς, ὥς φησιν Ἡσαΐας ἀπὸ προσώπου

7—11 vgl. Matth. 16, 21—23 — 12f Matth. 26, 39 Mark. 14, 36 Luk. 22, 42 — 21 I Petr. 3, 18 — 25—S. 46, 21 vgl. Panarion h. 69, 50f

L J arm. (bis Z. 18)

1 ἀφανίσει J 2 διδοῦντος L διδότος J 3 ὁ ἐχθρὸς] *jener* arm. 3f κατεπιθῆται — τοῦ βασιλέως] *vermutend, daß der große König aus Furcht sich nur Flucht gewandt habe* arm. 3 κατεπόθηται J 4 διώξῃ*] διώξει L J 5 δέξηται*] δέξεται L J 7 εἰς τὸ πάθος?* 11f ὁ οὖν — αὐτὸ ἥκων < arm. 13f πρὸ τοῦ — θανάτου] *vor der Stunde des Todes* arm. 16 προσώπου] τρόπου J arm. 17 τὸν (vor θάνατον²) < J 17f εἰς σωτηρίαν — οἰκονομίας] *daß aus seinem Tode Erlösung werde u. Unsterblichkeit* arm. 22 τὸ ἐν] τοῦτον L 24 ἀλλοιωθείσης] ἀχρειωθείσης L 27 γὰρ < L

τοῦ θεοῦ καὶ πατρὸς περὶ τοῦ μονογενοῦς »οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, εἰς ὃν ἐγὼ εὐδόκησα, ὃν ἠγάπησεν ἡ ψυχή μου«. τί 2
νοήσομεν περὶ πατρός, ψυχὴν εἰληφέναι ἐν ἑαυτῷ ἢ ψυχὴν ἔχειν;
τίς δὲ ληρῶν τοῦτο νοήσει περὶ τοῦ πατρός; τί οὖν φασι; τροπικώ-
τερον εἰρῆσθαι τὸ ῥῆμα δηλονότι. εἰ τοίνυν περὶ πατρὸς τροπικώ- 3
τερον εἰρῆσθαι λέγουσιν, ἄρα καὶ περὶ υἱοῦ τὸ αὐτὸ λαμβάνειν χρή.
κἄν τε γὰρ εἴπῃ ὅτι »ἡ ψυχή μου τετάρακται« καὶ »⟨ἐξουσίαν ἔχω⟩
τὴν ψυχήν μου δοῦναι καὶ λαβεῖν αὐτήν«, οὐκ εἶχε, φασί, ψυχήν,
ἀλλὰ τροπικώτερον εἴρηται. καὶ δοκεῖ τὸ συλλογιστικὸν αὐτῶν 4
φρόνημα λέγειν τι, * τῆς ἀληθείας αὐτοσυστάτου οὔσης ἐκ πολλῶν
τεκμηρίων. ἀπὸ γὰρ τοῦ εἴδους λαμβάνεται ἕκαστος τρόπος. ἐπὶ
μὲν γὰρ τῷ πατρὶ οὐ τολμητέον ἐστίν, διότι οὐδὲ | σάρκα ἐφόρεσεν. D129
ὁμολογουμένης δὲ τῆς σαρκὸς παρὰ τοῖς Λουκιανισταῖς εἴτουν
Ἀρειανοῖς, οὐκ ἔνι ἀμφιβολία. ἀλλά, φησίν· »ὁ Λόγος σὰρξ ἐγένετο«, 5
| καὶ οὐκ εἶπεν »ὁ Λόγος σὰρξ καὶ ψυχὴ ἐγένετο«. πρὸς δὲ τὴν P41
αὐτῶν ἀμαθῆ οὖσαν ἀντιλογίαν κἀγὼ λέγω ὅτι »ἔπλασεν ὁ θεὸς
τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς«, ἀπὸ δὲ τοῦ ἔπλασε τὰ
πάντα συμπεριείληφε καὶ ἀπὸ τοῦ »ὁ Λόγος σὰρξ ἐγένετο« τὰ πάντα
περιέχει. κατὰ γὰρ τὸν αὐτὸν λόγον ἀνθυποφέρομεν αὐτοῖς καὶ 6
αὐτοὶ λέγοντες· ἰδοὺ λέγει »ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον«, καὶ
οὐκ εἶπεν· ἐποίησεν αὐτῷ ἧπαρ ἢ πνεύμονα ἢ καρδίαν ἢ φλέβας ἢ
νεῦρα ἢ τὰ ἄλλα ὅσαπέρ ἐστιν ἐν τῷ σώματι. παρὰ τοῦτο νοήσομεν
ἔν τι εἶναι ὁλοσφύρητον τὸν ἄνθρωπον, διὰ τὸ μὴ λεπτομερῶς τὴν
σύνθεσιν τοῦ παντὸς ζῴου τὴν γραφὴν λεπτολογῆσαι; οὐ πάντως.
ὡς γοῦν ἀπὸ τοῦ ἑνὸς εἴδους τὰ ὅλα συμπεριείληφεν, οὕτω καὶ ἀπὸ
τῆς σαρκὸς τὴν ψυχὴν εἰληφέναι τὸν σωτῆρα εὖ ἐστι δῆλον.

36. Εἰ τοίνυν ψυχὴν εἴληφε καὶ σῶμα, καθάπερ ἀποδέδεικται, **36**, 1
ἄρα οὐχ ἡ θεότης ἦν ἠλαττωμένη τῆς τοῦ πατρὸς οὐσίας, εἴσω
παθῶν περιεχομένη, ὅπως διψήσῃ καὶ κοπιάσῃ καὶ πεινάσῃ καὶ
ὅσαπερ τῷ ἀνθρώπῳ εἰσὶ χρειώδη. καὶ ὅτι ⟨ὁ θεὸς⟩ »οὐ κοπιάσει 2
οὐδ' ἔστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ«, κεκοπιακὼς δὲ ὁ σωτὴρ

1 f Jes. 42, 1 (verbunden mit Matth. 3, 17) — **7** Joh. 12, 27 — Joh. 10, 18 — **14** Joh. 1, 14 — **16** Gen. 2, 7 — **30 f** Jes. 40, 28

L J

2 ηὐδόκησα J **4** περὶ τοῦ πατρός *] περὶ τὸν πατέρα L J **7** ⟨ἐξουσίαν ἔχω⟩ Ausgg. **8** μου < L **9** αὐτῶν *] αὐτοῦ L J **10** * etwa ⟨ἀλλ' οὐ πείσουσιν ἡμᾶς⟩ * **12** τολμητέον ἐστὶν sc. εἰπεῖν ὅτι ψυχὴν ἔχει * **13** περὶ J | εἴτουν Pet.] εἰ τοίνυν L J **19** αὐτῶν L **22** παρὰ τοῦτο + ⟨οὖν⟩? * **26** τὴν] τὸ? * | εὖ ἐστι] ἔνεστι J; lies wohl ἔστιν εὔδηλον * **30** ⟨ὁ θεὸς⟩ *

εὑρίσκεται, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τῆς τοῦ πατρὸς οὐσίας ἄνωθεν κατελθὼν ὁ Λόγος. οὐ γὰρ ἄνω κεκοπίακεν, ἀλλ' ἐν σαρκί. ἔδει γὰρ τὴν σάρκα κοπιάσαι, ἵνα μὴ δοκήσει νομίζηται, ἀλλ' ἀληθείᾳ· καὶ τὰ ἄλλα ὅσαπερ τοιαύτην ἔχει δύναμιν, τὸ νυστάξαι τὸ ὑπνῶσαι, 3
ἀνθρώπου ἐστὶν ὑποφαντικὰ καὶ τὸ ὑπὸ ἀφὴν *. ἔλαβε γὰρ ταῦτα καὶ ἄνθρωπος εὑρέθη. »εὑρήκαμεν, γάρ ⟨φησιν⟩, Μεσσίαν, ὃν ἔγραψε Μωυσῆς«. οἱ δὲ εὑρόντες αὐτὸν * διὰ τῆς ἀκαταλήπτου φύσεως, * τουτέστι τῆς ἐνσάρκου. ἐπειδὴ γὰρ ἐπὶ τῇ ἀκαταληψίᾳ οὐχ ηὑρίσκετο, διὰ D130
τοῦτο ὑπὸ γραμματέων συλλαμβάνεται καὶ »τὸν νῶτον αὐτοῦ ἔδωκεν εἰς μάστιγας καὶ τὸ πρόσωπον αὐτοῦ οὐκ ἀπέ⟨σ⟩τρεψεν ἀπὸ αἰσχύνης ἐμπτυσμάτων«, ἔκλαυσε καὶ ὅσαπερ ἄλλα περὶ αὐτοῦ ᾄδεται. τίς 5
δὲ ἠδύνατο τὸν θεὸν Λόγον ἐν οὐρανῷ μαστίζειν ἢ ῥαπίζειν ἢ καταπτύειν τοῦ τοιούτου ἀφράστου καὶ ἀκαταλήπτου; εἰ δὲ ταῦτα πέπονθεν ὁ ἀπαθὴς τοῦ θεοῦ Λόγος, ἄρα τὸ πά|θος σωματικόν ἐστιν, P42
ἐκτὸς τῆς αὐτοῦ ἀπαθείας καὶ οὐκ ἐκτὸς πάλιν διὰ τὸ εὐδοκῆσαι· καίτοι γε μὴ πάσχοντος αὐτοῦ εἰς ἑαυτὸν τὸ πάθος λελόγισται. καὶ 6
καθάπερ ἐν ἱματίῳ σπῖλος τὸ σῶμα τοῦ φοροῦντος οὐ φθάνει, ὁ δὲ σπῖλος τοῦ ἱματίου εἰς τὸν φοροῦντα λογίζεται, οὕτως ὁ θεὸς πέπονθεν ἐν τῇ σαρκί, τῆς θεότητος αὐτοῦ μηδὲν παθούσης. εἰς δὲ
τὴν θεότητα τὸ πάθος τῆς σαρκὸς ὑπὸ τῆς θεότητος φορουμένης ἐλογίσθη, ἵνα ἐν τῇ θεότητι ἡμῖν ἡ σωτηρία γένηται.

37. *Μέμνημαι δὲ τοῦ ῥητοῦ τοῦ κατὰ Λουκᾶν εὐαγγελίου καὶ οὐ* 37, 1
βούλομαι αὐτὸ ἐᾶσαι ἀνερμήνευτον, τὸ γεγραμμένον ὅτι »γενόμενος ἐν ἀγωνίᾳ ἵδρωσε καὶ ἐγένετο αὐτῷ ὁ ἱδρὼς ὡς θρόμβοι αἵματος. ὤφθη δὲ ἄγγελος κυρίου ἐνισχύων αὐτόν«. *τὰ βαθύτερα δὲ τῶν* 2
*λόγων ὡς εἰώθαμεν λέγειν καὶ τὰ ἀναγκαῖα οἱ μὴ τὴν δύναμιν νοοῦντες, ἀντὶ ἀγαθῶν τῇ κακίᾳ * ἀνατρέπουσιν ἑαυτούς· οὐδὲν γὰρ τούτου καιριώτερον. ἐν τῷ γὰρ εἰπεῖν* »γέγονεν ἐν ἀγωνίᾳ« 3
τὸν κυριακὸν ἄνθρωπον ἀληθινὸν ἄνθρωπον ὄντα δείκνυσι. καὶ ἵνα δείξῃ ὅτι ἀληθινὸς ἦν ἄνθρωπος καὶ οὐκ ἀπὸ τῆς θεότητος ἡ ἀγωνία γέγονε, φησίν »ἵδρωσε καὶ ἐγένετο αὐτῷ ὁ ἱδρὼς ὡς θρόμβοι

6 Joh. 1, 41. 45 — **9—11** Jes. 50, 6 — **17—21** vgl. unten c. 93, 5 u. Panarion h. 77, 33 — **22**—S. **47**, **22** vgl. Panarion h. 69, 61f — **23—25** Luk. 22, 44

L J

1 *οὐ* < L **5** *ἀνθρώπου*] *καὶ νοῦ* L | * ergänze nach S. 40, 7ff etwa *⟨πίπτειν καὶ συλλαμβάνεσθαι καὶ κλαίειν ὡσαύτως⟩* * **6** *⟨φησιν⟩* * **7** * *⟨οὐχ εὗρον αὐτὸν⟩* * | * *⟨ἀλλὰ διὰ τῆς καταληπτικῆς⟩* * **14** *Λόγος* + *⟨σὰρξ γενόμενος δι' ἡμᾶς⟩*? * **17** *φρουροῦντος* L **23f** *ἐν ἀγωνίᾳ γενόμενος* J **27** * etwa *⟨προσεδρεύοντες παρατρέπουσιν· ἀγνοοῦντες δὲ⟩* * **31** *ὁ* < J

αἵματος«. σωματικόν ἐστι τὸ εἶδος καὶ οὐχὶ πνευματικόν. »ὤφθη 4
δὲ ἄγγελος κυρίου ἐνισχύων αὐτόν«, οὐχ ὅτι τῆς ἰσχύος τοῦ ἀγγέλου
ἐπεδέετο ὁ μείζων ἀγγέλων, »ᾧ κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ
ἐπιγείων | καὶ καταχθονίων«, θεῷ ὄντι ἀεὶ Λόγῳ καὶ πρὸς τῷ πατρὶ D131
ὄντι ἀεὶ καὶ ἐξ αὐτοῦ γεγεννημένῳ, ἀλλ' ἵνα πληρώσῃ τὸ ἐν τῇ
ᾠδῇ τῇ μεγάλῃ Μωυσέως ἐν τῇ ἐρήμῳ ᾀσθείσῃ, ἐν ᾗ ἔλεγε »προσκυ-
νήσουσιν αὐτῷ πάντες υἱοὶ θεοῦ, καὶ ἐνισχυσάτωσαν αὐτὸν ἄγγελοι
θεοῦ«. τό »ἐνισχυσάτωσαν αὐτόν«, οὐχ ὡς παρέχοντες αὐτῷ ἰσχύν· 5
ἀλλ' ἐπειδὴ ἴσχυεν ἡ δοξολογία ἐν τούτοις δοξάζειν τὸν θεόν, [ὑπὸ]
ἀγγέλων μὲν εὐθὺς ἄνω καὶ πνευματικῶν ζῴων βοώντων καὶ
λεγόντων »σή ἐστιν ἡ δύναμις, σόν ἐστι τὸ κράτος, σή ἐστιν ἡ
ἰσχύς«, ἐν τούτῳ δείκνυσι τὸ προσκυνεῖν καὶ ἐνισχύειν, τουτέστι
διδόναι αὐτῷ τὸ ἴδιον τῆς ἰσχύος κράτος, ὡς καὶ ὁ ἄγγελος ὤφθη
ἐνώπιον τῶν μα|θητῶν προσκυνῶν τὸν αὐτοῦ δεσπότην· μὴ ἀγνοῶν 6 P43
τὴν ὑπερβολὴν τῆς αὐτοῦ φιλανθρώπου οἰκονομίας, θαυμάζων δὲ
τὴν τοσαύτην ἐν αὐτῷ γεγενημένην πραότητος πραγματείαν, τὴν
τὸν διάβολον ἠττήσασαν, τὴν τὸ κέντρον τοῦ θανάτου συντρίψασαν,
τὴν τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας θριαμβεύσασαν, τὴν τὴν ἁμαρτίαν
θραύσασαν. καὶ διὰ τὴν ὑπερβολὴν τῆς θαυμασιότητος ἐν τῇ δοξο- 7
λογίᾳ ὁ ἄγγελος ἔλεγε προσκυνῶν· σή ἐστιν ἡ ἰσχύς, δέσποτα· σὺ γὰρ
ἴσχυσας κατὰ θανάτου καὶ κατὰ Ἅιδου καὶ κατὰ διαβόλου, συντρῖψαι
τὸ κέντρον αὐτοῦ καὶ ἐκβαλεῖν ἀπὸ τῆς ἀνθρωπότητος.

38. Ἐὰν δὲ πάλιν εἴπῃ »ποῦ τεθείκατε Λάζαρον;« ἀνθρωπο- 38, 1
παθῶς ⟨λέγων⟩ καὶ περὶ τῆς αἱμορροούσης »τίς μου ἥψατο;« ἢ »τίνα
ζητεῖτε;« ἢ »τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀν-
θρώπου;« ἢ »τὸ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο« ἢ »προέκοπτεν
ἡλικίᾳ καὶ σοφίᾳ« ἢ »πρὸ τοῦ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ
μητέρα«, οὐχ ὁρᾷς ἀπ' αὐτῆς τῆς ὑποθέσεως τὸ ὑπερβάλλον τῆς
γνώσεως, ὅτι ἐκ σαρκὸς καὶ ἀνθρωπότητος τὰ διηγήματα; ὅσα γὰρ 2
ἐν τῇ παλαιᾷ διαθήκῃ ἀπὸ προσώπου τοῦ θεοῦ καὶ πατρὸς ὑπο-

1 f Luk. 22, 43 — **3 f** Phil. 2, 10 — **5 ff** erwähnt bei Leontius c. Nest. et Eutych. III 37; Migne PG 86, 1, 1376 A — **6** Deut. 32, 43 — **11** vgl. Apok. Joh. 5, 12 u. 13 — **17** vgl. I Kor. 15, 55 — **18** vgl. Kol. 2, 15 — **23**—S. **48**, **27** vgl. Ancoratus c. 108f — **23** Joh. 11, 34 — **24** Mark. 5, 30 Luk. 8, 45 — **24 f** Joh. 18, 4—25 — **25** Matth. 16, 13 — **26** Luk. 2, 40 — Luk. 2, 52 — **27** Jes. 8, 4

L J **23**—S. **48**, **11** Siegel des Glaubens S. 265 Karapet (= arm.)

5 *ἀεὶ ὄντι* J **6** *ᾀσθείσῃ*] *οὐ σθείσῃ* J **8** [*τό*]? * | *ὡς* *] *ὅτι* L J **9** [*ὑπὸ*] * **12** *δείκνυσι* *] *δεικνύουσι* L J | *τὸ* * (vor *προσκυνεῖν*)] *τῷ* L J **13** *ὡς*] *ὅτι*? * *οὕτως* Klosterm. **16** *γενομένην* J **24** ⟨*λέγων*⟩ * **27** *καλεῖν* < arm.

κατερχόμενά εἰσιν εἰς πειθὼ | τῶν ἀνθρώπων, ἀγνωσίας ἐχόμενα, D132
οὐκ ὄντα δὲ ἄγνωστα τῷ θεῷ, ταῦτα ἐλθὼν ὁ Λόγος πεπλήρωκεν, •
ἵνα πληρώσῃ τὸ εἰρημένον »ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ
ἐργάζομαι«. »ποῦ τεθείκατε τὸν Λάζαρον;« ἠρώτα ἐγγὺς τοῦ τόπου 3
γενόμενος· πρὸ δὲ τοῦ ἐλθεῖν εἰς τὸν τόπον ὑπὸ μηδενὸς ἀκούσας
ἔλεγε τοῖς μαθηταῖς αὐτοῦ »Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται«. ὁ
τοίνυν ἀπὸ τοσούτων τῆς ὁδοιπορίας διεστὼς τοῦ τόπου γνοὺς ὅτι
τέθνηκε Λάζαρος, παρὼν ἐν τῷ τόπῳ ἠγνόει; οὔκουν, ἀλλ' ἤθελε 4
δεῖξαι ὅτι ταῦτα πάντα ἐποίει, ἐπεὶ οὔπω οὐδεὶς τελείως αὐτῷ
ἐπίστευεν, ἵνα ἐνδείξηται τῆς αὐτοῦ πρὸς ἡμᾶς φειδοῦς τὴν πολλὴν
φιλανθρωπίαν. ἔδει γὰρ ἐκείνας μὴ εἰπεῖν »τεταρταῖός ἐστιν, ἤδη 5
ὄζει« μηδὲ ἀπελθεῖν καὶ δεῖξαι, ἀλλ' εἰπεῖν· πάντα οἶδας καὶ ἐὰν
θέλῃς, ζήσεται. διόπερ καὶ ἐδάκρυσεν ἐπὶ τῇ τῶν ἀνθρώπων πωρώσει.
οὐκ ἀγνοῶν τοίνυν ἠρώτα, ἀλλ' ἐλέγχει πειράζων καὶ φιλανθρω-
πεύεται. καί »τίς μου ἥψατο;« φησίν, οὐχ ὅτι οὐκ ᾔδει τίς | αὐτοῦ 6 P44
ἥψατο, ἀλλ' ἵνα μὴ εἴπῃ δι' ἑαυτοῦ τὸ γενόμενον θαῦμα, ἀλλ' ὅπως
ἐκείνη ἀκούσασα προσελθοῦσα εἴπῃ τὴν εἰς αὐτὴν γενομένην χάριν
καὶ ὁμολογήσασα ἀκούσῃ· »ἡ πίστις σου σέσωκέ σε«, ὅπως προτρέψη-
ται καὶ ἄλλους πιστεύειν, ἵνα ἰαθῶσι. »τίνα με« φησί »λέγουσιν 7
εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου;« ὡς καὶ ἐν τῇ παλαιᾷ ἀπὸ προσώπου
τοῦ πατρὸς λέγει »Ἀδάμ, ποῦ εἶ;« ᾔδει δὲ αὐτὸν ποῦ ἐστιν· διὸ καὶ
ἐλέγχει αὐτὸν μετέπειτα λέγων »ἐκ τοῦ ξύλου ἔφαγες«. καὶ τῷ Κάϊν 8
»ποῦ Ἄβελ ὁ ἀδελφός σου;« καὶ οὐκ ἀγνοῶν ἠρώτα. λέγει γὰρ
»ἐπικατάρατος σὺ ἐπὶ τῆς γῆς, ἣ ἔχανε δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ
σου ἐκ τῆς χειρός σου. ἰδοὺ γὰρ τὸ αἷμα αὐτοῦ βοᾷ πρός με«. οὐκ
ἠγνόει τοίνυν ὁ λέγων ὅτι τὸ αἷμα βοᾷ, ἀλλ' ὅπως δῷ αὐτῷ τόπον
μετανοίας εἰς ἀπολογίαν, διὰ τοῦτο ἠρώτα. | D133

3 Joh. 5, 17 — **4** Joh. 11, 34 — **6** Joh. 11, 11 — **11** Joh. 11, 39 — **13** vgl. Joh. 11, 35 — **15** Mark. 5, 30 Luk. 8, 45 — **18** Mark. 5, 34 Luk. 8, 48 — **19** Matth. 16, 13 — **21** Gen. 3, 9 — **22** Gen. 3, 11—23 — **23** Gen. 4, 9 — **24f** Gen. 4, 11 — **26f** vgl. Hebr. 12, 17

L J arm. (bis Z. 11 *φιλανθρωπίαν*; zwischen *ἐργάζομαι* u. *ποῦ τεθείκατε* Z. 4 ist ein Stück aus Ancoratus c. 108, 3f eingeschoben)

3 *ἕως ἄρτι* < arm. **4** vor *ποῦ* + *denn der, welcher sagte zu den Martha-leuten* (*τοῖς περὶ τὴν Μάρθαν*) arm. | vor *ἠρώτα* + *war nahe beim Grabe* arm. **5—6** *πρὸ δὲ τοῦ ἐλθεῖν — κεκοίμηται* < arm. **6** *ὑμῶν* L **7** *ἀπὸ τοσούτων — τοῦ τόπου*] *aus der Gegend der Galiläer aus der Ferne* arm. | vor *γνοὺς* + *aus sich selbst* arm. **8** *οὔκουν* < arm. **9** *ἐπεὶ* *] *καὶ* L J **10** *ἐνδείξηται* + *ἡμῖν* arm. **17** *εἶποι* J **26** *δοὺς* J

39. *Στρέφονται δὲ πάλιν εἰς τὴν τῆς ἀμαθίας φιλονεικίαν καί* **39, 1**
φασιν αὐτοῦ τοῦ υἱοῦ εἶναι ταύτας τὰς φωνὰς ἐν τῇ παλαιᾷ. εὐθὺς
δὲ ἐλέγχεται αὐτῶν τὸ ἐπιτήδευμα. ὁ γὰρ εἰπὼν τῷ Μωυσῇ »τί
τοῦτο τὸ ἐν τῇ χειρί σου;« αὐτὸς ἔλεγεν »ἐγώ εἰμι ὁ ὤν«. καί φη- **2**
σιν ὁ κύριος τοῖς Σαδδουκαίοις περὶ ἀναστάσεως διηγούμενος »ὅτι
δὲ ἐγείρονται οἱ νεκροί, εἶπεν ὁ θεός· ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς
Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ. θεὸς οὖν ἐστι ζώντων καὶ οὐ νεκρῶν«.
καὶ πάλιν πολλὰ ἔστι δεῖξαι ὅτι ἐκ προσώπου τοῦ πατρός ἐστιν ἐν **3**
τῇ παλαιᾷ διαθήκῃ εἰρημένα· ἀλλὰ καὶ ἐκ προσώπου τοῦ υἱοῦ πολ-
λάκις καὶ ἐκ προσώπου πάλιν τοῦ ἁγίου πνεύματος. καί »ποῦ Σάρρα **4**
ἡ γυνή σου;« τῷ Ἀβραὰμ ἔλεγεν ὁ ἐλθὼν ἄνωθεν σὺν τοῖς δυσὶν
ἀγγέλοις υἱὸς θεοῦ. εἰ γὰρ ἠγνόει ποῦ ἐστιν, οὐκ ἂν ἔλεγεν »Σάρρα«.
** »ἐγέλασεν οὖν ἡ Σάρρα ἔνδον οὖσα« βούλεται αὐτῆς ὑποδεῖξαι τὴν* **5**
σεμνότητα ὑπογραμμὸν τῶν θελουσῶν εὐσεβεῖν ἐν ἀληθείᾳ, ἵν' ὅτε
ὑποδέχονται ξένους ἐξ ἰδίων καμάτων ὑπηρετῶσι μέν, διὰ δὲ τὴν
σεμνότητα τὸ πρόσωπον αὐτῶν τοῖς ἀνδράσι μὴ ὑποδεικνύωσιν.
ἐκείνη γὰρ ἡ μακαρία πάντως ἐξήρτυσε καὶ ἐξαρτύσασα εἰς πρόσωπον **6**
ἀγγέλων οὐκ ὤφθη, σεμνότητος ὑπογραμμὸν ὑποβάλλουσα ταῖς μετὰ
ταῦτα γενεαῖς. ἀλλὰ καὶ ἵνα δείξῃ ὁ παρὼν τίς ἐστιν, ⟨τὸ⟩ ὄνομα
*τῆς γυναικὸς ἐκάλει ὁ ἐπιξε|νωθεὶς πρὸς τὴν ὥραν, * ὅτι οὔτε τὸ* P45
ὄνομα αὐτὸν λέληθεν οὔτε πλάσμα οὔτε διανόημα ἀνθρώπου. **7**
»τίνα με« φησί »λέγουσιν εἶναι οἱ ἄνθρωποι τὸν υἱὸν τοῦ ἀνθρώπου;«
καὶ τὸν μὲν υἱὸν τοῦ ἀνθρώπου αὐτὸς φράζει ὁμολογῶν, ἵνα μὴ
νομίσωσι περὶ τοῦ ἀοράτου αὐτὸν ἐρωτᾶν. οἱ δέ φασιν Ἠλίαν καὶ
Ἱερεμίαν καὶ Ἰωάννην. »ὑμεῖς δὲ τίνα με λέγετε;«· »σὺ εἶ ὁ Χριστὸς **8**
ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος« φησὶ καὶ εὐθὺς μακαρίζεται. οὐ γὰρ D134
ἀγνοῶν ἠρώτα, ἀλλὰ δεῖξαι βουλόμενος ὅτι | πατρός ἐστιν ἡ διδαχὴ
ἡ τὸν υἱὸν τῇ ἐκκλησίᾳ ἀληθινὸν ⟨θεὸν⟩ κηρύττουσα, ἵνα ἀναγκασθῇ
ὁ Πέτρος λέγειν ἃ παρὰ τοῦ πατρὸς ἐδιδάχθη.

3 Exod. 4, 2 — **4** Exod. 3, 14 — **5** Mark. 12, 26 Luk. 20, 37 — **10** Gen. 18, 9 — **13** vgl. Gen. 18, 12 — **21** Matth. 16, 13 — **24** Matth. 16, 14 — **25** Matth. 16, 15f

L J

1 *ἀμαθείας* J **2** *φησὶν* L **12** *υἱὸς* Pet.] *υἱοῖς* L J | *Σάρρα* < J; zum Sinn vgl. Z. 19 **13** * (Lücke von Pet. angezeigt, jedoch hinter *οὖσα* vermutet) etwa *⟨ἐν δὲ τῷ εἰπεῖν⟩* * | *ἀποδεῖξαι* L **15** *ὑποδέχωνται* L **18** *ὑπολαμβάνουσα* L **19** *⟨τὸ⟩* * **20** * *⟨δεικνύς⟩* * **21** *αὐτῆς* J **26** *φησὶ* + *⟨ὁ Πέτρος⟩*? Jül. | *μακαρίζεται* *] *μακαρίζει* L J **27** *διαδοχὴ* L **28** *⟨θεὸν⟩* * **29** *ἃ*] *καὶ* L

40. *Καὶ μὴ θαυμάσῃς ἐὰν εἴπῃ ὅτι »δι᾽ ἐμοῦ εἰσέρχονται πρὸς* **40, 1**
τὸν πατέρα« καὶ ἠλλοιωμένον τῆς τοῦ πατρὸς οὐσίας ὑπολάβῃς.
αὐτὸς γὰρ πάλιν διδάσκει »οὐδεὶς ἔρχεται πρός με, ἐὰν μὴ ὁ πατὴρ
αὐτὸν ἑλκύσῃ«. ὡς γοῦν ὁ πατὴρ πέμπει πρὸς τὸν υἱόν, καὶ ὁ υἱὸς
εἰσφέρει πρὸς τὸν πατέρα, ἵνα δείξῃ μίαν καὶ τὴν αὐτὴν εἶναι θεό-
τητα. τὸ δέ »προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ«, εἰ σοφία ἐστὶ τοῦ θεοῦ, **2**
οὐκ ἐνδέεται σοφίας. ἀλλ᾽ ἐπειδὴ ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου
*λαβών, οὐ τὸ πλήρωμα * ἠλαττώθη· * ἀλλ᾽ ἵνα δείξῃ ἀπ᾽ οὐρανοῦ*
μετακενωθέντα εἰς ἀνθρωπότητα τουτέστιν εἰς ἐργαστήριον Μαρίας.
»μύρον γὰρ ἐκκενωθὲν ὄνομά σοι«, φησίν· οὐκ εἶπεν ἐκχυθέν, ἀλλ᾽ **3**
ἐκκενωθὲν ἀπ᾽ οὐρανοῦ εἰς γῆν, ἵνα ἀπὸ γῆς εἰς Μαρίαν ⟨ἐκκενωθῇ⟩.
καὶ ἀπὸ Μαρίας σὰρξ γενόμενος κνίσκεται, εἰς Βηθλεὲμ γεννᾶται, ἀπὸ
Βηθλεὲμ εἰς Ναζαρὲτ μεταβαίνει, ἀπὸ Ναζαρὲτ εἰς Καπερναούμ, ἀπὸ
Καπερναοὺμ εἰς Ἱερουσαλὴμ καὶ θάλασσαν ἐν τῷ βαδίζειν αὐτὸν
ἐπὶ τῶν ὑδάτων καὶ τὰ μέρη Τύρου καὶ Ναΐν καὶ τὴν Ἰουδαίαν καὶ
Ἱεριχὼ καὶ εἰς Βηθφαγὴ καὶ Βηθανίαν, εἰς Ἱερουσαλήμ τε τὸν ναὸν
καὶ τὸ ὄρος τῶν ἐλαιῶν καὶ Γεθσημανῆ, εἰς οἶκον Καϊάφα εἰς τὸ
πραιτώριον καὶ πρὸς Ἡρῴδην, εἰς τόπον Γολγοθᾶ εἰς τὸ μνῆμα καὶ
ἕως τοῦ Ἅιδου, εἰς γῆν μετὰ τὴν ἀνάστασιν καὶ εἰς οὐρανούς. μύρον **4**
γὰρ ἐκκενωθὲν ἀπὸ ἄγγους εἰς ἄγγος πάντα τὰ ἄγγη μυρίζει καὶ
Χριστοῦ ἡ παρουσία ἀπ᾽ οὐρανοῦ ὅλην τὴν γῆν ἡγίασε, τοὺς αὐτὸν
λαμβάνοντας ἐν ἀληθείᾳ. ὁ ὄρος [ὁ] ὤν, ὡς ἐν τῷ Δανιὴλ ⟨λέγεται⟩, **5**
*καὶ μέγα ὄρος, »λίθος ⟨δὲ⟩ τεμνόμε|νος ἄνευ χειρῶν« * ἄνευ σπέρ-* P46
ματος ἀνδρὸς ὑπαινιττόμενος, τὸ μεῖζον αὖθις μικρὸν εὑρισκόμενον·
λίθος ⟨δὲ⟩ πάλιν ἀναλαμβάνων [τὸ] | μέγεθος καὶ γινόμενος αὖθις D135
ὄρος μέγα καὶ ⟨δηλον⟩ότι [τὸ] ὄρος οὐκ ⟨ὂν ἐν⟩ ἑνὶ τόπῳ, ἀλλὰ
πληρῶν ἅπασαν τὴν οἰκουμένην, οὗτος ὁ σοφία ὢν καὶ γενόμενος **6**
ἄνθρωπος, ἐπεκτείνων ἑαυτοῦ τὴν δύναμιν τῷ κόσμῳ, ἵνα πληρώσῃ
τὴν οἰκουμένην χάριτος, »προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ«. ἐπεὶ σοφία **7**

1 vgl. Joh. 14, 6 (10, 9) — **3** Joh. 6, 44 — **6** Luk. 2, 52 — **7** vgl. Phil. 2, 7 — **10** Hohel. 1, 3 — **12ff** zu der eigentümlichen Aneinanderreihung der Örtlichkeiten vgl. die breiteren Ausführungen in Panarion h. 51, 7ff u. 25ff — **23** Dan. 2, 34 — **29** Luk. 2, 52

L J

6 nach *σοφίᾳ* wohl Lücke *⟨ἐὰν ἀκούσῃς, ἀληθῶς λέγουσιν ὅτι⟩* * **8** * etwa *⟨τῆς θεότητος ἀποβαλὼν⟩* * | * etwa *⟨ἐκένωσε δὲ ἑαυτόν, φησί, οὐχ ὅτι τὴν φύσιν ἠλλοίωθη,⟩* * **11** *⟨ἐκκενωθῇ⟩* * **12** *κνίσκηται* J | vor *εἰς Βηθλεὲμ* + *καὶ* L **17** *γεθσιμανὴ* L **19** *τὴν* < L **21** *ἡγίασε* + *⟨τουτέστιν⟩*? * **22** *ὁ*[1] *, vgl. die Wiederaufnahme mit *οὗτος* in Z. 27] *ὃ* J < L | *[ὁ]* * | *⟨λέγεται⟩* * **23** *⟨δὲ⟩* * | * etwa *⟨τουτέστιν γεννηθεὶς⟩* * **25** *⟨δὲ⟩* * | *[τὸ]* * **26** *⟨δηλον⟩ότι* * | *[τὸ]* * | *⟨ὂν ἐν⟩* * | *ἑνὶ] ἕνι* J

ὢν τοῦ πατρὸς καὶ »διδάσκων ἀνθρώπους« λαλεῖν καὶ ἀνθρώποις διαρθρώσας γλῶσσαν καὶ »φυτεύσας τὸ οὖς« τοῖς ἀκούουσι, πῶς οὐκ ἤδει καλεῖν πατέρα ἢ μητέρα; * »λήψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας« καὶ τὰ ἑξῆς; ἀλλ᾽ ἐπειδή, γεννηθεὶς ἀπὸ κοιλίας 8
εὐθὺς λαλῶν εἰ ἐδείκνυτο καὶ καθαρῶς οἷα δὴ ἀρτίπαις ἐφθέγγετο, φαντασία ἂν ἐνομίσθη καὶ οὐκ ἀληθὴς ⟨ἀλλ᾽⟩ ἢ μᾶλλον δόκησις ἡ ἔνσαρκος αὐτοῦ κύησις, διά τοι τοῦτο ὑπομένει τὸ ὀλίγον τῆς ἡλικίας, ἵνα μὴ ἀφανίσῃ τὸ ἀληθὲς τῆς ἀκολουθίας.

41. Ἑτέρας δὲ πάλιν θηρῶνται * ματαίας ὑπολήψεις παραπλέ- **41, 1**
κοντες τοῖς θείοις λόγοις καὶ ἐναντίως διανοοῦνται καί φασιν· πῶς οὖν γέγραπται »δέξασθε τὸν ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν« καί »γνωστὸν ὑμῖν ἔστω πᾶς οἶκος Ἰσραήλ, ὅτι τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε, κύριον καὶ Χριστὸν αὐτὸν ὁ θεὸς ἐποίησε«. καὶ θαῦμά μοι μέγα ἐπέρχεται πῶς οἱ τῶν **2**
ἀκολουθιῶν ἐφαπτόμενοι τὴν ἐν αὐταῖς φραζομένην δύναμιν ἀγνοοῦσι. τὸ γὰρ εἰπεῖν »δέξασθε τὸν ἀρχιερέα πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν« οὐ περὶ τῆς θεότητος εἴρηται. ὁ θεὸς γὰρ ἦλθε * καὶ εἰς πάντα **3**
ἡμῖν σαφηνίζουσιν αἱ θεῖαι γραφαί. οὐδὲν γὰρ ἐν αὐταῖς ἐστὶ σκολιὸν ἢ στραγγαλιῶδες, »πάντα δὲ ἐνώπια τοῖς συνιοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. »λάβετε« γάρ φησι »παιδείαν καὶ μὴ ἀργύριον«· **4**
ἐὰν γὰρ μή τις λάβῃ παιδείαν παρὰ θεοῦ τουτέστι τὴν πίστιν τῆς ἀληθείας, σκολιὰ αὐτῷ πάντα καὶ διεστραμμένα, τοῖς δὲ συνιοῦσιν ὀρθῶς καὶ εὑρίσκουσι γνῶσιν | ὀρθὰ πάντα καὶ ἀδιάβλητα. ἵνα δὲ **5** D136
αὐτοὺς ἐλέγξῃ, ὁ ἀπόστολός φησι· »πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος τὰ ⟨πρὸς θεὸν⟩ ὑπὲρ ἀνθρώπων καθίσταται, εἰς τὸ προσφέρειν δῶρα καὶ θυσίας«. διὰ τοῦτο καὶ αὐτὸς ὁ μονογενής, **6**
ἐπειδὴ ὑπὲρ ἀνθρώπων ἀρχιερεὺς ἦλθε γενέσθαι, ἔλα|βεν ἐξ ἡμῶν P47
τὴν σάρκα, ἵνα ὑπὲρ ἡμῶν ὁ ἀφ᾽ ἡμῶν γενόμενος προσφορὰ τῷ ἰδίῳ πατρὶ θεῷ τοὺς μαθητὰς »ἀδελφοὺς καλέσῃ«. ποῦ οὖν τὸ γενόμενος

1 Psal. 93, 10 — **2** Psal. 93, 9 — **2f** Jes. 8, 4 — **9ff**—S. **52**, 2 vgl. Panarion h. 69, 37 u. 42 — **11** Hebr. 3, 1 — **12** Act. 4, 10 — **19f** Prov. 8, 9f — **24** Hebr. 5, 1 — **29** Hebr. 2, 11

L J

3 ἔδει L | * (Lücke von Pet. angezeigt) ergänze etwa ⟨ὁ περὶ οὗ ἐπιφέρει ὅτι⟩ * **6** ⟨ἀλλ᾽⟩ * | δοκήσει J **7** γέννησις L **9** * ⟨προφάσεις⟩ * **9f** παραπλέκειν J **11** δέξασθαι J **15** αὐταῖς *] αὐτοῖς L J **17** θεὸς] υἱὸς? * | * ⟨ἐν σαρκὶ ἀληθινῶς⟩ * **19** vor ἐνώπια + τὰ L | συνοῦσι J **21** περὶ L **22** δὲ < J **23** ὀρθῶς *] ὀρθὰ L J **24** φησι < L **25** ⟨πρὸς θεὸν⟩ * **27** ἀρχιερεὺς] αὐτός J **29** γενόμενος *] γενόμενον L J

πληροῦται; οὐκ ἄλλοθεν, ἀλλὰ πρὸς τοῦ ἀρχιερέως. »δέξασθε, γάρ ⟨φησιν⟩, τὸν ἀρχιερέα πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν«.

Ἵνα δὲ καὶ παραδείγματι περισσοτέρῳ χρήσωμαι· ἐρωτήσειέ τις 7
βασιλέα περὶ τοῦ ἰδίου υἱοῦ καὶ λέξει αὐτῷ τολμήσας· τίς οὗτός ἐστιν;
ἀκούσας δὲ παρὰ τοῦ πατρὸς δικαίαν ὁμολογίαν· υἱός μού ἐστι, πάλιν
ἔροιτο· υἱός σου κατὰ φύσιν; καὶ ναί τοῦ βασιλέως εἰπόντος αὖθις
ἐπάξει ὁ ἐρωτῶν· τί οὖν αὐτὸν ἐποίησας; πάντως ἂν ἐρεῖ· βασιλέα
αὐτὸν ἐποίησα. ἆρα τὴν ἀξίαν εἰπὼν τὴν γνησιότητα ἠρνήσατο; 8
ἐὰν τὸ δεύτερον εἴπῃ, τὸ ἀρχαῖον ἠφάνισεν; οὐδαμῶς. οὕτως γοῦν
καὶ ὁ θεὸς καὶ πατὴρ ἐγέννησε τὸν υἱὸν ἀνάρχως καὶ ἐν σαρκὶ πε-
πλήρωται τό »ἐποίησεν αὐτὸν ἀρχιερέα«.

42. Ἀλλά, φασί, γέγραπται »κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ 42, 1
εἰς ἔργα αὐτοῦ«. καὶ πρῶτα μὲν ἀγνοοῦσιν οἱ κενόδοξοι τὸ ὄνομα
τῆς βίβλου. ἡ γὰρ βίβλος παροιμίαι καλεῖται Σολομῶντος. πᾶν δὲ
τὸ παροιμιαζόμενον οὐ ταυτόν ἐστι τῇ τοῦ λόγου δυνάμει. ἰδοὺ γὰρ 2
ἐν παραβολαῖς ἐλάλησεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ὁρῶμεν
τὰς παραβολὰς οὐχ οὕτως ἐχούσας πρὸς τὴν ὑπόθεσιν ἡμῶν. »ὁμοία 3
γάρ ἐστι« φησίν »ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως«· καὶ εἰ
κατὰ τὸν ἡμέτερον νοῦν θελήσομεν διανοήσασθαι τὸ ἀπὸ μέρους,
δῆλον ὅτι βασιλεία οὐρανῶν εὐρυχωρίας ἐστὶ τόπος. εἰ ἄρα δεῖ λέγειν 4
τόπον, ἐν ᾧπερ βασιλείᾳ ἐστὶ βασιλεὺς | ὁ θεὸς καὶ πατὴρ καὶ ὁ θεὸς D137
Λόγος καὶ υἱὸς τοῦ θεοῦ καὶ τὸ ἅγιον πνεῦμα τοῦ θεοῦ, ἄγγελοί τε
καὶ ἀρχάγγελοι, στρατιαὶ πνευματικαί, Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ
καὶ πάντες δίκαιοι, ποῦ τοίνυν τὰ τοσαῦτα ἐν κόκκῳ σινάπεως χωρη-
θήσεται; τὸ δὲ τροπικὸν τοῦ λόγου αἰνιγματωδῶς λέγεται. ἆρα οὐ
ταυτόν ἐστι τὸ παροιμιαζόμενον. ἀλλὰ καὶ γυναικὶ ἐχούσῃ δέκα 5
δραχμὰς καὶ ἀπολεσάσῃ μίαν καὶ λύχνον ἁψάσῃ καὶ εὑρούσῃ αὐτήν,
ἀλλὰ καὶ σαγήνῃ βληθείσῃ ἐν τῇ θαλάσσῃ, ἀλλὰ καὶ σπόρῳ σπειρο-
μένῳ ἐπὶ τῆς γῆς *. ταῦτα δὲ πάντα αἰνιγματωδῶς ⟨λέγεται⟩, οὐ
ταυτὸν | δέ ἐστι τῇ δυνάμει. καὶ οὐκ οἴδαμεν ὄντως τὸν παροι- 6 P48

1 Hebr. 3, 1 — **3—11** vgl. Panarion h. 69, 39 — **12ff**—S. **55, 9** vgl. Panarion h. 69, 20ff — **12** Prov. 8, 22 — **17** Matth. 13, 31 — **26** Luk. 15, 8 — **28** Matth. 13, 47 — Matth. 13, 24

L J

1 *οὐκ ἄλλοθεν* < L | *πρὸς* Corn.] *πρὸ* L J **2** ⟨*φησιν*⟩ * **5** *παρὰ*] *περὶ* L **9** *οὖν* J **12** *φησί* J **14** *παροιμία* J | *καλοῦνται* L **21** *ἐστὶ* < L **26** *παροιμιαζόμενον* + ⟨*τῇ δυνάμει*⟩? *, nach Z. 30 u. Pan. h. 69, 21, 3 **27** *δραγμὰς* L | *ἀπολέσασα* J | *λύχνους* L **29** * ⟨*ὁμοιοῦται ἡ βασιλεία τῶν οὐρανῶν*⟩ * | ⟨*λέγεται*⟩ *

μιαστὴν Σολομῶντα, εἰ περὶ τοῦ υἱοῦ τοῦ θεοῦ εἴρηκε τοῦτον τὸν λόγον. ἔστι γὰρ σοφία καὶ σοφία. οἶδεν οὖν ὁ ἀπόστολος λέγειν 7
»οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τοῦ θεοῦ τὸν θεόν« καὶ »ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου« καὶ πάλιν λέγει »οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ᾽ ἐν δυνάμει θεοῦ«, καὶ οἶδε Σολομὼν καλεῖν σοφίαν λέγων »ἠράσθην τοῦ κάλλους αὐτῆς καὶ νύμφην ἠγαγόμην ἐμαυτῷ«, καὶ Ἰὼβ οἶδε σοφίαν καί φησιν »ἡ δὲ σοφία πόθεν εὑρέθη; ποῖος δὲ τόπος ἐστὶ τῆς φρονήσεως;« καί »σοφία τοῦ πένητός ἐστιν ἐξουδενωμένη« καί »αὐτὸς τῆς σοφίας ἐστὶ διορθωτής« καί »σοφία πατρὸς ὁ μονογενής«.

43. Τί οὖν λέγομεν; εἰ σοφία πατήρ ἐστι καὶ ὁ υἱὸς δὲ κατὰ τὸν **43, 1**
ἐκείνων νοῦν οὐ προῆλθεν ἐξ αὐτοῦ, Λόγος καὶ θεὸς ὢν καὶ σοφία ὤν, ἆρα ὁ πατὴρ λείπεται σοφίας ἐν ἑαυτῷ. πῶς οὖν »θεῷ μόνῳ **2**
σοφῷ ἀοράτῳ« * καὶ ταῦτα πάντα ἐστὶν ἀκατάληπτα καὶ ἄπειρα ἀνθρώποις; ἔδωκεν ὁ θεὸς σοφίαν τῷ Σολομῶντι καὶ ἐνέπλησε σοφίας τὸν Βεσελεὴλ καί »σοφοὶ ἄνθρωποι κρύπτουσιν αἰσχύνην«. καὶ περὶ **3**
σοφίας πολλὰ ἔστι λέγειν. ἐκείνη δὲ ἡ σοφία τοῦ πατρὸς μονοειδής ἐστι, μὴ ἔχουσα ἀντιπαράθεσιν ἄλλην. ὅμως δὲ εἰ καὶ περὶ αὐτῆς ἦν **4**
ὁ | λόγος ἁδόμενος, οὔτε συντίθεμαι οὔτε ἀποτάσσομαι, θεῷ δὲ συγ- D138
χωρῶ τὸ εἰδέναι· βεβιασμένως δὲ ὁρῶ ἀντιπαράθετα τὰ λεγόμενα. »ἔκτισε, γάρ φησιν »ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με«. πῶς οὖν **5**
τὸ γεννώμενον θεμελιοῦται; πῶς δὲ τὸ κτιζόμενον γεννᾶται; εἰ γὰρ κτιστόν, οὐ γεννητὸν ὄντως. ἡμεῖς γὰρ ἃ γεννῶμεν οὐ κτίζομεν **6**
καὶ ἃ κτίζομεν οὐ γεννῶμεν· ἐσμὲν γὰρ κτιστοὶ καὶ τὰ ὑφ᾽ ἡμῶν γεννώμενα κτιστά. ἐν θεῷ δὲ τῷ ἀκτίστῳ τὸ γέννημα οὐ κτιστόν. **7**
εἰ γὰρ ἐγέννησεν, οὐκ ἔκτισεν· εἰ δὲ μετὰ τὸ κτίσαι πάλιν γεγέννηκε, πῶς ἄρα τὸ πρῶτον κτισθὲν ὕστερον γεννᾶται; εἰ τοίνυν περὶ αὐτοῦ **8**
ἐστι τὰ λεγόμενα, εἰς τὴν ἔνσαρκον οἰκονομίαν πληροῦται. καὶ διὰ

3 I Kor. 1, 21 — **3f** I Kor. 1, 20 — **4** I Kor. 2, 5 — **6** Weish. Sal. 8, 2 — **7** Hiob 28, 12. 20 — **8** Pred. 9, 16 — **9** Weish. Sal. 7, 15 — vgl. Prov. 29, 3 I Kor. 1, 30 — **13** I Tim. 1, 17 — **15** I Kön. 4, 25 — Exod. 31, 3 — **16** Prov. 10, 14 — **21f** Prov. 8, 22

L J

2 *γοῦν*? * **5** *ἀλλ᾽ ἐν*] *καὶ* J **6** *ἠράσθη* J | *νύμφη* J **7** *φησιν*] *φρόνησιν* L **9** *διορθοτὴς* J **11** *σοφία* + ⟨*οὐχ ὁ*⟩? * | *ὁ* (vor *υἱὸς*) < J **12** *ἐκείνου* L **14** * etwa ⟨*γνωστὰ τὰ ἔργα αὐτοῦ ἀπ᾽ αἰῶνος*⟩ * **18** *περὶ αὐτῶν* L **20** *βεβιασμένος* J | *ὁρῶ* + *αὐτὰ* J **22** *δὲ* < L | *γεννᾷ με*] *γεννῶμαι* L **24** *ὄντως* *] *τοῦ ὄντος* L < J **28** *περὶ αὐτοῦ*] *περὶ τοῦ υἱοῦ*? *

τοῦτο τὰ ἐγγύτερα πρῶτον λέγει καὶ τὰ ἀρχαιότερα ὕστερον διηγεῖται. πεῖσαι γὰρ ἀνθρώπους τοὺς ἐγγυτάτω | βουλόμενος ἀπὸ σαρκὸς ἄρ- 9 P49
χεται (ἀρχὴ γὰρ ὁδῶν τῆς δικαιοσύνης τοῦ εὐαγγελίου ὅτι σὰρξ ἡμῖν ὁ Λόγος ἐν Μαρίᾳ ἐγένετο ψυχή τε ἐν τῇ αὐτῆς σαρκὶ τεθεμελίωται), ἵνα τὰ ἀνώτερα ὕστερα δείξῃ. λέγομεν δὲ ἐκ κόλπων πατρῴων ἀπὸ 10
τῶν οὐρανῶν γενέσθαι ἐπὶ τὴν γῆν, ἐπεὶ ἦλθεν ἡμῖν ὕστερον τὴν πᾶσαν οἰκονομίαν τελέσας. οὐκ ἄρα τοίνυν κτιστὸς ὁ Λόγος (μὴ γένοιτο) καὶ οὐδὲν ἡμῖν σκολιὸν ἐνεγέννησεν ἡ θεία γραφὴ εἰς οὐδὲν τὸ παράπαν.

44. Ἀλλὰ καὶ φύσει καὶ παρὰ τοῖς ἑρμηνευταῖς οὐχ οὕτως ἐκδέ- 44, 1
δοται ἡ λέξις. Ἀκύλας μὲν γάρ φησι »κύριος ἐκτήσατό με«, ἐπειδήπερ ἐν τῷ Ἑβραϊκῷ λέγει »ἁδωναὶ κανανί· ὅπερ τοῦτο ἑρμηνεύεται ὅπερ εἰρήκαμεν. καὶ ἡμεῖς δὲ κατὰ τὴν συνήθειαν λέγομεν περὶ τῶν γεννωμένων »ἐκτήσατο τέκνα«. ἀλλ᾽ οὐδὲ οὕτω τὴν δύναμιν τῆς ἑρμη- 2
νείας ἐσφράγισε. τὸ γὰρ ἁδωναὶ κανανὶ καὶ οὕτω δύναται ἑρμηνεύεσθαι »κύριος ἐνόσσευσέ με«. καὶ διὰ τοῦτο ὁ Πέτρος σαφῶς διαγορεύει λέγων »τοῦτον τὸν | Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε«. οὐκ D139
εἶπε τὸν ἄνωθεν θεὸν Λόγον, ἀλλὰ »τοῦτον τὸν Ἰησοῦν« ⟨τουτέστιν⟩ τὴν σάρκα τὴν σὺν τῷ ἄνωθεν Λόγῳ ἐν γαστρὶ Μαρίας συνειλημμένην, τοῦτον δὲ λεγομένην διὰ τὸν ἀπὸ Μαρίας κυριακὸν ἄνθρωπον. ἐν 3
τούτῳ γὰρ καὶ τὸ † ἀποκτιζόμενον πληροῦται, ὥς φησι Πέτρος »θανατωθεὶς σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι« καὶ πάλιν »Χριστοῦ οὖν ὑπὲρ ἡμῶν παθόντος σαρκί« καὶ πάλιν »ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα«, ὥς φησι Παῦλος. καὶ αὐτὸς ὁ σωτὴρ ἔλεγεν ἐν τῷ 4
εὐαγγελίῳ »νῦν δέ με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ πατρός«, ἵνα δείξῃ τὸ πάθος ἀπὸ τῆς ἀνθρωπότητος καὶ ⟨τῶν⟩ κατωτέρω, αὐτὸν δὲ εἶναι φυσικὸν υἱὸν τοῦ πατρὸς ἀπὸ τῶν ἄνωθεν. συνᾴδει δὲ καὶ τούτῳ τῷ λόγῳ 5
Παῦλος ὁ ἅγιος ἀπόστολος φάσκων »εἷς θεός, εἷς καὶ μεσίτης θεοῦ

3 vgl. Prov. 16, 7 — Joh. 1, 14 — **11** Prov. 8, 22 — **17** Act. 2, 36 — **22** I Petr. 3, 18 — I Petr. 4, 1 — **23** Röm. 9, 5 — **25** Joh. 8, 40 — **29** I Tim. 2, 5

L J

3 ὅτι *] τὸ L J **4** τε] δὲ L **6** ἐπὶ τὴν γῆν, ἐπεὶ] ἀπὸ τοῦ ἀεὶ L **8** ἐνεγέννησεν *] ἐγγενήσειεν J ἐγέννησεν L **10** καὶ² < J **11** ἐκτίσατο L J **12** καναΐ J **13** δὲ] γὰρ? * **13 f** γενομένων J **15** καναΐ J **16 f** διαγορεύη J **18** Ἰησοῦν] ὄντα J | ⟨τουτέστιν⟩ * **19** σὺν < J | συνειλλημένην L **20** λεγομένην *] λεγόμενον L J **21** † ἀποκτιζόμενον] ἀποκτενόμενον? * **26** ἣν] καὶ J **27** καὶ ⟨τῶν *⟩ κατωτέρω] < J | εἶναι] εἰδέναι J **29** Παῦλος u. φάσκων vertauscht J

καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς Χριστός«, »ὃς οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ᾽ ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών«. ὁρᾷς ὡς ἄνθρωπον αὐτὸν ἀπεφήνατο, ἀλλ᾽ οὐ ψιλόν. τὸ γάρ **6** »μεσίτης θεοῦ καὶ ἀνθρώπων«, ἐπειδὴ τοῖς ἑκατέροις μεσιτεύει, πρὸς τὸν πατέρα αὐτοῦ θεὸς ὢν φύσει γνήσιος γεγεννημένος, πρὸς δὲ τοὺς ἀνθρώπους ἄνθρωπος φυσικὸς | γνήσιος ἐκ Μαρίας δίχα σπέρματος P50 ἀνδρὸς γεγεννημένος. οὕτω γάρ ἐστι μεσίτης θεοῦ καὶ ἀνθρώπων, θεὸς ὢν καὶ ἄνθρωπος γεγονώς, οὐ τραπεὶς τὴν φύσιν, ἀλλὰ κατὰ ἑκάτερα πρὸς τὰ ἀμφότερα μεσιτεύων.

45. Ἀλλὰ καὶ πάλιν ἀμαθαίνοντές φασιν· ὁρᾷς ὅτι »οὐχ ἁρπαγμὸν **45, 1** ἡγήσατο τὸ εἶναι ἴσα θεῷ«. καὶ οὐδὲ τὴν κλῆσιν οἴδασιν οἱ φιλόνεικοι. οὐ γὰρ εἶπεν· οὐκ ἠθέλησε γενέσθαι ἴσος θεῷ δι᾽ ἁρπαγμοῦ, ἀλλ᾽ »οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ«, τὸ θεὸς εἶναι φύσει, ὅτι ἦν. εἰ μὴ γὰρ ἦν, πῶς μορφὴν δούλου ἔλαβε; καὶ ⟨γὰρ τῷ λαβὼν⟩ τὸ πρόσ- **2** φατον ἐσήμαινε καὶ ἐκ τούτου τὴν ὑπερβολὴν * | θαυμάζων ἐδείκνυε, D140 ὅτι καίπερ ὢν ἴσος θεῷ ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, οὐχ ἵνα τὸ ἐλεύθερον δουλώσῃ, ἀλλ᾽ ⟨ἵνα⟩ ἐν ᾗ μορφῇ ἔλαβε τοὺς ὑπακούοντας δούλους ἐλευθερώσῃ. ὡς καὶ μαρτυροῦσιν Ἰουδαῖοι ὅτι **3** οὐκ ἠδεῖτο λέγειν ⟨ἑαυτὸν⟩ ἴσον θεῷ οὐδὲ ἐδίσταζεν, ἀλλὰ ἀπὸ τοῦ * θαρραλεώτερον * οὕτω δεικνύειν ἐν τῷ λέγειν »ἐὰν μὴ εἴπω, ἔσομαι καθ᾽ ὑμᾶς ψεύστης«· καὶ διὰ τοῦτό φασι πρὸς αὐτόν »δι᾽ ἀγαθὸν ἔργον οὐκ ἀποκτένομέν σε, ἀλλ᾽ ὅτι ἄνθρωπος ὢν σεαυτὸν ποιεῖς ἴσον θεῷ«. ἀλλά φασιν· ὀφείλομεν τὰ τροπικὰ ⟨περὶ⟩ αὐτοῦ **4** ὁμολογεῖν. καὶ πολλὰ τροπικὰ περὶ αὐτοῦ εἴρηκεν ἡ γραφὴ καὶ οὐ δεῖ ἀρνεῖσθαι τὰ εἰς αὐτὸν αἰνιγματωδῶς εἰρημένα, ὅτι καὶ θύρα κέκληται καὶ λίθος εἴρηται καὶ στῦλος καὶ νεφέλη καὶ λέων καὶ πρόβατον καὶ λύχνος καὶ λαμπὰς καὶ ἥλιος καὶ ἄγγελος καὶ σκώληξ καὶ πέτρα καὶ ἀκρογωνιαῖος καὶ ὁδὸς καὶ ταῦρος καὶ μόσχος καὶ τὰ τοιαῦτα. δηλονότι καὶ ἡμεῖς οὐκ ἀρνούμεθα τὰ εἰς αὐτὸν αἰνιγματωδῶς πε- **5** πληρωμένα. οἴδαμεν δὲ δι᾽ ἣν αἰτίαν ταῦτα γέγραπται· ὁδὸς ὅτι

1 Phil. 2, 6f — **20** Joh. 8, 55 — **21—23** Joh. 10, 33 — **23ff** vgl. Panarion h. 69, 34, 5ff

L J

5 *γνήσιος* + ⟨*ἐκ τοῦ πατρὸς*⟩? Jül. **10** *ἀμαθῶς* J | *φησίν* L **13** *θεὸς* *] *θεοῦ* J *δὲ* L **14** ⟨*γὰρ τῷ λαβὼν*⟩ * **15** *τὴν ὑπερβολὴν*] *εἶναι ὑπερβολὴ* L | * ⟨*τῆς φιλανθρωπίας*⟩ * | *ἐδείκνυε ὅτι* *] *ἐδείκνυτο* L J **17** ⟨*ἵνα*⟩ * **18** *ὡς* < J **19** ⟨*ἑαυτὸν*⟩ *ἴσον* *] *ἴσος* L J **20** * etwa ⟨*πρώτου λόγου*⟩ * | * etwa ⟨*ἔτι ἐφέρετο ἑαυτὸν*⟩ * **23** *φησίν* L | vor *ὀφείλομεν* + *εἰ* J; lies *ναί*? * | ⟨*περὶ*⟩ * **24** *περὶ αὐτοῦ* < J **28** *ἀκρογονιαῖος* L J

δι᾽ αὐτοῦ βαδίζομεν πρὸς τὴν βασιλείαν, πρὸς αὐτὸν καὶ τὸν πατέρα· θύρα δὲ ὅτι δι᾽ αὐτοῦ εἰσερχόμεθα· στῦλος ὅτι αὐτός ἐστιν ἑδραίωμα τῆς ἡμετέρας πίστεως· πέτρα διὰ τὸ ἀμετακίνητον· λίθος ⟨διὰ⟩ τὸ τεθεμελιωμένον· ἥλιος δικαιοσύνης ὅτι καταυγάσας τὰς ἡμετέρας σκοτισθείσας διανοίας.

46. *Εἶτά φασιν ὅτι ⟨εἰ⟩ γέγραπται περὶ αὐτοῦ ὅτι κτίσμα ἐστίν,* **46, 1** *ὁμολογεῖν δεῖ καὶ τὸ κτίσμα. ἰδοὺ κἀγὼ διηγησάμην μέρος τι τῶν χρήσεων τῶν διὰ τῶν αἰνιγμάτων αὐτοῦ εἰς ἡμᾶς πεπληρωμένων.* | P51
εἴπωσιν ⟨δὲ⟩ ἡμῖν ἐν τῷ λέγειν αὐτὸν κτίσμα τί χρησιμεύει; θύρα **2**
εἰκότως εἴρηται τροπικῶς, ἵνα γένηται εἴσοδος ἡμῶν καὶ ὠφέλεια, καὶ ὁδός, ἵνα δι᾽ αὐτοῦ βαδίζοντες μὴ πλανηθῶμεν· κτίσμα ⟨δὲ⟩ διὰ τί ἡμῖν γίνεται; τί ἡμᾶς ὠφελεῖ; ναί, φησὶν ὁ κενόδοξος φιλονεικῶν· **3**
εἰ μὴ γὰρ αὐτὸν | εἴπῃς κτίσμα, τῷ πατρὶ πάθος περιτίθῃς. πᾶς γὰρ D141
γεννῶν πάθει περιβέβληται· ἢ γὰρ συστέλλεται ἢ πλατύνεται ἢ ἁπλοῦται ἢ ἀπορρέει ἢ ὀγκοῦται ἤ τι τῶν τοιούτων ⟨πάσχει⟩. φεῦ **4**
γε καὶ τῆς τοιαύτης διανοίας πονηρᾶς οὔσης καὶ οὐκ ἀληθεστάτης. τίς ταῦτα περὶ θεοῦ διανοηθήσεται; ποία δὲ ὑπόνοια τοιαῦτα τολμήσει; δηλονότι οὐδεὶς οὐδὲ τῶν δαιμόνων τοιοῦτόν τι διανοηθήσεται. κἂν τις ὁμολογῇ τὸν πατέρα, πιστεύει αὐτὸν τὸν υἱὸν ἐν ἀληθείᾳ **5**
*γεγεννηκέναι. * οὐ γὰρ ὄγκοις περιφέρεται τὸ θεῖον οὐδὲ σῶμά ἐστιν ἔγκυον, ἵνα ὑπομείνῃ τὰ προειρημένα. »πνεῦμα γὰρ ὁ θεός«, πνεῦμα* **6**
δὲ ῥύσιν οὐχ ὑφίσταται οὐ τομὴν οὐ ⟨συ⟩στολὴν οὐ μείωσιν οὐχ ἅπλωσιν οὐδέ τι τῶν τοιούτων. καθὸ τοίνυν ὁ πατὴρ πνεῦμά ἐστι, τὸν υἱὸν θεὸν Λόγον γεγέννηκε πνευματικῶς ἀχρόνως ἀκαταλήπτως καὶ ἀνάρχως.

47. *Ἵνα δὲ τούτους πείσωμεν τοὺς ταῦτα νοοῦντας, οὐχ ὅμοια* **47, 1**
μὲν φάσκοντες, ἀφ᾽ ὁμοίων δὲ τὴν αὐτῶν ἀποστρέφοντες κακὴν ἀπολογίαν εἴπωμεν· κτίσμα ἐστὶ [τὸ] ἀπείρως καὶ μυριονταπλασίως τοῦ αὐτοῦ δεσπότου ἀποδέον. καὶ πολλοί τινες ἐν ἐρήμῳ ἐνδεόμενοι **2**

6—25 vgl. Panarion h. 69, 36 — **21** Joh. 4, 24

L J

1 *πρὸς αὐτὸν καὶ*] *αὐτοῦ καὶ πρὸς*? * **2** *ἑδρέωμα* hinter *πίστεως* J **3** ⟨*διὰ*⟩ * **4** *ὅτι* *] *ὁ* L J **6** ⟨*εἰ*⟩ * **8** *πεπληρωμένον* J **9** ⟨*δὲ*⟩ * | vor *θύρα* + *οὐ* J **11** ⟨*δὲ*⟩ * **12** *ὁ* < L **13** *περιτίθεις* J **14** *πάθει* *] *πάθη* (zweimal geschrieben) L J **15** *ἀπορρύει* L *ἀπορροίη* J | ⟨*πάσχει*⟩ * **16** *καὶ*[1] < J **18** *τι* < J **19** *κἂν*] *ἐὰν*? * | *ὁμολογεῖ* J | *πιστεύει* < L **20** * etwa ⟨*πνευματικῶς δέ·*⟩ * **22** ⟨*συ*⟩*στολὴν* Pet. **23** *οὔτε* J | *ὁ* < L **26** *νο////οῦντας*, ein Buchstabe, wohl *σ* ausradiert L | *ὅμοια* + *τῷ θεῷ* L **27** *τὴν*] *τῶν* J **28** *ἐστὶ*] *ἐπὶ* L | [*τὸ*] *

πυρός, γεμίσαντες ὕδωρ ἐν ἄγγει ὑελίνῳ καὶ ὕλην προσενέγκαντες εὐθυφλόγιστον, ἐκ λίνου ἢ ἐκ στυπείου πεποιημένην, ἵστανται ἀντικρὺ τοῦ ἡλίου τῆς μαρμαρυγῆς ἀπὸ τῆς ὑέλου καταυγαζούσης εἰς τὴν ὑποκειμένην ὕλην καὶ εὐθὺς ἀπὸ τοῦ πυρὸς τοῦ ἡλίου λαμβάνεται καὶ ἐξάπτει τὸ πῦρ. ἆρα τέτμηται ὁ ἥλιος διὰ τῆς μετοχῆς τῆς οὐσίας; ἆρα ἐνέλειψεν; ἆρα μεμείωται; οὐχί, φασίν. εἰ τοίνυν κτίσμα 3 ὢν οὐκ ἐμειώθη, πόσῳ γε μᾶλλον ὁ ἄπειρος καὶ ἀκατάληπτος καὶ ἄχραντος ὢν θεός, ἐξ ἑαυτοῦ γεννήσας πνεῦμα ὢν θεὸν Λόγον ἄφραστον καὶ ἀκατάληπτον καὶ ἄφθαρτον ἐν ἀφθαρσίᾳ ἐγέννησεν, οὐ διὰ πάθους οὐ διὰ τομῆς οὐ δι' ἐλλείψεως, ἀλλὰ τέλειος τέλειον ἐν τελειότητι. καὶ ἡ μὲν τοῦ πυρὸς φύσις | πολλοὺς λύχνους ἅπτει 4 D142
ἀπὸ ἑνός | καὶ ὁ πρῶτος ὑπάρχων οὐκ ἐμειώθη· πάλιν δὲ δύναται ἡ P52
αὐτὴ οὐσία ἐκ πολλῶν μερικῶν εἶναι, φημὶ δὲ λύχνων ἢ λαμπάδων. ἀλλ' οὐχ οὕτω τὸ θεῖον, μὴ γένοιτο· οὐ πάλιν γὰρ ⟨εἰσ⟩ῆλθεν ὁ Λόγος 5 καὶ συναλοιφὴν τῷ πατρὶ εἰργάσατο, ἀλλ' ὁ πατὴρ πατήρ ἐστι καὶ ὁ υἱὸς υἱὸς καὶ τὸ ἅγιον πνεῦμα πνεῦμα ἅγιον.

48. Μωρὸν γὰρ τὸ παρὰ τοῖς Μανιχαίοις εἰρημένον ὅτι ἐν † τῷ 48, 1
νοΐ τοῦ Μάνη αἱ ψυχαὶ ἀπὸ τοῦ στύλου τοῦ φωτὸς γενόμεναι ἓν σῶμά εἰσι καὶ λυόμεναι ἀπὸ τῶν σωμάτων αὖθις ἀναπλάττονται τῇ μιᾷ οὐσίᾳ, ὡς εἰς τὸν ἕνα στῦλον ⟨συναγόμεναι⟩ κατὰ τὸ μυθῶδες αὐτῶν τοῦ πλάσματος. ἀλλ' οὐχ οὕτως ἔδειξε τὸ εὐαγγέλιον, ἀλλ' 2
ἔκλασεν ἀπὸ πέντε ἄρτων καὶ ἐχόρτασε πεντακισχιλίους καὶ οὐκ ἀφῆκεν αὐτῶν τὰ περισσεύματα, ἀλλά »συναγάγετε« φησί »καὶ μηδὲν ἀπολίπητε τῶν κλασμάτων«, καὶ συνήγαγον δώδεκα κοφίνους· καὶ εἰς 3
τὰς μὲν θήκας ὁμοῦ συνήγαγον, τὰ δὲ κλάσματα αὖθις οὐκ εἰς συνάφειαν ἄρτων ὡς ἦσαν ἐποίησε. συνήγαγον μὲν τὸ πλῆθος, ἀλλ' εἰς πολλὰ κλάσματα, εἰς μίαν δὲ συναγωγὴν ἔδειξε κοφίνων. καὶ οὐ 4
καθ' ὑπόθεσιν θεωρίας ἡμεῖς τοῦτο ἠλληγορήσαμεν καὶ τὸ προειρη-

17—21 vgl. Acta Archelai 8, 4ff; S. 12, 7ff Beeson = Epiph. Panarion h. 66, 26, 4; vgl. auch h. 66, 22, 4 — **22—24** vgl. Joh. 6, 9ff — **23** Joh. 6, 12 L J

1 *ὑελλίνῳ* J **2** *ἵστανται* + *καὶ* L **5** *τέμνεται* J **6** *φησὶν* L **11** *ἐν* + *τῇ* L **12** *ὁ πρῶτος* < L **13** *ἐκ* < L | *μερῶν*? * | *εἶναι* < L | *δὲ*] *δὴ* J **14** *⟨εἰσ⟩ῆλθεν* *, vgl. S. 26, 14 **17f** † *τῷ νοΐ*] *νοΐ* ist jedenfalls unmöglich, da Epiphanius immer *νῷ* sagt; lies vielleicht *τῷ ἀέρι* nach Act. Arch. 8, 7; S. 13, 11f Beeson *παραμένουσιν ἐν τῷ στύλῳ τῆς δόξης, ὃς καλεῖται ἀὴρ ὁ τέλειος. ὁ δὲ ἀὴρ οὗτος στῦλός ἐστι φωτός, ἐπειδὴ γέμει ψυχῶν τῶν καθαριζομένων* u. Act. Arch. 10, 8; S. 17, 9ff Beeson *ὁ κινῶν τὴν χεῖρα βλάπτει τὸν ἀέρα, ἐπειδὴ ὁ ἀὴρ ψυχή ἐστι τῶν ἀνθρώπων* * **18** *μανὶ* LJ **19** *ἐστι* J **20** *⟨συναγόμεναι⟩* * **21** *οὕτω* J **27** *καὶ οὐ* < L

μένον τοῦ ἡλίου ὑπόδειγμα. οὐ γὰρ τοὺς ἄρτους ψυχὰς λέγομεν οὔτε ⟨τὰ⟩ κλάσματα, μὴ γένοιτο, οὔτε τὸν θεὸν ἐξισοῦμεν τῷ ἡλίῳ ⟨τῷ⟩ ὑπ' αὐτοῦ ἐκτισμένῳ οὔτε τὸν μονογενῆ αἴγλῃ τῇ ὑπὸ τοῦ ἡλίου εἰς τὸ στυπεῖον πεμπομένῃ. κατὰ δὲ τὸ ὅμοιον καὶ ⟨αἱ⟩ ψυχαὶ αἱ γεννηθεῖσαι οὐ συνάπτονται εἰς μίαν συναλοιφήν, μὴ γένοιτο, ἀλλ' εἰς τὰς τοῦ θεοῦ μονὰς τὰς γεγραμμένας ὅτι »πολλαὶ μοναὶ παρὰ τῷ πατρί«· οὐκ εἰς ἕνα δὲ βουνὸν γινόμεναι, ἀλλ' ἑκάστου ἰδιαζόντως ἀριθμουμένου. οὐδὲ ἐν τῷ λέγειν γεγεννηκέναι τὸν θεὸν τὸν μονογενῆ αὐτοῦ υἱὸν πάθος αὐτῷ προσάπτομεν κατὰ τὴν ἐκείνων κακὴν βλασφημίαν. πᾶς | γὰρ γεννῶν ἐμπαθῶς κάμνει καὶ οὐ χρὴ οὔτε κτίσμα λέγειν οὔτε γέννημα κατὰ τὸν ἐκείνων λόγον, ἵνα μὴ δῶμεν θεὸν κάμνοντα ἢ πάσχοντα. πόθεν οὖν εὕρομεν τὸν υἱὸν ἢ διὰ τί ὄνομα υἱοῦ ἔχει; οὗτοι δὲ συλλογισμοὶ ἀνθρώπων καὶ ἀπὸ γῆϊνων φρονημάτων ὁρμώμενοι. τὰ γὰρ ἡμῶν πάθη τῶν ἀνθρώπων εἰς θεὸν ἀθέμιτόν ἐστι λογίζεσθαι, σαφῶς τοῦ θεοῦ λέγοντος »οὐχ ὡς αἱ διάνοιαι ὑμῶν ἡ διάνοιά μου« καὶ πάλιν »οὐχ ὡς ἄνθρωπος, οὕτω καὶ θεός«. | P53

49. Τοίνυν παυσάσθωσαν ἀπὸ τῆς βλασφημίας καὶ μαθέτωσαν παρὰ τοῦ πατρὸς τοῦ λέγοντος »οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα«· πάλιν ⟨δὲ⟩ ὡς ἐπὶ μελλόντων λέγει »σὺ γὰρ ὁ υἱός μου ὁ ἀγαπητός, ὃν ἐξελεξάμην«, καὶ τότε ἐν τοῖς ᾄσμασιν »ἐκλελοχισμένος ἀπὸ μυριάδων«. πόθεν οὖν ἐκλογὴ γίνεται λεγέτωσαν. νομίζουσι γὰρ οἱ ληρώδεις ἐν τῷ εἰπεῖν« »ἐξελεξάμην« κατὰ χάριν αὐτὸν υἱὸν καλεῖσθαι καὶ οὐ κατὰ φύσιν. δειξάτωσαν τίς αὐτῷ ὅμοιος, ἵνα τοὺς πάντας δοκιμάσας ἐκεῖνον ἐκλέξηται. εἰ γὰρ υἱός ἐστι μονογενής, οὐκ ἔστι τις ἴσος αὐτοῦ οὔτε ἀντιπαράθετος, »ὅμοιος ὢν τῷ υἱῷ ἐν υἱοῖς θεοῦ«. τούτους γὰρ οἶδε κατὰ χάριν, ἐκείνῳ δὲ μὴ δυνάμενόν τινα ἐξισοῦσθαι τῷ εἶναι αὐτὸν φυσικῶς υἱόν. φανερὸν γὰρ πόθεν ἐκλελοχισμένος καὶ πόθεν ἐκλογή· ὅτι πολλαὶ μυριάδες ἐπὶ τῆς γῆς ἦσαν καὶ Μαρία μόνη »εὗρε χάριν« καὶ **49, 1** **2** **3** **4**

6 Joh. 14, 2 — **8 ff** vgl. Panarion h. 69, 36, 6 — **15** Jes. 55, 8 f — **16** I Sam. 15, 29 — **19** Matth. 3, 17 — **20** vgl. Jes. 42, 1; 44, 1 (Mark. 1, 11) — **22** Hohel. 5, 10 — **27** Psal. 88, 7 — **30** Luk. 1, 30

L J

2 ⟨τὰ⟩ * | ⟨τῷ⟩ * **4** πεμπομένους J | ⟨αἱ⟩ * **4 f** γενηθεῖσαι J **7** vor ἰδιαζόντως + καὶ L **7 f** ἀριθμουμένου Pet.] ἀριθμουμένους L J **8** οὐδὲ] εἰ δὲ L **10** ἐμπαθῆ L **12** εὕραμεν J | διὰ τί] διότι L **13** υἱοῦ] θεοῦ J **15** τοῦ θεοῦ σαφῶς J **20** ηὐδόκησα J | ⟨δὲ⟩ * | σὺ *] εἶ L J **22** ἐκλελοχημένος L ἐκλελογισμένος J **27** υἱῷ] κυρίῳ? * **29** ἐκλελοχησμένον L ἐκλελογισμένον J

ἐν αὐτῇ ἐξελέξατο τὴν ἁγίαν σάρκα. διὰ τοῦτο ἔφη εὐδόκησα, ὡς καὶ 5
Δαυὶδ λέγει ἐκ προσώπου τῶν ἀποστόλων τῶν εἰς τὸν κύριον πεπι-
στευκότων καὶ μετὰ χαρᾶς τοῖς ἔθνεσι τὴν αὐτοῦ χάριν ὑποδεικνυ-
όντων, ὅτι »ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν·
⟨ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν αὐτοῦ,⟩ τὴν καλλονὴν Ἰακώβ, ἣν
ἠγάπησε«, τουτέστι τὸ ἀκραιφνὲς τῆς καλλονῆς αὐτοῦ, ὅλου τοῦ 6
Ἰακὼβ τὴν καλλονήν, τὴν σάρκα τὴν ἀπὸ Μαρίας διὰ πνεύματος
ἁγίου ἐκλελεγμέ|νην. * τὸ γενόμενον τῆς οἰκονομίας τῆς σαρκὸς πρὸς D144
Ἰωάννην τὸν βαπτιστὴν ἔδειξεν ἄνωθεν ὁ πατήρ. εὐδόκησε γὰρ ὁ
πατὴρ ἐν τῇ ἐνσάρκῳ τοῦ Χριστοῦ παρουσίᾳ, ἡ δὲ θεότης ἀπείρως
ἔχει τῆς φύσεως.

50. Λέγει δὲ αὐτὸν ὁ ἀπόστολος καὶ »υἱὸν ἀγάπης«, »ὃς ἐρρύσατο 50, 1
ἡμᾶς« φησίν »ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν εἰς τὴν
βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ«. καὶ οἱ ληροῦντες ἐνταῦθα 2
μὴ νοοῦντες τὴν λέξιν, κατὰ προκοπὴν ἀγάπης θεοῦ εἶναι τὸν υἱόν
φασι. καὶ οὐκ ἴσασιν οἱ ἀμαθεῖς τὴν ἀντιπαράθεσιν τοῦ λόγου· ἐν
ἄλλῳ γὰρ τόπῳ φησὶν ὁ ἀπόστολος ὅτι »θεὸς ἠγάπησεν ἡμᾶς ἐν
Χριστῷ«. ἀληθῶς γὰρ υἱὸς ἀγαπητὸς ὁ μονογενής, ἐπειδὴ ἀγάπη ὁ 3
πατήρ, ἀγάπη ὁ υἱός, ἐπειδὴ ἀγάπη ἐξ ἀγάπης ἐστίν. υἱὸς οὖν ἐστιν
ἀγάπης δι' ἡμᾶς καὶ δι' ἑαυτόν, ὅτι ἐν αὐτῷ ἠγάπησεν ἡμᾶς καὶ
τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ παρέδωκεν ὑπὲρ ἡμῶν. οὔτε οὖν
κάμνει ἐργαζόμενος οὔτε | πάσχει γεννῶν. καὶ μὴ μάτην ἐπισωρεύ- 4 P54
ωσιν ἑαυτοῖς βλασφημίας. εἰ γὰρ κτιστός ἐστιν ὁ υἱός, οὐ προσκυ-
νητὸς κατὰ τὸν ἐκείνων λόγον. μωρὸν γάρ ἐστι κτίσιν προσκυνεῖν
καὶ ἀθετεῖν τὴν πρώτην ἐντολὴν τὴν λέγουσαν »ἄκουε Ἰσραήλ, κύριος
ὁ θεός σου κύριος εἷς ἐστιν«. οὐ κτιστὸς τοίνυν ὁ ἅγιος Λόγος, ὅτι 5
προσκυνητός. προσεκύνησαν αὐτῷ οἱ μαθηταί, προσκυνοῦσιν αὐτῷ οἱ
ἄγγελοι ἐν οὐρανῷ· ⟨φησὶ γὰρ⟩ »καὶ προσκυνησάτωσαν αὐτῷ πάντες
ἄγγελοι θεοῦ« καί »προσκυνήσω σε, κύριε ἡ ἰσχύς μου«. ἓν δὲ πρᾶγμά 6
ἐστι ῥητὸν καὶ σύντομον καὶ ἀναντίθετον, ᾧ τις ἀντειπεῖν οὐ δύνα-
ται· εἰ ἔχουσι μαρτυρίαν οἱ ἐχθραίνοντες τῷ υἱῷ τοῦ θεοῦ δεῖξαι,

4—6 Psal. 46, 4f — **12—14** Kol. 1, 13 — **17** vgl. II Kor. 5, 19 I Joh. 4, 10. 11 — **20f** vgl. Joh. 3, 16 — **25** Deut. 6, 4 — **26ff** vgl. Panarion h. 69, 31, 4 — **28** Psal. 96, 7 — **29** vgl. Psal. 17, 1

L J

1 ἔφη *] ἐφ' ἧν L J | ηὐδόκησεν J **5** ⟨ἐξελέξατο — αὐτοῦ⟩ * **8** ἐκλελεγμένης J | * ⟨ἐν δὲ τῷ εἰπεῖν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα⟩ * | σαρκὸς + τῆς L **14** οἱ < L | ληροῦντες *] νοοῦντες L J **15** εἶναι τὸν υἱόν] γενόμενον υἱόν? * **16** οἱ < J **28** ⟨φησὶ γάρ⟩ * **29** προσκυνήσω *] προσκυνησάτω L J

ποῦ εἶπεν ὁ πατὴρ ὅτι ἔκτισά μοι υἱὸν ἐν παλαιᾷ καὶ ἐν καινῇ διαθήκῃ ἢ ποῦ εἶπεν ὁ υἱὸς ὅτι ἔκτισέ με ὁ πατήρ. τέσσαρα εἰσὶν εὐαγγέλια κεφαλαίων χιλίων ἑκατὸν ἑξήκοντα δύο καὶ ἀπ' ἀρχῆς ἕως τέλους ἐλάλησεν ὁ υἱὸς καὶ πρὸς αὐτὸν ὁ | πατὴρ καὶ οὐδαμοῦ D145
εἶπεν· ἔκτισέ με ὁ πατήρ μου, οὐδὲ ὁ πατήρ· ἔκτισά μοι υἱὸν ἢ ἔκτισα τὸν υἱόν μου.

51. Ἀλλά φησιν ὁ φιλόνεικος καὶ φιλόδοξος· τί οὖν λέγεις τὸ **51, 1**
σῶμα; ἀπὸ Μαρίας δηλονότι ἀνειλημμένον. Μαρία δὲ τί; φησίν, ἄκτιστος ἢ κτιστή; κτιστὴ δηλονότι καὶ αὐτοὶ λέγομεν, γεννηθεῖσα ἐξ ἀνδρὸς καὶ γυναικός. τὸ ἀπὸ Μαρίας οὖν τί λέγεις; προσκυνεῖς τὸν σωτῆρα ἐν σώματι ἢ οὐ προσκυνεῖς; πῶς οὖν μὴ προσκυνήσω; ἐὰν γὰρ μὴ προσκυνήσω, οὐκ ἔχω ζωήν. ἰδοὺ οὖν, κτίσμα προσκυνεῖς τὸ σῶμα. πολλὴ δὲ φρενοβλάβεια τῶν τὰ τοιαῦτα λεγόντων. **2**
καὶ γὰρ βασιλεὺς πορφύραν ἐνδεδυμένος ὑπὸ πάντων προσκυνεῖται. ἆρα ἡ πορφύρα προσκυνεῖται ἢ ὁ βασιλεύς; εὔδηλον ὅτι ὁ βασιλεύς. συμπροσκυνεῖται δὲ αὐτῷ καὶ ἡ πορφύρα φορουμένη· ἐκδυσαμένου δὲ ταύτην τοῦ βασιλέως καὶ εἰς τόπον θεμένου οὐκέτι προσκυνεῖται ἡ πορφυρίς. καθέζεται καὶ ἐν ναῷ πολλάκις βασιλεὺς ἐπὶ θρόνου ἰδίου **3**
καὶ οἱ προσκυνοῦντες προσκυνοῦσι τὸν βασιλέα ἐν τῷ ναῷ τῷ ἰδίῳ καὶ ἐν τῷ θρόνῳ, ἐξεγερθέντος δὲ τοῦ βασιλέως οὐδεὶς οὔτε τὸν ναὸν οὔτε τὸν θρόνον προσκυνεῖ. οὐδεὶς δὲ μεμηνὼς θέλων προσκυνῆσαι τὸν βασιλέα ἐν τῷ ναῷ αὐτοῦ ⟨ὄντα⟩ λέγει τῷ βασιλεῖ· ἔξελθε ἐκ τοῦ ναοῦ σου, ἵνα | σε προσκυνήσω. οὕτω γοῦν οὐδεὶς εἶπε τῷ **4** P3
μονογενεῖ· ἄφες τὸ σῶμα, ἵνα σε προσκυνήσω, ἀλλὰ προσκυνεῖ σὺν τῷ σώματι τὸν μονογενῆ, ⟨τὸν⟩ ἄκτιστον σὺν ναῷ τῷ ἁγίῳ, ὃν ἔλαβεν ἐλθών. καὶ οὐδεὶς λέγει τῷ βασιλεῖ· ἀνάστα ἐκ τοῦ θρόνου **5**
σου, ἵνα σε προσκυνήσω δίχα τοῦ θρόνου, ἀλλὰ προσκυνεῖ τὸν βασιλέα σὺν τῷ θρόνῳ. καὶ γοῦν καὶ ὁ Χριστὸς προσκυνεῖται σὺν τῷ σώματι τῷ ταφέντι καὶ ἐγηγερμένῳ.

52. Ἀλλά, φασί, τί οὖν λέγεις; θέλων ἐγέννησεν ὁ πατὴρ τὸν **52,**
υἱὸν ἢ μὴ θέλων; ἐπειδὴ λέγει⟨ς⟩, ἦν ἀεὶ ⟨ὁ⟩ Λόγος καὶ οὐκ ἦν χρόνος πρὸ τοῦ Λόγου; καίτοι γε καὶ αὐτῶν τῶν Ἀρειανῶν πρὸς ἀπάτην τινῶν ἀχρόνως τὸν | υἱὸν τοῦ θεοῦ φασκόντων γεγεννῆσθαι, D14
μὴ βουλομένων δὲ αὐτὸν ἀίδιον λέγειν, ἀλλὰ λεγόντων, ἦν ποτε ὅτε

3 die Zahl nach Eusebius; vgl. Nestle, Einf. in d. griech. N. Test.³ S. 64 — **30**—S. **61, 23** vgl. Panarion h. 69, 26, 5 u. h. 69, 70

L J

1 *πατὴρ*] *σωτὴρ* J **9** *κτιστὸς* beidemale J | *αὐτοὶ*] *αὐτὴ* L **19** *οἱ* (vor *προσκυνοῦντες*) < L **22** ⟨*ὄντα*⟩ * **25** ⟨*τὸν*⟩ * **31** *λεγει⟨ς⟩* * | ⟨*ὁ*⟩ *

οὐκ ἦν· νομίζουσι δὲ τὸ ποτὲ μὴ εἶναι χρόνον. ἀνεταζομένης δὲ 2
τῆς λέξεως ἐλέγχεις τοὺς ἀμαθεῖς. τὸ ποτὲ γὰρ λεξικῶς λεγόμενον
χρόνου ἐστὶ σημαντικόν. καὶ λέγοντες ⟨αὐ⟩τὸ μὴ λέγειν χρόνον εἰς
ἀτοπίαν ἐμπίπτουσι τοῦ αὐτῶν φρονήματος ἐν κακοπιστίᾳ. εἰρωνείᾳ
γὰρ ταῖς λέξεσι κέχρηνται, τῷ φρονήματι δεινῶς κατὰ τοῦ υἱοῦ τοῦ
θεοῦ ἐστρατευμένοι, ἀλλότριον παντάπασι τῆς τοῦ πατρὸς θεότητος
ἀπηρυθριασμένως δοξάζοντες. θέλων οὖν ἐγέννησεν ἢ μὴ θέλων; 3
ἐὰν εἴπωμεν μὴ θέλων, ἀνάγκη περιβάλλομεν τὸ θεῖον, καὶ ἐὰν
εἴπωμεν ὅτι θέλων, διδόαμεν ὅτι ἦν τὸ θέλημα πρὸ τοῦ Λόγου· κἄν
τε ἄτομον καὶ ῥιπὴ ⟨ὀφθαλμοῦ ἢ⟩ πολλοστημόριον ὥρας εἴη, τὸ
πολλοστημόριον χρόνου ἐστὶ σημαντικὸν πρὸ Λόγου καὶ πάλιν παρεμ-
πίπτομεν τῷ λόγῳ αὐτῶν. καὶ ἐὰν εἴπωμεν ὅτι οὐ θέλων ἐγέννησεν,
ἄρα ἀνάγκη φύσεως ἦκται τὸ θεῖον καὶ οὐκ ἐλευθεριότητι θελήματος.
οὐκ ἔστι δὲ τούτων οὐδὲν εἰς θεόν, ὡς ὑπολαμβάνεις, ὦ κενόδοξε. 4
παρὰ θεῷ γὰρ ταῦτα οὐκ ἔστιν. οὔτε θέλων τοίνυν ἐγέννησεν οὔτε
μὴ θέλων, ἀλλ᾽ ὑπερβολῇ φύσεως. ὑπερβαίνει γὰρ ἡ θεία φύσις
βουλὴν καὶ οὐχ ὑποπίπτει χρόνῳ οὔτε ἀνάγκη ἄγεται. ἐν ἡμῖν γὰρ 5
οὐδέν ἐστιν ἕτοιμον, ὅτι οὐκ ἦμέν ποτε καὶ πρῶτόν τι βουλευόμεθα,
ἔπειτα ποιοῦμεν ὃ πράττομεν, ἢ μὴ βουλευσαμένων ἡμῶν οὐκ ἔστιν
ὃ μηδέπω παρ᾽ ἡμῶν πέπρακται· παρὰ δὲ θεῷ | πάντα τέλεια καὶ P56
λεῖα καὶ πάντα ἐν αὐτῷ πεπλήρωται, καὶ ⟨οὔτε θέλων⟩ οὔτε μὴ
θέλων ἐγέννησε τὸν ἀιδίως ὄντα, γεγεννημένον ἐξ αὐτοῦ ἅγιον Λόγον
καὶ θεόν, ἀλλ᾽ ἐν τῇ ὑπερβολικῇ καὶ ἀφράστῳ αὐτοῦ φύσει.

53. Θαῦμα ⟨δέ⟩ μοι μέγιστον ἐπέρχεται, ὦ υἱοὶ τῆς πίστεως καὶ **53**, 1
ἐκκλησίας, πῶς τὰ ἀληθινὰ ἐξέστρεψαν οἱ φιλόνεικοι εἰς ἀλληγορίαν
καὶ τὰ τροπικῶς εἰρημένα εἰς | τὰ ἀληθινὰ λαμβάνουσι σφαλλόμενοι. D147
τὸ μὲν γὰρ γεγεννῆσθαι, ὅπερ ἐστὶν ⟨ἐν⟩ αὐτῷ κατὰ φύσιν, ἀρνοῦνται,
λέγοντες οὐχ ὡς ἕν τι τῶν γεννημάτων· τὸ δὲ ἐκτίσθαι, ὅπερ ἐστὶν
ἀλλότριον τῆς αὐτοῦ θεότητος, εἴ γε καὶ ἐν ἀλληγορίᾳ ποτὲ εἴρηται,

L J **16—21** (bis *πεπλήρωται*; die beiden mit *ὑπερβαίνει* u. mit *ἐν ἡμῖν γὰρ* beginnenden Sätze jedoch umgestellt) Sacra Parallelia Coisl. 276 f. 121^{v} u. 156^{v} Rupef. f. 119^{r}

3 ⟨αὐ⟩τὸ * | λέγειν] εἶναι? * nach Z. 1 **4** ἐν < L **7** ἀπηρυθριασμένως *] ἀπηλλοτριωμένως L J **10** τε] τι J | ⟨ὀφθαλμοῦ ἢ⟩ *, nach S. 11, 25 | ὥρας < L **14** οὐδὲν < L **15** παρὰ γὰρ θεῷ L **20** παρ᾽] ἐξ Sa Pa | δὲ < L | παρὰ θεῷ δὲ Sa Pa **20 f** καὶ λεῖα < Sa Pa **21** ⟨οὔτε θέλων⟩ Pet. **24** ⟨δέ⟩ * **25** ἐξήστρεψαν J | ἀλληγορίαν] ἀλλότρια J **25 f** καὶ vor εἰς ἀλληγορίαν L **27** ⟨ἐν⟩ *

ἐκεῖνο ἀληθινὸν λέγουσι, τὸ δὲ ἀληθινὸν ἀφανίζουσιν. ἐν τῷ γὰρ 2
εἰπεῖν Ἡσαΐαν »εἶδον τὸν κύριον σαβαὼθ« καὶ »ὤφθη κύριος τῷ
Μωυσῇ« καὶ »ὤφθη κύριος Ἀβραάμ« καὶ »εἶδεν ὅρασιν Δανιήλ,
παλαιὸν ἡμερῶν« καὶ τὰ τοιαῦτα, καὶ ὤφθη κύριος Ἰεζεκιὴλ καὶ
εἶπεν »εἶδον εἶδος θεοῦ«, φασὶ ταῦτα μὴ εἶναι, ὡς τῶν προφητῶν
καταψευδόμενοι· δῆθεν ἀπὸ τοῦ ῥητοῦ τοῦ εὐαγγελίου, οὗ εἶπεν ὁ 3
σωτὴρ διδάσκων ὅτι »θεὸν οὐδεὶς πώποτε ἑώρακε«. καί φασιν· εἰ
τοίνυν ὁ μονογενὴς εἶπεν, ὅτι οὐδεὶς ἑώρακεν, προφῆται δὲ λέγουσιν
ἑωρακέναι, ἀνάγκη ψεύδεσθαι ἢ τὸν μονογενῆ ἢ τοὺς προφήτας. καὶ 4
κατὰ τὸν λόγον τῶν οὕτω λεγόντων καὶ τῶν Μανιχαίων ἔσται τὰ
ἐν προφήταις ψευδῆ. εἰ δὲ οὐ ψεύδονται οἱ προφῆται, ἀλλ' ἀληθεύ-
ουσι, κατὰ τὸν τοῦ σωτῆρος λόγον ὅτι »ὁ λαλῶν ἐν προφήταις, ἰδοὺ
πάρειμι«, νοήσεώς ἐστι τὸ πρᾶγμα καὶ ἀλληγορίας χρεία. καὶ γὰρ 5
οὕτω πολλάκις τοῦτο πληροῦται· ὁρῶμεν τὴν θάλασσαν ἐκ μέρους
τινὸς ⟨ἐξ⟩ ὄρους ἢ πεδιάδος καὶ ἀληθεύομεν ἐν τῷ ⟨λέγειν⟩ ἑωρακέναι.
κἂν δέ τις εἴπῃ ὅτι οὐχ ἑώρακεν, οὐ ψεύδεται, ἀλλ' ἀληθεύει. οὐκ
οἶδε γὰρ ποῦ τὸ βάθος ποῦ τὸ μῆκος, οὐκ οἶδε τὸν ὄγκον οὐκ οἶδε
τὸ κύτος. καὶ ἀπὸ ὀπῆς τινος θεωροῦμεν οὐρανόν, τὴν δὲ ἐπέκτασιν 6
οὐκ ἐπιστάμεθα. κἂν εἴπῃ τις εἶδον, εἶδεν· κἂν ἄλλος εἴπῃ οὐκ
εἶδον, οὐκ εἶδεν. εἴδομεν γὰρ ἀληθῶς ὡς χωροῦμεν, οὐκ | εἴδομεν P57
δὲ καθό ἐστιν. οὕτω καὶ οἱ προφῆται ὡς δι' ὀπῆς ⟨διὰ⟩ τοῦ 7
στενωποῦ τοῦ ἰδίου σώματος κατηξιώθησαν ἰδεῖν καὶ ⟨ἐν⟩ ἀληθείᾳ
εἶδον, ⟨ἀλλ'⟩ οὐχ ὡς ἔχει τὸ ἄπειρον τῆς θεωρίας. καὶ οὕτω 8
πεπλήρωνται συνᾴδουσαι πρὸς ἀλλήλας αἱ θεῖαι γραφαί, τό τε τοὺς
προφήτας λέγειν ἑωρακέναι | (εἶδον γὰρ ἐν ἀληθείᾳ) καὶ τὸ τὸν D148
σωτῆρα λέγειν »θεὸν οὐδεὶς πώποτε τεθέαται«· (οὐκ εἶδον δὲ καθό
ἐστιν). ἀλλὰ [καὶ] αὐτὸς εἶδεν ἀοράτως τὴν φύσιν, δέδωκε δὲ τῷ

1—S. **63**, **2** vgl. Panarion h. 70, 7—8 — **2** Jes. 6, 1. 5 — **3** Gen. 12, 7 — Dan. 7, 9 — **4f** vgl. Ezech. 1, 26f — **7** Joh. 1, 18 — **10** zu *Μανιχαίων* vgl. Panarion h. 66, 82—85 — **12** Agraphon, vgl. Resch Agrapha² S. 207 — **21** vgl. Plato Respubl. VII 1 — **26** I Joh. 4, 12

L J

1 *γὰρ* < J **3** *οἶδεν* J **4** *καὶ τὰ τοιαῦτα* wohl hinter *εἶδος θεοῦ* (Z. 5) zu setzen * **6** *καταψευδόμενοι* *] *καταψεύδεσθαι* L J | *δῆθεν* *] *μηδὲν* L J **7** *πόποτε* J **7f** *καί φασιν — ἑώρακεν* < J **12** *τοῦ* < J **15** ⟨*ἐξ*⟩ * | ⟨*λέγειν*⟩ * **16** *εἴποι* J **18** *θεωροῦμεν*] *ὁρῶμεν* J | *οὐρανόν*] *ἄνθρωπον* J **19** *εἴποι* (im ersten Fall) J | *κἂν*²] *ἄν* J **20** *εἴδωμεν*¹ J | *ὡς*] *εἰ* L **21** ⟨*διὰ*⟩ * **22** ⟨*ἐν*⟩ *ἀληθείᾳ*, ⟨*ἐν*⟩ * nach Z. 25] *ἀλήθειαν* J **23** ⟨*ἀλλ'*⟩ * **26** *πόποτε* J | *τεθέαται*] *ἑώρακεν* J **27** [*καὶ*] *

μὴ δυναμένῳ ὁρᾶν δύναμιν χαρίσματος εἰς τὸ ἰδεῖν τὴν δύναμιν τῆς θεωρίας.

54. Ἀλλὰ μὴ πάλιν δραματουργῶν λέγῃς· εἶδον μὲν οἱ προφῆται **54, 1** οὐκ ὀφθαλμοῖς, ἀλλὰ διανοίᾳ, συνιέντες μονονουχὶ καὶ ⟨μὴ⟩ ὁρῶντες. διὰ τοῦτο γὰρ ἀκριβῶς λέγει Ἡσαΐας »τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων ἐν λαῷ ἀκάθαρτα χείλη ἔχοντι ἐγὼ οἰκῶ καὶ κύριον σαβαὼθ εἶδον«· καὶ οὐκ εἶπεν, εἶδον τῇ διανοίᾳ, ἀλλὰ »τοῖς ὀφθαλμοῖς μου«. εἶδον οὖν καὶ οὐκ εἶδον, ἀλλ' ὡς ἠδύνατο, ἐν ἀληθείᾳ δὲ εἶδον, οὐκ εἶδον δὲ ὡς ἔχει τὸ ἄπειρον τῆς ἀκαταληψίας. οὕτως καὶ περὶ παραδείσου πολλοὶ ἀλληγοροῦσιν, **2** ὡς ὁ θεήλατος Ὠριγένης ἠθέλησε φαντασίαν μᾶλλον ἤπερ ἀλήθειαν τῷ βίῳ συνεισενέγκασθαι. καί φησιν· οὐκ ἔστι παράδεισος ἐπὶ τῆς γῆς· δῆθεν ἀπὸ τοῦ ῥητοῦ τοῦ παρὰ τοῦ ἁγίου ἀποστόλου εἰρημένου **3** ὅτι »οἶδα ἄνθρωπον πρὸ ἐτῶν δεκατεσσάρων, εἴτε ἐν σώματι οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα, ὁ θεὸς οἶδεν, ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ«. ἀλλὰ μὴ παρα⟨να⟩γίνωσκε καὶ λέγε ὅτι τὸ τρίτον τοῦ ἀέρος ⟨σημαίνει⟩· οὐ γὰρ εἰπὼν »ἕως τρίτου οὐρανοῦ« περὶ μέρους τρίτου λέγει, ἀλλὰ περὶ τριῶν ἀριθμῶν. καί **4** φησιν »οἶδα τὸν τοιοῦτον ἄνθρωπον ἁρπαγέντα εἰς τὸν παράδεισον καὶ ἀκούσαντα ῥήματα ἃ οὐκ ἐξὸν ἀνθρώπῳ εἰπεῖν«. δόξα τῷ **5** παντοκράτορι θεῷ, τῷ κατὰ πάντα τρόπον διατρανοῦντι καὶ λεπτολογοῦντι, ἵνα οἱ ἀληθινοὶ * μὴ σφάλλωνται. οὐ γὰρ ἐν μιᾷ συντομίᾳ τὸν οὐρανὸν καὶ τὸν παράδεισον συνῆψεν, ἀλλὰ »οἶδα ἄνθρωπον« φησίν »ἁρπαγέντα ἕως τρίτου οὐρανοῦ« καὶ πάλιν »ἁρπαγέντα εἰς τὸν παράδεισον«. τὸ δὲ μετὰ τοῦ ἄρθρου | ἑτέρου προσώπου ἐστὶ δια- D149
λῃπτικὸν καὶ ἑτέρου τόπου μετα|στατικόν. ὡς εἴ τις ἔχοι ὄρος **6** P58
καὶ πεδιάδα, τὴν δὲ πεδιάδα ἐγκυκλεύουσαν τὸ ὄρος, βουληθείη δὲ εἰς τὸ πέραν τοῦ ὄρους ἐν τῇ αὐτῇ πεδιάδι παραγενέσθαι, καὶ ὅτε μὲν θελήσει διὰ τῆς πεδιάδος τὴν ὁδοιπορίαν ποιήσασθαι εἰς τὸν

5—8 Jes. 6, 5 — **10 f** vgl. Pan. h. 64, 4, 11 u. Epiph. ep. ad Joh. episc. Hieros. = Hieronymi ep. 51, 5, 5 (CSEL 54, 1 S. 404, 5ff Hilberg) — **12 ff** Methodius de resurr. I c. 55 Bonwetsch (= Panarion h. 64, 47); vgl. ep. ad Joh. episc. Hieros. = Hieronymi ep. 51, 5, 7 (CSEL 54, 1 S. 405, 8ff Hilberg) — **14—16** II Kor. 12, 2 — **19** II Kor. 12, 3 L J

3 λέγῃς *] λέγεις L J **4** ὀφθαλμῷ J | ⟨μὴ⟩ *, μόνον, οὐχὶ καὶ ὁρῶντες Klosterm. **6** vor λαῷ + τῷ J **7** ἔχοντα J **9** ὡς ἠδύνατο = wie es möglich war * **10** ἀκαταλήψεως L | πολλοὶ hinter οὕτως und + οἱ J **14** οἶδα] εἶδον J **16** τὸν < L | παρα⟨να⟩γίνωσκε *, vgl. Ancoratus c. 75, 1 **17** ⟨σημαίνει⟩ * **21** παντωκράτορι J | διατρανοῦντι] δευτεροῦντι L **22** * etwa ⟨προσκυνηταὶ⟩ * **26** τόπου *] τρόπου L J | μεταθετικόν J | ἔχει L **28** αὐτοῦ J

τόπον, ὅπου δ᾽ἂν ἐθέλοι ⟨ἐπέκεινα⟩ τοῦ ὄρους ἀπελθεῖν, δυνατὸν ἔσται αὐτῷ τοῦτο· εἰ δὲ θελήσει πρῶτον μὲν ἐμβῆναι εἰς τὸ ὄρος καὶ ἀπὸ τοῦ ὄρους πάλιν εἰς τὸν τόπον τῆς πεδιάδος τῆς ἐπέκεινα τοῦ ὄρους γενέσθαι, καὶ οὕτως αὐτῷ δυνατόν. οὕτω μοι νόει καὶ τὸ παρὰ τοῦ 7
5 ἀποστόλου εἰρημένον· πρῶτον μὲν εἰς τὸν οὐρανὸν ἀναβεβηκέναι, ⟨ἔπειτα δὲ εἰς τὸν παράδεισον καταβεβηκέναι⟩, κατὰ τὸ εἰρημένον »κατέβη ὁ ἀδελφιδοῦς μου εἰς κῆπον αὐτοῦ«. * καὶ ὁ σωτὴρ φησι »σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ«.

55. Εἰ δὲ οὐκ ἔστιν ἐπὶ γῆς ὁ παράδεισος καὶ οὐκ ἀληθινὰ τὰ 55, 1
10 ἐν Γενέσει γεγραμμένα, ἀλλὰ ἀλληγορεῖται, οὐδὲν ἀληθεύει τῆς ἀκολουθίας, ἀλλὰ πάντα ἀλληγοροῦνται. »ἐν ἀρχῇ, γάρ φησι, ἐποίησεν 2
ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν«· καὶ οὐκ ἔστιν ἀλληγορούμενα, ἀλλ᾽ ὁρατά. καὶ στερέωμα, φησί, καὶ θάλασσαν, βλαστήματά τε καὶ ξύλα καὶ βοτάνας χόρτον ζῷα ἰχθύας ὄρνεα, πάντα τὰ ὁρώμενα ἐν
15 ἀληθείᾳ γεγονότα, ἄνθρωπον ⟨τε⟩ ἐν ἀληθείᾳ ὄντα ἐποίησεν. ἔθηκε 3
τοίνυν τοῦτον ὃν ἔπλασεν ἐν τῷ παραδείσῳ, κατ᾽ εἰκόνα ποιήσας τὸν αὐτὸν ἄνθρωπον, κατ᾽ εἰκόνα θεοῦ δέ. μὴ περιεργάζου δὲ τὰ 4
τοῦ θεοῦ δωρήματα τὰ κατὰ χάριν τῷ ἀνθρώπῳ δεδομένα. οὐκ ἀρνούμεθα γὰρ πάντας ἀνθρώπους εἶναι κατ᾽ εἰκόνα θεοῦ. τὸ δὲ 5
20 πῶς οὐ περιεργαζόμεθα τοῦ κατ᾽ εἰκόνα. οὔτε γὰρ τὸ πλάσμα νοοῦμεν κατ᾽ εἰκόνα οὔτε τὴν ψυχὴν οὔτε τὸν νοῦν οὔτε τὴν ἀρετήν. πολλὰ

7 Hohel. 6, 1 — **8** Luk. 23, 43 — **11** Gen. 1, 1 — **17 ff** vgl. Panarion h. 70, 3 u. ep. ad Joh. episc. Hieros. = Hieronymi ep. 51, 7, 2 (CSEL 54, 1 S. 409, 10 ff Hilberg)

L J **9—13** = Anastasius Sin. quaest. 23; Migne 89, 540 C **15 f** ebenda 540 C/D **15**—S. **65, 17** Sacra Parallela Vat. 1553 f. 36^{r-v} Rupef. f. 8^{v} (S. 65, 1—3 hier ausgelassen); S. 65, 9—17 noch einmal Rupef. f. 279^{v}

1 *ἐθέλοι*] ἔλθῃ L | ⟨*ἐπέκεινα*⟩ * **4** *περὶ* J **6** ⟨*ἔπειτα δὲ εἰς τὸν παράδεισον καταβεβηκέναι*⟩ * **7** vor *κῆπον* + *τὸν* J | * ausgefallen ist wohl eine längere Bemerkung über die Lage des Paradieses auf Erden * **9** *εἰ δὲ*] *ὅτι* Anast. Sin. | *ὁ* < L J | *οὐκ*^{2} < Anast. Sin. | *ἀληθῆ* Anast. Sin. **10** *ἀληθεύει* Anast. Sin.] *ἕνι* L J **11** *ἀλλὰ* < Anast. Sin. | *ἀλληγορούμενα* Anast. Sin. | *φησι* < L J **13** *ὁρώμενα* Anast. Sin. | *θαλάσσας* L **15** ⟨*τε*⟩ * | *ὄντα* Anast. Sin.] *ὂν* L J **16** *τῷ* < L Sa Pa **17** *κατ᾽ εἰκόνα* < Sa Pa | *δὲ*^{2} < Sa Pa **18 f** *οὐκ ἀρνούμεθα — θεοῦ* < Sa Pa$^{rup.}$ **19** *γὰρ* < J **19 f** *τὸ δὲ πῶς — εἰκόνα*] *καὶ τὸ πῶς κατ᾽ εἰκόνα θεοῦ οὗτος* Sa Pa **20** *τοῦ* *] *τὸ* L J **20—21** *τοῦ κατ᾽ εἰκόνα — τὴν ψυχὴν* < Sa Pa^{v} **21** *οὔτε τὴν ψυχὴν — ἀρετήν*] *οὔτε τὴν ἀρετὴν οὔτε τὴν καρδίαν* Sa Pa$^{rup.}$

γάρ ἐστι τὰ κωλύοντά με οὕτως λέγειν. ἀλλ᾽ οὔτε λέγομεν τὸ σῶμα 6
μὴ εἶναι κατ᾽ εἰκόνα οὔτε τὴν ψυχήν. πιστῶν γὰρ τὸ ὁμολογεῖν τὴν
γραφὴν καὶ μὴ ἀρνεῖσθαι, ἀπίστων δὲ τὸ | »ἀθετεῖν τὴν χάριν«. ἔστιν D150
οὖν ἐν τῷ ἀνθρώπῳ τὸ κατ᾽ εἰκόνα, αὐτὸς δὲ οἶδεν ὁ θεὸς πῶς
ἐστιν. ἐὰν γὰρ εἴπῃς τὸν ἄνθρωπον ἐποίησε κατ᾽ εἰκόνα καὶ νομίσῃς 7
εἶναι τὸ σῶμα, ὁ δὲ θεὸς ἀόρατος ἀκατάληπτος ἀπερινόητος, πῶς
τὸ ὁρατὸν καὶ καταληπτὸν καὶ ὑπὸ ἁφὴν ἐμπῖπτον εἰκὼν ἔσται τοῦ
ἀοράτου καὶ ἀκαταλήπτου; καὶ ἐὰν εἴπῃς, οὐκ ἔστι τὸ σῶμα κατ᾽ 8
εἰκόνα, »ἔλαβε« | φησί »χοῦν ἀπὸ τῆς γῆς καὶ ἔπλασε τὸν ἄνθρωπον«. P59
καὶ ἄνθρωπον καλεῖ τὸ χοϊκόν, καὶ ἄνθρωπον καλεῖ τὸ ψυχικόν·
»ἐνεφύσησε« γάρ φησιν »εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς καὶ
ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν«. κτιστὴν δὲ τὴν ψυχὴν καὶ 9
τὸ σῶμα νοοῦμεν. πῶς κτιστήν; »ἐνεφύσησε« γάρ φησιν· καὶ οὔτε
μέρος θεοῦ λέγομεν εἶναι τὴν ψυχὴν οὔτε ἀλλοτρίαν τοῦ ἐμφυσή-
ματος. πῶς δὲ κατὰ λεπτὸν τοῦτο νοεῖται, θεῷ μόνῳ ἔγνωσται.

56. Ἡμεῖς δὲ ἀπεριέργως καὶ ἀκακουργήτως πιστεύομεν θεῷ τῷ 56, 1
ἀληθεύοντι ἐν πᾶσι. καὶ ἐὰν εἴπῃς ὅτι ἡ ψυχή ἐστι τὸ κατ᾽ εἰκόνα,
〈ἄκουε〉 λέγοντος τοῦ ἀποστόλου ὅτι »ζῶν ὁ λόγος τοῦ θεοῦ καὶ
ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον καὶ διικνού-
μενος ἄχρι μερισμῶν ψυχῆς«. εἰ τοίνυν μερισμοὺς ἔχει ἡ ψυχή, ὁ θεὸς 2
δὲ ἀμέριστός ἐστι, πῶς δύναται ἡ ψυχὴ εἶναι τὸ κατ᾽ εἰκόνα; οὐ γὰρ
οἶδε τὸ μέλλον ἡ ψυχή, ὁ θεὸς δὲ πάντως οἶδε. καὶ βλέπομεν τὰ

3 vgl. Gal. 2, 21 — **9** Gen. 2, 7 — **11** Gen. 2, 7 — **18** Hebr. 4, 12

L J Sa Pa (bis Z. 17 *ἐν πᾶσι*)

1 *οὕτως* < L J Sa Pa^{V} **2** *γὰρ*] *δὲ* L J Sa Pa$^{rup.}$ **4** *ὁ θεὸς οἶδεν* Sa Pa | vor *πῶς* + *τὸ* J **5** *εἴποις* J **6** *ὁ δὲ*] *ὁ μὲν* Sa Pa^{V} *ἀλλ᾽ ὁ* Sa Pa$^{rup.}$ | *ἀόρατος* + *ἀσύνθετος* Sa Pa$^{rup.}$ | vor *ἀκατάληπτος* u. *ἀπερινόητος* + *καὶ* Sa Pa^{V} | *πῶς*] < J *πῶς οὖν* Sa Pa^{V} **6f** *πῶς τὸ*] *τὸ δὲ σῶμα τοῦ ἀνθρώπου* Sa Pa$^{rup.}$ **7** vor *εἰκὼν* + *πῶς οὖν* Sa Pa$^{rup.}$ | *ἔσται εἰκὼν* Sa Pa^{V} **8** *ἀοράτου καὶ* < Sa Pa^{V} | *τὸ σῶμα οὐκ ἔστι* Sa Pa **9** *εἰκόνα* + *γέγραπται ὅτι* Sa Pa$^{rup.}$; dafür *φησί* < | *γῆς* + *ὁ θεὸς* Sa Pa$^{rup.}$; vielleicht 〈*ἀλλ᾽*〉 vor *ἔλαβε* einzusetzen * **10** *καὶ ἄνθρωπον*] *ἄνθρωπον δὲ* Sa Pa^{V} | *τὸν χοϊκ.* u. *τὸν ψυχικ.* Sa Pa$^{rup.}$ **11** *φησιν* < Sa Pa | *πνοὴν ζωῆς* < L J **12** *ὁ* < L J | *κτιστὴν* — *ψυχὴν* < Sa Pa^{V} | *κτιστὴν δὲ* + *εἶναι* Sa Pa$^{rup.}$ **13** *πῶς κτιστὴν* — *φησιν* < Sa Pa **14** *λέγομεν εἶναι τὴν ψυχὴν*] *τὴν ψυχὴν λέγομεν* Sa Pa | *ἀλλότριον* L J **15** *κατὰ* *] *τὸ* L J Sa Pa | *λεπτὸν*] *ἄληπτον* Sa Pa^{V} **16** *θεῷ τῷ* Sa Pa] *τῷ θεῷ* L J **18** 〈*ἄκουε*〉 * | *τοῦ ἀποστόλου λέγοντος* L **19** *τομώτερος* + *ἐστὶν* J **21** *εἶναι* < L | nach *κατ᾽ εἰκόνα* wohl ein oder mehrere Sätze ausgefallen * **22** *πάντως*] *τὰ πάντα* L

ἔμπροσθεν τοῦ σώματος, τὰ κατόπιν ἀγνοοῦντες. καὶ ἐὰν εἴπῃς ὅτι οὐκ ἔστιν ἡ ψυχή, πάντως ὅτι καὶ τὴν ψυχὴν ἄνθρωπον κέκληκεν, καὶ ψυχὴ καὶ σῶμά ἐστιν ἄνθρωπος. ἀλλ᾽ εἴποις τὸν νοῦν εἶναι τὸ κατ᾽ 3
εἰκόνα. λέγει ⟨δὲ⟩ ἡ γραφή »ὁρῶ νόμον ἕτερον ἀντιστρατευόμενον ἐν
5 τοῖς μέλεσί μου καὶ αἰχμαλωτίζοντά με ἐν τῷ νοΐ μου τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου«. πῶς οὖν αἰχμαλωτιζόμενος ⟨ὁ νοῦς⟩ ἔσται κατ᾽ εἰκόνα; * ὅτι ψαλῶ τῷ νοΐ, ψαλῶ τῷ πνεύματι«.

καὶ ἐὰν εἴπῃς ἀρετὴν εἶναι | τὸ κατ᾽ εἰκόνα, ἐρῶ σοι· εἰπέ μοι περὶ 4 D151
τοῦ Ἀδάμ, ποίαν ἀρετὴν εἰργάσατο πρὸ τοῦ αὐτὸν πλασθῆναι; οὐ
10 γὰρ ἦν ⟨ἀρετὴ⟩ ἐν ἀρχῇ, ἀπ᾽ ἀρχῆς δὲ ἐπλάσθη κατ᾽ εἰκόνα. καὶ ἐὰν εἴπῃς μὴ εἶναι τὴν ἀρετήν, οὐ καλῶς λέγεις. τίνι γὰρ πρέπει εἶναι κατ᾽ εἰκόνα ἀλλ᾽ ἢ τῇ ἀρετῇ; πρὶν δὲ ἀρετῆς κατ᾽ εἰκόνα ἐπλάσθη ὁ ἄνθρωπος. οὕπω γὰρ ἦν ὁ Ἀδὰμ ἐν ἀρετῇ πολιτευσάμενος, δηλον-
⟨ότι⟩ οὔτε ἐκτισμένος. καὶ ἐὰν εἴπῃς τὸ βάπτισμα εἶναι κατ᾽ εἰκόνα, 5
15 ἆρα οἱ μὴ λαβόντες βάπτισμα δίκαιοι οὐκ ἦσαν κατ᾽ εἰκόνα; ἀπὸ γὰρ Μωυσέως καὶ θαλάσσης ἤρξατο ὁ τύπος, ἀπὸ Ἰωάννου ἠνοίγη ἡ χάρις, ἐν δὲ Χριστῷ ἐτελειώθη τὸ δῶρον. | P60

57. Ἔχουσιν οὖν πάντες τὸ κατ᾽ εἰκόνα, ἀλλ᾽ οὐ κατὰ φύσιν. 57, 1
οὐ γὰρ κατὰ ἰσότητα θεοῦ ἔχουσιν οἱ ἄνθρωποι τὸ κατ᾽ εἰκόνα.
20 ὁ θεὸς γὰρ ἀκατάληπτος ἀπερινόητος, πνεῦμα ὢν καὶ πνεῦμα ὑπὲρ πᾶν πνεῦμα καὶ φῶς ὑπὲρ πᾶν φῶς. ἃ δὲ αὐτὸς ἐδωρήσατο οὐκ ἀπο- 2
στεροῦμεν ⟨τὸν ἄνθρωπον⟩· ἀληθὴς γάρ ἐστιν ὁ μετὰ χάριτος τὸ κατ᾽ εἰκόνα τῷ ἀνθρώπῳ δωρησάμενος. καὶ νοῆσαί ἐστιν ἀπὸ τῶν ὁμοίων·

ὁρῶμεν γὰρ ὅτι ἔλαβεν ὁ σωτὴρ εἰς τὰς χεῖρας αὐτοῦ, ὡς ἔχει ἐν 3
25 τῷ εὐαγγελίῳ, ὅτε ἀνέκειτο ἐν τῷ δείπνῳ καὶ ἔλαβε τάδε καὶ εὐχαριστήσας εἶπε »τοῦτό μού ἐστι τάδε« καὶ ἔδωκε τοῖς αὐτοῦ μαθηταῖς καὶ εἶπε »τοῦτό μού ἐστι τάδε.« καὶ ὁρῶμεν ὅτι οὐκ ἴσον ἐστὶν 4

4 Röm. 7, 23 — **7** I Kor. 14, 15 — **24** vgl. Matth. 26, 26ff Mark. 14, 22 Luk. 22, 14ff

L J **22f** (*ἀληθὴς — δωρησάμενος*) Sacra Parallela Rup. f. 8^{v}

1 vielleicht nach *ἀγνοοῦντες* ausgefallen: ⟨*ὁ θεὸς δὲ τὰ πάντα ὁρᾷ*⟩ * **2** *ὅτι* < J **3** *εἴπῃς* L **4** ⟨*δὲ*⟩ * **7** ⟨*ὁ νοῦς*⟩ * | * ergänze etwa ⟨*ἐὰν δὲ εἴπῃς, μὴ εἶναι τὸν νοῦν κατ᾽ εἰκόνα, ἄκουε τοῦ ἀποστόλου λέγοντος*⟩ * | *ὅτι*] *ἔτι* L | *ψαλῶ* beidemale J *ψάλλω* L **8** *καὶ* < L **10** ⟨*ἀρετὴ*⟩ * **11f** *κατ᾽ εἰκόνα εἶναι* J **13f** *δηλον*⟨*ότι*⟩ *, < J **15** *δίκαιοι βάπτισμα* L **16** *ἡ χάρις*] *ὁ τύπος* J **20** *ὁ γὰρ θεὸς* J | *πνεῦμα*^{2} < J **21** *ἐδωρήσατο* *] *διώρισεν* L J **22** ⟨*τὸν ἄνθρωπον*⟩ * **23** *νοῆσαι*] *ὅσα* J **24** *σωτὴρ*] *πατὴρ* J **25** *ὅτε* *] *ὅτι* L J | *ἀνέκειτο*] *ἀνέστη* J **26** *τάδε*] *τόδε* J **26f** *καὶ ἔδωκε — τάδε* < J

*οὐδὲ ὅμοιον οὐ τῇ ἐνσάρκῳ εἰκόνι οὐ τῇ ἀοράτῳ θεότητι οὐ τοῖς χαρακτῆρσι τῶν μελῶν. τὸ μὲν γάρ ἐστι στρογγυλοειδὲς * καὶ ἀναίσθητον. * ὡς πρὸς τὴν δύναμιν καὶ ἠθέλησεν χάριτι εἰπεῖν »τοῦτό μού ἐστι τάδε« καὶ οὐδεὶς ἀπιστεῖ τῷ λόγῳ. ὁ γὰρ μὴ πιστεύων εἶναι αὐτὸν ἀληθινὸν ἐν ᾧ εἶπεν, ἐκπίπτει τῆς χάριτος καὶ τῆς σωτηρίας. ὅταν δὲ ἀκούσωμεν, καὶ πιστεύσωμεν· πιστεύομεν ὅτι ἔστιν αὐτοῦ *, τὸν δὲ κύριον ἡμῶν οἴδαμεν ὅλον αἰσθησιν ὅλον αἰσθητικὸν ὅλον θεὸν ὅλον κινοῦντα ὅλον | ἐνεργοῦντα ὅλον φῶς ὅλον Λόγον, D152 ἀκατάληπτον, ἀλλὰ μετὰ χάριτος ἡμῖν τοῦτο δεδωρημένον.*

58. *Οὕτος τοίνυν ὁ Ἀδὰμ ἐν τῷ παραδείσῳ ἐτέθη καὶ ἔφαγεν ἀπὸ τοῦ ξύλου. ὁ δὲ παράδεισος, φησίν »ἐν Ἐδὲμ κατὰ ἀνατολάς«· »πηγὴ δὲ ἀνέβαινεν ἐξ Ἐδέμ«, καὶ οὐκ εἶπε »κατέβαινεν«, ἵνα μὴ νομίσωμεν ἐν οὐρανῷ εἶναι τὴν Ἐδέμ. εἰ γὰρ ἐν οὐρανῷ ἦν, ἄνωθεν ἂν εἶπε »κατέρχεται« πηγή. ἀλλὰ ⟨καί⟩ φησι »ποταμὸς ἐκπορεύεται ἐξ Ἐδέμ«· καὶ οὐκ εἶπε κατέρχεται. οὗτος »ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. ὄνομα τῷ ἑνὶ Φεισών«, καὶ ὁρῶμεν τὸν Φεισὼν ἐπ᾽ ὄψεσιν ἡμῶν. καὶ Φεισὼν μέν ἐστιν ὁ Γάγγης παρὰ τοῖς Ἰνδοῖς καλούμενος καὶ Αἰθίοψιν, Ἕλληνες δὲ τοῦτον καλοῦσιν Ἰνδὸν ποταμόν. »πᾶσαν γὰρ τὴν Εὐιλὰτ περικυκλοῖ«, τὴν μικρὰν Αἰθιοπίαν καὶ τὴν μεγάλην, τὰ μέρη τῶν Εὐιλαίων, διαπερᾷ δὲ τὴν μεγάλην Αἰθιοπίαν καὶ πίπτει εἰς τὸν νότον καὶ δύνει ἔσωθεν Γαδείρων εἰς τὸν μέγαν Ὠκεανόν.* 58, 1 2

10ff vgl. ep. ad Joh. episc. Hieros. = Hieronymi ep. 51, 5, 5 (CSEL 54, 1 S. 404, 15ff Hilberg) — **11** Gen. 2, 8 — **12** Gen. 2, 6 — **14—16** Gen. 2, 10f — **17—21** vgl. de duod. gemmis 16 u. 25 (CSEL 35II S. 747, 27ff u. 750, 7ff Günther) — **18f** Gen. 2, 11

L J **10**—S. **69**, **2** Anast. Sin. quaest. 23; Migne 89, 540 D—541 B

1 *οὐδὲ*] *οὐχ* L **2** * etwa ⟨*τὸ δὲ ἄπειρον*⟩ * **3** * etwa ⟨*ἀλλ᾽ ὅμοιά εἰσιν*⟩ * | *ἠθέλησε* J **4** *τόδε* J **5** *ἐν ᾧ* *] *ὡς* L J **6** *ὅταν*] *ὅτι* J **7** * ⟨*σῶμα*⟩ * **8** *λόγον* < J **10** *οὕτω* Anast. Sin. | vor *ὁ Ἀδὰμ* + *καὶ* Anast. Sin. | *τεθεὶς ἐν τῷ παραδείσῳ τῆς τρυφῆς ἔφαγεν* Anast. Sin. **12f** *νομίσωμεν*] *νοήσωμεν* Anast. Sin. **13** *ἐν οὐρανῷ*[1]] *ἐξ οὐρανοῦ* J **13f** *ἂν εἶπε*] *εἶχεν εἰπεῖν ὅτι* Anast. Sin. **14** *πηγὴ* < Anast. Sin. | ⟨*καί*⟩ * **15** *οὐκ εἶπε — οὗτος* < Anast. Sin. | *ἀφορίζει* L J *dividitur* ep. ad Joh. episc. **16** *τῷ*] *δὲ* J **16f** *καὶ ὁρῶμεν — μέν ἐστιν* < Anast. Sin. **16** *ὁρῶμεν*] *ἑωρῶμεν*? *, vgl. die zu S. 68, 1 angeführte Stelle aus der ep. ad Joh. ep.; doch beachte *ὁρῶμεν* S. 69, 3 **17—18** freier gestaltet bei Anast. Sin. **19** *Αἰθιοπίαν* < J **20** *Εὐιλαίων* *, nach de duod. gemmis 20 (CSEL 35II S. 748, 27 Günther)] *Ἐλλυμαίων* L J *Εὐιλέων· Εὐιλέους δέ φησιν εἶναι τοὺς ἐσωτάτους Ἰνδοὺς* Anast. Sin. **21** *δύνει* Ausgg., vgl. S. 68, 8] *δύει* L J *δύσιν* Anast. Sin. | *Ὠκεανὸν* + *τὸν κυκλοῦντα πᾶσαν τὴν γῆν* Anast. Sin.

δεύτερος ποταμὸς »Γεών«. καὶ αἰσθητὸν ὁρῶμεν τὸν ποταμὸν καὶ 3
οὐκ ἀλληγορούμενον· οὗτος γὰρ ὁ κατὰ τὴν Αἰθιοπίαν κατερχόμενος
καὶ διαπερῶν τὴν μικρὰν Αἰθιοπίαν, Ἀνουβίτίν τε καὶ Βλεμμύαν
καὶ Ἀξωμῖτιν καὶ ἐπικλύζων τὰ μέρη Θηβαΐδος | καὶ Αἰγύπτου εἰς P61
τὴν θάλασσαν ταύτην ἐκπίπτει. εἰ δέ τις ἀπιστεῖ, ἀκουέτω τοῦ Ἱερεμίου
λέγοντος »ἵνα τί ὑμῖν καὶ τῇ γῇ Αἰγύπτου τοῦ πιεῖν ὕδωρ Γεὼν τὸ τεθο-
λωμένον«; »τρίτος« φησί »ποταμὸς Τίγρης, ὁ πορευόμενος κατέναντι 4
τῶν Ἀσσυρίων«· διατέμνει γὰρ τὰ μέρη τῆς Ἀνατολῆς καὶ δύνει ὑπὸ
τὴν γῆν καὶ ἀνίσχει ἀπὸ τῆς Ἀρμενίας κατὰ μέσον Καρδυαίων καὶ
Ἀρμενίων καὶ ἀναπηγάζει πάλιν καὶ διατέμνεται εἰς τὴν τῶν Ἀσσυ-
ρίων γῆν. ἀλλὰ καὶ ὁ ποταμὸς ὁ τέταρτος Εὐφράτης, ὡσαύτως 5
ὁμοίως τῷ αὐτῷ τρόπῳ δύνων ὑπὸ τὴν γῆν ἀνέρχεται ἀπὸ τῆς
Ἀρμενίας καὶ οὕτως ἐπικλύζει τὴν Περσίδα. εἰ τοίνυν οὐκ ἔνι παρά- 6 D153
δεισος αἰσθητός, οὐκ ἔνι πηγή· εἰ οὐκ ἔνι πηγή, οὐκ ἔνι ποταμός·
εἰ οὐκ ἔνι ποταμός, οὐκ εἰσὶ τέσσαρες ἀρχαί· εἰ οὐκ ἔνι Φεισών, οὐκ
ἔνι Γεών, οὐκ ἔνι Τίγρης· εἰ οὐκ ἔνι Τίγρης, οὐκ ἔνι Εὐφράτης· εἰ 7
οὐκ ἔνι Εὐφράτης, οὐκ ἔνι συκῆ, οὐκ ἔνι φύλλα, οὐκ ἔνι Ἀδάμ, οὐκ
ἔνι ⟨τὸ⟩ φαγεῖν, οὐκ ἔνι Εὔα· εἰ οὐκ ἔνι Εὔα, οὐκ ἔφαγεν ἀπὸ τοῦ
ξύλου· εἰ οὐκ ἔφαγεν ἀπὸ τοῦ ξύλου, οὐκ ἔνι Ἀδάμ· εἰ οὐκ ἔνι Ἀδάμ, 8

1 Gen. 2, 13; zu *ὁρῶμεν* vgl. ep. ad Joh. episc. Hieros. = Hieronymi ep. 51, 5, 6 (CSEL 54, 1 S. 404, 18f Hilberg) ego, ego vidi aquas Geon, aquas quas his oculis carnis aspicerem — **6** Jerem. 2, 18 — **7** Gen. 2, 14 — **11** vgl. Gen. 2, 14 — **13ff** vgl. ep. ad Joh. episc. Hieros. = Hieronymi ep. 51, 5, 6 (CSEL 54, 1 S. 405, 1ff Hilberg)

L J Anast. Sin.

1 *Γεών* + *ὁ καὶ Νεῖλος* Anast. Sin. **1f** *καὶ αἰσθητὸν — οὗτος γὰρ ὁ* < Anast. Sin. **1** *ἑωρῶμεν*? * vgl. zu S. 67, 16 **3** *Ἀνουβίτην* J Anast. Sin. *[Ἀ]νουβίτιδα* Marquart; jedenfalls ist Nubien gemeint | *Βλεμενίαν* J *Βλεμμίαν* L **4** *Ἀξωμῖτιν* *] *αὐζωμίτιν* L *ἐζωμίτιν* J *Ἀξονίτην* Anast. Sin. *Azomitorum* de duod. gemmis 20 (CSEL 35II S. 748, 25 Günther) | vor *εἰς* + *καὶ* L J **5** *ἐκπίπτων* J | *τοῦ* < Anast. Sin. **6** *ἡμῖν* L J | *τὸ* < Anast. Sin. **7** *φησί*] *δὲ* Anast. Sin. | *ποταμὸς* < Anast. Sin. | *ὁ* < L **8** *διατέμνει γὰρ*] *καὶ διατέμνων* Anast. Sin. | *δύνων* Anast. Sin. **9** *Καρδυαίων*] *Καρδιέων* L J **10** *διατέμνεται*] *ἀνατέμνεται* J *ἀνατέλλεται*? * **11** *γῆν* < Anast. Sin. | *ἀλλὰ καὶ ὁ ποταμὸς* < Anast. Sin. **11f** *ὡσαύτως — τρόπῳ*] *ὁμοίως καὶ οὗτος* Anast. Sin. **12** *ὁμοίως*] *ὁρατὸς*? Klosterm. **13** *καὶ οὕτως ἐπικλύζει*] *ἐπικλύζων* Anast. Sin. **14** *αἰσθητὸς* + *ἐπὶ γῆς* Anast. Sin. **14—17** *οὐκ ἔνι πηγή — οὐκ ἔνι Ἀδάμ* bei Anast. Sin. zusammengezogen: *πάντως οὐδὲ πηγὴ οὐδὲ ποταμός, οὐ τέσσαρες ἀρχαί, οὐδὲ συκῆ, οὐδὲ ξύλον. εἰ οὐκ ἔνι ξύλον, οὐκ ἔνι Εὔα ἡ ἐξ αὐτοῦ φαγοῦσα. εἰ οὐκ ἔνι Εὔα, οὐδὲ Ἀδάμ* **16** *οὐκ ἔνι Τίγρης*[1] < J **18** *⟨τὸ⟩* * | *εἰ — Εὔα* < J **19** *εἰ — ξύλον* < J

οὐκ εἰσὶν ἄνθρωποι, ἀλλὰ μῦθος λοιπὸν ἡ ἀλήθεια καὶ ἀλληγορεῖται τὰ πάντα. ἔστι τοίνυν Ἀδάμ· ἔσμεν γὰρ ἐξ αὐτοῦ, τὸ γένος αὐτοῦ ὄντες πάντες κατὰ διαδοχήν, καὶ ὁρῶμεν αὐτὸν διὰ τοῦ πλήθους ἐν τῇ διαδοχῇ.

59. *Ἀδὰμ γὰρ γεννᾷ κατὰ τὴν ἰδέαν αὐτοῦ καὶ κατὰ τὴν εἰκόνα* **59, 1** *αὐτοῦ τὸν Σήθ. ἵνα ⟨γὰρ⟩ μή τις νομίσῃ τὸν πεπλασμένον ἄλλον καὶ τοὺς γεγεννημένους ἄλλους, διὰ τοῦτό φησιν ἡ γραφή »κατὰ τὴν ἰδέαν αὐτοῦ καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ«. Σὴθ δὲ γεννᾷ τὸν Ἐνώς, Ἐνὼς τὸν Καϊνάν, Καϊνὰν τὸν Μαλελεήλ, Μαλελεὴλ τὸν Ἰάρετ καὶ Ἰάρετ τὸν Ἐνώχ, Ἐνὼχ τὸν Μαθουσάλα, Μαθουσάλα τὸν Λάμεχ, Λάμεχ τὸν Νῶε, καὶ γέγονε κατακλυσμός, οὐκ ἀλληγορίᾳ ἀλλ' ἀληθείᾳ, καὶ ἀπώλετο πᾶσα ψυχή, ἔμειναν δὲ »ὀκτὼ ψυχαὶ« ἀνθρώπων. ψυχὰς* **2** *πάλιν ἐὰν ἀκούσῃς, μὴ νομίσῃς πλάσματα μὴ ἔχειν. ἀπὸ γὰρ τοῦ ἑνὸς εἴδους ὁ ἄνθρωπος ὅλος καλεῖται. »κατέβη«, γάρ φησιν ἡ γραφή, »Ἰακὼβ εἰς Αἴγυπτον ἐν ψυχαῖς ἑβδομήκοντα πέντε«, οὐχ ὅτι αἱ ψυχαὶ εἵποντο ἄνευ σωμάτων, ἀλλὰ σὺν σώμασι· ὅλον ⟨οὖν⟩ τὸν ἄνθρωπον ψυχὰς κέκληκεν. καὶ »ἦμεν ἐν τῷ πλοίῳ ὡς ὀγδοήκοντα ψυχαί«, φησὶν ὁ Λουκᾶς, ὁ συγγραψάμενος τὰς πράξεις τῶν ἀποστόλων. καὶ ἡ συνή-* **3** *θεια τοὺς δούλους σώματα εἴωθε καλεῖν. δεσπότης ἐστί, φησίν, ἑκατὸν σωμάτων· ἀλλὰ καὶ ψυχὰς ἐχόντων. | ἐπειδὴ δὲ ἡ δεσποτεία τῶν* P62 *ἀνθρώπων σωμάτων κυριεύει ἀλλ' οὐ ψυχῶν, διὰ τοῦτο τοὺς δούλους εὐλόγως σώματα ἐκάλεσαν σὺν ψυχαῖς, ἵνα δείξῃ τὴν χρῆσιν τῶν σωμάτων. ἐξῆλθε δὲ Νῶε ἐκ τῆς κιβωτοῦ γεννήσας τὸν Σὴμ* **4** *τὸν Χὰμ τὸν Ἰάφεθ. Σὴμ δὲ γεννᾷ τὸν | Ἀρφαξάδ, Ἀρφαξὰδ γεννᾷ* D154

5 vgl. Gen. 5, 3 — **8—11** Gen. 5, 6ff; vgl. Luk. 3, 36—38 — **12—23** vgl. Ancoratus c. 78, 1f — **12** I Petr. 3, 20 — **14f** Act. 7, 14f — **15** *ἑβδομήκοντα πέντε* nach Act. 7, 14; ebenso Panarion h. 8, 4, 5, vgl. z. d. St. — **17** Act. 27, 37 — **23**—S. **70, 3** (bis *τὸν Ἀβραάμ*) Gen. 11, 10ff; vgl. Luk. 3, 34—36

L J Anast. Sin. (bis Z. 2 *τὰ πάντα*) **5—8. 10f. 12—17** Sacra Parallela Rupef. f. 8^{v}

2 *πάντα* + *κατὰ τὸν θεήλατον Ὠριγένην* Anast. Sin. **5f** *καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ* < L J **6** *⟨γὰρ⟩* * **7** *διὰ* < L J **8** *καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ* < L J **10** *Ἰάρετ* < J | *Μαθουσάλα*^{2} < J **11** *ἀλληγορία* + *οὖν τὰ λεγόμενα* Sa Pa **12** *πᾶσα ψυχὴ* < L **13** *πάλιν ἐὰν* Sa Pa] *δὲ ἂν* L J | *πλάσματα*] vgl. S. 73, 9 | *μὴ ἔχειν* Sa Pa] < L J **14** *ὁ* (vor *ἄνθρωπος*) < Sa Pa | *φησιν ἡ γραφή* < L J **15** *ψυχαῖς* hinter *πέντε* Sa Pa | *εἵποντο* < Sa Pa **16** *ἄνευ*] *δίχα* Sa Pa **16f** *ὅλον — κέκληκεν* < L J **16** *⟨οὖν⟩* * **17** *ὀγδοήκοντα*] *ἑβδομήκοντα* S. 97, 19; die Zahl *ō* fehlt beidemale **18** *ὁ* beidemale < L **18f** *συνήθεια* + *⟨δὲ⟩*? * **19** *ἐστί* < J **22** *ψυχῇ* J | *ἐκάλεσαν σὺν ψυχαῖς*] *ἐκάλεσεν συνήθεια*? * **23** *σωμάτων*] *δούλων* *? | *δὲ*] *γὰρ* J

τὸν Καϊνάν, Καϊνὰν τὸν Σάλα, Σάλα τὸν Ἔβερ, Ἔβερ τὸν Φαλέκ, Φαλὲκ τὸν Ῥαγαῦ, Ῥαγαῦ τὸν Σερούχ, Σερουὲχ τὸν Ναχώρ, Ναχὼρ τὸν Θάρρα, Θάρρα τὸν Ἀβραάμ, Ἀβραὰμ τὸν Ἰσαάκ, Ἰσαὰκ τὸν Ἰακώβ, Ἰακὼβ τὸν Ἰούδαν, Ἰούδας τὸν Φαρές, Φαρὲς τὸν Ἑσρώμ, Ἑσρὼμ τὸν Ἀράμ, Ἀρὰμ τὸν Ἀμιναδάμ, Ἀμιναδὰμ τὸν Ναασσώμ, Ναασσὼμ τὸν Σαλμών, Σαλμὼν τὸν Βοόζ, Βοὸζ τὸν Ἰωβὴδ ἐκ τῆς Ῥούθ, Ἰωβὴδ τὸν Ἰεσσαί, Ἰεσσαὶ τὸν Δαυὶδ τὸν βασιλέα, Δαυὶδ τὸν Σολομῶντα ἐκ τῆς τοῦ Οὐρίου, Σολομὼν τὸν Ῥοβοάμ, Ῥοβοὰμ τὸν Ἀβιά, Ἀβιὰ τὸν Ἀσάφ, Ἀσὰφ τὸν Ἰωσαφάτ, Ἰωσαφὰτ τὸν Ἰωράμ, Ἰωρὰμ τὸν Ὀχοζίαν, Ὀχοζίας τὸν Ἰωάς, Ἰωὰς τὸν Ἀμεσίαν, Ἀμεσίας τὸν Ὀζίαν, τὸν κληθέντα Ἀζαρίαν, Ὀζίας τὸν Ἰωάθαμ, Ἰωάθαμ τὸν Ἄχαζ, Ἄχαζ τὸν Ἐζεκίαν, Ἐζεκίας τὸν Μανασσῆ, Μανασσῆς τὸν Ἀμώς, Ἀμὼς τὸν Ἰωσίαν, Ἰωσίας τὸν Ἰεχονίαν, Ἰεχονίας πάλιν τὸν Σαλαθιήλ, Σαλαθιὴλ τὸν Ζοροβάβελ, Ζοροβάβελ τὸν Ἀβιούδ, Ἀβιοὺδ τὸν Ἐλιακείμ, Ἐλιακεὶμ τὸν Ἀσώρ, Ἀσὼρ τὸν Σαδώκ, Σαδὼκ τὸν Ἀχείμ, Ἀχεὶμ τὸν Ἐλιούδ, Ἐλιοὺδ τὸν Ἐλεάζαρ, Ἐλεάζαρ τὸν Ματθίαν, Ματθίας τὸν Ἰακώβ, Ἰακὼβ τὸν Ἰωσήφ.

60. Ἰωσὴφ γέρων ὢν ⟨καὶ⟩ χῆρος μετὰ τὸ λαβεῖν πρώτην γυ- **60, 1**
ναῖκα καὶ ποιῆσαι ἐξ αὐτῆς παῖδας ἄρρενας μὲν τέσσαρας, Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου καλούμενον διὰ τὸ συνανατραφῆναι αὐτῷ καὶ Σίμωνα καὶ Ἰούδαν καὶ Ἰωσῆν, δύο δὲ θυγατέρας, † Ἄνναν καὶ Σαλώμην, οὗτος ὁ Ἰωσὴφ γέρων ὢν καὶ χῆρος κατὰ ἀνάγκην τῶν **2**
κλήρων βαλλομένων ἐπὶ χήρους καὶ ἀγάμους καθ' ἑκάστην φυλὴν

3 (von Ἀβραὰμ² an) —**17** Matth. 1, 2—16 — **13** Ἰεχονίας πάλιν = Jechonja II; vgl. darüber Panarion h. 8, 7 u. 8 — **18**—S. **71, 3** Protev. Jacobi 9, 1. 2 (17, 1. 2) Tischendorf ev. apocr.² u. für die Namen der Söhne Mark. 6, 3 Matth. 13, 55; vgl. Panarion h. 28, 7, 6; h. 78, 7—9 (dazu die weiteren im Index unter Ἰωσὴφ aufgeführten Stellen) — **19ff** die Reihenfolge der Söhne nach dem Alter lautet Pan. 78, 8, 1 in Übereinstimmung mit Matth. 13, 55: Jakobus, Joses, Symeon, Judas; dagegen zählt h. 28, 7, 6 im Anschluß an Mark. 6, 3 auf: Jakobus, Joses, Judas, Symeon — **21** Panarion h. 78, 8, 1 u. 78, 9, 6 heißen die Töchter Maria u. Salome (die Reihenfolge an beiden Stellen verschieden); der Name *Μαρία* ist dort auch durch Anastasius Sinaita quaest. 153 gesichert

L J

2 ῥαγὰβ beidemale J **3** θάρα beidemale L **4** τὸν (vor Ἰούδαν) < J **7** τὸν vor ἰεσσαί < J | ἰεσσαί beidemale J **13** τὸν vor Ἰεχονίαν < J **18** ⟨καὶ⟩ *; vgl. Z. 22 **19** Ἰακὼβ J **21** Ἰωσῆν *, nach Pan. h. 28, 7, 6; h. 78, 8, 1 u. Mark. 6, 3 Matth. 13, 55] Ἰωάννην L J | † Ἄνναν] lies wohl *Μαρίαν* *, vgl. die Anm. zu 21

εἰς τὰς ἀπὸ ναοῦ παρθένους (διὰ τὸ ἀφιεροῦσθαι ἐν τῷ ναῷ τοὺς πρωτοτόκους παῖδας, ἄρρενάς τε καὶ θηλείας) ἔλαβε κατὰ κλῆρον τὴν ἁγίαν παρθένον Μαρίαν, »ἐξ ἧς« κατὰ σάρκα »ἐγεννήθη« ὁ κύριος | D155
ἡμῶν Ἰησοῦς Χριστὸς διὰ πνεύματος ἁγίου, οὐκ ἀπὸ σπέρματος
ἀνδρὸς οὔτε συναφείᾳ σώματος. | γεννᾶται τοίνυν ὁ κύριος ἐκ φυλῆς **3** P63
Ἰούδα, ἐκ σπέρματος Δαυὶδ καὶ Ἀβραὰμ κατὰ σάρκα, θεὸς ὤν, ἐν τῷ τεσσαρακοστῷ ⟨δευτέρῳ⟩ ἔτει τῆς βασιλείας Αὐγούστου.

Αὔγουστος δὲ ἐβασίλευσεν πεντήκοντα ἓξ ἔτη καὶ μῆνας ἓξ **4**
μετ' αὐτὸν δὲ παῖς αὐτοῦ Τιβέριος διαδέχεται τὴν ἀρχὴν ἔτη κγ
μετὰ Τιβέριον Γάϊος ἔτη τρία καὶ μῆνας θ καὶ ἡμέρας κβ μετὰ Γάϊον Κλαύδιος ἔτη ιγ μετὰ Κλαύδιον Νέρων ἔτη ιγ μετὰ Νέρωνα Οὐεσπασιανὸς ἔτη θ μετὰ Οὐεσπασιανὸν Τίτος ὁ υἱὸς αὐτοῦ ἔτη β μετὰ Τίτον Δομετιανὸς ὁ ἀδελφὸς αὐτοῦ ἔτη ⟨ι⟩ε καὶ μῆνας ε μετὰ Δομετιανὸν Νερούας ἔτος α μῆνας δ μετὰ Νερούαν Τραϊανὸς ἔτη ιθ μετὰ Τραϊανὸν Ἀδριανὸς ἔτη κα μετὰ Ἀδριανὸν Ἀντωνῖνος εὐσεβὴς ἔτη κβ μετὰ Ἀντωνῖνον Μάρκος

3 vgl. Matth. 1, 16 — **6** vgl. Röm. 1, 4 — **8**—S. **72**, **12** vgl. dazu die Liste de mens. ac pond. 13, 2ff 16, 3ff 17, 1 18, 2ff 20, 1ff 20, 6ff; S. 165, 6ff 168, 97ff 169, 26f 170, 71ff 172, 38ff 193, 50ff Lagarde Symmikta II; außerdem verstreute Angaben im Panarion u. für den letzten Teil Pan. h. 66, 20, 4. Die Liste beruht auf der Chronik des Eusebius

L J

1 *εἰς τ'* (!) L | *ἀφιερωθῆναι* J **7** *τεσσαρακοστῷ ⟨δευτέρῳ⟩* *, nach der ständigen Angabe des Epiph. vgl. Index unter Augustus **8** *πεντήκοντα ἓξ* *, nach de mens. ac pond. (u. Euseb.)] ἑξήκοντα ἓξ L J **10** *καὶ* (vor *ἡμέρας*) < J | *ἡμέρας κβ*] *ἡμέρας κθ* de mens. ac pond. **11** *ἔτη ιγ*[1] + *μῆνας δύο παρ' ἡμέρας δύο* de mens. ac pond. | *ἔτη ιγ*[2] + *μῆνας ζ ἡμέρας κζ* de mens. ac pond. **12** zwischen Nero u. Vespasian + *Γάλβας μῆνας ζ ἡμέρας κς Ὄθων μῆνας γ ἡμέρας ε Βιτέλλιος μῆνας η ἡμέρας ιβ* de mens. ac pond. | *ἔτη θ* + *μῆνας ζ ἡμέρας ιβ* de mens. ac pond. **13** *ἔτη β* + *μῆνας δύο ἡμέρας δύο* de mens. ac pond. | *ὁ Δομετιανὸς ἀδελφὸς αὐτοῦ* L | *ἔτη ⟨ι⟩ε* Dind. **14** *ἔτος α μῆνας δ* Dind., so auch de mens. ac pond.] *ἔτη τέσσαρα* L J **15** *κα* *, nach de mens. ac pond. (u. Euseb.)] *κβ* J *κε* L **16** *Ἀντωνῖνος εὐσεβὴς*] *Ἀντωνῖνος ὁ ἐπικληθεὶς Πίος ἑρμηνευόμενος εὐσεβὴς* de mens. ac pond. **16f** *μετὰ Ἀντωνῖνον — Κόμοδος ιγ*] zweifache, das erstemal verworrene Angabe in de mens. ac pond.: *τοῦτον διαδέχεται Καράκαλλος ὁ καὶ Γέτας, ὃς καὶ Μάρκος Αὐρήλιος Οὐῆρος ἐλέγετο, καὶ βασιλεύει ἔτη ζ. ἐν τοῖς αὐτοῦ χρόνοις καὶ Λούκιος Αὐρήλιος Κόμοδος βασιλεύει τὰ αὐτὰ ἑπτὰ ἔτη* 16, 47; S. 168, 00—3 *μετὰ Ἀντωνῖνον τὸν Πίον βασιλεύει Μάρκος Αὐρήλιος Ἀντωνῖνος, ὁ καὶ αὐτὸς Οὐῆρος ἔτη ιθ. ἐλέγετο δὲ ὁ αὐτὸς Κόμοδος Λούκιος ... μετὰ τοῦτον Κόμοδος ἄλλος βασιλεύει ἔτη ιγ* 18, 3—6; S. 170, 73—171, 77

*Αὐρήλιος Ἀντωνῖνος, ὁ καὶ Οὐῆρος, ἔτη ιθ̄ Κόμοδος ἔτη ιγ̄ Περτίναξ μῆνας ζ̄ Σευῆρος ἔτη ιη̄ Ἀντωνῖνος ὁ υἱὸς αὐτοῦ ἔτη ζ̄ Μακρῖνος ἔτος ἓν Ἀντωνῖνος ἄλλος ἔτη δ Ἀλέξανδρος, οὐχ ὁ Μακεδών, ἔτη ⟨ι⟩γ Μαξιμῖνος ἔτη γ̄ Γορδιανὸς ἔτη ς̄ Φίλιππος ἔτη ς̄ Δέκιος ἔτος ᾱ Γάλλος ὁ * καὶ Οὐολουσιανὸς ἔτη γ̄ Γαλ⟨λι⟩ηνὸς ἔτη ιε̄ Κλαύδιος ἄλλος ἔτος ἓν Αὐρηλιανὸς ἔτη [ι]δ Τάκιτος μῆνας ς̄ Πρόβος ἔτη ς̄ οἱ περὶ Κᾶρον καὶ Καρῖνον καὶ Νουμεριανὸν ἔτη β̄ Διοκλητιανὸς ἔτη κ̄ μετὰ Διοκλητιανὸν Μαξιμιανὸς Αἰκίννιος Κωνστάντιος Κωνσταντῖνος Κώνστας Κωνστάντιος καὶ Κωνσταντῖνος Ἰουλιανὸς Ἰοβιανὸς Οὐαλεντινιανὸς Οὐάλης Γρατιανὸς ἕως τοῦ ἐνιαυτοῦ τούτου μετὰ τὸ τελευτῆσαι Διοκλητιανὸν ἔτη ο̄. τὸ ἔτος γὰρ τοῦτό ἐστιν*

12 daß hier das Jahr 304 als Todesjahr Diokletians bezeichnet wird, beruht wohl nur auf augenblicklichem Versehen: de mens. ac pond. 20, 12; S. 173, 58 heißt es, freilich auch nicht ganz richtig *πανσαμένου δὲ τοῦ διωγμοῦ* (der nach 173, 57 volle 12 Jahre gedauert hat! richtiger wäre *ἀρξαμένου* statt *πανσαμένου*) *βασιλεύει Διοκλητιανὸς ἄλλον ἕνα ἐνιαυτὸν καὶ παύεται τῆς βασιλείας οὐετρανίσας* — **12**—S. **73**, **3** vgl. Ancoratus c. 119, 1 u. die Vorbemerkung S. 1, 14. Zur Berechnung Zahn, Gesch. d. neutest. Kanons II 1, 220 Anm. 1; doch beachte, daß nach der Überschrift des Ancoratus S. 5, 6 das Buch im Juli (374) verfaßt wurde

L J

1 *Αὐρίλιος* L *Αὐριλιανὸς* J | ιγ̄] ιδ̄ J **2** *μῆνας* Dind., so auch de mens. ac pond.] ἔτη L J | *Σευῆρος ἔτη ιη̄*] *τοῦτον διαδέχεται Σευῆρος καὶ βασιλεύει σὺν τῷ υἱῷ αὐτοῦ Ἀντωνίνῳ τῷ καὶ Γέτᾳ ἔτη ιη̄* de mens. ac pond. | *Ἀντωνῖνος ὁ υἱὸς αὐτοῦ ἔτη ζ̄*] *τελευτήσαντος δὲ Σευήρου διαδέχεται τὴν ἀρχὴν αὐτοῦ Ἀντωνῖνος Γέτας ὁ υἱὸς αὐτοῦ, ὁ καὶ Καράκαλλος ἐπικληθεὶς καὶ ποιεῖ ἔτη ζ̄* de mens. ac pond. **3** *ἔτη δ̄* L, so auch de mens. ac pond.] *ἔτη β̄* J **4** *⟨ι⟩γ* Dind., so auch de mens. ac pond. | *Μαξιμιανὸς* de mens. ac pond. | *ἔτη ἓξ*] *ἐπὶ ἔτεσιν ἑπτὰ* de mens. ac pond. **5** *ἔτη ξ̄*] *ἐπὶ ἔτεσιν ἑπτὰ* de mens. ac pond. | *ἔτος ᾱ*] *ἐνιαυτὸν ἕνα καὶ μῆνας γ̄* de mens. ac pond. | *Γάλλος ὁ * ***] *γαλοσόφθων* L *γαλοσοφών* J *Γαλιηνὸς* de mens. ac pond. 18, 19 u. 20, 1; S. 171, 97 u. 172, 38, dagegen Pan. h. 66, 20, 2 richtig *Γάλλος*; hinter *ὁ* ist ein Beiname zu ergänzen, der in dem verderbten *φθων*, *φων* stecken muß; *γέρων*? * | *Οὐολοσιανὸς* L **6** *ἔτη γ̄*] *ἐπὶ ἔτεσι δύο καὶ μησὶ τέσσαρσι* de mens. ac pond. | *Γαλ⟨λι⟩ηνὸς ἔτη ιε̄*] *Οὐαλεριανὸς καὶ Γαλίηνος ἐπὶ ἔτεσιν ιβ̄* de mens. ac pond. | *ἔτος ἓν*] *ἐνιαυτὸν ἕνα καὶ μῆνας θ̄* de mens. ac pond. **6f** *Αὐρηλιανὸς* *, nach sonstigem Gebrauch des Epiph.] *Αὐρίλιος* L *Αὐρίλλιος* J **7** *ἔτη* [ι]δ ***] *ἔτη ε̄ καὶ μῆνας ἓξ* de mens. ac pond. | *ἔτη ἓξ + καὶ μῆνας δ̄* de mens. ac pond. **9** *Μαξιμῖνος* L | *Κωνστάντιος* *, nach Pan. h. 69, 1, 4 u. de mens. ac pond.] *Κώνστας* L J **10** *Κώνστας Κωνστάντιος καὶ Κωνσταντῖνος* < J **11** *τούτου* < J **12** *Διοκλητιανὸν*] *Γρατιανὸν* J

ἐνενηκοστὸν Διοκλητιανοῦ, Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος ῑ, Γρατιανοῦ δὲ ἔτος ξ, ὑπατείᾳ Γρατιανοῦ Αὐγούστου τὸ τρίτον καὶ Ἐκουιτίου λαμπροτάτου, Ἰνδικτιῶνος β.

61. *Ἡμεῖς τοίνυν ἀπὸ τοῦ προειρημένου Ἀδὰμ | πάντες κατὰ* 61, 1 D156
ἀκολουθίαν· καὶ οὐκ ἀπώλετο ἡ τάξις οὐδὲ τὰ ὑπὸ θεοῦ γινόμενα ἀλληγοροῦνται. ἔστι τοίνυν Ἀδὰμ καὶ ἔστι φύλλα συκῆς καὶ συκῆ 2
καὶ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ καὶ ξύλον ζωῆς ἐν μέσῳ τοῦ παραδείσου καὶ ὄφις καὶ παρακοὴ καὶ ὑπακοὴ καὶ εἰσὶ ποταμοὶ καὶ ἔστιν Εὔα καὶ τὸ πλάσμα· »πάντα γὰρ δυνατὰ τῷ θεῷ« 3
καὶ τὰ φθαρτὰ μεταβαλεῖν εἰς ἀφθαρσίαν καὶ τὰ ἐπὶ τῆς γῆς ποιῆσαι ἐν ἀφθαρσίᾳ διατελεῖν. καὶ μὴ θαυμαζέτω τις· τοῦτο γὰρ ἦλθε καὶ 4
ἔδειξε λαβὼν σάρκα φθαρτὴν καὶ ἐνδυσάμενος ἐν τῇ θεότητι καὶ ἀποδείξας ἄφθαρτον. »τίς γὰρ ἐγκαλέσει« θεῷ;

ἴδωμεν δὲ καὶ ἄλλην θεωρίαν. ἐξέβαλεν αὐτούς, φησίν, ἔξω τοῦ 5
παραδείσου καὶ ἔθετο τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τηρεῖν τὴν εἴσοδον τοῦ ξύλου τῆς ζωῆς. καὶ ἐξελθόντες οἱ περὶ τὸν Ἀδὰμ ᾤκησαν ἀπέναντι τοῦ παραδείσου. μηδεὶς μύθοις ἀπατάσθω κενοῖς. 6
»δύναται γὰρ ὁ θεὸς ἐκ τῶν λίθων ἐγεῖραι τέκνα« καὶ δύναται ὁ θεὸς καὶ τὰ φθαρτὰ μεταβαλεῖν εἰς ἀφθαρσίαν καὶ δύναται ἐπὶ γῆς ποιῆσαι ἀνάπαυσιν παραδείσου, ὅτε ἠθέλησεν. οὐ γὰρ ἡ γῆ ἄλλου θεοῦ καὶ 7
ὁ οὐρανὸς ἄλλου, ἀλλὰ πάντα τοῦ αὐτοῦ ἐστι καὶ ὡς θέλει χαρίζεται ἑκάστῳ τὴν ἀφθαρσίαν. καὶ γὰρ καὶ τὸ σῶμα τοῦ Ἀδὰμ οἴδαμεν ἐκ 8
τῆς γῆς πεπλασμένον, ἐξ ἧσπερ καὶ ἡμῶν τὰ σώματα, καὶ ἐλπίδα ἔχομεν ζωῆς αἰωνίου καὶ ἀφθάρτου κληρονομίας. καὶ γὰρ τοῦ σωτῆρος τὸ σῶμα ἀπὸ Μαρίας ἦν καὶ συνήνωται πνευματικῶς τῇ τοῦ Λόγου ἐν οὐρανῷ ἀφθαρσίᾳ. ταῦτα δὲ πάντα συνηγάγομεν καὶ ἐνταῦθα 9
παρεθέμεθα μηδὲν παραρῦψαι τῶν γεγραμμένων θέλοντες, ἀλλὰ

9 vgl. Matth. 19, 26 — **13** Weish. Sal. 12, 12 — **14f** Gen. 3, 24 — **16f** vgl. Gen. 3, 24 liber Jub. 3, 32 Littmann — **18** Matth. 3, 17

L J **4—6** Sacra Parallela Rupef. 8^{v} (bis Z. 6 *ἀλληγοροῦνται*)

2 *καὶ* < J **3** *Ἰνδικτιῶνος*] *Ἰνδικτος* (so ausgeschrieben) L J **4** *τοίνυν*] *οὖν* Sa Pa | *ἀπ' ἐκείνου τοῦ εἰρημένου* Sa Pa | *πάντες* < L J **5** *ἀκολουθίαν* + ⟨*ἐγεννήθημεν*⟩? * | *ἀπώλλυτο* Sa Pa | *γινόμενα*] *λεγόμενα* Sa Pa **6** *ἀλληγορεῖται* Sa Pa **7** *ξύλων* J | *γνωστὸν* ist nicht in *γνῶσιν* zu ändern **9** *τὸ πλάσμα*] man erwartet noch *καὶ ἔστιν ὁ παράδεισος ἐπὶ τῆς γῆς* * **10** *μεταβάλλειν* L *μεταβαλλεῖν* J | *τῆς* < J **12** *ἔδειξε* + ⟨*ὁ υἱὸς*⟩? * **14** *φησίν* < J **15** *ἔθηκεν* L **17** *ἀπατάτω* J **19** *τὰ* < L **20** *ὅτε* *] *ὅτι* L J **21** *ἄλλου* + *θεοῦ* J **23** *τῆς* < J | *ἐξ οὗπερ* L **26** *ἀφθασία* J | *δὲ πάντα*] *ἅπαντα* L | *καὶ* < J

μᾶλλον ἁπλότητι φέρεσθαι πιστοί τε εὑρίσκεσθαι πρὸς τὸν θεόν, | P65
ἐν οἷς ἐν ἀληθείᾳ ἔγραψεν ἡμῖν καὶ ἐδωρήσατο τὴν τῆς ἀληθείας
ὁδὸν εἰς ἡμῶν σωτηρίαν· συγχωρεῖν ⟨δὲ⟩ αὐτῷ μόνῳ πρέπον ἐστὶν
εἰδέναι τὰ ἀκατάληπτα. | D157

62. Ἄλλην δὲ πάλιν μυθώδη θεωρίαν οὗτος ὁ Ὠριγένης, ᾧ ὁ 62, 1
θεὸς συγχωρήσειε φαντασίας τοῖς ἀνθρώποις ἀλληγοροῦντι, παρεισή-
γαγε φάσκων οὓς εἶπεν ἡ θεία γραφὴ χιτῶνας δερματίνους πεποιη-
κέναι τὸν θεὸν τοῖς περὶ τὸν Ἀδὰμ μὴ εἶναι χιτῶνας δερματίνους·
ἀλλὰ τοῦτό φησι χιτῶνα δερμάτινον τὸ σαρκῶδες τοῦ σώματος ἢ 2
αὐτὸ τὸ σῶμα· μετὰ γὰρ τὴν παρακοήν, φησίν, καὶ μετὰ τὸ βεβρω-
κέναι τοῦ ξύλου ἐνέδυσε τὰς ψυχὰς ταῦτα τὰ σώματα τουτέστιν
ταύτην τὴν σάρκα. καὶ ἔστιν εὐηθες τὸ ὅλον εἰπεῖν. σοφίζεται γὰρ 3
αὐτὸς ὁ Ὠριγένης δῆθεν καὶ φησί· μὴ γὰρ ὁ θεὸς βυρσοδέψης ἦν, ἵνα
βυρσεύσας δέρματα χιτῶνας ἐργάσηται τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ; πολὺ
δὲ κτηνωδέστερον τὸ τοιοῦτον. τί εὐχερέστερον ἦν, οὐρανὸν καὶ 4
γῆν ἐξ οὐκ ὄντων ποιῆσαι τὸν θεὸν ἢ χιτῶνας δερματίνους; πότε
γὰρ τὰ θαυμάσια αὐτοῦ θέλων οὐκ εἰργάσατο καὶ ἄψυχα εἰς ἔμψυχα
μεταβαλεῖν πότε οὐ δεδύνηται; τὴν μὲν ῥάβδον Μωυσέως, ξηρὰν 5
οὖσαν καὶ ξυλίνην, ὅφιν ἔμψυχον ἐποίησε Μωυσέα καταδιώκοντα,

5—15 vgl. Panarion h. 64, 63, 5ff und ep. ad Joh. episc. Hieros. = Hieronymi ep. 51, 5, 2 (CSEL 54, 1 S. 403, 11ff Hilberg) u. Methodius de resurr. I c. 29, 1ff — **18** vgl. Exod. 4, 3 — **19f** vgl. Ancoratus c. 96, 2f; S. 117, 13ff

L J **5**—S. **75**, **23** Sacra Parallella Vat. 1553 f. 36ᵛ—37ᵛ; nur bis Z. 16 Rupef. f. 8ᵛ—9ʳ

2 *ἐν οἷς* + *ὡς* J | *καὶ* < L **3** *εἰς* *] *καὶ* L J | *⟨δὲ⟩* * **3f** *εἰδέναι ἐστίν* L **5** *μυθώδη θεωρίαν*] *μύθου ἀλληγορίαν* Sa Pa$^{rup.}$ | *θεωρίαν*] *μωρίαν* J | *οὗτος ὁ*] *αὐτὸς ὁ* Sa Pa^{V} *ὁ θεήλατος* Sa Pa$^{rup.}$ **5f** *ᾧ* — *συγχωρήσειε* < Sa Pa$^{rup.}$ **6** *συγχωρήσει* J Sa Pa^{V} | *φαντασίας* — *ἀλληγοροῦντι*] *φαντασιάσας τοὺς ἀνθρώπους ἀλληγορῶν* Sa Pa^{V} *ἐφαντάσθη τοὺς ἀνθρώπους* Sa Pa$^{rup.}$ | *φαντασίαν* J | *ἀλληγοροῦνται* J **7f** *οὓς εἶπεν* — *περὶ τὸν Ἀδὰμ* < Sa Pa$^{rup.}$ **9f** *ἀλλὰ* — *τὸ σῶμα* < Sa Pa$^{rup.}$ **9** *τοῦτο* + *τὸ σῶμα* Sa Pa^{V} **9f** *χιτῶνα* — *αὐτὸ τὸ σῶμα*] *τὸ σαρκῶδες εἶναι τοὺς χιτῶνας τοὺς δερματίνους* Sa Pa^{V} **10** *γὰρ* < J | *φησὶν* < L J | *μετὰ*² < L J **11f** *ταῦτα τὰ* — *σάρκα* Sa Pa^{V}] *τὰ σώματα* Sa Pa$^{rup.}$ *τοῖς σώμασιν* L < J **12** *εὐηθες* Sa Pa] *σύνθετον* L J | *τὸ* < L J **13** *ὁ αὐτὸς* Sa Pa^{V} | *βυρσοδέψης* Sa Pa] *βυρσοδεύσης* L *βυρσοδεύτης* J | *ἵνα* + *καὶ* Sa Pa$^{rup.}$ **14** *βυρσείσας* J **15** *εὐχερότερον* Sa Pa^{V} **16** *ἐξ οὐκ ὄντα* J | *ποιήσας* J | *δερματίνους* + *ποιῆσαι* Sa Pa^{V} **18** *μεταβαλὼν* J | *μὲν*] *γὰρ* Sa Pa **19** *καὶ* < Sa Pa | *ξύλιν ἦν* J | *ξυλίνην* + *ῥιφεῖσαν ἕρπειν* Sa Pa | *ἐποίησε* + *καὶ* Sa Pa **19f** *καταδιώκειν ἀφ' οὗ προσώπου* Sa Pa

ἀφ᾽ οὗ Μωυσῆς εἰς φυγὴν ἐτρέπετο, ἵνα δείξῃ ὅτι οὐκ ἦν φάντασμα, ἀλλ᾽ ἀληθὲς τὸ γενόμενον. πῶς δὲ τεσσαράκοντα ἔτη τοῦ λαοῦ τὰ ἱμάτια οὐκ ἐρρικνώθη καὶ τρίχες οὐκ ἐκόμων καὶ τὰ ὑποδήματα οὐκ ἐπαλαιοῦντο; εἰπάτωσαν δέ μοι οἱ ἠλίθιοι οἱ τῇ φρενοβλαβείᾳ **6** Ὠριγένους κατὰ τοῦτο τὸ μέρος ἀκολουθήσαντες· ἀναστάντος τοῦ σωτῆρος ἐκ τῶν νεκρῶν καὶ καταλείψαντος τὰς ὀθόνας ἐν τῷ μνήματι, ὡς γέγραπται, γυμνὸς ἆρα ἐφαίνετο τοῖς μαθηταῖς ἀναστὰς ἐκ τῶν νεκρῶν σὺν σώματι καὶ ψυχῇ; ὁπηνίκα δὲ ἐδείκνυε τοῖς **7** περὶ τὸν Θωμᾶν τὰ ὀστᾶ αὐτοῦ καὶ τὰς σάρκας χεῖράς τε καὶ τὴν πλευράν, δηλονότι οὐκ ἦν γυμνός. τοίνυν τὰ ἱμάτια τίς αὐτῷ ὕφανε τὰ μετὰ τὴν ἀνάστασιν; ἀλλ᾽ ἐρεῖς μοι πάντως, ἐνδύματα ἦν πνευμα- **8** τικά, ⟨ἃ ἦν θελήματι ἰδίῳ⟩ ἑαυτῷ ποιήσας. καὶ εἰ τοιαῦτα ἐνδύματα ἠδύνατο ἑαυτῷ ποιεῖν, ἐκείνους τοὺς δερματίνους χιτῶνας | οὐκ D158 ἠδύνατο ποιῆσαι τοῖς περὶ τὸν Ἀδὰμ οἰκείῳ θελήματι; ὄντως ⟨δὲ⟩ ἐκπίπτει τοῦ Ὠριγένους ἡ ἀλληγορία. | εἰ γὰρ μετὰ τὸ βεβρωκέναι **9** P66 τοῦ ξύλου ἐκτίσθη τῷ Ἀδὰμ ἡ σάρξ, πόθεν ἄρα ἔλαβεν ὁ θεὸς τὴν πλευρὰν πρὸ τοῦ αὐτὸν βεβρωκέναι; ὡς διεγερθεὶς ἀπὸ τῆς ἐκστάσεώς φησιν »ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου τοῦτο«.

63. »Τοῦ λοιποῦ τοίνυν μηδεὶς ἡμῖν κόπους παρεχέτω.« οὕτω **63, 1** γὰρ δοξάζει ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία ἀπὸ τῶν ἀνέκαθεν· οὐ παρα- στήσεται γὰρ ἡμῖν Ὠριγένης ἐν ἡμέρᾳ κρίσεως. θαυμάζω γὰρ ὡς **2** ἀληθῶς, πῶς τινες ἀνέχονται τοῦ βλασφημήσαντος τὸν ἑαυτοῦ δεσπότην. ἀναγνώτωσαν Ὠριγένους τὰ περὶ ἀρχῶν οἱ τοιοῦτοι καὶ

2 vgl. Deut. 29, 5 — **15—18** vgl. Epiph. ep. ad Joh. episc. Hieros. = Hieronymi ep. 51, 5, 3 (CSEL 54, 1 S. 403, 18 ff Hilberg) — **18** Gen. 2, 23 — **19** Gal. 6, 17

L J Sacra Parallelia (bis Z. 23 *δεσπότην*)

3 *ἐρικνώθη* L J *ἐρυπάνθη* Sa Pa | *ἐκώμων* Sa Pa **4** *οἱ*² < Sa Pa **5** *ἀκολουθήσαντος* Sa Pa **6** *σωτῆρος*] *Χριστοῦ* J | *καταλήψαντος* J | *τὰ ὀθώνια* Sa Pa **7** hinter *ἆρα* ein *οὐκ* von Pet. fälschlich eingefügt **8** *δὲ* < Sa Pa **9** *τὸν* < Sa Pa | *ὀστέα ἑαυτοῦ* Sa Pa **11** *τὰ* < Sa Pa | *πάντως ἐρεῖς μοι* Sa Pa | *ἦν* < L J **12** ⟨*ἃ ἦν θελήματι ἰδίῳ*⟩ *, z. T. nach Sa Pa, wo Z. 12 f so lautet: (*πνευματικά·*) ὁ τοίνυν ταῦτα θελήματι ἰδίῳ ἑαυτῷ ποιήσας κἀκείνους τοὺς κτέ.* | *ἑαυτῷ*] *ὁ αὐτὸς* J **13** *ἑαυτῷ* < L **14** *ὄντως*] < Sa Pa, dafür *ἐκπίπτει* + *γὰρ*; *οὕτως* statt *ὄντως* Petavius falsch | ⟨*δὲ*⟩ * **17** *πρὸ τοῦ αὐτὸν βεβρωκέναι* < L J | *ὡς*] *ὃς* L J; lies wohl *ἢ πῶς* * | *ἐκστάσεως* + *τοῦ ὕπνου* Sa Pa **18** vor *ὀστοῦν* + *τοῦτο τὸ* Sa Pa | *ὀστέων* Sa Pa | *τῶν σαρκῶν* Sa Pa | *τοῦτο* < Sa Pa **19** *ὑμῖν* L **20 f** *παραστα θήσεται* Sa Pa **21** *ὡς* < Sa Pa

μαθέτωσαν οἱ δοκοῦντες εἶναι υἱοὶ τῆς ἐκκλησίας τῆς καθολικῆς * καὶ μὴ τὸν υἱὸν ἀπὸ τῆς τοῦ πατρὸς θεότητος χωρίζειν τολμάτωσαν· * πῶς οὐ κατηξίωσεν Ὠριγένης εἰπεῖν κἂν ὅτι ὁρᾷ τὸν πατέρα ὁ υἱός, 3 ἀλλά φησιν· »ὡς οὐ δύναται ἰδεῖν τὸν πατέρα ὁ υἱός, καὶ τὸ ἅγιον πνεῦμα οὐ δύναται ἰδεῖν τὸν υἱόν« καὶ πάλιν »οἱ ἄγγελοι οὐ δύνανται ἰδεῖν τὸ ἅγιον πνεῦμα καὶ οἱ ἄνθρωποι οὐ δύνανται ἰδεῖν τοὺς ἀγγέλους.« καὶ ἐφαντασίασεν ἑαυτὸν μᾶλλον καὶ οὓς ἠπάτησεν, 4 ἀλλ᾽ οὐ τὸν συνετὸν καὶ πιστὸν καὶ πιστεύοντα τῇ ἀληθείᾳ καὶ τῇ πνευματικῇ διδασκαλίᾳ. παῦσαι τοίνυν, Ὠρίγενες, καὶ παύσασθε οἱ 5 τοῦ Ὠριγένους μαθηταί· ἀληθεύουσι γὰρ οἱ ἀπόστολοι καὶ οἱ προφῆται ἥπερ ὑμεῖς καὶ ὁ ὑμῶν διδάσκαλος· παυσάσθωσαν οἱ Γνωστικοί, 6 κατάγνωστοι δὲ ὄντες τὸν τρόπον, καὶ παυσάσθωσαν Οὐαλεντινιανοὶ καὶ Μανιχαῖοι καὶ Μαρκιωνισταὶ οἱ κατὰ πάντα πεπλανημένοι καὶ παυσάσθωσαν Ἀρειανοὶ καὶ Ἀνόμοιοι καὶ Σαβέλλιοι καὶ Πνευματῖται, οἱ καὶ Πνευματομάχοι, καὶ Διμοιρῖται οἱ ἀνοήτως τὸν νοῦν παρεκβάλλοντες. πάντα γὰρ ἀληθεύει ἡ θεία γραφή· συνέσεως δὲ χρεία 7 ἐστὶ τοῦ εἰδέναι ⟨ἀληθεύειν⟩ τὸν θεὸν πιστεύειν ⟨τε⟩ | αὐτῷ καὶ D159 τοῖς αὐτοῦ λόγοις καὶ ⟨γνῶναι⟩ τὰ ὑπὸ τοῦ θεοῦ κεχαρισμένα καὶ δεδομένα καὶ ἐσόμενα καὶ εἰδέναι κατὰ τὴν ὑπόσχεσιν τὴν τῶν νεκρῶν ἀνάστασιν ἐν τελειότητι. πᾶσα γὰρ αἵρεσις ψεύδεται μὴ λαβοῦσα πνεῦμα ἅγιον κατὰ τὴν παράδοσιν τῶν πατέρων ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ καθολικῇ ἐκκλησίᾳ.

64. Καὶ περὶ τούτων πάντων αὖθις πάλιν ἐροῦμεν κατὰ τὸ **64,1** ἡμέτερον ἀσθενές· ἀλλ᾽ ἐκ θεοῦ καταξιωθέντες τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς ἐκκλησίας οἱ ἐλάχιστοι καὶ ταπεινοὶ ἔχειν καὶ ταύτης | τὸ P67 ἑδραίωμα κατὰ τὸ δυνατὸν τῆς ἡμῶν βραχύτητος παρατιθέμεθα ἀπὸ μέρους περὶ πάντων τοῖς βουλομένοις τῆς ἑαυτῶν ζωῆς ἐπιμελεῖσθαι. καὶ ἤρκει μὲν ἱκανῶς τὰ περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου 2 πνεύματος εἰρημένα· ἵνα δὲ περισσότερον εἰς εὐφρασίαν καὶ περι-

3—7 vgl. Origenes *περὶ ἀρχῶν*] I 8; 25, 16ff Kötschau; dazu Panarion h. 64, 4, 3ff u. ep. ad Joh. episc. Hieros. = Hieronymi ep. 51, 4, 1ff (CSEL 54, 1 S. 401, 1ff Hilberg) — **18** I Kor. 2, 12

L J

1 * etwa ⟨*πόσα ἐβλασφήμησεν*⟩ * **3** * etwa ⟨*ἀναγνώτωσαν*⟩ * | *οὐκ ἀπηξίωσεν* J | *κἂν ὅτι*] *ὅτι οὐχ* J **4** *ἰδεῖν*] *ὁρᾶν* J | *ὁ υἱὸς* < L **12** *κατάγνωστοι* * nach Pan. h. 25, 7, 2] *καταγνωστικοὶ* L J | *Οὐαλεντιανοί* J (gewöhnlich *Οὐαλεντῖνοι*) **14** *ἀνόμοιοι* und + *οἱ* L **15f** *παρεκβαλόντες* L *παρεκβάλοντες* J **17** ⟨*ἀληθεύειν*⟩ * | ⟨*τε*⟩ * **18** ⟨*γνῶναι*⟩ * **25** *ἔχειν καὶ*] ⟨*μετέχειν*⟩ *καὶ ἔχειν*? * **29** *εὐφραξίαν* J

ποίησιν καὶ πληροφορίαν τῶν πιστῶν σαφηνίσαι σπουδάσωμεν, πανταχόθεν συνάγοντες τῆς θείας γραφῆς τὰς μαρτυρίας εἰς πλάτος εὐωχίας καὶ ἀγαλλίασιν τοῖς ἐντυγχάνουσι πιστοῖς πάλιν οὐκ ὀκνήσαιμεν ὑποδεῖξαι ὡς ἀσφαλῆ καὶ βεβαίαν ἐν θεῷ τὴν ἡμετέραν ἐλπίδα, ὅτι οὐδὲν παρήλλακται ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, ἀλλ' ὁμόστοιχος καὶ ὁμοούσιός ἐστιν ἡ ἁγία τριάς. οὐκ ἀλλαχόθεν δέ **3** ποθεν οὐδὲ ἀπὸ ἰδίων διανοημάτων ποιούμεθα τὴν διδασκαλίαν, ἀλλ' ἀπὸ τῆς ἡμετέρας ζωῆς τουτέστιν ἐκ προφητῶν καὶ ἐκ τῆς τοῦ σωτῆρος ἡμῶν παρουσίας καὶ τῆς αὐτοῦ φιλανθρωπίας. ἦλθε γάρ, **4** ἦλθεν ἡ ζωὴ ἡμῶν καὶ τὸ φῶς αὖθις ἡμῖν ὑπέδειξεν εὑρὼν ἡμᾶς πεπλανημένους. ἦμεν γάρ, ἦμεν ἐν ὑπερηφανίᾳ καὶ βλασφημίαις, εἰδώλων ὁμοιώσεσι, πνευμάτων ἀθεΐαις, κακῶν πάντων ἐπιταγαῖς βεβαπτισμένοι. τούτων τοίνυν προσόντων μοι ἀκουσίως (»οὐ γὰρ ὃ **5** ἤθελον ἔπραττον, ἀλλ' ὃ ἐμίσουν ἠπειγόμην ποιεῖν«, ἁμαρτίας διακονούσης μοι, οὕτως), ὁ ἅγιος πατὴρ τὸν υἱὸν αὐτοῦ τὸν ἅγιον ἀπέ- D160
στειλε καὶ ἐν τῷ αὐτοῦ ἐλέει ἔσωσέ με καὶ ἐκ πασῶν τῶν διαφθορῶν μου ἐρρύσατό με. 65. »ἐπεφάνη γὰρ ἡ χάρις τοῦ κυρίου ἡμῶν καὶ **65, 1** σωτῆρος, διδάσκουσα ἡμᾶς ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ εὐσεβῶς καὶ δικαίως ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων«· »ἐξα- **2**
λείψας τὸ καθ' ἡμῶν χειρόγραφον, τοῖς δόγμασιν ὃ ἦν ὑπεναντίον ἡμῶν, ἦρκεν ἐκ μέσου προσηλώσας αὐτὸ τῷ σταυρῷ, ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ«· »πύλας χαλκᾶς συντρίψας καὶ μοχλοὺς σιδηροῦς συνθλάσας« τὸ φῶς αὖθις ὑπέδειξε τῆς ζωῆς, χεῖρα ὀρέγων, ὁδοποιῶν, ὑποβάθρας οὐρανῶν ὑποδεικνύς, παράδεισον αὖθις | οἰκεῖν ἀξιῶν. P68
τοίνυν »κατῴκησεν ἐν ἡμῖν« καὶ »τὸ δικαίωμα τοῦ νόμου« δοὺς **3**

13 vgl. Röm. 7, 19f — **17—23** Tit. 2, 11—14 — **23—27** Kol. 2, 14f — **27f** Jes. 45, 2 — **30** vgl. Joh. 1, 14 — Röm. 8, 4

L J **17**—S. **93**, **7** wiederholt Panarion haer. 74 c. 2—10 (= pan.)

3f ὀκνήσαιμι L **8** ἐκ² < J **13** μοι] ἡμῖν J **17** γὰρ < pan. **17f** καὶ σωτῆρος] Ἰησοῦ Χριστοῦ pan. **19** καὶ δικαίως pan.] < L J **25** ἦρκεν pan.] ἄρας L J | προσηλώσας αὐτὸ pan.] καὶ προσηλώσας L J **26** ἐδειγμάτισεν pan.] παρεδειγμάτισεν L J **27** αὐτὰς J | πύλας] θύρας pan. **28** χεῖρας pan. **29** ὑποβάθρους L ὑποβάθραν pan. | οὐρανὸν L J

ἡμῖν τοῦ πνεύματος εἰς τὸ γνῶναι αὐτὸν ⟨καὶ⟩ ὅτι τὰ περὶ αὐτοῦ ἐστιν ἀρχὴ καὶ τέλος ζωῆς, »νόμος δικαιοσύνης« γέγονεν ἡμῖν, »νόμος πίστεως« »νόμος πνεύματος«, ἐλεύθερος ἐκ »νόμου σαρκὸς ἁμαρτίας«. διὸ »συνήδομαι τῷ νόμῳ τοῦ θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον«· ἔσω 4
δὲ ἡμῶν ὁ Χριστός, εἴπερ οἰκεῖ ἐν ἡμῖν. αὐτὸς γὰρ θανὼν ὁδὸς 5
ζωῆς ὑπὲρ ἡμῶν γέγονεν, ἵνα »οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι« αἰτίῳ ζωῆς· »τοῦ πρὸ πολλῶν γενεῶν ὅρκου μνησθείς« κατὰ τὸν Δαυίδ, »θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα
αὐτῶν«, »ὅτι ἐν αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι καὶ 6
δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ«. παρεγένετο | τοίνυν »εἰς οἰκονομίαν τοῦ 7 D
πληρώματος τῶν καιρῶν«, καθὼς ἐπήγγελται Ἀβραὰμ καὶ λοιποῖς ἁγίοις, »ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν αὐτῷ, τὰ ἐν τοῖς οὐρανοῖς
καὶ τὰ ἐπὶ τῆς γῆς«. διάστασις δὲ ἦν καὶ ἔχθρα »ἐν τῇ ἀνοχῇ τοῦ 8
θεοῦ«, »ἀποκατήλλαξε δὲ ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ«, »δι' αὐτοῦ ποιήσας τὰ ἀμφότερα ἕν«, (ἦλθε γὰρ »ἡ εἰρήνη ἡμῶν«) καὶ »τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ
εἰς ἕνα καινὸν ἄνθρωπον«, »εἶναί τε τὰ ἔθνη σύσσωμα καὶ συμ-
μέτοχα καὶ συγκληρονόμα τῆς ἐπαγγελίας« ἐκέλευσεν εἰπών »δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς«. τοίνυν »ἐν ᾧ ἐγὼ ἠσθένουν διὰ τῆς σαρκός«, ἀπεστάλη μοι 9
σωτὴρ »ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας«, οἰκονομίαν τοιαύτην πληρῶν,
ἵνα με δουλείας »ἐξαγοράσῃ«, ἵνα με φθορᾶς, ἵνα με θανάτου, καὶ ἐγένετό μοι »δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις«· δικαιοσύνη 10

2 Röm. 9, 31 — **2f** Röm. 3, 27 — **3** Röm. 8, 2 — Röm. 7, 25 — **4** Röm. 7, 22 — **5** vgl. I Kor. 3, 16 — **6f** II Kor. 5, 15 — **7f** vgl. Psal. 104, 8f — **8—10** II Kor. 5, 19 — **10—12** Kol. 1, 19f — **12—15** Ephes. 1, 10 — **15** vgl. Röm. 3, 26 — **16—20** Ephes. 2, 16. 14. 15 — **20f** Ephes. 3, 6 — **21—23** Matth. 11, 28 — **23** Röm. 8, 3 — **24** Röm. 8, 3 — **25** vgl. Gal. 4, 5 — **26** I Kor. 1, 30

L J pan.

1 ⟨καὶ⟩ *] ἢ pan. < L J **2** νόμος πίστεως pan. < L J **3** σαρκὸς] ζωῆς L J **4** συνήδομαι τῷ νόμῳ pan.] συνείδομεν τὸν νόμον L J | τοῦ (vor θεοῦ) < L **5** ὑμῖν L | αὐτὸς γὰρ] ἀλλ' αὐτὸς pan. **8** ὅρκον pan.] οἶκον L J **12** τοῦ σταυροῦ pan.] ἐν τῷ σταυρῷ L J | παραγέγονε pan. **14** τὰ[2] + τε pan. **15** δὲ] γὰρ? * **20** τε] δὲ pan. **22** πρός με < L J **23** ἐν ᾧ < J **24** vor σωτὴρ + ὁ pan.

·μέν, διὰ πίστεως αὐτοῦ ἁμαρτίαν λύσας· ἁγιασμὸς δέ, δι' ὕδατος καὶ πνεύματος καὶ ἐν ῥήματι αὐτοῦ ἐλευθερώσας· ἀπολύτρωσις δέ, τὸ αἷμα αὐτοῦ λύτρον ἀμνοῦ ἀληθοῦς ὑπὲρ ἐμοῦ ἑαυτὸν παραδούς, ἱλαστήριον καθάρσεως κόσμου, καταλλαγῆς ἁπάντων οὐρανοῦ καὶ γῆς, »μυστήριον τὸ ἀπόκρυφον πρὸ τῶν αἰώνων καὶ γενεῶν« πληρῶν καιροῖς τοῖς ὡρισμένοις. | ὁ αὐτὸς »μετασχηματίσει τὸ σῶμα 11 P69
τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι σύμμορφον τῆς δόξης αὐτοῦ κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι καὶ ὑποτάξαι αὐτῷ τὰ πάντα«, »ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς«.

66. Τὸ δοχεῖον τοίνυν τῆς σοφίας καὶ τῆς θεότητος, ὁ Χριστὸς 66, 1
μεσιτεύων »καταλλάσσει τὰ πάντα τῷ θεῷ ἐν αὐτῷ, μὴ λογιζόμενος ἁμαρτίας«, ἀπόκρυφα μυστήρια πληρῶν πίστει διαθήκης αὐτοῦ τῆς προεπηγγελμένης | ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν, D162
υἱὸς θεοῦ κηρυσσόμενος, υἱὸς Δαυὶδ λεγόμενος· ἄμφω γάρ, θεὸς καὶ ἄνθρωπος, »μεσίτης θεοῦ καὶ ἀνθρώπων«, ἀληθινὸς »οἶκος θεοῦ«, »ἱεράτευμα ἅγιον«, ἁγίου πνεύματος δοτὴρ τοῦ ἀναγεννῶντος καὶ ἀνακαινίζοντος αὖθις τὰ πάντα τῷ θεῷ· ὅτι »ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν« καὶ »εἴδομεν τὴν δόξαν αὐτοῦ ὡς δόξαν μονογενοῦς παρὰ πατρός«. ὁ ὑετὸς δένδρεσι καὶ φυτοῖς συμφυσιού- 2
μενος σῶμα ἀπεργάζεται καὶ τῶν καρπῶν καθ' ὁμοιότητα ἕκαστον, καὶ ἐν μὲν τῇ ἐλαίᾳ ἔλαιον πῖον γίνεται προσλαμβανόμενος ἐξ αὐτῆς τὸ οὐσιῶδες, ἐν δὲ ἀμπέλῳ οἶνος ἡδὺς χροΐζεται, ἐν δὲ συκῇ σῦκον γλυκαίνεται καὶ ἐν ἑκάστῳ τῶν σπερμάτων πρὸς τὸ εἶδος αὐτοῦ αὔξει φυήν. οὕτως οἶμαι ὁ Λόγος τοῦ θεοῦ ἐν Μαρίᾳ σὰρξ ἐγένετο 3
καὶ ἐν σπέρματι Ἀβραὰμ ἄνθρωπος εὑρίσκετο κατὰ τὴν ἐπαγγελίαν. »εὑρήκαμεν γὰρ Μεσσίαν, ὃν ἔγραψε Μωυσῆς«. ὡς δὲ Μωυσῆς ἔφη

1f vgl. Joh. 1, 5 — **5** Kol. 1, 26 — **6—8** Phil. 3, 21 — **9** Kol. 2, 9 — **11f** II Kor. 5, 18f — **15** I Tim. 2, 5 — **15f** I Petr. 2, 5 — **17—19** Joh. 1, 14 — **26** Joh. 1, 41. 45

L J pan.

1 ἁμαρτίας L J | δέ < pan. **4f** ἐν οὐρανῷ καὶ γῆς J **6** διωρισμένοις pan. **11** μεσιτεύων καὶ καταλλάσσων pan. | τῷ (vor θεῷ) < pan. **12** ἁμαρτίαν pan. | μυστηρίου L **13** τῆς < J **16** ἁγίου < pan. **17** ὅτι] καὶ pan. **18** καὶ (vor εἴδομεν) < L J | δόξαν² < L J **20** τὸν καρπὸν L τὸν καθ' ὁμοιότητα καρπόν pan. **21** προσλαβόμενον L J | ἐξ] πρὸς pan. **23** καὶ ἐν] ἐν δὲ Pan. ἐν < J | τῶν < L J **23f** αὐτοῦ αὔξει φυήν vgl. S. 80, 3] αὔξεται αὐτοῦ καὶ φύει L J **24** σὰρξ < pan. **26** μεσίαν L | ὡς δὲ Μωυσῆς < L J

»καταβήτω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου« καὶ ὁ Δαυίδ »καταβήτω ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡς σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν« (ἔριον τοίνυν δεχόμενον τὴν δρόσον αὔξει πόκου γονήν, γῆ δὲ δεχο- **4**
μένη τὸν ὑετὸν αὔξει καρπὸν ἐλπίδος γεωργῶν τῷ δέχεσθαι προσ- **5**
τάγματι τοῦ δεσπότου προσδιδοῦσα τὴν φύσιν προθύμως τῷ τε λαμβάνειν παρ' αὐτοῦ πλέον ἔχει⟨ν⟩ σπουδήν), οὕτω δὴ καὶ ἡ παρ- **5**
θένος Μαρία »κατὰ τί γνώσομαι« ὅτε φησίν »ὅτι ἔσται μοι τοῦτο«, ἤκουσε »πνεῦμα κυρίου ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον ἔσται καὶ υἱὸς ὑψίστου κληθή- **10**
σεται«. Χριστὸς ἐν ἀγγέλῳ λαλεῖ, ἀναπλάττει δὲ ἑαυτὸν ἐν τῇ **6**
ἑαυτοῦ πλάσει ὁ δεσπότης »μορφὴν δούλου λαβών«, καὶ Μαρία μὲν ἀνιμᾶται τὸν Λόγον εἰς σύλληψιν, ὡς ὑετὸν ἡ γῆ, ἑαυτὸν δὲ καρπὸν ἅγιον ἀποδείκ|νυσιν ὁ τοῦ θεοῦ Λόγος, προσλαμβανόμενος θνητοῦ P70
φύσιν. οὗτος ἦν ἐξ αὐτῆς ἀνιμώσης ὡς γῆ καὶ πόκος, ὁ τῆς ἀλη- **7**
θοῦς ἐλπίδος | καρπός, ἁγίοις ἐν προσδοκίᾳ· καθὼς Ἐλισάβετ ἔλεγεν D163
»εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου«, ὃν προσελάβετο ἐξ ἀνθρωπότητος παθὼν ἀπαθὴς ὢν ὁ Λόγος· οὗτος »ὁ ἄρτος ὁ ζῶν, ὁ καταβὰς ἐξ οὐρανοῦ« καὶ ζωὴν διδούς· **8**
οὗτος ὁ τῆς ἀληθοῦς ἐλαίας καρπός, τὸ ἔλαιον τῆς χρίσεως καὶ τῆς συνθέσεως, ὃ προετύπωσε Μωυσῆς· οὗτος »ἡ ἀληθινὴ ἄμπελος«, ἣν γεωργεῖ μόνος ὁ πατήρ, βότρυν χαρᾶς γεννήσας ἡμῖν· οὗτος »τὸ **9**
ὕδωρ τὸ ζῶν, ὃ ⟨ὁ⟩ διψῶν ἄνθρωπος λαβὼν οὐ διψήσει πάλιν, ἀλλ' ἐστὶν ἐν τῇ κοιλίᾳ αὐτοῦ ἁλλόμενον εἰς ζωὴν αἰώνιον«. ἐκ τούτου λαβόντες μετέδωκαν οἱ νέοι γεωργοὶ εἰς τὸν κόσμον, παλαιοὶ δὲ

1 Deut. 32, 2 — **1f** Psal. 71, 6 — **7** vgl. Luk. 1, 18. 34 — **8** Luk. 1, 35 — **11** Phil. 2, 7 — **16** Luk. 1, 42 — **18** Joh. 6, 51 — **19f** vgl. Exod. 30, 22ff — **20** Joh. 15, 1 — **21—23** Joh. 4, 10. 13. 14

L J pan.

1 *καὶ ὁ Δαυίδ*] ἢ pan. **2** *ὑετὸς*] *δρόσος* pan. | *καὶ ὡς — γῆν* hinter *ἀπόφθεγμά μου* (Z. 1) L J pan. | *ἡ σταγὼν ἡ στάζουσα* L J | *ἐπὶ τῆς γῆς* pan. **3** *ἔριν* J **4** *ἐλπίδος γεωργῶν* hinter *καρπὸν* Wilamowitz vgl. Z. 14f] *ἐλπίδος γεωργὸν* vor *τὸν ὑετὸν* pan. < L J | *τῷ δέχεσθαι* < L J **5** *τοῦ* (vor *δεσπότου*) < pan. | *τῷ*] *τὸ* L J | *τε* *] *δὲ* L J pan. **6** *ἔχει⟨ν⟩* *] *ἔχει* L J pan. **7** *ὅτε* *] *τοῦτο* L J pan. | *τοῦτο* < pan. **10** *δὲ*] *καὶ* L **12** *ἀνιμᾶτο* L **13** *ὑποδείκνυσιν* L J | *ὁ τοῦ θεοῦ Λόγος* < L | *προσλαβόμενος* L J **14** *οὗτος ἦν*] *οὕτως οὖν* L J | *ποκὸς* pan. **15** *ἁγίοις ἐν προσδοκίᾳ* pan.] *ἡ τῶν ἁγίων προσδοκία* L J **17** *ὃν* L] *ἓν* J *ὃ* pan. **18** *ὁ* (vor *ἄρτος*) < L J **20** *ὃ* *] *ὃν* L J pan. **21** vor *χαρᾶς* + *τῆς* L **22** *⟨ὁ⟩* *

γεωργοὶ ἐξήραναν καὶ ἔφθειραν διὰ ἀπιστίαν. αἵματι μὲν ἑαυτοῦ 10
ἁγιάζει τὰ ἔθνη, πνεύματι δὲ αὐτοῦ ἰδίῳ ἀνάγει τοὺς κλητοὺς εἰς
οὐρανούς. »ὅσοι γοῦν πνεύματι αὐτοῦ ἄγονται, οὗτοι« ζῶσι θεῷ·
ὅσοι δὲ μή, ἔτι θανάτῳ λελογισμένοι εἰσί, ψυχικοὶ ἤτοι σαρκικοὶ
οὗτοι καλοῦνται. τοίνυν ἀθετεῖν τὰ ἔργα τῆς σαρκός, ὀχυρώματα 11
ὄντα τῆς ἁμαρτίας, νεκροῦν δὲ τὰ μέλη τοῦ θανάτου διὰ τῆς
χάριτος αὐτοῦ λαβεῖν τε πνεῦμα ἅγιον ὃ οὐκ εἴχομεν προστάσσει,
τὸ ζωοποιοῦν ἐμὲ τὸν πάλαι τεθνηκότα, ὅπερ μὴ λαβὼν τεθνήξο-
μαι· δίχα γὰρ πνεύματος αὐτοῦ πᾶς νεκρός. »εἰ τοίνυν τὸ πνεῦμα
αὐτοῦ ἐν ἡμῖν, ὁ ἐγείρας αὐτὸν ἐκ νεκρῶν ζωοποιήσει τὰ θνητὰ
σώματα ἡμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ἡμῖν«. ἀλλ',
οἶμαι, ἀμφότερα κατοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ, ὁ Χριστὸς
καὶ τὸ πνεῦμα αὐτοῦ.

67. *Εἰ δὲ Χριστὸς ἐκ τοῦ πατρὸς πιστεύεται θεὸς ἐκ θεοῦ καὶ* **67**, 1
τὸ πνεῦμα ἐκ τοῦ Χριστοῦ ἢ παρ' ἀμφοτέρων (ὡς φησιν ὁ Χριστός,
»ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται« καί »οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται«),
ὁ δὲ Χριστὸς ἐκ πνεύματος ἁγίου (»τὸ γὰρ ἐν αὐτῇ« φησίν »ἐκ
πνεύματος ἁγίου« ἀγγέλου φωνή), συνίω τὸ λυτρούμενόν με μυστήριον
πίστει ἀκοῇ μόνῃ φιλίᾳ τῇ | πρὸς τὸν ἐλθόντα πρὸς ἐμέ. ἑαυτὸν 2 D164
γὰρ ὁ θεὸς γινώσκει, ἑαυτὸν Χριστὸς κηρύσσει, ἑαυτὸ τὸ πνεῦμα
τὸ ἅγιον δηλοῖ τοῖς ἁγίοις· ἐν γραφαῖς δὲ ἁγίαις τριὰς ἡμῖν κατ|αγ- P71
γέλλεται καὶ πιστεύεται ἀπεριέργως ἀφιλονείκως ⟨ἐκ⟩ συνθημάτων
ἀκοῆς. ἐκ πίστεως δὲ ταύτης ἡ σωτηρία τῆς χάριτος, »ἐκ πίστεως 3
ἡ δικαιοσύνη χωρὶς ἔργων νόμου«· γέγραπται ⟨γὰρ⟩ ἐξ ἀκοῆς πίστεως
τὸ πνεῦμα τοῦ Χριστοῦ δίδοσθαι τοῖς σῳζομένοις. πίστις δὲ ἡ 4

3 Röm. 8, 14 — **5** vgl. Gal. 5, 19 — **6** vgl. Kol. 3, 5 — **9—11** Röm. 8, 11 — **16** Joh. 15, 26 — Joh. 16, 14 — **17** Matth. 1, 20 — **23f** Röm. 3, 28 — **24f** vgl. Gal. 3, 2

L J pan. **11—16** Concil. Florent. Hardouin IX 360 D Jos. Bryennios I 275 Bulgaris **19—S. 82, 8** Siegel des Glaubens S. 30f Karapet (= arm.)

1 ἐξῆραν pan. | ἑαυτοῦ] αὐτοῦ L J **2** ἁγιάζεται L J | αὐτοῦ ἰδίῳ] ἀιδίῳ pan. | ἄγει pan. **3** οὖν L J **4** μή < L J **5** ἀθετεῖ pan. | ὀχύρωμα οὔσης pan. **6** νεκροῖ pan. **7** τε] δὲ pan. **9** εἰ τοίνυν] ἤτοι L J **11** αὐτοῦ < J, hinter πνεύματος pan. **12** τῷ ἀνθρώπῳ < L pan. **15** ὡς < L | ἔφη L **17f** τὸ γὰρ ἐν — πνεύματος ἁγίου < L J **18** συνιῶν τῷ λυτρουμένῳ με μυστηρίῳ L J **19** ἀκοῇ μόνῃ = aufs bloße Hören hin | τῇ < L J | με L J **20** γινώσκει ὁ θεός L | ἑαυτό] ἑαυτὸν L **21** δὲ hinter ἐν J **22** ἀπερίεργος ἀφιλόνεικος pan. | ⟨ἐκ⟩ * **23** ἀκοαῖς pan. | δὲ pan. < L J | ταύτης] αὐτῆς pan. **24** ἔργων < L J | ⟨γὰρ⟩ * **25** πίστις pan. arm.] πιστὴ L J

καθόλου κηρύκων φωναῖς αὕτη σημαίνεται, ὡς ἔγωγε οἶμαι κατηχούμενος ἐκ γραφῶν· τρία ἅγια τρία συνάγια, τρία ὑπαρκτὰ τρία συνύπαρκτα, τρία ἔμμορφα τρία σύμμορφα, τρία ἐνεργὰ τρία συνεργά, τρία ἐνυπόστατα τρία συνυπόστατα ἀλλήλοις συνόντα· τριὰς αὕτη ἁγία καλεῖται, τρία ὄντα μία συμφωνία μία θεότης τῆς αὐτῆς οὐσίας τῆς αὐτῆς θεότητος τῆς αὐτῆς ὑποστάσεως, ὁμοία ἐξ ὁμοίου, ἰσότητα χάριτος ἐργαζομένη πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. τὸ δὲ πῶς αὐτοῖς ἀπολείπεται διδάσκειν. »οὐδεὶς γὰρ οἶδε τὸν πατέρα εἰ μὴ ὁ υἱός, οὐδὲ τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ καὶ ᾧ ἐὰν ὁ υἱὸς ἀποκαλύψῃ«· ἀποκαλύπτει δὲ διὰ πνεύματος ἁγίου. οὐκοῦν ταῦτα τρία ὄντα ἢ ἐξ αὐτοῦ ἢ παρ' αὐτοῦ ἢ πρὸς αὐτόν, ἑκάστῳ ἀξίως νοούμενα καθὼς ἑαυτὰ ἀποκαλύπτει, φῶς πῦρ πνεῦμα καὶ ἄλλαις οἶμαι ὁράσεων ὁμοιώσεσι, καθὼς ἄξιος ὁ διακονούμενος ἄνθρωπος. αὐτὸς τοίνυν ὁ θεὸς ὁ ἐν ἀρχῇ εἰπών »γενηθήτω φῶς, καὶ ἐγένετο φῶς« τὸ ὁρώμενον, αὐτὸς ὁ φωτίσας ἡμᾶς »τὸ φῶς« ἰδεῖν »τὸ ἀληθινὸν τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον«. (»ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου« ὁ Δαυίδ φησιν) αὐτός ἐστιν ὁ κύριος ὁ εἰπών »ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα καὶ προφητεύσουσιν οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν καὶ οἱ νεανίσκοι αὐτῶν ὁράσεις ὄψονται«, τρία πρόσωπα ἁγίας λειτουργίας δεικνὺς ἡμῖν ἐξ ὑποστάσεως οὔσης τριττῆς. | D16

68. »Λέγω οὖν Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας θεοῦ εἰς τὸ πληρῶσαι τὰς ἐπαγγελίας«, συνδιακονεῖν δὲ 68,

8—10 Matth. 11, 27 — **14** Gen. 1, 3 — **15f** Joh. 1, 9 — **17** Psal. 42, 3 — **18—21** Joel 2, 28 — **23f** Röm. 15, 8

L J pan. **2—12** (bis *πνεῦμα*) Joh. Scotus *de divisione naturae* IV p. 160 Gale 1681

1 *φωναῖς* pan. arm.] *φωνὴ* L J **2** *ἐκ γραφῶν*] *ἐκεῖ γράφων* L **2f** *τρία ὑπαρκτὰ τρία συνύπαρκτα* pan. Joh. Scot.] < L J **4** *τρία συννπόστατα* pan. Joh. Scot.] < L J **5** vor *ἁγία* + *ἡ* L J **5f** *τῆς αὐτῆς οὐσίας — ὑποστάσεως*] *eiusdemque essentiae* Joh. Scot. **6** *οὐσίας τῆς αὐτῆς θεότητος*] *δυνάμεως* pan. | *τῆς αὐτῆς ὑποστάσεως* ist trotz des *τριττῆς* Z. 22 nicht zu beanstanden **7** *ἰσότητι* L J | *ἰσότητα χάριτος* + *τῆς αὐτῆς χάριτος* pan. | *ἐργαζομένη* *] *ἐργάζεται* pan. *operantur* Joh. Scot. < L J **8** *ἀπέλιπε* pan. | *γὰρ* < pan. **9** *οὐδὲ*] *οὐδεὶς* J **10** *ἀποκαλύψῃ*] *ἀποκαλύπτει* pan. | *ἁγίου* + *τούτῳ καὶ ὁ πατὴρ ἀποκαλύπτει* L J < pan. Joh. Scot. **10f** *τρία ταῦτα* pan. **11** *ἑκάστῳ*] *in unoquoque* Joh. Scot. **12** *ἑαυτῷ* L **15** *τὸ ὁρώμενον* < L J **17** *φησὶν ὁ Δαυίδ* J **19** *ἐπὶ πᾶσαν σάρκα* < L J **19f** *οἱ υἱοὶ αὐτῶν καὶ* < pan. **21** *ἡμῖν* + *ὑποστάσεως* pan. **22** *τρίτης* pan.

τὸ πνεῦμα τὸ ἅγιον. παρειλήφαμεν ⟨γὰρ⟩ ἐκ θείων γραφῶν οὕτως· ἀποστέλλεται ὁ Χριστὸς ἀπὸ πατρὸς ἀποστέλλεται τὸ πνεῦμα τὸ ἅγιον· λαλεῖ ἐν ἁγίοις Χριστὸς λαλεῖ τὸ πνεῦμα τὸ ἅγιον· ἰᾶται Χριστὸς ἰᾶται τὸ πνεῦμα τὸ ἅγιον· ἁγιάζει Χριστὸς ἁγιάζει τὸ πνεῦμα τὸ ἅγιον· βαπτίζει Χριστὸς ἐν τῷ ὀνόματι αὐτοῦ βαπτίζει τὸ πνεῦμα τὸ ἅγιον. οὕτως λέγουσιν αἱ | γραφαί· »ἀποστελεῖς τὸ 2 P 72
πνεῦμά σου καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς« ὅμοιον τῷ λέγειν »ἐξαποστελεῖς τὸν λόγον σου καὶ τήξεις αὐτά«· »λειτουργούντων δὲ 3
αὐτῶν, φησί, τῷ κυρίῳ καὶ νηστευόντων εἶπε τὸ πνεῦμα τὸ ἅγιον· ἀφορίσατε δή μοι Βαρνάβαν καὶ Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς« ὅμοιον τῷ λέγειν »ὁ δὲ κύριος εἶπεν, εἴσελθε εἰς τὴν πόλιν κἀκεῖ λαληθήσεταί σοι τί σε δεῖ ποιεῖν«· »αὐτοὶ μὲν οὖν ἐκ- 4
πεμφθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος κατῆλθον εἰς Σελεύκειαν« ὡς ἂν εἴποι Χριστός »ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων«· »ἔδοξε γὰρ τῷ πνεύματι τῷ ἁγίῳ μηδὲν ἄλλο ἐπιτίθεσθαι βάρος 5
πλὴν τῶν ἐπάναγκες« ὡς ἂν εἴποι »λέγω δὲ οὐκ ἐγώ, ἀλλ' ὁ κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι«· »διῆλθον δὲ τὴν Φρυγίαν καὶ 6
τὴν Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ· ἐλθόντες δὲ εἰς τὴν Μυσίαν ἐπείραζον εἰς τὴν Βιθυνίαν πορεύεσθαι καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα« ὡς ἂν εἴποι Χριστός »πορευθέντες βαπτίσατε πάντα τὰ ἔθνη« ⟨ἢ⟩ »μὴ βαστάζετε πήραν μὴ ῥάβδον μηδὲ ὑποδήματα«. »οἵτινες, φησίν, 7
ἔλεγον τῷ Παύλῳ διὰ τοῦ πνεύματος μὴ ἀναβαίνειν εἰς Ἱερουσαλήμ« ἢ Ἄγαβος »τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον, τὸν ἄνδρα οὗ ἐστιν ἡ

6 f Psal. 103, 30 — **8** Psal. 147, 7 — Act. 13, 2 — **11 f** Act. 9, 6 — **12 f** Act. 13, 4 — **14** Matth. 10, 16 — **15 f** Act. 15, 28 — **16 f** I Kor. 7, 10 — **17—20** Act. 16, 6 f — **21** Matth. 28, 19 — **21 f** Matth. 10, 10 Luk. 10, 4 — **22 f** Act. 21, 4 — **24** Act. 21, 11

L J pan.

1 *συμπαρειλήφαμεν* L J | ⟨*γὰρ*⟩ * **3** *λαλεῖται* beidemale L J | vor *Χριστὸς* + *ὁ* L J, vgl. Z. 5 **4** vor *Χριστὸς*[1] + *ὁ* L J **6** *οὕτω* L J **9** *αὐτῷ* L J | *φησί* < L J **10** *δή* < L J | *Σαῦλον*] *Παῦλον* L **10 f** *προσκέκλημαι* L J **11** *λέγειν*] *εἰπεῖν* L J | *εἶπεν*] *λέγει* pan. | *ἄνελθε* L *εἰσέλθετε* pan. **12** *σοι*] *ὑμῖν* pan. | *σε* < pan. | *αὐτοὶ* pan.] *οὗτοι* L J **13** *ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου* pan. **16** *ἐπ' ἀνάγκης* L *ἐπ' ἀνάγκαις* J | *ἐγώ, οὐχ ὁ κύριος* pan. **17** *ἀνδρός*] *ἀνθρώπου* pan. | *χωρίζεσθαι* pan. **18** *Ἀπὸ* L *ἀπὸ* J **20** *τὸ πνεῦμα* + *τὸ ἅγιον* pan. **21** *πορευθέντες*] *ἀπελθόντες* pan. | *βαπτίσατε* + *εἰς* pan. | ⟨*ἢ*⟩ *, vgl. Z. 24 u. S. 84, 2 **24** *ἢ* < L J | *Ἄγαβος*] *Ἰάκωβος* L | *Ἄγαβος* + *φησι* L J

ζώνη αὕτη« ὅμοιον ὡς εἶπε Παῦλος »εἰ | δοκιμὴν ζητεῖτε τοῦ ἐν D166
ἐμοὶ λαλοῦντος Χριστοῦ;« ἢ »μνημονεύετε τῶν λόγων κυρίου, ὅτι
αὐτὸς εἶπεν, ἀγαθὸν διδόναι μᾶλλον ἢ λαμβάνειν«· »καὶ νῦν ἰδοὺ 8
ἐγὼ δεδεμένος τῷ πνεύματι πορεύομαι« ὡς ἂν εἴποι »Παῦλος δέσμιος
Ἰησοῦ Χριστοῦ«· »πλὴν τὸ πνεῦμά μοι διαμαρτύρεται κατὰ πόλιν 9
λέγον« ὅμοιον τῷ εἰπεῖν »⟨ὁ⟩ κύριος μαρτυρεῖ τῇ ἐμῇ ψυχῇ ὅτι οὐ
ψεύδομαι«· »ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης« ὅμοιον τῷ εἰπεῖν 10
»ἅγιος ὁ ἐν ἁγίοις ἀναπαυόμενος«· καί »περιτομὴ καρδίας ἐν πνεύ- 11
ματι« ὅμοιον τῷ εἰπεῖν »καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ
ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν, ἐν τῇ περιτομῇ τοῦ
Χριστοῦ«· »εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν« ὅμοιον τῷ εἰπεῖν 12
»καθὼς ἐλάβετε Χριστόν, ἐν αὐτῷ περιπατεῖτε« καί »πνεῦμα κυρίου
ἐλάλησεν ἐν ἐμοὶ καὶ λόγος αὐτοῦ ἐν τῷ στόματί μου«· καί »τὴν 13
ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες« ὅμοιον τῷ εἰπεῖν »ἀπαρχὴ Χρι-
στός«· »ἀλλ᾽ αὐτὸ τὸ πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν« ὅμοιον 14
τῷ εἰπεῖν »ὅς ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ
ἡμῶν«· »ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἁγια- 15
σθεῖσα ἐν πνεύματι ἁγίῳ« ὅμοιον τῷ εἰπεῖν »ὁ δὲ κύριος ἁγιάσαι
ὑμᾶς, ἵνα ἦτε εἰλικρινεῖς καὶ | ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ«· »ἡμῖν 16 P73
δὲ ἀπεκάλυψεν ὁ θεὸς διὰ τοῦ πνεύματος αὐτοῦ« ὅμοιον τῷ εἰπεῖν
»ὅτε εὐδόκησεν ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου διὰ τῆς χάριτος
αὐτοῦ ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί«· »ἡμεῖς δὲ οὐ τὸ πνεῦμα 17
τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ θεοῦ« ὅμοιον τῷ εἰπεῖν
»ἑαυτοὺς δοκιμάζετε εἰ ὁ Χριστὸς ἐν ὑμῖν«· »ναὸς τοῦ θεοῦ ἐστε 18
καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν« ὅμοιον τῷ εἰπεῖν »ἐνοικήσω

1f II Kor. 13, 3 — **2f** Act. 20, 35 — **3f** Act. 20, 22 — **4f** Philem. 1 Ephes. 3, 1 — **5f** Act. 20, 23 — **6f** vgl. Gal. 1, 20 — **7** Röm. 1, 4 — **8** Jes. 57, 15 — **8f** Röm. 2, 29 — **9—11** Kol. 2, 11 — **11** I Kor. 3, 16 — **12** Kol. 2, 6 — **12f** II Sam. 23, 2 — **13f** Röm. 8, 23 — **14f** I Kor. 15, 23 — **15** Röm. 8, 26 — **16f** Röm. 8, 34 — **17f** Röm. 15, 16 — **18f** Phil. 1, 10 — **19f** I Kor. 2, 10 — **21f** Gal. 1, 15 — **22f** I Kor. 2, 12 — **24** II Kor. 13, 5 — **24f** I Kor. 3, 16 — **25f** II Kor. 6, 16

L J pan.

1 ὅμοιον ὡς εἶπε pan.] ὅμοιον ὡς εἰ ἔλεγε L ὁμοίως ὡσεὶ ἔλεγε J | ζητοῦντες J **2** Χριστοῦ] θεοῦ L J | ἢ] εἰ L J **4** ἂν < L J ἐὰν pan. **5** μαρτύρεται L J **6** ὅμοιον τῷ εἶπε L ὅμοιον ὡς εἶπε pan. | ⟨ὁ⟩ * **8f** ἅγιος — ὅμοιον τῷ εἰπεῖν < L J **9** περιετμήθη pan. **10** τῇ² < L J **16** καὶ (vor ἐντυγχάνει) < pan. **19** Χριστοῦ] κυρίου pan. **20** θεὸς] Χριστὸς L J | τοῦ < L J **21** εὐδόκησεν + ὁ θεὸς J **22** ἐν ἐμοὶ τὸν υἱὸν αὐτοῦ pan. **23** τὸ ἐκ] τοῦ pan. **24** ἐστι L J

ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν θεὸς καὶ αὐτοὶ ἔσονταί μοι λαός«.

69. Ἀλλὰ καὶ τὴν δικαίωσιν ἐξ ἀμφοῖν λέγει καὶ τὴν χάριν· **69, 1** »δικαιωθέντες δὲ ἐν τῷ ὀνόματι | τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ D167 καὶ ἐν τῷ πνεύματι τοῦ θεοῦ ἡμῶν« ὅμοιον τῷ εἰπεῖν »δικαιωθέντες δὲ ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν θεὸν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ«· »οὐδεὶς δύναται εἰπεῖν κύριον Ἰησοῦν, εἰ μὴ ἐν **2** πνεύματι ἁγίῳ« καὶ οὐδεὶς δύναται πνεῦμα ἅγιον λαβεῖν ἢ παρὰ κυρίου »διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ πνεῦμα, καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς κύριος, καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι« καί »ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος«· καί »μὴ **3** λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως« ὅμοιον τῷ εἰπεῖν »ἢ παραζηλοῦμεν τὸν κύριον, μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν«· »τὸ δὲ πνεῦμα ῥητῶς λέγει« ὅμοιον τῷ **4** εἰπεῖν »τάδε λέγει κύριος παντοκράτωρ«· καί »τὸ πνεῦμά μου **5** ἐφέστηκεν ἐν μέσῳ ὑμῶν »⟨ὅμοιον τῷ εἰπεῖν⟩« ἐάν τις ἐμοὶ ἀνοίξῃ, εἰσέλθω ἐγὼ καὶ ὁ πατὴρ καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα«· Ἡσαΐας δέ »καὶ ἐπ' αὐτὸν πνεῦμα θεοῦ«, ὁ δὲ Χριστός »πνεῦμα **6** κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με« καί »Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ὃν ἔχρισεν ὁ θεὸς πνεύματι ἁγίῳ« ἢ »κύριος ἀπέσταλκέ με καὶ τὸ πνεῦμα αὐτοῦ«. φανερὰ δὲ καὶ ἡ φωνὴ τῶν Σεραφίμ, κράζουσα **7** »ἅγιος ἅγιος ἅγιος κύριος Σαβαώθ«. ἐὰν δὲ ἀκούσῃς ὅτι »τῇ δεξιᾷ **8** τοῦ θεοῦ ὑψωθεὶς τήν τε ἐπαγγελίαν τοῦ πνεύματος λαβὼν παρὰ τοῦ πατρός« ἢ »περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς ἣν ἠκούσατε« ἢ ὅτι »τὸ πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον« ἢ ὅτι αὐτὸς

4 f I Kor. 6, 11 — **5—7** Röm. 5, 1 — **7 f** I Kor. 12, 3 — **9—11** I Kor. 12, 4—6 — **12** II Kor. 3, 18 — **12—14** Ephes. 4, 30 — **14** I Kor. 10, 22 — **15** I Tim. 4, 1 — **16** Hagg. 2, 11 — **16 f** Hagg. 2, 5 — **17 f** Apok. Joh. 3, 20 Joh. 14, 23 — **19** Jes. 11, 2 — **19 f** Luk. 4, 18 — **20 f** Act. 10, 38 — **21 f** Jes. 48, 16 — **23** Jes. 6, 3 — **23—25** Act. 2, 33 — **25** Act. 1, 4 — **26** Mark. 1, 12

L J pan. **23**—S. **86, 13** Joh. Scotus *de divis. naturae* IV p. 162 Gale 1681

3 *δικαιοσύνην* L J **4** *Ἰησοῦ Χριστοῦ* vor *τοῦ κυρίου ἡμῶν* J **5** *τῷ*[1] < L J **8** *λαβεῖν πνεῦμα ἅγιον* L | *ἢ* pan.] *εἰ μὴ* L J **9** *δὲ*] *γὰρ*? * **10** *εἰσιν — ἐνεργημάτων* (Z. 10f) < pan. **13** *λυπῆτε* L **14** *ἢ*] *εἰ* pan. *μὴ* L J **15** *ἀρρήτως* J **17** ⟨*ὅμοιον τῷ εἰπεῖν*⟩ * **18** *ποιήσομεν* pan. **20** *ἐπ' ἐμέ* < L J **21** *ὁ θεὸς* < L J | *ἢ*] *εἰ* L J **23** *ἀκούσῃς*] *audieritis* Joh. Scot. **24** *ὑψώθη* J | *τήν τε*] *καὶ τὴν* pan. | *λαβὼν τοῦ πνεύματος* L **25** *περιμένει* L J | *πατρὸς* + *μου* Joh. Scot.

λέγει »μὴ μεριμνήσητε τί εἴπητε, ὅτι τὸ πνεῦμα τοῦ πατρός μου τὸ λαλοῦν ἐν ὑμῖν« ἢ »εἰ δὲ ἐν πνεύματι θεοῦ ἐκβάλλω τὰ δαιμόνια | P74
ἢ »ὁ δὲ βλασφημῶν εἰς τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἀφεθήσεται αὐτῷ« καὶ τὰ ἑξῆς, ἢ »πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου«
5 *[καὶ τὰ ἑξῆς] ἢ »τὸ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο τῷ πνεύματι« ἢ »Ἰησοῦς δὲ πλήρης πνεύματος ἁγίου ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου«* | D168
ἢ »ὑπέστρεψεν Ἰησοῦς τῇ δυνάμει τοῦ πνεύματος« ἢ »τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν« (ὅμοιον τῷ εἰπεῖν »ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν«) ἢ »κἀγὼ παρακαλέσω τὸν πατέρα καὶ ἄλλον
10 *παράκλητον δώσει ὑμῖν, τὸ πνεῦμα τῆς ἀληθείας« ἢ »διὰ τί ἐπλήρωσε τὴν καρδίαν σου ὁ Σατανᾶς (τῷ Ἀνανίᾳ Πέτρος) ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον;« καὶ μετὰ ταῦτα »οὐκ ἀνθρώποις ἐψεύσω, ἀλλὰ τῷ θεῷ«, (ἄρα θεὸς ἐκ θεοῦ καὶ θεὸς τὸ πνεῦμα τὸ ἅγιον,*
15 *ᾧ ἐψεύσαντο οἱ τοῦ τιμήματος τοῦ χωρίου νοσφισάμενοι) ἢ »ὃς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι« — τούτου μεῖζον οὐκ ἔχω λέγειν. θεὸς δὲ ⟨καὶ⟩ ὁ υἱός· »ἐξ ὧν« φησίν »ὁ Χριστὸς τὸ* 9
κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεός«, »πίστευσον«, φησίν, »εἰς τὸν κύριον Ἰησοῦν καὶ σωθήσῃ« καί »ἐλάλησε«, φησίν, »αὐτοῖς τὸν λόγον
20 *τοῦ κυρίου«, »ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον παρέθηκεν αὐτοῖς τράπεζαν καὶ ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ θεῷ« ἢ ὅτι »ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ θεὸς ἦν ὁ Λόγος« ἢ »ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ἡμῶν θεοῦ κοσμήσωσιν« ἢ »ἐπεφάνη γὰρ ἡ χάρις τοῦ θεοῦ καὶ σωτῆρος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς« ἢ »προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ*

1f Matth. 10, 19 — **2** Matth. 12, 28 — **3** Mark. 3, 29 — **4** Luk. 23, 46 — **5** Luk. 1, 80 — **6** Luk. 4, 1 — **7** Luk. 4, 15 — **7f** Joh. 3, 6 — **8f** Joh. 1, 3. 4 — **9f** Joh. 14, 16f — **10—12** Act. 5, 3 — **12f** Act. 5, 4 — **14f** I Tim. 3, 16 — **16f** Röm. 9, 5 — **17f** Act. 16, 31 — **18—20** Act. 16, 32. 34 — **21f** Joh. 1, 1 — **22f** Tit. 2, 10 — **23f** Tit. 2, 11 — **24f** Tit. 2, 13

L J pan. Joh. Scot. (bis Z. 13 *τὸ πνεῦμα τὸ ἅγιον*)

1 *τοῦ πατρός μου* < pan. **2** *ἐκβάλω* pan. **4f** *ἢ »πάτερ — τὰ ἑξῆς* < J | *ἢ »πάτερ]* *ἤπερ* L **5** *[καὶ τὰ ἑξῆς]* * | *τῷ* < L J **6** *δὲ* < L J | *πλησθεὶς* pan. **8f** *ὅμοιον τῷ — ζωὴ ἦν* < Joh. Scot. **8** *τῷ]* *πῇ* L **9** *ἐν ἑαυτῷ* L | *πατέρα* + *μου* L J **11** *Πέτρος]* *λέγων* pan. **13** *τῷ* (vor *θεῷ*) < pan. | *καὶ θεὸς* < J **14** *ὃς* < L J **16** *⟨καὶ⟩* * | *τὸ* < pan. **17** *φησίν* < J **22** *ἢ* < L J | *σωτῆρος]* *πατρὸς* L J | *θεοῦ* < pan. **22f** *κοσμήσωμεν* L J **23** *γὰρ* < L J | *θεοῦ]* *κυρίου* pan. | *καὶ σωτῆρος]* *ἡ σωτήριος* J | *σωτῆρος* + *ἡμῶν Χριστοῦ* pan. **24** *παιδεύουσα]* *διδάσκουσα* pan. | *δεχόμενοι* pan.

ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ«. ἡ αὐτὴ δὲ ἡ διακονία τοῦ πνεύματος καὶ τοῦ Λόγου· »προσέχετε«, φησίν, »ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς ἔθετο τὸ πνεῦμα τὸ ἅγιον ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ θεοῦ« ὅμοιον τῷ εἰπεῖν »χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν«. **10**

70. Συνεργεῖ τοίνυν, ὡς ἀποδέδεικται, τῷ πατρὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον· »τῷ λόγῳ γὰρ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν«. προσκυνητὸν δὲ τὸ | πνεῦμα τὸ ἅγιον· »τοὺς γὰρ προσκυνοῦντας D169 θεῷ ἐν πνεύματι δεῖ προσκυνεῖν καὶ ἀληθείᾳ.« | εἰ δὲ συνεργεῖ ταῦτα, 2 P75 κτίσις κτίσιν οὐκ ἐργάζεται οὐδὲ κτιστὴ ἡ θεότης γίνεται οὐδὲ ἐν μέτρῳ ἢ περιοχῇ θεὸς γινώσκεται. ἔστι γὰρ ἀπερίγραφος ἀχώρητος ἀπερινόητος, πάντα περιέχων τὰ ποιήματα τοῦ θεοῦ. οὐδὲ λατρευτὴ **3** ἡ κτίσις· »ἐλάτρευσαν, γάρ ⟨φησιν⟩, τῇ κτίσει παρὰ τὸν κτίσαντα καὶ ἐμωράνθησαν«. πῶς γὰρ οὐ μωρὸν κτίσιν θεολογεῖν ἀθετεῖν τε ⟨τὴν⟩ πρώτην ἐντολὴν τὴν λέγουσαν »ἄκουε Ἰσραήλ, κύριος ὁ θεός σου κύριος εἷς ἐστιν«· »οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος«. ἐν **4** γραφαῖς δὲ ἁγίαις διάφορα ὀνόματα καλεῖται πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, πατρὸς μὲν πατὴρ παντοκράτωρ πατὴρ ἁπάντων πατὴρ Χριστοῦ· υἱοῦ δὲ Λόγος Χριστὸς φῶς ἀληθινόν· τοῦ δὲ ἁγίου πνεύματος παράκλητος πνεῦμα ἀληθείας πνεῦμα θεοῦ πνεῦμα Χριστοῦ. ἔτι τοίνυν ὁ θεὸς νοεῖται καὶ πατὴρ φῶς, ἀλλ' ὡς ὑπέρ- **5** λαμπρον, δύναμις σοφία ⟨ζωή⟩. εἰ δὲ φῶς ὁ θεὸς καὶ πατήρ, φῶς ἄρα ἐκ φωτὸς ὁ υἱὸς καὶ διὰ τοῦτο »φῶς οἰκῶν τὸ ἀπρόσιτον«. δύναμις **6**

3 f Act. 20, 28 — **5 f** I Tim. 1, 12 — **8 f** Psal. 32, 6 — **10 f** Joh. 4, 24 — **15 f** Röm. 1, 25 vgl. 22 — **17 f** Deut. 6, 4 — **18** Psal. 80, 10 — **25** I Tim. 6, 16

L J pan.

1 μεγάλου θεοῦ] κυρίου L J **2** ἡ αὐτὴ δὲ ἡ *] ἡ δὲ αὐτὴ ἡ L ἡ αὐτὴ J ἥ αὐτὴ ἡ pan. **3** προσέχετε + δὲ L J | ἔθετο ἡμᾶς pan. **4** ποιμαίνειν + ἡμᾶς pan. **5** ἐνδυναμοῦντι pan. **6** εἰς διακονίαν θέμενος pan. **8** τῷ γὰρ λόγῳ L J **9** αὐτῶν] αὐτοῦ pan. **11** θεὸν L | ἐν < pan. | δεῖ προσκυνεῖν hinter καὶ ἀληθείᾳ L | ταῦτα] ἡ ἀλήθεια pan. **12** vor κτίσις + ἡ L | ἡ < L J **13** θεὸς < L J **14** περιεχόμενος pan. | τοῦ θεοῦ] ὁ θεός J | οὐδὲ λατρευτὴ] οὐ λατρευτέα δὲ pan. **15** ἡ < L J | ⟨φησιν⟩ * **17** τε *] δὲ L J pan. | ⟨τὴν⟩ * | πρώτην] πατρὸς τὴν pan. **18** κύριος < pan. | θεὸς < L **19** ὀνόματα διάφορα pan. **21** υἱοῦ] κυρίου pan. | hinter Χριστὸς + υἱὸς pan. **23** ἔτι Pet.] τί L J pan. | ὁ < L pan. | ἄλλως L ἄλλον J **24** ⟨ζωή⟩ Klosterm., nach S. 88, 3 ἄρα < pan. **25** διὰ τοῦτο] διὰ τοῦ φωτὸς L J | οἰκῶν φῶς L J

δὲ ὅλος ὁ θεὸς καὶ διὰ τοῦτο ⟨ὁ υἱὸς⟩ »κύριος τῶν δυνάμεων«· σοφία ὅλος ὁ θεός, οὐκοῦν σοφία ὁ υἱὸς ἐκ σοφίας, »ἐν ᾧ πάντες οἱ θησαυροὶ τῆς σοφίας ἀπόκρυφοι«· ζωὴ δὲ ὅλος ὁ θεός, οὐκοῦν ζωὴ ἐκ ζωῆς ὁ υἱός· »ἐγὼ γάρ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή«. τὸ δὲ 7
ἅγιον πνεῦμα παρὰ ἀμφοτέρων, πνεῦμα ἐκ πνεύματος. »πνεῦμα γὰρ ὁ θεός«, † θεότης χαρισμάτων ἐστὶ δοτήρ, ἀληθέστατον φωτιστικὸν παράκλητον βουλευμάτων τοῦ πατρὸς ἀγγελτικόν. ὡς γὰρ ὁ υἱός 8
»μεγάλης βουλῆς ἄγγελος«, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον. »ἀλλ' ἐλάβομεν« φησί »πνεῦμα θεοῦ, ἵνα ἴδωμεν τὰ χαρισθέντα ἡμῖν ὑπὸ θεοῦ, ἃ καὶ λαλοῦμεν, οὐκ ἐν πειθοῖ σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος θεοῦ, πνευματικοῖς πνευματικὰ συγκρίνοντες«. | D170

71. Ἀλλ' ἐρεῖ τις· οὐκοῦν φαμὲν δύο εἶναι υἱούς, καὶ πῶς μονο- 71, 1
γενής; »μενοῦν γε, σὺ τίς εἶ ὁ ἀντιλογιζόμενος τῷ θεῷ;« εἰ γὰρ τὸν μὲν υἱὸν καλεῖ τὸν ἐξ αὐτοῦ, τὸ δὲ ἅγιον πνεῦμα τὸ παρ' ἀμφοτέρων,
(ἃ μόνον πίστει νοούμενα ὑπὸ τῶν ἁγίων φωτεινὰ φωτοδότα φωτεινὴν τὴν ἐνέργειαν ἔχει συμφωνίαν τε πρὸς αὐτὸν τὸν »πατέρα« ποιεῖται »φωτός«), πίστει ἄκουε, ὦ οὗτος, ὅτι ὁ πατὴρ ἀληθοῦς υἱοῦ 2
ἐστι πατήρ, φῶς ὅλος, καὶ ⟨ὁ⟩ υἱὸς ἀληθοῦς πατρὸς ⟨υἱός⟩, φῶς ἐκ φωτός, οὐχ ὡς τὰ ποιητὰ ἢ κτιστὰ προσηγορίᾳ μόνῃ· | καὶ πνεῦμα P76
ἅγιον πνεῦμα ἀληθείας ἐστί, φῶς τρίτον παρὰ πατρὸς καὶ υἱοῦ. τὰ 3
δ' ἄλλα πάντα θέσει ἢ κλήσει, οὐχ ὅμοια τούτοις ἐνεργείᾳ ἢ δυνάμει ἢ φωτὶ ἢ ἐννοίᾳ· ὡς ἂν εἴποι τις »υἱοὺς ἐγέννησα καὶ ὕψωσα« ἢ ὡς ἂν εἴποι τις »ἐγὼ εἶπα, θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες« ἢ ὡς ἂν εἴποι τις »ὁ τετοκὼς βώλους δρόσου« ἢ ὡς ἂν εἴποι τις »ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς« ἢ ὡς ἂν εἴποι τις »ἐγὼ ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα«. οὐ γὰρ ὡς οἱ λοιποὶ 4

1 Psal. 58, 6 — **2f** Kol. 2, 3 — **4** Joh. 14, 6 — **5f** Joh. 4, 24 — **8** Jes. 9, 6 — **9—11** I Kor. 2, 12 — **12—20** vgl. oben c. 6, 9; S. 13, 4—11 — **13** Röm. 9, 20 — **16f** vgl. Jak. 1, 17 — **22—26** vgl. Panarion h. 73, 5 u. oben c. 5, 3f; S. 11, 6f — **22** Jes. 1, 2 — **23** Psal. 81, 6 — **24** Hiob 38, 28 — **24f** Ephes. 3, 15 — **25f** Amos 4, 13

L J pan. **12—14** Conc. Florent. Hardouin IX 361 A **13f** Concil. Florent. Hardouin IX 193 D **19f** Concil. Florent. Hardouin IX 361 A und 610 D

1 ὅλως L | ⟨ὁ υἱὸς⟩ * **2** ὅλως L | θεός] υἱός J **3** ὅλως L **5** πνεύματος] πατρός L J **6** † θεότης] lies wohl πνεῦμα δὲ θεοῦ * **7** παρακλητικὸν pan. | τοῦ < L J **9** ἀπὸ J **12** υἱοὺς εἶναι Conc. Flor. **12f** vor μονογενὴς + ὁ Conc. Flor. **14** μὲν < L J Conc. Flor. **15** ἃ < pan. **16** σύμφωνα L J **17** ὦ οὗτος] ἐγὼ τοιοῦτος L J | ἀληθῶς pan. **18** ⟨ὁ⟩ * | πατρὸς ἀληθοῦς pan. | ⟨υἱός⟩ * **19** ποιητὰ ἢ κτιστὰ] ποιήματα ἢ κτίσματα L J **20** τρίτον] τρία J **21** θέσει + ἢ παραθέσει pan. | τούτου pan. **22** vor ὡς + ἢ pan. **25** οὐρανῷ L J | ἐπὶ + τῆς pan.

πατέρες ἢ πατριάρχαι ὁ ἀληθινὸς πατὴρ ἀρξάμενος τοῦ εἶναι πατὴρ ἢ ἐκλείπων ποτὲ τῷ χρόνῳ τοῦ εἶναι πατήρ. εἰ γὰρ ἄρχεται τοῦ εἶναι πατήρ, υἱὸς ἄρα ἦν ποτε ἑτέρου πατρὸς πρὸ τοῦ εἶναι αὐτὸν πατέρα μονογενοῦς· καθ' ὁμοιότητα δὲ πατέρες πατέρων νοοῦνται τέκνα καὶ εἰς ἄπειρον τὸν ἀληθῶς πατέρα τῆς ἀρχαιολογίας εὑρεῖν ἔστιν. οὐδὲ ὡς τὰ λοιπὰ τέκνα θέσει ὁ υἱὸς ὁ ἀληθινός, νέος τοῦ εἶναι υἱός. εἰ γὰρ νέος τοῦ εἶναι υἱός, ἦν ποτε χρόνος ὅτε οὐκ ἦν ὁ πατὴρ πατὴρ μονογενοῦς. οὐδὲ ὡς τὰ λοιπὰ πνεύματα τὸ πνεῦμα τῆς ἀληθείας κτιστὸν ἢ ποιητόν, οὐδὲ ὡς οἱ λοιποὶ ἄγγελοι »ὁ τῆς μεγάλης βουλῆς ἄγγελος« καλεῖται. ἃ μὲν γὰρ ἀρχὴν καὶ τέλος ἔχει, ἃ δ' ἀνεπινόητον ἔχει τὴν ἀρχὴν καὶ τὸ κράτος· καὶ ἃ μὲν κτίζει τὰ πάντα εἰς ἀπείρους αἰῶνας, συνεργοῦντα τῷ πατρί, | ἃ δὲ κτίζεται D171 ὑπὸ τούτων, ὡς ἂν ἐθέλοιεν· καὶ ἃ μὲν λατρεύει τούτοις, ἃ δὲ λατρευτὰ ὑπὸ τῶν ὅλων κτισμάτων· καὶ ἃ μὲν ἰᾶται τὰ ποιήματα, ἃ δὲ τὴν ἴασιν λαμβάνει παρ' αὐτῶν· καὶ ἃ μὲν κρίνεται κατ' ἀξίαν, ἃ δὲ τὴν κρίσιν ἔχει τὴν δικαίαν· καὶ ἃ μὲν ⟨ἐν⟩ χρόνῳ ἐστίν, ἃ δὲ οὐκ ἐν χρόνῳ τυγχάνει· καὶ ἃ μὲν φωτίζει τὰ πάντα, ἃ δὲ φωτίζεται ὑπὸ τούτων· καὶ ἃ μὲν καλεῖ νηπίους εἰς ὕψος, ἃ δὲ καλεῖται ὑπὸ τοῦ τελείου· καὶ ἃ μὲν χαρίζεται πᾶσιν, ἃ δὲ χαρίσματα λαμβάνει· καὶ καθάπαξ εἰπεῖν, ἃ μὲν ἐξυμνεῖ τὴν ἁγιότητα ἐν οὐρανοῖς οὐρανῶν καὶ λοιποῖς ἀοράτοις τόποις, ἃ δὲ ἐξυμνούμενα τὰ δῶρα ἀξίως παρέχει τοῖς ἀξίοις.

72. *Πνεύματα δὲ πλεῖστά φησιν ἡ γραφή·* »ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα« καί »πάντα τὰ πνεύματα αἰνεῖτε τὸν κύριον«. χάρισμα δὲ | ἀξίοις δίδοται P77 »διακρίσεως πνευμάτων«. ἃ μὲν γὰρ ἐπουράνιά ἐστι, »χαίροντα τῇ ἀληθείᾳ«, ἃ δὲ ἐπίγεια, ἀπάτης καὶ πλάνης ἐπιτήδεια, ἃ δὲ ὑπόγεια, ἀβύσσου καὶ σκότους τέκνα· »παρεκάλει« γὰρ τὸ εὐαγγέλιόν φησιν

2ff vgl. oben c. 5, 7; S. 11, 21ff — **9f** Jes. 9, 6 — **23f** Psal. 103, 4 — **25** Psal. 150, 6 — **26** vgl. I Kor. 12, 10 — **26f** vgl. I Kor. 13, 6 — **28f** Luk. 8, 31 vgl. Mark. 5, 10

L J pan.

2 *ἐκλιπών* L J *ἐλλείπων* pan. | *τῷ* < L J **3** *ἦν ἄρα* L **4** *νοούμενα* L J **5** *καὶ* < L J **6** *ὁ*^{2} < L | *νέους* J **8** *ὁ* < L J **11** *ἃ δ'*] *ἃδ'* J *ἃ δὲ* pan. | *τὸ κράτος καὶ τὴν ἀρχήν* pan. **12** *συνεργοῦνται* L *τῷ* < L J **13** *ὑπὸ*] *ἀπὸ* L J | *ἐθέλοιε* J pan. **16** ⟨*ἐν*⟩ * | *χρόνου* L J **18** *ὑπὸ τούτων* < pan. **19** *τοῦ* < L J **25** *χάρισμα* *] *χαρίσματα* L J pan. **26** *εἰσι* L J **27** *ἐπίγεια*] *ὑπόγεια* pan. **28** *παρακαλεῖ* L J

»ἵνα μὴ πέμψῃ αὐτοὺς εἰς τὴν ἄβυσσον ἀπελθεῖν«· ὡσαύτως δὲ καὶ τοῖς πνεύμασιν ἐπέτασσε καὶ πνεύματα δὲ ἐξεδίωκε λόγῳ καί »οὐκ εἴα αὐτὰ λαλεῖν«. λέγεται δὲ »πνεῦμα κρίσεως καὶ πνεῦμα καύσεως«, λέγεται καὶ πνεῦμα κόσμου (»ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν« φησί) καὶ πνεῦμα δὲ ἀνθρώπου »τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου;« καὶ »πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον«· »ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει« καί »ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι«, καὶ πνεῦμα προφητῶν· »πνεύματα δὲ προφητῶν ⟨φησί⟩ προφήταις ὑποτάσσεται« καί »ἰδοὺ πνεῦμα ψευδὲς ἔστη ἐνώπιον κυρίου καὶ εἶπεν αὐτῷ, ἐν τίνι ἀπατήσεις τὸν Ἀχαάβ; καὶ ἔσομαι, φησί, πνεῦμα ψευδὲς ἐν τῷ στόματι τῶν | προφητῶν«, λέγεται δὲ »πνεῦμα κατανύξεως« εἶναι ⟨καὶ⟩ »πνεῦμα δειλίας« καὶ »πνεῦμα Πύθωνος« καὶ »πνεῦμα πορνείας« καὶ »πνεῦμα καταιγίδος« καὶ »πνεῦμα πολυρρῆμον« καὶ »πνεῦμα ἀσθενείας« καὶ »πνεῦμα ἀκάθαρτον« καὶ »πνεῦμα κωφόν« καὶ »πνεῦμα ἄλαλον« καὶ »πνεῦμα μογγιλάλον« καὶ »πνεῦμα χαλεπὸν λίαν«, ὃ καλεῖται λεγεών, καὶ »τὰ πνευματικὰ τῆς πονηρίας«. ἄπειρα δὲ τὰ περὶ πνευμάτων λόγια σοφοῖς. ἀλλ' ὥσπερ οἱ πολλοὶ υἱοὶ θέσει ἢ κλήσει οὐκ ἀληθείᾳ δέ, διὰ τὸ ἀρχὴν ἔχειν καὶ τέλος * ἁμαρτητικῶς, οὕτω καὶ πνεύματα πλεῖστα θέσει ἢ κλήσει, κἂν ἁμαρτητικὰ ᾖ, τὸ δὲ ἅγιον πνεῦμα μόνον καλεῖται πνεῦμα πατρὸς καὶ υἱοῦ, »πνεῦμα ἀληθείας« καὶ »πνεῦμα θεοῦ« καὶ »πνεῦμα Χριστοῦ« καὶ »πνεῦμα χάριτος«. χαρίζεται γὰρ ἑκάστῳ διαφόρως τὸ ἀγαθόν, »ᾧ μὲν

D172

2f Luk. 4, 41 — **3** Jes. 4, 4 — **4f** I Kor. 2, 12 — **5f** I Kor. 2, 11 — **6** Psal. 77, 39 — **7f** Psal. 102, 16 — **8** Psal. 103, 29 — **9f** I Kor. 14, 32 — **10—12** I Kön. 22, 21f — **12f** Jes. 29, 10 (Röm. 11, 8) — **13** II Tim. 1, 7 — Act. 16, 16 — **14** Hos. 4, 12 — Psal. 10, 6 — Hiob 8, 2 — **15** Luk. 13, 11 — Matth. 12, 43 Mark. 1, 23. 26 Luk. 4, 36; 6, 18 u. a. St. — **15f** Mark. 9, 25 — **16** Mark. 7, 32 — Matth. 8, 28 — **17** Mark. 5, 9 Luk. 8, 30 — Ephes. 6, 12 — **22** Joh. 14, 17 — z. B. Röm. 8, 9. 14 — Röm. 8, 9 — **23** Hebr. 10, 29 — **23ff** I Kor. 12, 8—10

L J pan.

1 *αὐτὸν* pan. | *ἀπελθεῖν* < L J | *καὶ* < pan. **2** *ἐπέτασε* pan. *ἐπιτάσσε* L J | *πνεύματα δὲ* pan.] *τὰ πνεύματα* L J **3** *καύσωνος* pan. **4** *καὶ*] *δὲ* pan. **4f** *οὐκ* vor *ἐλάβομεν* J, < L **5** *ἀνθρώπων* < pan. **6** *τὸ πνεῦμα τὸ ἐν τῷ ἀνθρώπῳ* pan. **7** *οὐκ*] *μὴ* L **9** *πνεῦμα προφητῶν· »πνεύματα δὲ* *] *πνεῦμα* L J *πνεύματα δὲ* pan. | *⟨φησί⟩* * | vor *προφήταις* + *καὶ* L J **10** *καί*[1]] *ἢ* L J **12** *ψευδοπροφητῶν* L J **13** *⟨καὶ⟩* * **17** *τὰ* vor *πνευματικὰ* < L **18** *ἀλλ'* < L J | *εἴπερ* J **19—21** *οὐκ ἀληθείᾳ δὲ — ἁμαρτητικὰ ᾖ* < L J **19** * ergänze wohl *⟨καὶ γεννηθῆναι⟩* * **21** *πνεῦμα* (vor *πατρὸς*) *] *ὑπὸ* L pan. *ἀπὸ* J **23** *τὸ* (vor *ἀγαθόν*) < L

πνεῦμα σοφίας, ᾧ δὲ πνεῦμα γνώσεως, ᾧ δὲ πνεῦμα ἰσχύος, ᾧ δὲ πνεῦμα ἰαμάτων, ᾧ δὲ πνεῦμα προφητείας, ᾧ δὲ πνεῦμα διακρίσεως, ᾧ δὲ γλωσσῶν, ᾧ δὲ ἑρμηνειῶν« καὶ τὰ λοιπὰ χαρίσματα, ὡς φησιν »ἓν δὲ καὶ τὸ αὐτὸ πνεῦμα διαιροῦν ἑκάστῳ ὡς βούλεται«· ὅτι »τὸ 8
πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με, ὁ θεός« φησὶν ὁ Δαυίδ, ἢ »τὸ πνεῦμα ὅπου θέλει πνεῖ« (τὸ ἐνυπόστατον διὰ τῶν τοιούτων τοῦ ἁγίου πνεύματος δεικνὺς ἡμῖν) »καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ᾽ οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει« καί »ἐὰν μὴ γεννηθῆτε ἐξ ὕδατος | καὶ πνεύματος« ὅμοιον ὡς εἶπε Παῦλος »ἐν γὰρ Χριστῷ Ἰησοῦ P 78
ἐγὼ ὑμᾶς ἐγέννησα«. περὶ τούτου ὁ κύριος »ὅταν ἔλθῃ ὁ παράκλη- 9
τος, ὃν ἐγὼ πέμψω ὑμῖν, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ« καί »ἔτι πολλὰ ἔχω λέγειν, ἀλλ᾽ οὐ δύνασθε βαστάζειν ἄρτι. ὅταν ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. οὐ γὰρ λαλήσει ἀφ᾽ ἑαυτοῦ, ἀλλ᾽ ὅσα ἀκούσει λαλήσει καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. ἐκεῖνός με δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν πάντα«. | D 173

73. Εἰ τοίνυν παρὰ τοῦ πατρὸς ἐκπορεύεται καὶ ἐκ τοῦ ἐμοῦ, **73**, 1
⟨ὡς⟩ φησιν ὁ κύριος, λήψεται, ὃν τρόπον »οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱὸς οὐδὲ τὸν υἱὸν εἰ μὴ ὁ πατήρ«, οὕτως τολμῶ λέγειν ὅτι οὐδὲ τὸ πνεῦμα εἰ μὴ ὁ υἱὸς ἐξ οὗ λαμβάνει καὶ ὁ πατὴρ παρ᾽ οὗ ἐκπορεύεται καὶ οὐδὲ τὸν υἱὸν καὶ τὸν πατέρα, εἰ μὴ τὸ πνεῦμα 2
τὸ ἅγιον, τὸ δοξάζον ἀληθῶς τὸ διδάσκον τὰ πάντα τὸ μαρτυροῦν περὶ τοῦ υἱοῦ, ὃ παρὰ τοῦ πατρὸς ὃ ἐκ τοῦ υἱοῦ, μόνος ὁδηγὸς ἀληθείας, νόμων ἐξηγητὴς ἁγίων, πνευματικοῦ νόμου ὑφηγητής, προφητῶν καθηγητής, ἀποστόλων διδάσκαλος, εὐαγγελικῶν δογμάτων φωστήρ, ἁγίων ἐκλογεύς, φῶς τὸ ἀληθινὸν ἐξ ἀληθινοῦ φωτός. υἱὸς φυσικὸς υἱὸς ἀληθὴς υἱὸς γνήσιος, μόνος ἐκ μόνου, σὺν αὐτῷ 3

4 I Kor. 12, 11 — **4f** Psal. 142, 10 — **5—8** Joh. 3, 8 — **8f** Joh. 3, 5 — **9f** I Kor. 4, 15 — **10—12** Joh. 15, 26 — **12—17** Joh. 16, 12—14 — **18—22** vgl. oben c. 11, 3; S. 19, 5ff — **19f** Matth. 11, 27 — **23** Joh. 16, 13; 14, 26; 15, 26

L J pan.

3 ᾧ δὲ γλωσσῶν < pan. | λοιπὰ + δὲ pan. **4** ὅτι] ἢ? * **5** ὁ θεός < J **6** διὰ τούτων pan. **6f** τοῦ πνεύματος τοῦ ἁγίου L J **7** δείκνυσιν pan. **9** ὡς] ὦ L J **10** ἐγέννησα ὑμᾶς pan. **13** ὅταν + δὲ L **14** τὴν ἀλήθειαν πᾶσαν L **19** ⟨ὡς⟩ * | ὃν + γὰρ L J (mit ὃν τρόπον beginnt, jedoch der Nachsatz) **20** οὕτω L J | τολμῶσι pan. **21** ὅτι < pan. **21—22** [εἰ μὴ ὁ υἱὸς — ἐκπορεύεται] εἰ μὴ ὁ πατὴρ καὶ ὁ υἱός, παρ᾽ οὗ ἐκπορεύεται καὶ παρ᾽ οὗ λαμβάνει L J **23f** μαρτυροῦν + τὰ pan.

⟨δὲ⟩ καὶ τὸ πνεῦμα, ⟨οὐχ υἱὸς⟩ ἀλλὰ πνεῦμα ὀνομαζόμενον. οὗτος ὁ 4
θεὸς δοξαζόμενος ἐν ἐκκλησίᾳ· πατὴρ ἀεί, υἱὸς ἀεὶ καὶ πνεῦμα ἅγιον
ἀεί, ὑψηλὸς ⟨ἐξ⟩ ὑψηλοῦ καὶ ὕψιστος, νοερός, δόξαν ἔχων ἀμέτρητον,
ᾧ ὑποβέβηκε τὰ κτιστὰ καὶ τὰ ποιητά, ἁπαξαπλῶς τὰ σύμπαντα
μετρούμενα καὶ περιεχόμενα ἕκαστα. θεότης δὲ μία ἐν Μωυσῇ 5
μάλιστα καταγγέλλεται, δυὰς δὲ ἐν προφήταις σφόδρα κηρύττεται,
τριὰς δὲ ἐν εὐαγγελίοις φανεροῦται, πλεῖον κατὰ καιροὺς καὶ γενεὰς
ἁρμόζουσα τῷ δικαίῳ εἰς γνῶσιν καὶ πίστιν. γνῶσις δὲ αὐτῆς
ἀθανασία, ἐκ πίστεώς τε αὐτῆς υἱοθεσία γίνεται. ἀλλὰ πρῶτον 6
δικαιώματα σαρκὸς ἐκφράζει, ὡς περίβολον ναοῦ τὸν ἔξω διεγείρουσα
ἐν Μωυσῇ· δεύτερον δὲ δικαιώματα ψυχῆς ἐκδιηγεῖται, ὡς τὰ ἅγια
κοσμοῦσα ἐν λοιπαῖς προφητείαις· τρίτον δὲ δικαιώματα πνεύματος,
ὡς τὸ ἱλαστήριον καὶ τὰ ἅγια τῶν ἁγίων ῥυθμίζουσα | ἐν εὐαγγε- P79
λικοῖς πρὸς κατοίκησιν ἑαυτῆς· σκηνὴν [δὲ] ἁγίαν, ναὸν ἅγιον, ⟨ὃς⟩
τὸν δίκαιον ἔχει μόνον [τὸν] συνόντα τούτοις. κατοικεῖ δὲ ἐν αὐτῷ 7
μία θεότης ἄπειρος μία θεότης ἄφθαρτος μία θεότης ἀπερινόητος,
ἀκατάληπτος ἀνεκ|διήγητος ἀόρατος, ἑαυτὴν γινώσκουσα μόνη, D174
ἑαυτὴν ἐμφανίζουσα οἷς βούλεται, μάρτυρας ἑαυτῇ διεγείρουσα
καλοῦσα προορίζουσα δοξάζουσα, ἐξ Ἅιδου ὑψοῦσα, ἁγιάζουσα
ἑνοποιοῦσα πάλιν πρὸς τὴν ἑαυτῆς δόξαν καὶ πίστιν τὰ τρία ταῦτα 8
ἐπουράνια ἐπίγεια καὶ καταχθόνια, πνεῦμα ψυχὴν σάρκα, πίστιν
ἐλπίδα ἀγάπην, παρελθόντα ἐνεστῶτα μέλλοντα, αἰῶνα αἰῶνος
αἰῶνας αἰώνων σάββατα σαββάτων, περιτομὴν σαρκὸς περιτομὴν

L J pan. **5—21** (bis *καταχθόνια*) Sacra Parallelia Coisl. 276 f. 26^{r} Rupef. f. 16^{v} Lemma *τοῦ αὐτοῦ ἐκ τῆς γραφείσης παρ' αὐτοῦ ἐπιστολῆς πρὸς τοὺς ἐν σονέδροις περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος* (*περὶ τῆς ἁγίας τριάδος* R)

1 ⟨*δὲ*⟩ * | ⟨*οὐχ υἱὸς*⟩ * | *οὕτως* pan. **2** *δοξαζόμενος* + *ἀεὶ* L J | *καὶ* (vor *πνεῦμα ἅγιον*) < L J **3** ⟨*ἐξ*⟩ * | *νοερὰν* pan. **5** *μετρούμενα*] *νοούμενα* L J | *δὲ* < Sa Pa **6** *δὲ* < J **8** *δὲ*] *τε* L J | *αὐτῆς* Sa Pa] *αὕτη* L J pan. **9** *ἀθανασίας* pan. | *τε*] *δὲ* Sa Pa *λέγεται* J | *αὐτῆς* Sa Pa] *αὕτη* L J *αὐτῆς ἡ* pan. | *υἱοθεσίας* pan. **10** *δικαίωμα* L J | *περιβόλαιον* Sa Pa **11** *δεύτερον* Ausgg.] *δευτέρα* L J Sa Pa *δεύτερος* pan. **12** *τρίτη* L J | *δὲ* < pan. | *πνεύματος* + ⟨*ἐκτίθεται*⟩? Klosterm. **13 f** *εὐαγγελίοις* J **14** *πρὸς* < Sa Pa | [*δὲ*] * | *ναὸν*] *λαὸν* L J **14 f** ⟨*ὃς*⟩ * | *τὸν δίκαιον*, vgl. Z. 8 *τῷ δικαίῳ* **15** [*τὸν*] * **16** *ἄπειρος μία θεότης* < pan. | *ἄφραστος* Sa Pa^{c} | *μία θεότης*^{3} < Sa Pa **17** *μόνην* L | *μόνη* + *καὶ* Sa Pa **18** *ἑαυτῇ*] *ἑαυτῆς* pan. **19** *καλοῦσα* < Sa Pa **15** *δοξάζουσα — ἁγιάζουσα* < Sa Pa **20** *ἑνωποιοῦσα* J **21** *καὶ* vor *ἐπίγεια* statt vor *καταχθόνια* pan. **22** *ἑστῶτα* pan. | vor *αἰῶνα* + *αἰώνια* pan. (falsch; das dritte Glied ist *σάββατα σαββάτων*) **23** *αἰῶνας* < J

καρδίας »περιτομὴν Χριστοῦ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν«· καθόλου δὲ καθαροποιεῖ ἑαυτῇ τὰ πάντα, τὰ ἀόρατα καὶ 9
τὰ ὁρατά, θρόνους κυριότητας ἀρχὰς ἐξουσίας δυνάμεις· ἐν πᾶσι δὲ
ἡ αὐτὴ φωνὴ ἁγία, ἀπὸ δόξης εἰς δόξαν ἅγιος ἅγιος ἅγιος φωνοῦσα,
πατέρα ἐν υἱῷ, υἱὸν δὲ ἐν πατρὶ ⟨δοξάζουσα⟩ σὺν ἁγίῳ πνεύματι,
ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. καὶ
ἐρεῖ ὁ οὕτω πιστεύων, γένοιτο γένοιτο.

74. Καὶ περὶ μὲν τριάδος καὶ ὁμοουσιότητος θεοῦ πατρὸς καὶ 74, 1
υἱοῦ καὶ ἁγίου πνεύματος οἱ ἀσθενεῖς ἡμεῖς καὶ ἰδιῶται μηδὲν σοφιζόμενοι μηδὲ »τῇ τῶν ἀνθρώπων κυβείᾳ« ἑαυτοὺς ἀν⟨α⟩τιθέντες, ἐκ θείων γραφῶν μᾶλλον μαρτυρίας συναγαγόντες τοῖς βουλομένοις εἰς εὕρεσιν πιστῶν καὶ ἀντίρρησιν κακοπίστων καὶ κενοδόξων ἀπὸ μέρους συνηγάγομεν. πολλὴ γὰρ ἡ τῆς πίστεως ἐν πνεύματι ἁγίῳ δύναμις, ἐν ἁπάσαις θείαις γραφαῖς διαφόρως κεκηρυγμένη⟨ς⟩. ἐπειδὴ 2
δὲ τῆς ἡμῶν σωτηρίας ἀσφάλειά ἐστιν ἡ περὶ τῆς τοῦ σωτῆρος ἡμῶν ἐνανθρωπήσεως καὶ ἐνσάρκου παρουσίας ἀσφαλὴς ὁμολογία τε καὶ βεβαίωσις ἐλπίδος καὶ περὶ ἀναστάσεως νεκρῶν καὶ τῆς ἡμετέρας παλιγγενεσίας, αὖθις ὀλίγον αὐτοὶ ἐπὶ τούτῳ τῷ ἡμετέρῳ καμάτῳ προσθέντες τοῖς βουλομένοις ἀκριβέστερον ἐντυγχάνειν ἐκ τῶν αὐτῶν
θείων γραφῶν ἐπιμένομεν συναγαγόντες τε καὶ τῷ | λόγῳ προστι- D175
θέντες. ἐπειδὴ γάρ, ὡς ἐδιδάχθημεν ἤδη ἐν τοῖς προγεγραμμένοις, 3
αὐτὸς ὁ κύριος ἡμῶν ἐν | τῷ εὐαγγελίῳ αὐτοῦ φήσας τοῖς ἑαυτοῦ P80
μαθηταῖς »ἀπελθόντες βαπτίσατε πάντα τὰ ἔθνη εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν τὰς ἐντολὰς ἃς ἐνετειλάμην ὑμῖν« * αὐτὸς ὁ ἅγιος Λόγος ὁ ἐννυπόστατος, ὁ ἐκ πατρὸς προελθών, δι' οὗ αἰῶνες γεγόνασι δι' οὗ χρόνοι καὶ καιροί. οὐ γὰρ ἦν καιρὸς οὔτε χρόνος πρὸ υἱοῦ. εἰ γὰρ ἦν χρόνος πρὸ 4
υἱοῦ, ἄρα μείζων ὁ χρόνος τοῦ υἱοῦ, καὶ πῶς »δι' αὐτοῦ πάντα ἐγένοντο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲν ὃ γέγονεν«; ὅτι εἴ τι γέγονε,
δι' αὐτοῦ γέγονεν, αὐτὸς δὲ ἄκτιστος καὶ ἀεὶ ὤν· ὅτι ὁ πατὴρ ἀεὶ

1 Kol. 2, 11 — **2f** vgl. Kol. 1, 16 — **10** Ephes. 4, 14 — **23** Matth. 28, 19 — **27ff** vgl. Panarion h. 69, 25, 4 — **28** Joh. 1, 3

L J pan. (bis *γένοιτο*² Z. 7)

2 *δὲ* < pan. | *τὰ* (vor *πάντα*) < pan. **3** *δυνάμεις ἐξουσίας* L **4** vor *φωνὴ* + *σοφία καὶ* pan. **5** *πατέρα*] *πνεῦμα* L J | *δὲ* < L J | ⟨*δοξάζουσα*⟩ * **9** *ἡμῖν* J, *ἡμεῖς*, *εἶ* auf Rasur von erster Hand L; **10** *ἀν⟨α⟩τιθέντες* *, vgl. zu diesem Gebrauch des Worts z. B. Eusebius mart. Pal. 11, 2; S. 934, 23 Schwartz **14** *κεκηρυγμένη⟨ς⟩* * **15** *ἐστι* L | *ἡ* < L **18** *ὀλίγον* + *μὲν* L | *αὐτὸν* L **21** *ἐπεὶ* J **25** * ergänze etwa ⟨*μίαν ὁμοούσιον τριάδα ἡμῖν συνίστησιν, ἀεί ἐστιν σὺν πατρὶ*⟩ * | *ὁ* vor *ἐννυπόστατος* < J **28** *πάντα* *] *πάντες* L J

ἦν καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα ἀεὶ ἦν. εἰ γὰρ ἦν χρόνος πρὸ υἱοῦ, 5
ζητηθήσεται ἄρα πάλιν ⟨ἄλλος⟩ δι' οὗ καὶ ὁ πρὸ τοῦ υἱοῦ χρόνος ἦν
καὶ μυρία λοιπὸν εἰς φαντασίαν ἐνδομυχοῦσαν ἐν τῇ τῶν ἀνθρώπων
ὑπολήψει τρέψει τὸν ἡμέτερον λογισμὸν ἢ μᾶλλον εἰς πορνείαν
διανοημάτων καὶ οὐ † περὶ σωφροσύνης. οὐκ ἦν τοίνυν χρόνος πρὸ 6
υἱοῦ, ἐπειδὴ οὐ διὰ χρόνων ὁ υἱὸς γέγονεν, ἀλλὰ διὰ υἱοῦ χρόνοι
καὶ οἱ ἄγγελοι καὶ τὰ ἄλλα πάντα κτίσματα. οὐκ ἦν χρόνος ποτὲ
ὅτε οὐκ ἦν ὁ υἱός, οὐδὲ ἦν ποτε ὅτε οὐκ ἦν πνεῦμα.

75. *Νομίζουσι δὲ παραναγινώσκοντες καὶ μὴ νοοῦντες διαστέλλειν* 75, 1
τὴν ἀνάγνωσίν τινες ἐν τῷ εἰπεῖν »πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς
αὐτοῦ ἐγένετο οὐδέν«, ἕως ὧδε ἀποτιθέντες τὸ ῥητόν, ὑπόνοιαν
βλασφημίας εἰς τὸ πνεῦμα τὸ ἅγιον λαμβάνειν· σφάλλονται ⟨δὲ⟩ περὶ
τὴν ἀνάγνωσιν καὶ ἀπὸ τοῦ σφάλματος τῆς ἀναγνώσεως σκάζουσιν,
εἰς βλασφημίαν τρεπόμενοι. ἡ δὲ ἀνάγνωσις οὕτως ἔχει· »πάντα δι' 2
αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν, ὃ γέγονεν ἐν αὐτῷ«,
τουτέστιν ὅτι εἴ τι γέγονε, δι' αὐτοῦ ἐγένετο. τοίνυν πατὴρ ἦν ἀεὶ 3
καὶ υἱὸς ἦν ἀεὶ καὶ τὸ πνεῦμα ἐκ πατρὸς καὶ υἱοῦ πνέει, καὶ | οὔτε D176
ὁ υἱὸς κτιστὸς οὔτε τὸ πνεῦμα κτιστόν· τὰ δὲ μετὰ πατέρα καὶ υἱὸν
καὶ ἅγιον πνεῦμα πάντα κτιστὰ καὶ γενητὰ ⟨ὄντα⟩, οὐκ ὄντα ποτέ.
ἐγένετο ἀπὸ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος διὰ τοῦ ἀεὶ ὄντος
Λόγου σὺν τῷ ἀεὶ ὄντι πνεύματι. δι' αὐτοῦ τοίνυν τοῦ Λόγου πάντα 4
τὰ κτιστὰ γέγονε, τοῦ βασιλέως τοῦ ἐπουρανίου, τοῦ ἐνυποστάτου
Λόγου, | τοῦ σωτῆρος ἡμῶν καὶ εὐεργέτου. αὐτὸς γὰρ ὁ σωτὴρ 5 PS1
ὁ ἅγιος ὁ ἀπ' οὐρανῶν κατελθών, ὁ ἐν ἐργαστηρίῳ παρθενικῷ
καταξιώσας τὴν ἡμετέραν ποιήσασθαι σωτηρίαν, ὁ ἐκ Μαρίας αὖθις
γεγεννημένος διὰ πνεύματος ἁγίου συλληφθείς, ὁ τὴν σάρκα λαβών,
ὁ Λόγος σὰρξ γενόμενος, ὁ μὴ τραπεὶς τὴν φύσιν, ὁ σὺν τῇ θεότητι
λαβὼν τὴν ἀνθρωπότητα, ὁ τέλειος ὢν ἀπὸ πατρός, ὁ τὴν τελείαν
οἰκονομίαν πληρώσας, ἦλθεν εἰς τὸν κόσμον δι' ἡμᾶς καὶ διὰ τὴν
ἡμετέραν σωτηρίαν· ὁ τὴν σάρκα καὶ ψυχὴν τὴν ἀνθρωπίνην λαβών, 6
τέλειος ὢν παρὰ πατρός, ἐνανθρωπήσας ἐν ἡμῖν οὐ δοκήσει, ἀλλ'

9 ff vgl. Panarion h. 69, 56, 1f — **10** Joh. 1, 3

L J **16 f** (bis *πνέει*) Concilium Florentinum Hardouin IX 610 E

2 *ζητήσεται* L *ζητήσετε* J | ⟨*ἄλλος*⟩ * **5** *καὶ οὐ*] ᾗ L | † *περὶ σωφροσύνης*] *πρὸς σωφροσύνην*? * **6** *διὰ χρόνων* L | *χρόνος* L **9** *παραγινώσκοντες* J **12** *λαμβάνειν* *] *λαβόντες* L J | ⟨*δὲ*⟩ * **17** *καὶ υἱὸς ἦν ἀεὶ* Conc. Florent.] < L J | *υἱοῦ*] *ἐν* L **19** ⟨*ὄντα*⟩ * **20** [*καὶ υἱοῦ καὶ ἁγίου πνεύματος*]? Wilamowitz **21** *πνεύματι* *] *πατρὶ* L J **22** *οὐρανίου* J **24** *ὁ* (vor *ἀπ' οὐρανῶν*) < J | *παρθενικῷ* *] *παρθένῳ* L J **28** *ὁ* (vor *τέλειος*) < J

ἀληθείᾳ, τέλειον εἰς ἑαυτὸν ἀναπλάσας ἄνθρωπον ἀπὸ Μαρίας τῆς θεοτόκου διὰ πνεύματος ἁγίου· οὐκ ἐν ἀνθρώπῳ οἰκήσας, ὡς εἴωθεν 7
ἐν προφήταις λαλεῖν κατοικεῖν τε ἐν δυνάμει καὶ ἐνεργεῖν, ἀλλ' αὐτὸς
ὁ Λόγος σὰρξ γενόμενος, οὐ τραπεὶς τοῦ εἶναι θεός, οὐ μεταβαλὼν
τὴν θεότητα εἰς ἀνθρωπότητα, ἀλλὰ σὺν τῷ ἰδίῳ πληρώματι τῆς
αὐτοῦ θεότητος καὶ τῇ ἰδίᾳ ὑποστάσει τοῦ θεοῦ Λόγου καὶ ἐνυπο-
στάτου συμπεριλαβὼν τὸ εἶναι ἄνθρωπος καὶ εἴ τι ἐστιν ἄνθρωπος.
ἄνθρωπον δὲ λέγω τέλειον ⟨ἔχοντα⟩ ὅσα ἐν ἀνθρώπῳ καὶ οἷα ἄν- 8
θρωπος· τοῦτον ἦλθε καὶ ἔλαβεν ὁ μονογενής, ἵνα ἐν τῷ τελείῳ
ἀνθρώπῳ τελείως τὸ πᾶν τῆς σωτηρίας θεὸς ὢν ἐργάσηται, μηδὲν
ἀπολείψας τοῦ ἀνθρώπου, ἵνα μὴ τὸ ἀπολειφθὲν μέρος εἰς μέρος
πάλιν γένηται βρώματος διαβόλου.

76. Καὶ ἐὰν εἴπωσί τινες ὅτι σάρκα μόνην εἴληφε, | ψυχὴν δὲ οὔ, **76, 1** D177
παραπλέκοντες μυθωδῶς καὶ τὴν γραφὴν εἰς μύθους ἐκτρέποντες,
ἀπὸ τοῦ ῥητοῦ τοῦ »ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν«, ἀπ' αὐτοῦ τοῦ
ῥητοῦ καταλάβωσιν ὅτι οἱ λέγοντες »ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν«
τὸν αὐτῶν νοῦν εἶχον καὶ τοῦτον οὐκ ἐξεπτύκασιν. εἰ δὲ τὸν ἴδιον
ἔχοντες ⟨ἦσαν⟩ σὺν τῷ τοῦ Χριστοῦ νῷ, ἀμφοτέρων ἐνεφοροῦντο,
τοῦ μὲν νοῦ Χριστοῦ βελτιοῦν δυναμένου, τοῦ δ' αὐτῶν ὀρθῶς
νοοῦντος. τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ Χριστοῦ γινωσκέτωσαν, ὅτι ὢν 2
θεὸς καὶ ἐν αὐτῷ ὢν νοῦς, εἶχε τὸν τοῦ ἀνθρώπου νοῦν * μετὰ τῆς
σαρκὸς καὶ ψυχὴν εἴληφεν. οὔκουν ὡς ἄνθρωπος αὐτὸν ἐξέτρεπεν, 3
ἀλλ' αὐτὸς τοῦ νοῦ κοσμήτωρ | καὶ ὀρθωτὴς καὶ βελτιωτὴς ἐγίνετο. PS2
ὡς γὰρ τὴν σάρκα ἔλαβε μὴ ὑπὸ σαρκὸς ἡττηθείς, οὕτω καὶ τὸν
νοῦν εἰλήφως οὐχ ὑπὸ νοὸς ἥττηται. τοὐναντίον τοίνυν καὶ μεῖζον 4
οἱ τοιοῦτοι χαλεπῶς εἰς ἐναντιότητα ἐμπίπτουσιν. ἄνω γὰρ καὶ
κάτω αἱ θεῖαι γραφαὶ διαρρήδην βοῶσιν οὐ κατὰ τοῦ νοῦ τὰ χαλεπὰ

13 ff vgl. Panarion h. 77, 33, 5 — **15** I Kor. 2, 16 — **25 ff** vgl. Panarion h. 77, 27, 4f

L J **8—12** Doctr. Patr. S. 68, 10 Diekamp Nicephorus *Antirrhet.* bei Pitra Spic. Solesm. I 356 u. 487 (Text an keiner Stelle abgedruckt); ebenda IV 298, 34—299, 2 und 344, 6—12 (hier Text) Theodorus Studita, *problemata ad Iconomachos* c. 12; Migne 99, 484 A/B

4 θεός *] σὰρξ L J **5** πληρώματι *] σώματι L J **8** ⟨ἔχοντα⟩ * | ὅσα + γὰρ Niceph. (beidemale) **8 f** ἄνθρωπος + καὶ εἴ τί ἐστιν ἄνθρωπος Niceph. (nur IV 298, 35) Theod. Stud. **9** τοῦτον] ταῦτα Niceph. (beidemale) **10** ἀπεργάσηται Niceph. (beidemale) **11** ἀποληφθὲν L **16** καταλάβωσιν Ausgg.] καταλάβουσιν L J **17** αὐτῶν] αὐτὸν J **18** ⟨ἦσαν⟩ * **19** δ' < L **21** * ⟨εἴπερ⟩ * **25** τοίνυν] δὲ? * **26** ἐναντιότης, wie häufig bei Epiph., im Sinn von Irrtum (vgl. Index)

διαγορεύουσαι, ἀλλὰ κατὰ τῆς σαρκός. »τῆς γὰρ σαρκός« φησίν »οἱ καρποὶ πορνεία μοιχεία ἀσέλγεια καὶ τὰ τούτων ὅμοια« καί »οἱ ἐν σαρκὶ δὲ ὄντες θεῷ ἀρέσαι οὐ δύνανται« καί »ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος«. περὶ δὲ τοῦ νοῦ φησὶν ὅτι »ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ« καὶ ὅτι »ὁ νοῦς μου ἄκαρπος ἡ ἔγκαρπός ἐστιν«. ἔθετο γὰρ τὸν νοῦν ὁ θεός, ὅνπερ εἴωθεν ἡ γραφὴ καλεῖν καρδίαν, ἡγεμόνα ὡς εἰπεῖν καὶ ἡνίοχον τοῦ παντὸς σκεύους, διακριτὴν ἀγαθῶν τε καὶ φαύλων, δοκιμαστὴν τῶν ἐν ἡμῖν ἐγγινομένων. »νοῦς μὲν γὰρ ῥήματα διακρίνει, λάρυγξ δὲ σῖτα γεύεται«. διακριτικὸς δὲ ὁ νοῦς ἐν τῷ ἀνθρώπῳ, οὕπω δὲ συγκαταθετικός, ἐὰν μὴ εἰς τροπὴν ἑαυτὸν δῴη. 6

77. Τί οὖν ἔδοξέ τισι τοῦτον ἀπὸ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου παρεκβαλεῖν; τί δὲ ὠφέλησαν τὸν βίον εἰς ἀκαταστασίαν μᾶλλον * τρέψαντες; ἢ τί τοῦτο | ἔβλαψεν ἡμᾶς ἢ ὠφέλησεν ἵν' οὕτως εἴπω, ὅπως βοηθήσωσι τῷ Χριστῷ; ἢ ἵνα χάριν αὐτῷ ποιήσωσι μεγάλην ταύτην καὶ εἴπωσιν ⟨περὶ⟩ αὐτοῦ ⟨ὅτι⟩ οὐκ ἔλαβε νοῦν; »Γαλάται μὲν γὰρ ἀνόητοι« καὶ »Κρῆτες ἀεὶ ψεῦσται« καὶ »Ἐφραὶμ περιστερὰ ἄνους«· ὁ δὲ κύριος ἡμῶν ἐνανθρωπήσας εἰς τὸν βίον τὰ πάντα τελείως ἀνείληφε, μᾶλλον δὲ ἔλαβεν αὐτὸς τοῦ ἑαυτοῦ σώματος γεγονὼς πλάστης, αὐτὸς ἑαυτῷ λαβὼν τὴν ψυχὴν ἤτοι ἐνθείς. 77, 1 D178 2

Τινὲς δὲ βουλόμενοι ἐλλιπῆ ποιεῖν τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν καὶ τελείαν ἐν αὐτῷ οἰκονομίαν, οὐκ οἶδα τί διανοούμενοι οὐκ ὀρθῶς εἶπον νοῦν τὸν Χριστὸν μὴ εἰληφέναι. οὐχὶ δὲ διὰ * τὸν νοῦν φαίνονται *. ὑπόστασιν γὰρ οὗτοι τὸν νοῦν νομίζουσιν εἶναι καὶ φύσει τολμῶσι λέγειν ⟨αὐτὸν εἶναι⟩ τὸ εἰωθὸς ἐν τῇ γραφῇ λέγεσθαι ἐν τῷ ἀνθρώπῳ πνεῦμα, ὡς λέγει ὁ ἀπόστολος, »ἵνα ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα | ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη«. σφάλλονται οὖν· εἰ γάρ ἐστι νοῦς τὸ 3 4 P83 5

1f Gal. 5, 19 — **2f** Röm. 8, 8 — **3f** Gal. 5, 17 — **4f** I Kor. 14, 15 — **5** I Kor. 14, 14 — **8f** Hiob 12, 11 — **11—19** vgl. Panarion h. 77, 25, 1 — **15f** Gal. 3, 1 — **16** Tit. 1, 12 — Hos. 7, 11 — **20ff** vgl. Panarion h. 77, 23, 4ff u. Schlußabschnitt *περὶ πίστεως* 15, 1f — **25—27** I Thess. 5, 23

L J **6—8** Sacra Parallela Vat. 1553 f. 183^{v}

1 *διαγορεῦσαι* L **4** u. **5** *ψαλῶ* beidemale J *ψάλλω* beidemale L **5** *καὶ*^{1} < J, in L von erster Hand oben hineingeflickt **6** *γὰρ* < Sa Pa | *ὁ θεὸς* < L J **7** *διακριτικὸν* Sa Pa **7f** *τε* vor *ἀγαθῶν* Sa Pa **8** *ἐγγινομένων* Sa Pa] *εὖ γινομένων* L J **12** *παρεκβάλειν* J **13** * ⟨*τὴν ἀλήθειαν*⟩ * **15** ⟨*περὶ*⟩ *αὐτοῦ* ⟨*ὅτι*⟩ *] αὐτῷ* L J **22f** *οὐχὶ — φαίνονται* < J **22** * etwa ⟨*τὸ ἁμαρτητικὸν νομίζειν* * **23** * ⟨*παρεκβαλεῖν*⟩ * | *γὰρ] δὲ* J | *οὗτοι τὸν νοῦν] τοῦτο* L **24** ⟨*αὐτὸν εἶναι*⟩ * **26** *τὴν ψυχὴν* L

πνεῦμα καὶ τὸ πνεῦμα νοῦς, ὡς καὶ αὐτοὶ νομίζουσι, ψυχὴ δὲ ἄλλη ⟨ὑποστάσις⟩ παρὰ τὸν νοῦν καὶ παρὰ τὸ πνεῦμα, οὐκέτι δύο ὑποστάσεις ἐν τῷ ἀνθρώπῳ ἐν μιᾷ συναγόμεναι ὑποστάσει, οὐκέτι ἐνυπόστατος μόνη ψυχὴ καὶ ἐνυπόστατον τὸ σῶμα, ἀλλ᾽ εὑρήκαμεν λοιπὸν τέσσαρα· νοῦν μίαν ὑπόστασιν, ψυχὴν ἄλλην ὑπόστασιν, πνεῦμα ἄλλην ὑπόστασιν, σῶμα ἄλλην ὑπόστασιν. καὶ ἐὰν πάλιν ἐρευνήσωμεν, ἔτι πλέον 6 ἔσται· ἐπειδὴ γὰρ πολλὰ ὀνόματα κέκτηται ὁ ἄνθρωπος, καὶ »ὁ ἔσω ἄνθρωπος« καὶ »ὁ ἔξω ἄνθρωπος«, καὶ ταῦτα πάντα ἡ γραφὴ εἴρηκε νοηματικῶς, περισφίγγουσα ἡμῶν τὴν διάνοιαν, ἵνα μηδὲν καταλείψωμεν τῆς σωτηρίας μηδὲ πρόφασις ἡμῖν γένηται τοῦ ἐκβῆναι τοῦ προκειμένου. ἔστι γὰρ ταῦτα ἐν τῷ ἀνθρώπῳ· οὐ χρὴ δὲ καὶ πολυπραγμονεῖν. ὅμως δὲ κατὰ τὸν ἐκείνων λόγον, εἰ ὁ νοῦς ἐστι 7 τὸ πνεῦμα καὶ τὸ πνεῦμα ὁ νοῦς, ταῦτα δὲ ἐκτὸς τῆς ψυχῆς ὑπάρ- D 179 χει, πάλιν τίνι ⟨τῷ⟩ λόγῳ λέγει »ψαλῶ τῷ πνεύματι, ψαλῶ καὶ τῷ νοΐ«; διὰ τούτου γὰρ ἀπέδειξε μὴ τὸ πνεῦμα εἶναι τὸν νοῦν μηδὲ τὸν νοῦν τὸ πνεῦμα.

78. Εἶτα πάλιν »ψυχὴ ἡ ἁμαρτάνουσα αὕτη ἀποθανεῖται« οὐκ 78, 1 ἐκτὸς τοῦ σώματος ἀπεφήνατο· ⟨ἤ⟩ »ἦσαν γάρ«, φησίν, »ἐν τῷ πλοίῳ ὡς ἑβδομήκοντα ψυχαί«, καὶ οὐ πάντως ψυχαὶ ἦσαν ἄνευ σώματος, ἀλλὰ σώματα σὺν ψυχαῖς· καὶ πάλιν εἴωθεν ἡ συνήθεια καλεῖν τὸν ἄνθρωπον ἀπὸ τοῦ ἑνὸς ὀνόματος, ὅτι δεσπότης ἐστὶν ὀγδοήκοντα σωμάτων, οὐ πάντως ἄνευ ψυχῶν. ὁ Λόγος τοίνυν σὰρξ γενόμενος οὐκ 2 ἐκτὸς ψυχῆς ⟨ἐτύγχανεν, ὡς καὶ⟩ οὐκ ἐκτὸς πάσης πραγματείας. οὐ γὰρ ὅτε λέγει ψυχή⟨ν⟩, ἄνευ σώματος ἀπεφήνατο οὐδὲ ὅτε λέγομεν σώματα, ἄνευ ψυχῆς ὄντα διανοούμεθα. τί οὖν ἔδοξε τοῖς βουλομένοις λέγειν 3 τὸν νοῦν παρεκβεβλῆσθαι; ἢ τί τοῦτο τὴν ἐκκλησίαν ὠφέλησεν; ἢ τί μᾶλλον οὐκ ἐτάραξε; πῶς δὲ οὐκ ἐλλιπῆ ποιεῖται τὴν ἡμῶν σωτηρίαν ὁ τὰ τοιαῦτα διανοούμενος; ἡμεῖς γὰρ οὐδὲν δυνάμεθα διανοεῖσθαι ἕτερον τὸν νοῦν εἶναι οὐδὲ ὑπόστασιν τοῦτον δυνάμεθα 4

7 f vgl. Röm. 7, 22 — II Kor. 4, 16 — **14** I Kor. 14, 15 — **17—25** vgl. oben c. 59, 2 f; S. 69, 12 ff — **17** Ezech. 18, 4 — **18** Act. 27, 37

L J

2 ⟨ὑπόστασις⟩ * **4** τέσσαρας J **5 f** νοῦς μία ὑπόστασις, ψυχὴ ἄλλη ὑπόστασις, πνεῦμα ἄλλη ὑπόστασις, σῶμα ἄλλη ὑπόστασις J **6** ἔτι *] ἐπὶ L J **8** εἴρηκε + ⟨ἄνθρωπον⟩? * **14** ⟨τῷ⟩ *, nach der stehenden Formel **15** διὰ τοῦτο J **17 f** vor οὐκ ἐκτὸς + ⟨δηλονότι⟩? * **18** ⟨ἤ⟩ * **19** ἑβδομήκοντα] vgl. S. 69, 17 | ἦσαν ψυχαὶ L **20** συνήθεια *, nach S. 69, 18] ἀνθρωπότης L J **21** vor ὅτι + ⟨ὡς⟩? * **23** ⟨ἐτύγχανεν, ὡς καὶ⟩ * | ἐκτὸς²] ἐκ ἐκτὸς J **24** ψυχή⟨ν⟩ *] < L **25** λέγειν + εἰς J **28** οὐδὲν] οὐ J

λέγειν καθ' ἑαυτόν, ἀλλὰ τὸ σύνθετον καὶ τὸ λογικὸν καὶ φρο|νοῦν P84
ἐν ἑκάστῳ τῶν ⟨οὐ⟩ πεπλανημένων οἷον εἰπεῖν νόημα τοῦ ἀνθρώπου·
ὡς ὀφθαλμοὶ ἐν τῷ σώματι, οὕτως νοῦς ἐν ψυχῇ. πάλιν δὲ οὐδὲ
τοῦτο ἐριστικῶς φαμέν, ἀλλ' ἁπλῶς τὸ ἐννοητικὸν τῶν ἀνθρώπων *.
τί οὖν ἐστιν ἄνθρωπος; ψυχὴ σῶμα νοῦς καὶ εἴ τί ἐστιν ἕτερον. 5
τί τοίνυν ἦλθεν ὁ κύριος σῶσαι; ἄνθρωπον τέλειον πάντως. ἆρα
οὖν πάντα τὰ ἐν αὐτῷ τελείως ἔλαβεν. ἐπεὶ πόθεν ταῦτα ἐν αὐτῷ 6
ἐπληροῦντο, ἃ εἰς ἄνθρωπον ἀπὸ νοῦ καὶ σώματος καὶ ψυχῆς καὶ
πάσης ἐνανθρωπήσεως ἄνευ ἁμαρτίας καὶ ἐπροφητεύετο καὶ ἀνελο-
γεῖτο; σαφῶς γὰρ ἡμῖν ὑποτίθεται ὁ θεῖος λόγος λέγων »ἰδοὺ συνήσει 7
ὁ παῖς μου ὁ ἀγαπητός, ὃν ᾑρέτισα, ἐφ' ὃν ηὐδόκησεν ἡ ψυχή μου, | θήσω D180
⟨ἐπ' αὐτὸν⟩ τὸ πνεῦμά μου« καὶ τὰ ἑξῆς. ἆρα γοῦν τὸ συνιέναι ποῦ πε-
πλήρωται; εἰ μὲν εἰς τὴν θεότητα, ἐνδεὴς ἄρα ἡ θεότης τοῦ συνιέναι;
μὴ γένοιτο· τοῦτο γὰρ εἰς τὸν κυριακὸν ἄνθρωπον πληροῦται.
εἰ δὲ ἐπὶ τὸν κυριακὸν ἄνθρωπον πεπλήρωται, πῶς συνήσει ἐναν-
θρώπησις ἄνευ νοὸς ὑπάρχουσα; ἀδύνατον τοῦτο. εἰ γὰρ ὅλως τὸ 8
συνήσει ἐπὶ τὸν Χριστὸν ἀναφέρεται, Χριστὸς δὲ ⟨ὁ⟩ ἄνωθεν θεὸς
Λόγος, σὰρξ δὲ γενόμενος ἀπὸ Μαρίας, ⟨ὃς⟩ καὶ ἐνανθρωπήσας »ἡμῖν
συνανεστράφη« κατὰ τὸ γεγραμμένον, ἆρα ἀναμφιβόλως σὺν τῷ νῷ
τὴν οἰκονομίαν ἐδέξατο, ἐπειδὴ αὐτῇ συμπρέπει τὸ συνιέναι. διὰ 9
τοῦτο γὰρ περὶ αὐτοῦ φησι τὸ εὐαγγέλιον »προέκοπτε σοφίᾳ καὶ
ἡλικίᾳ«· οὐχ ἡ θεότης ἡλικίαν ἐπιδεχομένη οὔτε σοφίας ὑστεροῦσα,
ἡ οὖσα σοφία ὅλη. σοφίᾳ δὲ προέκοπτεν ἡ τοῦ σωτῆρος ἐνανθρώ-
πησις, οὐκ ἐκτὸς νοῦ ὑπάρχουσα, ἐπειδὴ ⟨ἄλλως⟩ οὐδὲ σοφίσασθαι
ἠδύνατο· καὶ ἡλικίᾳ προέκοπτεν ἀδρυνομένου τοῦ παιδίου, ὡς ἔστιν
ἀληθές.

79. Εἰ δὲ διὰ τὸ εἰληφέναι νοῦν † ἁμαρτία αὕτη νοεῖται, οὐκοῦν **79**, 1
περισσοτέρως, ἐὰν δῶμεν αὐτὸν εἰληφέναι σάρκα, ἧς ἐκτὸς ἁμαρτία

10 ff vgl. Panarion h. 77, 30 u. 77, 26, 3 — **10** Jes. 42, 1 — **18** vgl. Baruch 3, 38 — **21** Luk. 2, 52 — **27 ff** vgl. Panarion h. 77, 26, 4 ff

L J

1 *συνθετικόν*? * **2** ⟨*οὐ*⟩ * **3** *ὀφθαλμόν* L | *νοῦς* Ausgg.] *νοῦν* L J **4** * etwa ⟨*ὑποδεικνύντες*⟩ * **8** *ἃ* *] *τὰ* L J | *ἀπὸ* = von Seiten des *νοῦς* her, mit Bezug auf den *νοῦς*, vgl. *πόθεν* Z. 7 **11** *εὐδόκησεν* L **12** ⟨*ἐπ' αὐτὸν*⟩ * | *οὖν* J | *τοῦ συνιέναι* J **17** ⟨*ὁ*⟩ * **18** ⟨*ὃς*⟩ * **20** *αὐτῷ* Jül. **24** ⟨*ἄλλως*⟩ * **27** † *ἁμαρτία αὕτη νοεῖται* L *ἁμαρτία αὕτην θεῖται* J] *ἁμαρτίᾳ ὑποπεσεῖται* vgl. S. 99, 25 *, *ἁμαρτίᾳ αὐθεντεῖται* Pet. (aber Epiph. kennt *αὐθεντεῖν* in diesem Sinn nicht)

οὐ τελεῖται· »φανερὰ γὰρ τὰ ἔργα τῆς σαρκός«. πάντως ὅτι δῶμεν ὅτι καὶ ἐν σαρκὶ ἥμαρτε, λαβὼν τὴν σάρκα. »οἶδα γάρ« φησὶν ὁ ἀπόστολος »ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ οὐδὲν ἀγαθόν, τουτέστιν ἐν τῇ σαρκί μου«. τίς δὲ τολμήσει λέγειν | διὰ τὸ τὸν σωτῆρα εἰληφέναι σάρκα 2 P85
σαρκὶ συναπῆχθαι, καὶ τὰ τῆς σαρκὸς οὐκ εὔλογα ἐπιτελέσαντα, εἰς τὴν τοῦ παντὸς σκεύους τοῦ ἰδίου ἀκολουθίαν, ⟨ἀγαθὴν⟩ ὁμοίως καὶ φαύλην, ἐσχηκότα καίτοιγε καὶ σάρκα οὖσαν ἀνθρωπίνην, ἀλλ' ⟨ἐν⟩ οὐδενὶ πταίουσαν. ὁ θεὸς γὰρ Λόγος ἄνωθεν ἀπὸ πατρὸς προελθὼν εὐδο- 3
κήσας ἐν σαρκὶ γενέσθαι ἐχαλιναγώγει τὸ σκεῦος καὶ εἰ ἤθελεν ἐπέχειν αὐτὸ ἀπὸ πάσης ἀχρειώδους πράξεως σαρκικῆς, ἠδύνατο· εἰ δὲ ἤθελεν, ἐνεδίδου. ἐνεδίδου δὲ εἰς τὰς εὐλόγους καὶ συμπρεπούσας | τῇ αὐτοῦ θεότητι σωματικὰς χρείας. οὔτε γὰρ ἔχων τὸν 4 D181
νοῦν ἐν ἀληθείᾳ, ὥσπερ ὅλην τὴν ἐνανθρώπησιν ἐν ἀληθείᾳ εἶχεν, [ὁ νοῦς] ἐπεκτείνετο εἰς ἀλόγους ἐπιθυμίας οὔτε τὰ τῆς σαρκὸς ἴσα ἡμῖν ἔπραττεν ἢ ἐλογίζετο, ἀλλ' ὡς θεὸς ἐν σαρκὶ ἀληθινῇ γενόμενος ἀπὸ παρθένου Μαρίας ἔπραττε * σαρκὶ καὶ ψυχῇ καὶ νῷ καὶ ὅλῳ τῷ σκεύει, ἐνδημήσας τῷ τῶν ἀνθρώπων γένει ἄνωθεν ἐκ πατρὸς ἐνυπόστατος θεὸς Λόγος. ἀλλὰ μὴ σοφίσωνταί τινες καταχρηστικῶς 5
τοῦτο λεγόμενον, ὡς τό »σύνες τῆς κραυγῆς μου«· τὸ μὲν γὰρ καταχρηστικῶς δι' εὐχὴν εἴρηται καὶ δῆλόν ἐστιν ⟨ὅτι⟩ ἡ χρῆσις ⟨εἰς⟩ [τὸ δὲ] ὑπόδειγμα σαρκικῆς αὐτοῦ παρουσίας προεφήτευται· τὸ δέ »καὶ προέκοπτεν ἡλικίᾳ« ἐστὶν ἀληθές.

80. Ἀλλὰ τί οἱ τοιοῦτοι νομίζουσι ⟨ἡμᾶς⟩ λέγειν, ἐὰν εἴπωμεν τέ- 80, 1
λειον ἄνθρωπον ἐκ Μαρίας τὸν Χριστὸν γεγονότα ἢ ⟨νοῦν⟩ ἐσχηκότα, μὴ ὑπονοήσωμεν αὐτὸν ἁμαρτίαις ὑποπεσόντα; μὴ γένοιτο. »ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.« εἰ γὰρ 2
τὴν αὐτοῦ δύναμιν ἐνέπνευσε τοῖς ἁγίοις καὶ ἐν οἷς ἐνέπνευσε μαρτυροῦνται ὅτι ἦσαν ἅγιοι δίκαιοι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν

1 Gal. 5, 19 — **2** Röm. 7, 18 — **19** Psal. 5, 2 — **25** I Petr. 2, 22 (Jes. 53, 9) — **27** vgl. Luk. 1, 6f

L J

1 *γὰρ* *] *δὲ* L J | *πάντα* L | *πάντως ὅτι* bei Epiph. häufig = jedenfalls gilt, daß **2** *ὅτι* < J **5** *τῆς* < L **6** *⟨ἀγαθὴν⟩ ὁμοίως* *] *ὅμως* J *ὅμως γὰρ* L **7** *καίτοιγε* < J | *⟨ἐν⟩* * **9** *εἰ]* *ὡς* J **10** *πράξεως* *] *τάξεως* L J **13** *εἶχεν* *] *ἔχων* L J **14** *[ὁ νοῦς]* * **15** *γενόμενα* J **16** * *⟨ὅσα ἦν συμπρέποντα⟩* * | *καὶ* (vor *ψυχῇ*) < L **18** *σοφίσονται* J **20** *⟨ὅτι⟩* * | *⟨εἰς⟩* * **20f** *[τὸ δὲ]* * **21** *τὸ δέ* *] *τὸ γὰρ* L J **22** *ἀληθές ἐστιν* L **23** *⟨ἡμᾶς⟩* * **24** *⟨νοῦν⟩* Pet. **25** *ὑπονοήσωμεν* *] *ὑπονοήσομεν* L J

ἄμεμπτοι, πόσῳ γε μᾶλλον αὐτὸς ὁ Λόγος, »ἐν ᾧ εὐδόκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικῆσαι σωματικῶς«, κἂν τε σάρκα ἀληθινὴν λάβῃ ἐκ Μαρίας τῆς ἀειπαρθένου καὶ ψυχὴν ἀνθρωπείαν ἀληθινῶς καὶ νοῦν καὶ εἴ τί ἐστιν ἕτερον ἐν τῷ ἀνθρώπῳ, αὐτὸς ἐν ἑαυτῷ ἔχων τὰ ὅλα κατεῖχε θεὸς ὢν μὴ μεριζόμενα πρὸς τὴν κακίαν, μὴ θρυπτόμενα ἀπὸ τοῦ πονηροῦ, μὴ ἁλισκόμενα ἐν τῇ ἡδονῇ, μὴ ὑποπίπτοντα τῷ τοῦ Ἀδὰμ παραπτώματι; | καὶ διὰ τοῦτό φησιν ὁ ἀπόστολος 3 P86
»γενόμενος ἐκ γυναικός, γενόμενος ὑπὸ νόμον« καὶ πάλιν »ἐν σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος«· τὸ δὲ σχήματι ⟨καὶ τὸ ὡς ἄνθρωπος⟩ καὶ τὸ γενόμενος καὶ τὸ ὑπὸ νόμον δι' ἀμφοτέρων συναγόμενον τελειότητα σημαίνει καὶ ἀπάθειαν, ἐκ τοῦ γενόμενος τὸ εἶναι τέλειος καὶ ⟨ἐκ⟩ τοῦ D182
ὑπὸ νόμον τὸ μὴ δοκήσει καὶ ⟨ἐκ⟩ τοῦ σχήματι τῆς ἰδέας τὸ βέβαιον καὶ ἐκ τοῦ ὡς ἄνθρωπος τὸ ἀναμάρτητον. τούτων τοίνυν οὕτως ἐχόντων μηδεὶς ἀπατάσθω κενοῖς μύθοις. εἰ γὰρ ἄνωθεν γεννηθεὶς ἀπὸ 4
πατρὸς ἀληθινῶς ⟨ἀληθινῶς⟩ ἐγεννήθη καὶ ἀπὸ Μαρίας, καὶ ἄνω ἀληθεύει καὶ κάτω ἀληθεύει καὶ εἰ ἐστὶν κάτω ἀτελής, καὶ ἄνω ἀτελής. εἰ δὲ ἄνω ἐστὶ τέλειος, καὶ κάτω ἐστὶ τέλειος· οὐκ ἐν ἄλλῳ τελείῳ ᾤκησεν, ἀλλ' εἰς ἑαυτὸν τὰ πάντα ἐτελείωσε. καὶ ἀνέστη ἐκ 5
τῶν νεκρῶν μηκέτι μεριζόμενος ἐν μνήματι εἰς σῶμα καὶ θεότητα καὶ ψυχὴν ἐν καταχθονίοις, μηκέτι ὑπὸ ἅφην ὑποπίπτων, μηκέτι ἐπεχόμενος, ἀλλ' εἰσερχόμενος θυρῶν κεκλεισμένων, ψηλαφώμενος δὲ ὑπὸ τοῦ Θωμᾶ, ἵνα μὴ φαντασίᾳ ἀπεικασθῇ, ἀλλ' ἀληθείᾳ· ὁ ὑπὸ 6
τοῦ Θωμᾶ πιστευθεὶς μετὰ τὸ πληρωθῆναι τὸ προειρημένον »ταῖς χερσί μου τὸν θεὸν ἐξεζήτησα, καὶ οὐκ ἠπατήθην«, ὁ αὐτὸς θεὸς ὁ αὐτὸς ἄνθρωπος, ὁ μὴ σύγχυσιν ἀπεργασάμενος, ἀλλὰ τὰ δύο κεράσας εἰς ἕν· οὐκ εἰς ἀνυπαρξίαν χωρήσας, ἀλλὰ συνδυναμώσας 7
σῶμα γήϊνον τῇ θεότητι εἰς μίαν δύναμιν ἥνωσεν, εἰς μίαν θεότητα συνήγαγεν· εἷς ὢν κύριος εἷς Χριστός, οὐ δύο Χριστοὶ οὐδὲ δύο θεοί. ἐν αὐτῷ σῶμα πνευματικὸν ἐν αὐτῷ θεότης ἀκατάληπτος, τὸ πε- 8
πονθὸς μὴ φθαρὲν τὸ ἀπαθὲς ἄφθαρτον, ἀφθαρσία τὸ ὅλον· θεὸς

1 Kol. 2, 9 — **8** Gal. 4, 4 — Phil. 2, 7 — **18ff** vgl. Pan. h. 77, 28f — **21** vgl. Joh. 20, 26f — **23** Psal. 76, 3

L J **20—28** Corderius Catena in Joh. p. 462 (= cat.)

1 *ὁ Λόγος* *] ὅλως L J **9** ⟨*καὶ τὸ ὡς ἄνθρωπος*⟩ *, vgl. Z. 13 **11** ⟨*ἐκ*⟩ * **12** ⟨*ἐκ*⟩ *τοῦ* *] *τὸ* L J **14** *ἀπατάτω* J **15** ⟨*ἀληθινῶς*⟩ * **16** *κάτω*[2] *. . . ἄνω* *] *ἄνω . . . κάτω* L J **21** *ἐπεχόμενος* L] *ἀπεχόμενος* J *ἀπερχόμενος* Pet. falsch; *ἐπεχόμενος* = nicht mehr gehindert (durch die Türen) | *ψηλαφούμενος* L **25** *ὁ μὴ*] *οὐ* cat. **27** *ἥνωσεν* < cat. **28** *συνείγαγεν* J < cat. | *εἷς*[2]] *Ἰησοῦς* (auf Rasur von erster Hand) L ebenso cat.

κύριος, καθεζόμενος ἐν δεξιᾷ τοῦ πατρός, μὴ παραλείψας τὴν σάρκα, εἰς ἣν δὲ συνενώσας καὶ εἰς μίαν τὸ ὅλον θεότητα καθεζόμενος ἐν δεξιᾷ τοῦ πατρός.

81. Οὗτος οὖν ὁ μονογενής, ὁ τέλειος ὁ ἄκτιστος ὁ ἄτρεπτος 81, 1
ὁ ἀναλλοίωτος ὁ ἀπερινόητος ὁ ἀόρατος, ⟨ὁ⟩ ἐνανθρωπήσας ἐν ἡμῖν καὶ ἀναστὰς πνευματικῶς καὶ »μηκέτι ἀποθνήσκων«, μηκέτι πτωχεύων ὁ »δι' ἡμᾶς πτωχεύσας πλούσιος ὤν«, ὁ πνεῦμα ὢν ὅλος, ὁ τὸ σαρκικὸν | καὶ τὸ θεϊκὸν ἑνῶν, | κύριος εἷς βασιλεὺς Χριστός, ὁ υἱὸς D183 P87
τοῦ θεοῦ, ἐν οὐρανῷ καθεσθεὶς ἐν δεξιᾷ τοῦ πατρὸς »ἐπάνω πάσης ἀρχῆς καὶ ἐξουσίας, δυνάμεως καὶ παντὸς ὀνόματος ὀνομαζομένου«, φησὶν ἐν τῷ εὐαγγελίῳ »ἀπελθόντες βαπτίσατε πάντα τὰ ἔθνη εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος«. τοῦτο δὲ * καὶ ἀνὰ 2
μέσον † ὂν οὐ συναλοιφὴν ἐσήμαινε τὸν υἱὸν τῷ πατρὶ ⟨οὐδὲ συναλοιφὴν τὸ πνεῦμα τὸ ἅγιον τῷ πατρὶ καὶ τῷ υἱῷ⟩, ἀλλὰ πατέρα οἶδε πατέρα ἀληθινὸν καὶ ἑαυτὸν ἀληθινὸν ἀπέδειξεν ἐνυπόστατον Λόγον καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα ἐνυπόστατον πνεῦμα καὶ »πνεῦμα ἀληθείας«, ἄκτιστον ἄτρεπτον ἀναλλοίωτον· οὐχ ὡς ἵνα τις ὑπο- 3
νοήσῃ δολίως φερόμενος πρὸς τὴν πίστιν καὶ τοὺς πόδας αὐτοῦ ἀποκρύπτων καὶ δολιευόμενος πρὸς τὴν ἀλήθειαν (»ἐτάζει γὰρ καρδίας καὶ νεφροὺς ὁ θεός«). καὶ λέγει ὁ αἱρετικός· δηλονότι πιστεύω 4
ὅτι ὁ πατὴρ πατὴρ καὶ ὁ υἱὸς υἱὸς καὶ τὸ ἅγιον πνεῦμα ἅγιον πνεῦμα καὶ ὁμολογῶ τρεῖς ὑποστάσεις ἐν μιᾷ οὐσίᾳ· οὐχ ἑτέραν δὲ λέγω οὐσίαν παρὰ τὴν θεότητα, οὐχ ἑτέραν θεότητα παρὰ τὴν οὐσίαν, ἀλλὰ διὰ τὸ οὕτως ἀκριβοῦν ⟨μίαν⟩ οὐσίαν καλοῦμεν, ἵνα μὴ ἄλλο καὶ ἄλλο εἶδος εἴπωμεν τῆς θεότητος τῆς τριάδος. κρυπταζόμενος γὰρ ὁ τοι- 5
οῦτος ὡς εἶπον ῥᾳδιούργως πάλιν καὶ δολίως λέγει· πιστεύω ὅτι

6 vgl. Röm. 6, 9 — **7** vgl. II Kor. 8, 9 — **9** Ephes. 1, 21 — **11** Matth. 28, 19 — **16** Joh. 15, 26 — **17**—S. **102**, **6** vgl. Panarion h. 65, 1, 5ff u. h. 71, 2 — **19** Psal. 7, 10

L J **11**—**25** Siegel des Glaubens S. 31 Karapet (= arm.) **22**—**26** Sacra Parallela Coisl. 276 f. 26r-v Rupef. f. 17r

5 ⟨ὁ⟩ * **12** * etwa ⟨φάσκων⟩ * **12 f** ἀνὰ μέσον † ὂν (ὢν J) L J *zwischen beiden Wahrheiten* arm.] lies etwa ἀνὰ μέσον ⟨ἀμφοτέρων τιθέμενος τὸν υἱ⟩όν * **13** συναλοιφὴν *] συναλοιφῇ L J **13 f** ⟨οὐδὲ συναλοιφὴν τὸ πνεῦμα τὸ ἅγιον τῷ πατρὶ καὶ τῷ υἱῷ⟩ *, *u. nicht Vermischung den h. Geist im Vater u. Sohn* arm. **17** ὡς ἵνα] ς ἵν auf Rasur von erster Hand J; lies wohl ὅπως ἄν * **18** πόδας, ὁ auf Rasur, vielleicht zuerst παῖδας J **19** ἀποκηρύττων L | πρὸς τὴν ἀλήθειαν] *gegenüber den Hörern* arm. **21** ὁ (vor υἱὸς) < L | im zweiten Fall πνεῦμα ἅγιον L **22** καὶ ὁμολογῶ] ὁ μὴ ὁμολογῶν Sa Pa arm. **23** ἑτέραν + δὲ Sa Pa **24** ⟨μίαν⟩ * **25 f** κρυπταζόμενος — ῥᾳδιούργως] κρυπταζομένης, ὁ τοιοῦτος ῥᾳδιουργεῖ Sa Pa **26** πάλιν καὶ *] καὶ πάλιν L J | λέγει + ὅτι L

πατὴρ πατήρ, υἱὸς υἱός, πνεῦμα ἅγιον πνεῦμα ἅγιον· ὑπόνοιαν δὲ ἔχει τοιαύτην κεκρυμμένην, ὡς ἀφ' ἡμῶν τὸ θεῖον ἀπεικάσας, λέγων ἐν ἑαυτῷ, ὅτι ὡς ἔχω σῶμα καὶ ψυχὴν καὶ πνεῦμα ἀνθρώπειον, οὕτω καὶ ἡ θεότης. πατὴρ μὲν ὡς εἰπεῖν τὸ εἶδος, υἱὸς δὲ ὡς ἐν 6
τῷ ἀνθρώπῳ ψυχή, πνεῦμα δὲ ὥσπερ τὸ ἐμπνέον διὰ τοῦ ἀνθρώπου. τινὲς γὰρ δολιεύονται καὶ οὕτως νομίζουσι τὴν θεότητα. ἡμεῖς δὲ 7
οὐχ οὕτως ἐμάθομεν, ἀλλ' ἰδοὺ ὁ πατὴρ ἐν οὐρανῷ διὰ φωνῆς μαρτυρεῖ, ἰδοὺ ὁ υἱὸς ἐν Ἰορδάνῃ, ἰδοὺ τὸ πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς κατερχόμενον ἐσχηματίζετο· | ἀλλὰ καθ' ἑαυτὸ ἐσχημα- D184
τίζετο, καθ' ἑαυτὸ ὑπόστασις ὄν, οὐκ ἀλλοία παρὰ τὴν τοῦ πατρὸς καὶ υἱοῦ, ἀλλὰ τῆς αὐτῆς οὐσίας, ὑπόστασις ἐξ ὑποστάσεως τῆς αὐτῆς πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. ⟨καὶ⟩ πάλιν ἑτέρως· ἰδοὺ 8
πατὴρ κάθηται ἐν οὐρανῷ, *. τὸ δὲ κάθηται μὴ πάλιν ὑπολάμβανε ἀνθρωπίνως, ἀλλ' ἀνεκδιηγήτως καὶ ἀκαταλήπτως ἔχε. καὶ οὐκ
εἶπεν, | ἀνῆλθεν ὁ υἱὸς εἰς τὸν πατέρα, ἀλλ' »ἐκάθισεν ἐν δεξιᾷ τοῦ P88
πατρός«. καὶ πάλιν περὶ τοῦ πνεύματος τοῦ ἁγίου λέγων ὁ μονο- 9
γενὴς ἐδίδασκεν »ἀπέρχομαι, κἀκεῖνος ἐλεύσεται, τὸ πνεῦμα τὸ ἅγιον, τὸ πνεῦμα τῆς ἀληθείας. ἐὰν μὴ ἐγὼ ἀπέλθω, κἀκεῖνος οὐκ ἔρχεται«. εἰ δὲ ἦν τὸ πνεῦμα συναλοιφὴ αὐτῷ τῷ υἱῷ, οὐκ ἂν ἔλεγεν »ἀπέρχομαι κἀκεῖνος ἔρχεται«, ἀλλ' ἵνα δείξῃ ὑπόστασιν καὶ ὑπόστασιν. μία δέ ἐστι θεότης εἷς θεὸς μία ἀλήθεια.

82. Καὶ οὕτω γέγραφα τῷ βουλομένῳ * τὴν τῆς ζωῆς ἡμῶν 82, 1
ἀκολουθίαν καὶ βεβαίαν ὁμολογίαν, τὴν ἀπὸ τοῦ νόμου καὶ τῶν προφητῶν καὶ εὐαγγελίων καὶ ἀποστόλων καὶ ἀπὸ τῶν χρόνων τῶν ἀποστόλων ἕως ἡμετέρων χρόνων ἐν τῇ καθολικῇ ἐκκλησίᾳ ἀχράντως πεφυλαγμένην, ἐπὶ φθόνῳ δὲ ἀκαταστασίας τῆς μιᾶς καὶ ἀληθινῆς 2
πίστεως κατὰ καιρὸν καὶ καιρὸν διὰ τῶν αἱρέσεων τὴν αὐτὴν πίστιν καὶ ἐλπίδα καὶ σωτηρίαν ἡμῶν διωχθεῖσαν, ὑπομείνασαν δὲ ἐν τῇ αὐτῆς ἀληθείᾳ, τῶν αἱρέσεων καθ' ἕκαστον χρόνον ἑαυτὰς χραινουσῶν καὶ ἀπὸ τῆς ἐκκλησίας ἀπαλλοτριουμένων· ὡς καὶ προσφάτως 3
πάλιν ἀκούομέν τινων τῶν τὰ πρωτεῖα δοκούντων ἀποφέρεσθαι παρά

3 vgl. oben c. 8, 6; S. 15, 13 — **7 f** vgl. Matth. 3, 16 f — **14 f** vgl. oben c. 47, 5; S. 57, 14 — **15** Hebr. 10, 12 — **17** Joh. 16, 7 ff — **30 ff** vgl. Panarion h. 67, 1, 5

L J **30**—S. **105, 3** Sacra Parallela Coisl. 276 f. 88^{r}—90^{v} Rupef. f. 93^{r-v}

1 vor *πατὴρ*^{1} u. *υἱὸς*^{1} je ein *ὁ*, vor *πνεῦμα*^{1} ein *τὸ* von erster Hand hineingeflickt L **2** *λέγων* *] *λέγει* L J **9** *καθ' ἑαυτὸν* L **11 f** *ὑπόστασις — πνεύματος* < J **12** ⟨*καὶ*⟩ * **13** * etwa ⟨*κάθηται δὲ καὶ ὁ υἱὸς ἐν δεξιᾷ τοῦ πατρός*⟩ * **18** *ἐὰν*] *ἂν* J **22** * ⟨*εἰδέναι*⟩ * **25** *ἡμετέρων* Pet.] *ἡμερῶν* L J **29** *ἑαυτοὺς* L **31** *τινὰς* Sa Pa | *ὑποφέρεσθαι* L

τισι τῶν ἐν Αἰγύπτῳ ἀσκητῶν καὶ Θηβαΐδος καὶ ἄλλων ἄλλοθι κλιμάτων, τὰ ὅμοια τοῖς Ἱερακίταις φρονούντων καὶ λεγόντων ἀνάστασιν μὲν τῆς ἡμετέρας σαρκός, οὐ ταύτης δέ, ἀλλ᾽ ἄλλης τινὸς ἀντ᾽ αὐτῆς, ὡς ἐκτραπέντων τῶν τοιούτων καὶ εἰς μύθους ἐκτρεψάντων τὴν τοῦ θεοῦ ἀλήθειαν καὶ τὴν βεβαίαν ἡμῶν ἐλπίδα. διὸ καὶ περὶ τούτου ἀναγκαζόμεθα αὖθις λέγειν. | D185

83. Ἄπιστοι μὲν γὰρ ἀρνοῦνται τὸ πᾶν τῆς ἀναστάσεως, κακόπιστοι δὲ συρφετωδῶς καὶ ἀνοήτως τῆς κατὰ ἀλήθειαν ἐλπίδος ἐκπεπτώκασι τῷ οὕτω νοεῖν περὶ τῆς ἀναστάσεως. καὶ Ἕλληνες μὲν οἱ τελείως ἀρνούμενοι τὴν ἀνάστασιν διὰ τὴν ἀσέβειαν τοῦ πλήθους τῶν παρ᾽ αὐτοῖς γινομένων ἀνομημάτων· μισοῦσι γὰρ τὴν ἀνάστασιν δι᾽ ἣν μέλλουσιν αἰσχύνην ὑφίστασθαι ἐν τῇ ἀναστάσει, τὸν θεὸν ἀγνοήσαντες καὶ τὰς αὐτοῦ ἐντολάς· πλὴν ὅτι ἀναστήσονται, κἂν μὴ βούλωνται. αὐτὴ γὰρ ἡ κτίσις διαρρήδην αὐτοὺς ἐλέγχει, ὑποφαίνουσα καθ᾽ ἑκάστην ἡμέραν ἀναστάσεως τὸ εἶδος. δύνει γὰρ ἡ ἡμέρα καὶ νεκρῶν αἰνιττόμεθα τὸν τρόπον, | κοιμισμὸν αἰνιττομένης P89 τῆς νυκτός· ἀνατέλλει ἡ ἡμέρα ἡμᾶς διυπνίζουσα καὶ ἀναστάσεως ὑποδεικνύουσα τὸ σημεῖον. δρέπονται οἱ καρποὶ καὶ ἡ στάσις τῶν ὄντων ἐκτέμνεται, τῆς ἡμῶν ἐντεῦθεν ἀπαλλαγῆς ὁριζομένου τοῦ προσώπου. σπείρεται ἡ γῆ καὶ βλαστάνει, * ὅτι τὰ τεθαμμένα μετὰ τὴν τομὴν ἀναστήσεται. ἀκρὶς τελευτᾷ, θάψασα τὸ ἐξ αὐτῆς ἀποβληθὲν κύημα ἐν τῇ γῇ καὶ μετὰ καιρὸν ἡ γῆ ἀποδίδωσι τὰ τεθαμμένα· τὰ σπέρματα τῶν γενημάτων σπείρεται καὶ πρῶτον ἀποθνήσκει ἔπειτα τελεσφορεῖται· »ἐὰν γὰρ μὴ ἀποθάνῃ, οὐ ζωογονεῖται«. σφραγῖδας ἐν ἡμῖν ὁ θεὸς ἐποίησε διὰ τῶν ὀνύχων δέκα καὶ δέκα ἀναστάσεως, μαρτυρούσας περὶ τῆς ἡμῶν ἐλπίδος. ἀλλὰ καὶ ὡς διὰ στεφάνου ἐπὶ τῆς κεφαλῆς διὰ τῆς τριχὸς τὴν ἡμῶν ἀνάστασιν ἐκήρυξε. τὸ γὰρ δοκοῦν ἐν ἡμῖν νεκρὸν σῶμα, τουτέστι τρίχες καὶ ὄνυχες, καθ᾽

83, 1 2 3 4 5

24 I Kor. 15, 36

L J Sa Pa

1 *Θηβαΐδι* L J **2** *τοῖς* < Sa Pa **7f** *κακοπίστων* L J **9** *ἐκπεπτωκότων* L J | *τῷ — ἀναστάσεως* < Sa Pa | *τῷ* *] *τὸ* L J **11** *μισοῦσι γὰρ*] *μισοῦντες* Sa Pa **12** *δι᾽ ἣν* Sa Pac] *δι᾽ ἧς* L J Sa Parup. | *ἐν τῇ ἀναστάσει* < L J **13** *κἂν* + *καὶ* L + *τε* Sa Pac **14** *βούλονται* J | *αὐτὴ γὰρ*] *καὶ* L J | *κτίσις* + *πᾶσα* L J **16** *κοιμισμὸν αἰνιττομένης*] *κοιμιζομένης* Sa Pa **17** *τῆς νυκτός* < J **18** *σημεῖον*] *σχῆμα* Sa Pac **20** *σπείρεται*] *ἐπείγεται* Sa Pa | * ⟨*ὑποδεικνύουσα*⟩ * | *τὰ τεθαμμένα* Sa Pa] *τὰ τεθλιμμένα* L *ταθλιμμένα* J **21** *τὸ ἐξ αὐτῆς* Sa Pa] *τι ἑαυτῆς* L J **22f** *τὰ τεθαμμένα ἀποδίδωσι* Sa Pa **24** *γὰρ*] *δὲ* Sa Pa **26** *τῆς . . ἐλπίδος* Sa Pa] *τῶν . . ἐλπίδων* L J **27** *ἐπὶ τῆς κεφαλῆς διὰ* < L J **28** *τρίχες καὶ ὄνυχες* Sa Pa] *αἱ τρίχες* L J

ἑκάστην τεμνόμεναι καὶ τεμνόμενοι αὖθις θάλλουσι, σημαίνουσαι τῆς ἀναστάσεως τὴν ἐλπίδα.

84. Καὶ ἀμύθητα ἔστιν εἰπεῖν εἰς πληροφορίαν τῶν ἀπίστων ἐξ ὑποδειγμάτων. ἀλλ᾽ οὐκ ἔπεισε τούτους ἡ φάττα τὸ ὄρνεον οὐδὲ ὁ μυωξὸς τὸ ζῷον. ἀποθνήσκει γὰρ τὸ τοιοῦτον ἑξάμηνον καὶ ἡ φάττα ἡμέρας τεσσαράκοντα, καὶ αὖθις μετὰ τοὺς καιροὺς αὐτῶν ἀνα|βιοῦσι. κάνθαροι δὲ μέλλοντες τελευτᾶν ἐπὶ σφαῖραν τῆς κόπρου ἑαυτοὺς κρύβουσι, θάψαντες τὴν τοιαύτην σφαῖραν ἐν τῇ γῇ καὶ καταχώσαντες, καὶ οὕτως ἐκ τῆς αὐτῶν ἰκμάδος αὖθις εὑρίσκονται, ἀναβιοῦντες ἐξ αὐτῶν τῶν λειψάνων. περὶ δὲ τοῦ φοίνικος τοῦ Ἀραβικοῦ ὀρνέου περισσόν μοι τὸ λέγειν. ἤδη γὰρ εἰς ἀκοὴν ἀφῖκται πολλῶν πιστῶν τε καὶ ἀπίστων. ἡ δὲ κατ᾽ αὐτὸν ὑπόθεσις τοιάδε φαίνεται· πεντακοσιοστὸν ἔτος διατελῶν ἐπὰν γνοίη τὸν καιρὸν τῆς αὐτοῦ τελευτῆς ἑνστάντα, σηκὸν μὲν ἐργάζεται ἀρωμάτων καὶ φέρων ἔρχεται εἰς πόλιν τῶν Αἰγυπτίων Ἡλιούπολιν οὕτω καλουμένην, Ὢν δ᾽ ἑρμηνευομένην ἀπὸ τῆς Αἰγυπτιακῆς διαλέκτου καὶ Ἑβραΐδος, καὶ ταρσοῖς ἰδίοις τὰ στήθη τὰ ἑαυτοῦ μαστίξας πολλά, πῦρ ἀπὸ τοῦ σώματος αὐτοῦ προφερόμενος ἐμπίπρησι τὴν ὑποκειμένην ὕλην τῷ τόπῳ καὶ οὕτως ἑαυτὸν ὁλοκαυτοῖ καὶ πάσας τὰς σάρκας αὐτοῦ σὺν ὀστέοις ἐκτεφροῦται. ἐκ θεοῦ δὲ οἰκονομίας νέφος ἀποστέλλεται καὶ ὑετίζει καὶ κατασβεννύει τὴν τὸ σῶμα τοῦ ὀρνέου κατα|δαπανήσασαν φλόγα, νεκροῦ μὲν ἤδη ὄντος τοῦ ὀρνέου καὶ ὀπτηθέντος ἀκρότατα· σβεσθείσης δὲ τῆς φλογὸς λείψανα τῆς σαρκὸς αὐτοῦ ἔτι ὠμὰ περι|λείπεται καὶ πρὸς μίαν ἡμέραν ἀφανισθέντα σκώληκα γεννᾷ· ὁ σκώληξ

84,1 D186 2 3 P90 4 5 6

10—S. **105**, **3** vgl. I Clem. 25 Origenes *c. Cels.* IV 98; S. 371, 25ff Kötschau Lactantius *de ave Phoenice* Cyrillus Hieros. *cat.* 18, 8 Const. apost. V 7, 15; S. 257, 3ff Funk Ambrosius *de fide resurrectionis* II 8 *hexameron* V 23

L J Sa Pa **5**—S. **105**, **3** frei wiedergegeben bei Mich. Glycas *annales* I; Migne 158, 108 C

1 *καὶ τεμνόμενοι* < L J Sa Pa^{c} | *θάλλουσι σημαίνουσαι*] *θάλλουσαι* J **3** *εἰς*] *πρὸς* Sa Pa^{c} **4** *τούτους*] *αὐτοὺς* Sa Pa **6** *τεσσαράκοντα ἡμέρας* Sa Pa **8** *ἐγκρύβουσι* Sa Pa | *τῇ* < L J **10** *τῶν λειψάνων* < L J **10f** *τοῦ ὀρνέου τοῦ Ἀραβικοῦ* Sa Pa **11—13** *εἰς ἀκοὴν — φαίνεται*] *εἰς τὴν ἀκοὴν τῶν πολλῶν ἡ κατ᾽ αὐτὸν ὑπόθεσις ἦλθε* Sa Pa **13** *πεντακοσιοστὸν* + *γὰρ* Sa Pa | *γνῶ* Sa Pa **15** *πόλιν*] *τὴν* Sa Pa **17** *ἰδίοις*] *ἰνδίαν* Sa Pa$^{rup.}$ | *τὰ ἑαυτοῦ*] *αὐτοῦ* Sa Pa | *πολλὰ μαστίξας* Sa Pa | vor *πῦρ* + *καὶ* L | *πῦρ ἀπὸ*] *ὁπότε ὑπὸ* L **19** *πάσας*] *ὅλας* Sa Pa **20** *ἐκτεφροῦται* Sa Pa^{c} (bestätigt auch durch *τεφροῦται* bei Glycas)] < L J Sa Pa$^{rup.}$ **22** *μὲν ἤδη ὄντος*] *δὲ οὕτως* Sa Pa **23** *λείψανον* Sa Pa | *ἔτι ὠμὰ*] *σῶμα* Sa Pa **24** *ἀφανισθὲν* Sa Pa$^{rup.}$

πτεροφυεῖ νεοττὸς γενόμενος, τῇ δὲ τρίτῃ ἡμέρᾳ ἀδρύνεται καὶ ἀδρυνθεὶς τοῖς τῷ τόπῳ ἐξυπηρετουμένοις ἑαυτὸν ἐμφανίζει καὶ αὖθις ἀνατρέχει εἰς τὴν ἰδίαν πατρίδα καὶ ἀναπαύεται.

85. Θαυμάσαι δέ μοι ἔπεισι περὶ τῆς τῶν ἀπίστων Ἑλλήνων καὶ 85, 1
ἄλλων βαρβάρων ἠπατημένης κατὰ πάντα διανοίας, ὡς ἐν τοῖς αὐτῶν μύθοις οὐκ αἰσχύνονται ἀνάστασιν πάντῃ σημαίνειν καὶ περὶ ἀναστάσεως πολλάκις ᾄδειν, ὡς οἱ μῦθοι αὐτῶν ἀναγράφουσιν Ἄλκηστιν 2
μὲν τελευτήσασαν τὴν Πελίου ὑπὲρ τοῦ ἀνδρὸς αὐτῆς Ἀδμήτου καὶ ὑπὸ τοῦ Ἡρακλέος μετὰ | τριήμερον ἐγηγερμένην καὶ ἀπὸ τῶν ἀδύτων D187
ἀνενηνεγμένην, Πέλοπά τε τὸν Ταντάλου μετὰ τὸ κρεωνομηθῆναι τοῖς ψευδωνύμοις αὐτῶν θεοῖς ὑπὸ τοῦ ἰδίου πατρός· Ἀμφιάρεως ⟨ὁ⟩ 3
τοῦ Οἰκλέους ὑπὸ τοῦ Ἀσκληπιοῦ ἀναζωογονηθείς, Γλαῦκος ὁ Μίνωος ὑπὸ Πολυείδου τοῦ Κοιράνου βοτάνῃ τινὶ ἀναζωοποιηθείς, Κάστωρ διὰ Πολυδεύκην τὸν ἀδελφὸν αὐτοῦ, ὃς ἑκὼν αὐτῷ τὴν ζωὴν παρ' ἡμέραν ἀλλάσσειν εἵλετο, καὶ ὁ Πρωτεσίλαος διὰ Λαοδάμειαν. ἀλλὰ 4
καὶ Σίσυφον καὶ Τάνταλον καὶ τὰς Καυκάσου θυγατέρας, ἃς Ἐρινύας κεκλήκασι, καὶ Τειρεσίαν ἅμα τούτοις κατατεταρταρῶσθαι δώσοντας δίκην ἐκεῖσε, τὸν μὲν διὰ πέτρας τὸν δὲ ὑπὸ τροχόν, καὶ ἄλλους ἄλλως τετιμωρῆσθαι καὶ ἔτι ὑπάρχειν ἐν τιμωρίᾳ, ὡς μὴ εἰς

L J Sa Pa (bis Z. 3) **4**—S. **107**, **17** Sacra Parallela Coisl. 276 f. 90ᵛ—91ᵛ Rupef. f. 93ᵛ—94ᵛ

1 *πτεροφυὴς* Sa Pa$^{rup.}$ *πτεροποιεῖ* L | *δὲ* < Sa Pa | *καὶ* < L Sa Pa **2** *τοῖς τὸν τόπον ἀκριβοῦσι τε καὶ ἐξυπηρετουμένοις τῷ τόπῳ* Sa Pa **3** *καὶ ἀναπαύεται*] *σθεν ἦλθε* Sa Pa **4** *ἔπεισι*] *ἅπασι* J *ἔπεσι* Sa Pa^{c} < Sa Pa$^{rup.}$ | *ἀπίστων*] *ἀθέων* Sa Pa$^{rup.}$ **5** *ἠπατημένων* Sa Pa | *κατὰ πάντα* < Sa Pa$^{rup.}$ **6** *πάντῃ* Sa Pa^{c}] *παντὶ* L J *πάντως* Sa Pa$^{rup.}$ | *σημαίνειν*] *κειμένην* Sa Pa **7** vor *ἄλκηστιν* + *τὴν* Sa Pa **8** *ἀδαμήτου* L J **9** *ὑπὸ*] *ὑπὲρ* L J | *μετὰ* + *δὲ* L J **10** *ἀνενηνεγμένην*] *ἀνηνεγμένην* L J *ἐνηνεγμένην* Sa Pa$^{rup.}$ | *κρεωνομηθῆναι* J] *κρεονομηθέντα* + *παρατεθῆναι* Sa Pa^{c} *κρεανομηθῆναι* aus *κρεονομηθῆναι* Sa Pa$^{rup.}$ *κρεωνοπηθῆναι, νοπηθ* auf Rasur L **11** *ὑπὸ τοῦ ἰδίου πατρὸς* hinter *κρεωνομηθῆναι* L J | *πατρὸς* + *αὐτῶν* Sa Pa^{c} **11f** *Ἀμφιάρεως ⟨ὁ⟩ τοῦ Οἰκλέους*] *Ἀμφιάρεως* (*Ἀφιάρεως* Sa Pa$^{rup.}$) *τοῦ Οἰκλεοῦς* Sa Pa *Ἀμφιάραω . . καὶ ὁ Εὐκλεῆς* (*Εὐκλεοῦς* L), beides getrennt durch *τοῖς ψευδωνύμοις αὐτῶν θεοῖς* L J **12** *ἀναζωογεννηθεὶς* L **12f** *Γλαῦκος ὁ Μίνωος — ἀναζωοποιηθείς*] < L J **12** *Γλύκος* Sa Pa^{c} | *Μίνοως* Sa Pa^{c} *Μίνως* Sa Pa$^{rup.}$ **14** *Πολυδεύκτην* J **15** *καὶ* < Sa Pa **16** vor *Τάνταλον* + *τὸν* L J **17** *καὶ Τειρεσίαν — κατατεταρταρῶσθαι*] *κατατεταρταρῶσθαι τούτους ἡγούμενοι καὶ Τειρεσίαν ἅμα κἀκεῖσε* Sa Pa | *ἅμα τούτοις* *] *ἅμα τούτῳ* L J **18** *δώσοντας* *] *δώσαντας* Sa Pa$^{rup.}$ *δώσαντες* Sa Pa^{c} *καὶ δοῦναι* L J

ἀνυπαρξίαν κεχωρηκότας, ὑπάρχοντας δὲ ἐν σώμασιν. εἰ μὴ γὰρ 5
σώματα εἶχον, πῶς ὑπὸ πέτραν καὶ τροχὸν τιμωρίαις παρεδίδοντο;
καὶ πολλὰ ἔστιν περὶ τούτων λέγειν εἰς παράστασιν τῆς ἐν ἡμῖν
πίστεως, ἔλεγχον δὲ τὸν πρὸς αὐτούς.

86. Ἀλλὰ καὶ οἱ ἐκ τῶν αἱρέσεων ὁρμώμενοι ἀδελφὰ τούτοις 86, 1
ᾄδουσι καὶ συνῳδὰ τῆς ἀπιστίας ἐν τῷ τινὰς μὲν τῶν αἱρετικῶν,
τῶν Μανιχαίων ⟨φημί⟩, λέγειν οὐ σώματος, ἀλλὰ ψυχῆς ἀνάστα-
σιν ἔσεσθαι, ὡσαύτως δὲ καὶ τοὺς προειρημένους Ἕλληνας τὸ
αὐτὸ νομίζειν τε καὶ συνδοξάζειν, ὡς εἶναι τὸν λόγον αὐτῶν ληρώδη
μᾶλλον ἢπερ ἐκ συνέσεως προβαλλόμενον. ἐὰν γὰρ ἀνάστασιν 2
εἴπωσιν αἱ αἱρέσεις καὶ ὅλως ἀνάστασιν ἡγοῦνται, περὶ ψυχῶν δὲ
τοῦτο ὁρίζωνται, εὐηθές ἐστι τὸ τοιοῦτον. | πῶς γὰρ ψυχὴ ἀνα- P91
στήσεται ἡ μὴ πεπτωκυῖα; οὐ γὰρ θάπτομεν τὰς ψυχὰς ἐν τοῖς
μνημείοις, ἀλλὰ τὰ σώματα. ψυχαὶ γὰρ οὐ πίπτουσιν, ἀλλ' αἱ σάρκες· 3
ὡς καὶ ἡ συνήθεια εἴωθε καλεῖν τὰ νεκρὰ σώματα πτώματα. τοίνυν
εἰ ἀνάστασις παρ' αὐτοῖς ὁμολογεῖται, παντί τῳ δῆλόν ἐστιν ⟨ὅτι⟩
οὐ ψυχῆς, ἀλλὰ σώματος τοῦ πεπτωκότος. Ἕλληνες δὲ πάλιν ἐλέγ- 4
χονται ⟨οἱ⟩ τὸ πᾶν τῆς ἀναστάσεως ἀρνούμενοι. ἀποφέροντες ⟨γὰρ⟩ | εἰς D188
τὰ μνήματα βρώματά τε καὶ πόματα ἐν ταῖς πανδήμοις καλουμέναις
ἡμέραις ὁλοκαυτοῦσι μὲν τὰ ἐδέσματα σπένδουσι δὲ τοὺς οἴνους,
μηδὲν μὲν τοὺς νεκροὺς ὠφελοῦντες ἑαυτοὺς δὲ μᾶλλον βλάπτοντες.
πλὴν ἀναγκάζονται ἀπὸ τῆς συνηθείας ὁμολογεῖν τὴν τῶν νεκρῶν 5
ἀνάστασιν. ἔνθα γὰρ ἐτέθη τὰ σώματα τῶν τελευτησάντων παρα-
γίνονται καὶ προσφωνοῦσι τοῖς τεθαμμένοις νεκροῖς ἐξ ὀνόματος·
ἀνάστα, φάσκοντες, ὁ δεῖνα, φάγε καὶ πίε καὶ εὐφράνθητι. καὶ εἰ 6
μὲν τὰς ψυχὰς ἐκεῖσε νομίζουσιν ἐμπαραμένειν, ἔνθα τὰ λείψανα τῶν
τελευτησάντων τέθαπται, ἀγαθή τις τοιαύτη ⟨περὶ⟩ τῶν ψυχῶν

7 vgl. Panarion h. 66, 86f — **22ff** vgl. Rohde, Psyche[5] I 235ff

L J Sa Pa

1 *ὑπάρχειν* Sa Pa **2** *σώματα εἶεν* Sa Pac *σῶμα εἶεν* Sa Parup. **3f** *πίστεως τῆς ἐν ἡμῖν* Sa Pa **4** *ἐλέγχῳ δὲ τῷ* Sa Pa | *τὸν*] *τῶν* L **6** *τῶν αἱρετικῶν*] *τῶν αἱρέσεων* Sa Pa **7** *τῶν Μανιχαίων* < L J; lies *τοὺς Μανιχαίους*? * | ⟨*φημί*⟩ * **9** *αὐτῶν* < Sa Pa **10** *ἢπερ ἐκ συνέσεως* Sa Pa] *ὑπὲρ κινήσεως* L J **11** *δὲ* < Sa Pa **12** *ὁρίζονται* J **13** *ἡ* < L J **14** *μνήμασι* Sa Pa | *ψυχαί*] *ψυχὴ μὲν* Sa Parup. | *ἀλλ' αἱ*] *ἀλλὰ* Sa Pa **16** *εἰ*] *ἡ* Sa Pa | *παντί τῳ*] *παντί που* Sa Pac *παντὶ τοῦτο* Sa Parup. | ⟨*ὅτι*⟩ * **17** *τοῦ* < L J **18** ⟨*οἱ*⟩ * ⟨*γὰρ*⟩ * **20** *σπίζουσι* Sa Pa | *τοὺς* (vor *οἴνους*) < Sa Pa **21** *μάλα* Sa Pa **25** *ἀνάστα* < Sa Parup. | *φάσκοντες*] *φησίν* Sa Pac < Sa Parup. | *πῖθι* J **27** *ἀγαθή τις* *] *ἀγαθὴ ἡ* Sa Pa *ἀπαθής τις* L J | ⟨*περὶ*⟩ *

προσδοκία· ἐμπαραμένουσι γὰρ τὴν ἡμέραν τὴν μέλλουσαν καὶ τὴν ἀνάστασιν τῆς παλιγγενεσίας, ἕως τὰ σύνθετα καὶ σύζυγα αὐτῶν ἀπολάβωσι σώματα, εἰ καὶ βδελύττονται οἱ τῶν Ἑλλήνων παῖδες τὴν σάρκα ὡς φαύλην οὖσαν καὶ τέλεον ἀφανιζομένην καὶ ἐλπίδα μὴ ἔχουσαν ἀναβιώσεως. εἰ δὲ μὴ τούτῳ τῷ τρόπῳ τοῦτο ποιοῦσι, τίνι τῷ λόγῳ τὰς βελτίους ψυχὰς τῆς τῶν σωμάτων οὐσίας ⟨μνήμασιν⟩ ἐγκαταδέοντες καταδίκῃ μᾶλλον περιβάλλουσι τῇ ὑπολήψει, ὁριζόμενοι αὐτὰς προσεδρεύειν τοῖς τετελευτηκόσι λειψάνοις; ἢ ἐπὶ ποίᾳ προσδοκίᾳ ἐλπίδος παραγίνονται, λεγέτωσαν; ἀλλὰ δῆλον ὅτι οὐ τὰς ψυχὰς νομίζουσιν εἶναι ἐν μνήμασιν, ἀλλ' ἐν ταμιείοις τισὶν ἐκ θεοῦ ἑκάστῃ ψυχῇ ἀποτεταγμένοις, κατ' ἀξίαν ὧν ἐν βίῳ ἔδρασάν τε καὶ ἐπολιτεύσαντο· τὰ δὲ σώματα ἰδίαις χερσὶν ἕκαστος τοῦ πέλας ἐν ταῖς θήκαις τῶν σωμάτων εἴτουν ὀστέων κατέθεντο. εὐηθες δ' ἂν εἴη παρὰ πᾶσιν εἶναι τὴν μίαν ὑπόληψιν τούτων καὶ ἀκολουθίαν ὡς ἐκ πανταχόθεν ὁμολόγηται, παρὰ δὲ τοῖς ἀπίστοις τοὐναντίον τὰ ἀληθινὰ ἐξαρνεῖσθαι καὶ τὰ ἐν θεῷ δυνατὰ εἰς ἐλπίδας παρ' αὐτοῖς μὴ κεκρατύνθαι. | P92

87. Ἀλλὰ περὶ τούτων ἱκανὰ νομίζω εἰρῆσθαι, | ἐκ τῶν πολλῶν 87, 1 D189
παραδειγμάτων ὀλίγα ἡμῶν παραθέντων. περὶ δὲ τῶν δοκούντων 2
Χριστιανῶν εἶναι, Ὠριγένει δὲ πειθομένων καὶ τὴν μὲν τῶν νεκρῶν ἀνάστασιν ὁμολογούντων σαρκός τε τῆς ἡμετέρας καὶ σώματος τοῦ κυρίου τοῦ ἁγίου ἐκείνου τοῦ ἀπὸ Μαρίας ἀνειλημμένου, ταύτην δὲ

L J Sa Pa (bis Z. 17) **19—S. 112, 4** Sacra Parallela Coisl. 276 f. 91ᵛ—94ʳ Rupef. f. 94ᵛ—95ᵛ Lemma *τοῦ αὐτοῦ κατὰ ὠριγένους φιλονεικοῦντος περὶ τῆς σαρκὸς ἄλλην ἀντὶ ταύτης ἀνίστασθαι*

1f *ἡμέραν τὴν — παλιγγενεσίας*] *ἡμετέραν τὴν μέλλουσαν τῆς παλιγγενεσίας* Sa Pa **2** *τὰ σύζυγα καὶ σύνθετα* Sa Pa | vor *σύζυγα* + *τὰ* J **3** *ἀπολάβουσι* L Sa Pa$^{rup.}$ | *εἰ καί*] *καὶ εἰ* Sa Pa **5** *εἰ δὲ μὴ — ποιοῦσι* < Sa Pa **6** *τῷ* < Sa Pa | ⟨*μνήμασιν*⟩ *, vgl. Z. 10 **7** *ἐγκαταδεύοντες* Sa Pa^{c} *ύ* ausradiert Sa Pa$^{rup.}$ **7f** *ὁριζόμενοι αὐτὰς προσεδρεύειν*] *ταῦτα ὁριζόμενοι καὶ προσεδρεύουσι* L J **8** *ἢ*] *καὶ* Sa Pa **9** *παραγίνονται* *] *παραμένουσι* L J Sa Pa **10** *νομίζομεν* Sa Pa | *ταμείοις* L Sa Pa **11** *ὧν ἐν βίῳ ἔδρασάν τε καὶ*] *ὧν ἐβίων ἔδρασάν τε καὶ* J *ὧν τε ἔπραξαν ἐν τῷ βίῳ καὶ* Sa Pa **12** *δὲ*] *μὲν* Sa Pa **13** *εἴτουν*] *ἢ τῶν* Sa Pa **14** *εἴη* + ⟨*τὸ λέγειν*⟩? * | *τούτων*] *τῶν τοιούτων* Sa Pa **15** *ὡς* Sa Pa] *οἷς* L J **18** *νομιζέσθω* L **20f** *καὶ τὴν μὲν — ὁμολογούντων*] *ὁμολογεῖν τὴν ἐκ νεκρῶν ἀνάστασιν* Sa Pa **22** *τοῦ ἁγίου ἐκείνου*] *τῆς ἁγίας ἐκείνης σαρκὸς καὶ σώματος τοῦ ἁγίου ἐκείνου* Sa Pa | *ἀνειλημμένου* + *οὐκ ἀρνουμένου* Sa Pa **22f** *ταύτην δὲ — ἐγείρεσθαι*] *μὴ ὁμολογεῖν δὲ τὴν αὐτὴν σάρκα ἐγείρεσθαι* Sa Pa

τὴν σάρκα λεγόντων μὴ ἐγείρεσθαι, ἀλλ᾽ ἄλλην ἀντὶ ταύτης ἐκ θεοῦ δίδοσθαι, πῶς οὐχὶ μᾶλλον τῶν ἄλλων εἴποιμεν ἀσεβεστέραν ἔχειν ὑπόληψιν καὶ εὐηθεστέραν τῆς παρ᾽ Ἕλλησι καὶ ταῖς λοιπαῖς αἱρέσεσιν ὑπονοίας; πρῶτον μὲν γὰρ εἰ ἄλλη ἀντὶ ταύτης ἐγείρεται κατὰ 3
τὸν αὐτῶν λόγον, οὐ δικαία ἡ τοῦ θεοῦ κρίσις κατὰ τὸν αὐτῶν μῦθον, ἄλλην σάρκα κρίνουσα ἀντὶ τῆς ἁμαρτησάσης ἢ ἄλλο σῶμα φέρουσα εἰς δόξαν κληρονομίας βασιλείας οὐρανῶν ἀντὶ τοῦ ἐν νηστείαις καὶ ἀγρυπνίαις καὶ διωγμοῖς ὑπὲρ ὀνόματος θεοῦ κεκμηκότος σώματος. πῶς δὲ καὶ ψυχὴ κριθήσεται μόνη κατὰ τὸν λόγον τῶν 4
αἱρέσεων, μὴ παρόντος τοῦ συναμαρτήσαντος σώματος; ἀντείπῃ γὰρ ἡ τοιαύτη ψυχὴ τῇ τοῦ θεοῦ κρίσει, φάσκουσα τοῦ σώματος γεγενῆσθαι τὰ ἁμαρτήματα. ἔχει γὰρ καὶ τὴν ἀπόδειξιν κατὰ τὸν τῶν 5
φιλονεικίᾳ φερομένων λόγον καὶ μὴ ἀληθείᾳ. δύναται γὰρ λέγειν· οὐκ ἐγὼ ἥμαρτον, ἀλλὰ τὸ σῶμα. ἐξότου γὰρ ἐξῆλθον ἐκ τοῦ σώματος, οὔτε ἐπόρνευσα οὔτε ἐμοίχευσα, οὐκ ἔκλεψα οὐκ ἐφόνευσα οὐκ εἰδωλολάτρησα οὔ τι τῶν κακῶν καὶ ἀνηκέστων εἰργασάμην. καὶ 6
εὔλογος εὑρεθήσεται ἡ αὐτῆς ἀπολογία. εὐλόγως δὲ αὐτῆς ἀπολογουμένης τί ἐροῦμεν; ἀρχὴ ἆρα ἡ τοῦ θεοῦ κρίσις; ἀλλ᾽ »ἀδίκως ἐπιφέρει τὴν ὀργὴν ὁ θεὸς κατὰ τῶν ἀνθρώπων; μὴ γένοιτο«.

88. Οἴδαμεν δὲ ὅτι »πάντα τῷ θεῷ δυνατά« καὶ δύναται καὶ 88, 1
σῶμα φέρειν ἄνευ ψυχῆς καὶ τὰ ἀφανῆ γεγονότα σώματα δύναται ⟨ποιῆσαι⟩ πάλιν ἀναβιοῦν κινεῖσθαί τε αὐτὰ ἀφ᾽ ἑαυτῶν ἄνευ ψυχῶν, ἐὰν θέλῃ, ὡς καὶ ἤδη | διὰ τοῦ ἁγιωτάτου Ἰεζεκιὴλ τὴν τοιαύτην D190

4—19 vgl. Panarion h. 64, 71, 6ff — **18** Röm. 3, 5f — **20—S. 110, 4** vgl. Panarion h. 64, 71, 10ff — **20** Matth. 19, 26

L J Sa Pa

2f τῶν ἄλλων — ὑπόληψιν] ἀσεβὴς ἡ τοιαύτη ὑπόληψις Sa Pa **2** εἴπομεν L **3** ὑπόληψιν] ὑπόσχεσιν L | εὐηθεστέρα u. vorher + μᾶλλον Sa Pa | τῆς Sa Pa] τοῖς L τῶν J **3f** καὶ² — ὑπονοίας < J **3** ταῖς λοιπαῖς] παρὰ ταῖς ἄλλαις Sa Pa **4** ὑπονοίας *] ὑπονοίαις L Sa Pa **5f** κατὰ τὸν αὐτῶν μῦθον < L J **7** vor βασιλείας + καὶ L J **8** καὶ ἀγρυπνίαις < Sa Pa **9** καθήσεται J **10** ἀντείπῃ] ἀντιλέξει Sa Pa **11** ψυχὴ < Sa Pa | τοῦ σώματος] ἐκ τῶν σωμάτων Sa Pa **12** γὰρ < L J **12f** κατὰ τὸν τῶν φιλονεικίᾳ φερομένων λόγον *] κατὰ τῶν φιλονεικίᾳ φερομένων τὸν λόγον L κατὰ τὸν φιλονεικίᾳ φερόμενον λόγον J κατὰ τὸν λόγον τὸν φιλονεικίᾳ φερόμενον Sa Pa **14** ἐξότε Sa Pa | ἐκ < Sa Pa **17** ἄλογος L | εὑρεθείη Sa Pa | αὐτῆς] τοιαύτη Sa Pa **18** ἀργεῖ L J Sa Pa rup. **19** ὁ θεὸς hinter ἀδίκως (Z. 18) Sa Pa | κατὰ ἄνθρωπον Sa Pa **20** τῷ θεῷ πάντα Sa Pa | τῷ < L | καὶ² < Sa Pa **21** σώματα < Sa Pa **22** ⟨ποιῆσαι⟩ *, vgl. S. 109, 18 | αὐτὰ hinter ἑαυτῶν L **23** διὰ] τὰ J | ἁγίου Sa Pa

οἰκονομίαν ἐποίησεν. ἔλεγε γὰρ τῷ ἁγίῳ προφήτῃ »εἰπέ, υἱὲ ἀν- 2
θρώπου, συναχθῆναι ὀστοῦν πρὸς ὀστοῦν καὶ ἁρμονίαν πρὸς ἁρμο-
νίαν«· καὶ ἦν θαυμάσαι τὴν τοῦ θεοῦ δύναμιν, ὅτι μηδέπω τῶν
ψυχῶν ἐμβληθεισῶν, ἀλλὰ ξηρῶν ὄντων τῶν ὀστέων οὐ μόνον τοῦ
κινεῖσθαι | ἔσχον δύναμιν ἐπὶ τῆς τοῦ θεοῦ προστάξεως, ἀλλὰ καὶ P93
συνέσεως τὰ ὀστᾶ ἐνεπλήσθη καὶ γνώσεως οὐ τῆς τυχούσης. οὐ γὰρ 3
τὰ πρὸς τοὺς πόδας ὀστέα ἐγγὺς τῶν μερῶν τῆς κεφαλῆς κατὰ
λήθην ἐβάδιζεν οὐδὲ οἱ τοῦ τραχήλου σπόνδυλοι περὶ τὰς τῶν ἀστρα-
γάλων ἁρμονίας πλανώμενοι τὸν τόπον ἐζήτουν, ἀλλ᾽ ἕκαστον τῶν
ὀστέων καὶ ἐκινήθη καὶ ἐβάδιζε κατὰ σύνεσιν καὶ τῇ αὐτοῦ ἁρμονίᾳ
προσετίθετο. εἰ γοῦν θέλει ὁ θεός, δύναται καὶ σῶμα ἄνευ ψυχῆς 4
ἐγεῖραι. ἐν τούτῳ γὰρ τὸ δυνατὸν αὐτοῦ ἔδειξεν, ἐν τῷ τὸ παρὰ τοῖς
ἀνθρώποις ἀπηλπισμένον ἐκεῖνο πρῶτον ⟨ποιῆσαι⟩ ἀναβιοῦν διὰ τοῦ
τῷ Ἰεζεκιὴλ προστεταχέναι. καὶ οὐκ εἶπεν· εἰπέ, υἱὲ ἀνθρώπου, πρῶτον 5
ἐλθεῖν τὸ πνεῦμα, ἀλλὰ μετὰ τὸ ἐξευμαρίσαι τὸ δυσχερὲς διὰ τὴν
πίστιν, φημὶ δὲ τὸ τὰ σώματα συναχθῆναι, τότε προσέταξε τὰς
ψυχὰς εἰσελθεῖν εἰς αὐτὰ τὰ σώματα· »καὶ ἀνέστη δέ« φησί »πολλὴ
συναγωγή«. δύνασθαι τοίνυν τὸν θεὸν ποιῆσαι ἔφην καὶ σῶμα 6
δίχα ψυχῆς ἀναβιοῦν, καθὰ προδέδεικται, ἀλλ᾽ οὐ δύναται κριθῆναι
καθ᾽ ἑαυτὸ τὸ σῶμα. ἔχει γὰρ δικαίαν ἀπολογίαν πρὸς τὴν τοῦ
θεοῦ κρίσιν. φάσκει γὰρ καὶ αὐτὸ λέγον· ἐκ τῆς ψυχῆς ἐκείνης ἦν 7
ἡ ἁμαρτία, οὐκ ἤμην αἴτιον ἐγώ. ἐξότου γὰρ ἐλύθην καὶ ἐκείνη ἀπ᾽
ἐμοῦ ἀπέστη, μὴ ἐμοίχευσα μὴ ἐπόρνευσα μὴ κέκλοφα μὴ εἰδωλο-
λάτρησα μή τι τῶν τοιούτων ἀμπλακημάτων εἰργασάμην; καὶ ἔσται
κατὰ τὸν τῶν φιλονείκων λόγον ἄπρακτος ἡ τοῦ θεοῦ κρίσις.
διὰ τοῦτο ὡς ἦν τὸ σῶμα καὶ ἡ ψυχὴ σύνθετος εἷς ἄνθρωπος ἐκ θεοῦ 8
γεγενημένος, αὖθις ὁ δίκαιος κριτὴς τὸ σῶμα ἐγείρει καὶ τὴν ψυχὴν | D191

1 vgl. Ezech. 37, 4. 7 — **16 f** Ezech. 37, 19f

L J Sa Pa

2 *συναχθῆναι* < J **4** *τῶν ὀστέων ξηρῶν ὄντων* Sa Pa | *τῶν* < J **5** *ἔχων* J | *προστάξεως* Sa Pa] *πράξεως* L J **7** *τῶν μερῶν* < L J **8** *σφόνδυλοι* Sa Pa **9** *πλανωμένους* L **10** *καὶ ἐκινήθη*] *συνεκινήθη* Sa Pa | *ἐβάδισε* L | *κατὰ σύνεσιν*] *καὶ τὴν ἑαυτοῦ σύνθεσιν ἐπέγνω* Sa Pa | *ἑαυτοῦ* Sa Pa **11** *οὖν* Sa Pa | *θέλοι* L | *ὁ* < L | *σώματα* L J **12** *τὸ*[2] < Sa Pa **13** *⟨ποιῆσαι⟩* * | *διὰ τοῦ* Sa Pa] *διὰ τὸ* L J **14** *τῷ* < Sa Pa | *εἰπέ* < Sa Pa **15** *ἐξευμαρῆσαι* L J **16** *τὸ* < Sa Pa | *συναφθῆναι* L J **17** *δέ* < L J **17 f** *συναγωγὴ πολλὴ* Sa Pa **18** *τὸν θεὸν* hineingeflickt L **19** *ἀναβιῶναι* Sa Pa **22** *ἐξότε* Sa Pa | *ἐλύθην καὶ* < L J | *ἐλύθη* Sa Pa rup. **24** *τοιούτων*] *ὄντων* Sa Pa c **25** *τὸν* < L **26** *σύνθετον*(!) hinter *σῶμα* Sa Pa

αὐτοῦ ἐν αὐτῷ δίδωσι. καὶ οὕτως δικαία γενήσεται ἡ τοῦ θεοῦ κρίσις, ἀμφοτέρων κοινωνούντων ἢ τῆς δι' ἁμαρτίας τιμωρίας ἢ τῆς δι' ἀρετὴν † θεοσεβείας καὶ τῆς μελλούσης ἀποδίδοσθαι τοῖς ἁγίοις μισθαποδοσίας.

89. Ταῦτα δὲ εἰς παράστασιν τῆς ἀληθείας τῆς ἡμῶν ἐλπίδος **89,1** ἱκανῶς ἔχειν νομίζοντες ὀλίγα ἀντὶ πολλῶν παρεθέμεθα. διὰ δὲ τοὺς λέγοντας ἕτερον σῶμα ἀντὶ τοῦ πίπτοντος ἐγείρεσθαι, πάλιν τῷ καμάτῳ προστιθέμεθα, ὠφελῆσαι τοὺς βουλομένους συνιέναι καὶ τὴν αὐτῶν ζωὴν ἀπολέσαι μὴ πειρωμένους βουλόμενοι. γένοιτο γὰρ κάμνειν **2** ἡμᾶς τοὺς ἐλαχίστους καὶ μη|δαμινοὺς καὶ ἑαυτοὺς καὶ πάντας ὠφε- P94 λεῖσθαι καὶ μὴ ἀρνεῖσθαι ἀνάστασιν τῆς ἡμετέρας σαρκός, ἐν ᾗπερ πᾶς ὁ θησαυρὸς καὶ κρηπὶς παντὸς σώφρονος λογισμοῦ καὶ πάσης ἀγαθοεργίας ἐλπὶς διάκειται κατὰ τὸ εἰρημένον »ἔχοντες τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι« καὶ τὰ ἑξῆς. ἐγκρατευόμεθα γὰρ οἱ **3** ἀσθενεῖς, ἁγνεύομεν οἱ ταπεινοί, ἐλεημοσύνας ἐπιποθοῦμεν ποιεῖν οἱ ἀδύνατοι διὰ τὴν τῶν προσδοκωμένων ἀπόληψιν, τῆς τῶν νεκρῶν ἀναστάσεως· καὶ οὕτως ὁ κανὼν τεθεμελίωται πίστεως καὶ ἐλπίδος **4** θεοῦ ἀγάπης καὶ μαρτυρίου ὑπὲρ ὀνόματος θεοῦ ἐν διωγμοῖς βασάνων καὶ ἄλλων ἀπανθρώπων κολάσεων ἐν τοῖς μὴ ἀρνουμένοις ἀνάστασιν τῆς ἡμῶν σαρκός, ἀλλὰ πιστεύουσιν ὅτι αὐτὸ τὸ σπειρόμενον ἐν τῇ γῇ ἐγερθήσεται. δύο γὰρ σαφεῖς καὶ ἀληθεῖς μαρτυρίας ἔδωκαν **5** ἡμῖν αἱ θεῖαι γραφαί, δι' ὧν δυνάμεθα τὴν τῆς ἡμῶν ἀναστάσεως ἐλπίδα γνῶναι καὶ μὴ σφαλῆναι μύθοις κενοδόξων ἀνθρώπων ἀπατηθέντων καὶ τῷ βίῳ ἀπάτην γραψάντων. ἵνα οὖν μὴ πολλαῖς μαρτυρίαις χρήσωμαι (οὐ γάρ εἰσιν ὀλίγαι ἐν καινῇ τε καὶ παλαιᾷ περὶ τῆς ἡμῶν ἐλπίδος καὶ ἀναστάσεως) συντόμως ἐρῶ τοῦτο·

13 II Kor. 4, 7 — **20f** vgl. I Kor. 15, 42

L J Sa Pa

2 *τῇ . . τιμωρίᾳ* Sa Pa **2f** *τῇ . . . μισθαποδοσίᾳ* Sa Pa **3** *† θεοσεβείας*] *θεοπτίας*? * **5** *τῆς*[1] < Sa Pa **6** *ἀντὶ*] *ἀπὸ* Sa Pa **7** *ἀντὶ* + *αὐτοῦ* Sa Pa^{c} | *πίπτοντος* + *ὑπ' αὐτοῦ* Sa Pa **8** *προστιθέαμεν* Sa Pa | *βουλομένους* < Sa Pa **9** *αὐτῶν* *] *αὐτὴν* L J Sa Pa **9f** *ἡμᾶς γὰρ γένοιτο* Sa Pa **10** *οὐδαμινοὺς* J | *καὶ ἑαυτοὺς* < L J **12** *παντὸς* < Sa Pa **14** *ὀστρακίνης σώμασι* J **15** *ἁγνεύομεν οἱ ταπεινοὶ*] *ἁγνευόμενοι* L J | *ποιεῖν ἐπιποθοῦμεν* L **16** *προσδοκωμένων ἀπόληψιν*] *ἐλπιζομένων ἀπόλαυσιν* J **17** *κανὼν*] *κάμνων* L J **18** vor *θεοῦ ἀγάπης* + *καὶ* Sa Pa; lies *διὰ*? * | *καὶ μαρτυρίου* *] *μαρτυρίου καὶ* Sa Pa *μαρτυρίῳ καὶ* L J **19** *ἀπὸ ἀνθρώπων* Sa Pa **21** *ἐνεργηθήσεται* J | *δύο*] zum Sinn vgl. S. 119, 7ff | *μαρτυρίας* hinter *σαφεῖς* Sa Pa | *δέδωκαν* Sa Pa **24** *ἵν'* J | *μὴ οὖν* Sa Pa **25** *οὐ*] *οὐδὲ* Sa Pa | *ὀλίγα* Sa Pa

90. ὅτι εἰ ἄλλο ἦν τὸ ἐγειρόμενον, καθάπερ τινὲς | φάσκουσιν, 90, 1
D192
οὐκ ἂν ὁ ἀπόστολος διεβεβαιοῦτο λέγων »δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο
ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν ἐνδύσασθαι ἀθανασίαν«. ἐπειδὴ 2
δὲ δεῖ καὶ περὶ δόξης τῶν ἁγίων, ὡς μέλλουσι φαιδρύνεσθαί τε καὶ
ἀλλοιοῦσθαι ἐν δόξῃ μετὰ τὴν ἀνάστασιν (καθάπερ λέγει »ἐγείρεται
ἐν δόξῃ«), ἑδραιωθῆναι ἡμᾶς ἐν τῇ ἐλπίδι, φησὶν ἡ ἁγία γραφή »ἄφρων,
σὺ ὃ σπείρεις οὐ ζωογονεῖται, ἐὰν μὴ ἀποθάνῃ· καὶ οὐκ αὐτὸ τὸ
γεννησόμενον σῶμα σπείρεις, ἀλλ᾽ εἰ τύχοι κόκκον σίτου ἢ τινος τῶν
ἄλλων σπερμάτων καὶ ὁ θεὸς δίδωσιν αὐτῷ σῶμα ὡς ἠθέλησε«.
τοῦτο εἰς δόξαν τῶν ἐγειρομένων ἐν φαιδρότητι εἶπεν· ἵνα δὲ δείξῃ 3
αὐτὸν τὸν κόκκον προσλαμβάνοντα τὴν δόξαν, δι᾽ ἑαυτοῦ εἶπεν ἐν
τῷ εὐαγγελίῳ ὁ καὶ »ἐν Παύλῳ λαλήσας« περὶ ἀναστάσεως· »ἐὰν μὴ
πεσὼν ὁ κόκκος τοῦ σίτου εἰς τὴν γῆν ἀποθάνῃ«, φησί, »μόνος μένει·
ἐὰν δὲ ἀποθάνῃ, πολλοὺς κόκκους φέρει«. ἆρα γοῦν ὁ ἀπόστολος 4
κόκκον ἔφησε καὶ ὁ σωτὴρ τὸν αὐτὸν κόκκον τοῦ σώματος δι᾽ ἑαυτοῦ
ἀπέδειξε. τί οὖν ἐροῦμεν; οὐκ αὐτὸ τὸ σπα|ρὲν ἴδιον αὐτοῦ σῶμα P95
τουτέστιν ὁ κόκκος ἀνέστη; ἢ ἕτερον ἦν τὸ ἐξ αὐτοῦ μετὰ τὴν τριή-
μερον ἀναστὰν ἐκ τοῦ μνημείου; ὡς οἱ ἄγγελοι λέγουσιν· »ἀνέστη, 5
οὐκ ἔστιν ὧδε« καὶ ὡς φησι τῇ Μαρίᾳ »μή μου ἅπτου· οὔπω γὰρ
ἀναβέβηκα πρὸς τὸν πατέρα μου« καὶ ὡς δείκνυσι τὰς χεῖρας καὶ τὴν
πλευρὰν τῷ Θωμᾷ λέγων »μὴ γίνου ἄπιστος ἀλλὰ πιστός«. ἀπίστων 6
γάρ ἐστι τὸ εἰπεῖν ὅλως οὐκ ἀνέστη, [ἢ] καὶ κακοπίστων ἐστὶ τὸ
εἰπεῖν, οὐκ αὐτὸ τὸ ὂν καὶ κοιμηθὲν ἀνέστη, πιστῶν δέ ἐστι τὸ εἰπεῖν

2 I Kor. 15, 53 — **5** I Kor. 15, 43 — **6** I Kor. 15, 36—38 — **12** II Kor. 13, 3 — **12f** Joh. 12, 24 — **18** Mark. 16, 6 — **19** Joh. 20, 17 — **21** Joh. 20, 27

L J Sa Pa **11**—S. **113**, **6** Niceph. *Antirreth.* bei Pitra Spicileg. Solesm. I 356, 16 ff
Lemma: *τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς βίβλου* (sc. *τοῦ Ἀγκυρωτοῦ*) *τοῦ κατὰ Ὠριγένους λόγου*

1 *ὅτι* < J **2** *ὁ ἀπόστολος* < L Sa Pa | *διεβεβαιοῦτο*] *ἐβεβαίου τοῦτο* Sa Pa | *γὰρ* < Sa Pa **3** *καὶ τὸ — ἀθανασίαν* < L J | *ἐπειδὴ*] *ἐπεὶ* L J **4** *δεῖ* < L J | *τε* < L J **5** *τὴν* < Sa Pa **8** *τύχῃ* L J | *τινὸς* < L J **9** *αὐτῷ δίδωσιν* Sa Pa | *αὐτὸ* L J | vor *σῶμα* + *τὸ* L J | *καθὼς* Sa Pa **10** *τοῦτο* + *δὲ* Sa Pa | *εἶπεν ἐν φαιδρότητι* Sa Pa **11** *αὐτὸν* < L J **13** *πεσὼν* hinter *σίτου* L J | *εἰς τὴν γῆν* < Sa Pa | vor *μόνος* + *αὐτὸς* Sa Pa **14** *πολλοὺς κόκκους* Sa Pa Niceph.] *πολὺν καρκὸν* L J | *ὁ ἀπόστολος*] *ὁ Παῦλος* Niceph. **15** *δι᾽ αὐτοῦ* L J **17** *τὴν* < L J **18** *μνήματος* Sa Pa **19** *μαριὰμ* Sa Pa **21f** *ἀλλὰ πιστός· ἀπίστων* (*ἀπιστεῖν* Sa Pa) *γάρ* Sa Pa Niceph.] *ἀλλ᾽ ἀπίστων* L J **22** [ἢ] * | *καὶ* < L **22** *τὸ*[2] < Niceph. **23** *ὂν καὶ* Niceph.] *ὄν,* < *καὶ* Sa Pa *ὂν καὶ* < L J | *ἐστι* < Sa Pa

ὅτι αὐτὸ τὸ σῶμα ἀνέστη καὶ ἀπὸ τοῦ αὐτοῦ σώματος οὗ ἤγειρε τὸ ἡμῶν εἰς ἐλπίδα ἀληθείας κατέστη.

91. Εἰς τοῦτο γὰρ καὶ τοὺς τύπους εἴασε τῶν ἥλων, μὴ ἀπα- **91, 1**
λείψας αὐτοὺς μηδὲ τὸν τύπον τῆς λόγχης, καίτοι γε εἰσελθὼν θυρῶν κεκλεισμένων. τὸ γὰρ σαρκικὸν αὐτοῦ πνευματικὸν ἀνέστη, ἀλλ' οὐκ ἄλλο | παρὰ τὸ ὄν, ἀλλ' αὐτὸ τὸ ὄν, εἰς θεότητα συνενωθέν, εἰς D193
λεπτότητα πνεύματος κοσμηθέν. εἰ μὴ γὰρ ἦν λεπτότης πνεύματος, **2**
ποία τις ὀπὴ ἐδέχετο σῶμα ὀγκηρόν; ἀλλ' ἵνα δείξῃ ὅτι αὐτὸ τὸ φθαρτὸν ἡμῶν ἐνδύεται ἀφθαρσίαν ἐν ἀληθείᾳ (εἰ γὰρ καὶ θνητόν ἐστιν, ἀθανασίαν ἐνδύεται), εἰσῆλθε μὲν θυρῶν κεκλεισμένων, ἵνα δείξῃ τὸ παχυμερὲς λεπτομερὲς καὶ τὸ θνητὸν ἀθάνατον καὶ τὸ φθαρτὸν ἄφθαρτον· ἵνα δὲ πάντας ἐλέγξῃ τοὺς ἀπιστοῦντας εἰς **3**
τὴν ἡμῶν σωτηρίαν, φημὶ δὲ τὴν ἀνάστασιν, ὁ εἰς λεπτότητα μεταβάλλων τὸ σῶμα καὶ εἰς πνεῦμα συγκεράσας τὴν ⟨σάρκα μετὰ τὴν⟩ ἀνάστασιν οὐκ ἀπήλειψε τὰς οὐλὰς τῶν ἥλων οὐδὲ τὸν τύπον τῆς λόγχης, ἀλλ' ἔδειξεν αὐτὸ τὸ ἐπὶ τοῦ σταυροῦ πεπονθὸς ὅτι οὐκ **4**
ἄλλο ἦν τὸ ἀναστὰν οὐδὲ ἀπ' αὐτοῦ ἕτερον φυέν, ἀλλ' αὐτὸ τὸ πεπονθὸς ἀπαθὲς καὶ αὐτὸς ὁ πεσὼν κόκκος ἀναστάς, ἀναστὰς δὲ ἄφθαρτος. καὶ ἵνα πάλιν μὴ νομίσωμεν μέρος τι ἐγηγέρθαι ἐξ **5**
αὐτοῦ, * αὐτὸ μὲν ὅλον οὐκ εἶδε διαφθοράν, (λέγει γάρ »οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν«), αὐτὸ δὲ ὅλον ἀνέστη, λέγει [γάρ] »ἀνέστη, οὐκ ἔστιν ὧδε«. εἰ δὲ ἠγέρθη καὶ οὐκ ἔστιν ὧδε, **6**
ἀληθινῶς ἀνέστη· καὶ οὐ σφάλλονται αἱ γραφαί, οὖσαι ἡμετέρα ζωή. καὶ ἵνα μὴ εὕρωσιν οἱ ἠπατημένοι πρόφασιν, ὀστέα καὶ σάρκα ἔδειξε τῷ Θωμᾷ καὶ τοῖς μαθηταῖς αὐτοῦ ἔλεγεν »ἴδετέ με, ὅτι ἐγώ εἰμι. πνεῦμα γὰρ ὀστέα καὶ σάρκα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα«. | P96

3f vgl. Joh. 20, 25. 26. 27 — **9f** vgl. I Kor. 15, 53 — **20** Psal. 15, 10 Act. 2, 27 — **22** Mark. 16, 6 — **24** vgl. Joh. 20, 27 — **25** Luk. 24, 39

L J Sa Pa (bis Z. 4 *λόγχης*) Niceph.

1f *οὐ ἤγειρε τὸ ἡμῶν* Sa Pa Niceph.] *ἤγειρετο ἡμῶν ἵνα* L J **2** *κατέστη* Sa Pa Niceph.] *καταστῇ* L J **4** *τύπον* Niceph.] *τόπον* L J Sa Pa **6** *ἀλλ' αὐτὸ τὸ ὄν* Niceph.] < L J | *θεότητα*] *ἑνότητα* Niceph. **8** *τις*] *γῆς* J | *ὀγκυρόν*, von späterer Hand *η* über *υ* gesetzt L *ὀγκηρόν* Niceph.] *μικρὸν* J **9** *ἐν ἀληθείᾳ* Niceph.] < L J | *καὶ* < Niceph. **10** *ἐνδύεται ἀθανασίαν* Niceph. **13f** *μεταβαλὼν*? * **14** *⟨σάρκα μετὰ τὴν⟩* * **16** *τὸ* Niceph.] < L J **19** *νομίσωσι* Niceph. **19f** *ἐξ αὐτοῦ ἐγηγέρθαι* Niceph. **20** * etwa *⟨ἀλλὰ γνῶμεν, ὅτι⟩* * **20f** *λέγει γὰρ οὐ — διαφθοράν* < L J **21** *αὐτὸ δὲ* Niceph.] *ἀλλ' αὐτὸ* L J **22** [*γάρ*] * | *εἰ δὲ — ἔστιν ὧδε* < L J **23** *ἀληθινὸν* L Niceph. **26** *σάρκα καὶ ὀστέα* Niceph. | *καθὼς*] *ὡς* Niceph. | *ὁρᾶτε* Niceph.

92. Ἐὰν δέ τις σοφιζόμενος εἴπῃ· ἀλλὰ τὸ τοῦ σωτῆρος ἡμῶν 92, 1
σῶμα ἐξαίρετον ἦν διὰ τὸ μόνον συνειλῆφθαι ἀπὸ Μαρίας καὶ χωρὶς
σπέρματος ἀνδρός, ἆρα γοῦν καὶ τὸ τοῦ Ἀδὰμ ἄλλο ἦν παρὰ τὸ
ἡμῶν, ὅτι ἀπὸ γῆς μόνον ἐλήφθη χωρὶς σπέρματος ἀνδρός; ἀλλ'
οὐδεὶς ἔχει τοῦτο εἰπεῖν οὐδὲ ἀποδεῖξαι. ἐὰν δέ τις πάλιν σοφι- 2
ζόμενος εἴπῃ· τὸ τοῦ Χριστοῦ μόνον ὅλον ἀνέστη, τὸ δὲ ἡμῶν οὐκ
αὐτὸ ἐγείρεται, ἀλλ' ἀντ' αὐτοῦ ἕτερον, πῶς οὖν λέγει »ἀνέστη
Χριστὸς ἀπαρχὴ τῶν κεκοιμημένων;« ἓν ἐστι καὶ αὐτὸ τὸ σῶμα
* ἀπαρχὴ τῶν ἐγειρομένων. πῶς δὲ ἀπαρχὴ γέγονε Χριστὸς τῶν 3 D194
κεκοιμημένων, μαθέτωσαν καὶ μὴ πάλιν εἰς ἄλλην πλάνην τραπῶσι
καὶ νομίσωσι τὰς ἄλλας γραφὰς ψεύδεσθαι. πρὸ αὐτοῦ γὰρ ἤγειρε 4
τὸν Λάζαρον καὶ τὸν υἱὸν τῆς χήρας τῆς ἐν τῇ Ναΐν καὶ Ἠλίας
ἤγειρε νεκρόν, ἀλλὰ καὶ Ἐλισσαῖος δύο ἤγειρε νεκρούς, ἕνα μὲν ἔτι
περιόντα ἕνα δὲ ταφέντα. ἀλλ' ἐκεῖνοι μὲν ἀναστάντες πάλιν τεθνή- 5
κασι, προσδοκῶσι δὲ τὴν μίαν καὶ καθολικὴν ἀνάστασιν· ὁ δὲ Χριστὸς
»ἀπαρχὴ τῶν κεκοιμημένων«, ὅτι ἀναστὰς »οὐκέτι ἀποθνήσκει, θάνατος
αὐτοῦ οὐκέτι κυριεύει« κατὰ τὸ γεγραμμένον. ἅπαξ γὰρ ἀπέθανεν, 6
ὑπὲρ ἡμῶν ὑπομείνας τὸ πάθος διὰ τὰ ἡμέτερα πάθη· ἅπαξ ἐγεύ-
σατο θανάτου, »θανάτου δὲ σταυρικοῦ«, ἑκὼν δι' ἡμᾶς ὁ Λόγος
ἐλθὼν εἰς θάνατον, ἵνα θανάτῳ θάνατον θανατώσῃ· ὁ Λόγος σὰρξ 7
γενόμενος, οὐ πάσχων ἐν τῇ θεότητι, συμπάσχων δὲ μετὰ τῆς ἀνθρω-
πότητος ⟨ἐν ἀπαθείᾳ⟩, πάθος αὐτῷ λογιζόμενον αὐτοῦ [δὲ] μένοντος
⟨ἐν ἀπαθείᾳ· θάνατος αὐτῷ λογιζόμενος αὐτοῦ μένοντος⟩ ἐν
ἀθανασίᾳ, μᾶλλον δὲ ὅλος ὢν ἀθανασία. αὐτὸς γὰρ εἶπεν »ἐγώ 8
εἰμι ἡ ζωή«. * οὔτε διὰ σαρκὸς ἡμῖν ἡ ἐλπίς. »ἐπικατάρατος,

7 I Kor. 15, 20 — **9ff** vgl. Panarion h. 64, 65, 1ff — **16** Röm. 6, 9 — **17f** vgl. Röm. 6, 10 Hebr. 9, 26ff — **19** vgl. Phil. 2, 8 — **20f** vgl. Joh. 1, 14 — **24** Joh. 11, 25 — **25** Jerem. 17, 5f

L J Niceph. (bis Z. 5 ἀποδεῖξαι) **18**—S. **115, 11** Joh. Scot. *de divisione naturae* IV; p. 191 Gale 1681

2 ἀπὸ Μαρίας συνειλῆφθαι μόνον Niceph. **3f** ἆρα γοῦν — ἀνδρός < J **3** Ἀδὰμ < L **9** * ⟨καὶ διὰ τοῦτο⟩ * **20** θανάτῳ < Joh. Scot. **22** ⟨ἐν ἀπαθείᾳ⟩ * *in impassibilitate* Joh. Scot.] < L J | [δὲ] * < Joh. Scot. | μενόντων L **23** ⟨ἐν ἀπαθείᾳ· θάνατος αὐτῷ λογιζόμενος αὐτοῦ μένοντος⟩ *, nach Joh. Scot. *in impassibilitate: mors ei reputata est eo manente* **24** μᾶλλον — ἀθανασία < J Joh. Scot. | ὅλος *] ὅλως L **25** * ergänze ⟨ἡ δὲ ζωὴ οὐδέποτε ἀποθνήσκει, ἀλλ' ἦλθε ζωοποιῆσαι, ὑπὲρ ἡμῶν θάνατον ὑπομένων· οὐ γὰρ δι' ἀνθρώπου ἡμῖν ἡ ζωή⟩ *, nach Joh. Scot. *vita autem nunquam moritur, sed venit vivificare pro nobis mortem accipiens, non enim per hominem erat nobis vita*

γάρ φησιν, ὁ ἐλπίζων ἐπ᾽ ἄνθρωπον. καὶ ἔσται ὡς ἡ ἀγριομυρίκη.«

93. Τί οὖν ἐροῦμεν; οὐκ ἄνθρωπος ὁ Χριστός; ἐκ τῶν προ- 93, 1
λελεγμένων παντί τῳ δῆλόν ἐστιν ὅτι ἀναμφιβόλως ὁμολογοῦμεν
τὸν κύριον θεὸν Λόγον ἄνθρωπον γεγόνοτα οὐ δοκήσει, ἀλλ᾽ ἀληθείᾳ.
ἀλλ᾽ οὐκ ἄνθρωπος ἐλθὼν ἐν προκοπῇ θεότητος. οὐδὲ γὰρ ἐπ᾽ ἀν- 2
θρώπῳ ἡμῖν ἡ ἐλπὶς τῆς σωτηρίας· οὐδεὶς γὰρ πάντων τῶν ἀπὸ
Ἀδὰμ ἀνθρώπων ἠδυνήθη ἐργάσασθαι τὴν σωτηρίαν, ἀλλὰ θεὸς Λόγος
ἄνθρωπος γεγονώς, ἵνα μὴ ἡ ἐλπὶς ἡμῶν ᾖ ἐπ᾽ ἄνθρωπον, ἀλλ᾽ ἐπὶ
θεὸν ζῶντα καὶ ἀληθινόν, γενόμενον ἄνθρωπον. | »πᾶς γὰρ ἱερεὺς 3 P97
ἀπὸ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀνθρώπων καθίσταται« κατὰ τὸ
γεγραμμένον. ὅθεν ἀπὸ τῆς ἡμῶν σαρκὸς ἀνέλαβεν ὁ κύριος ἐλθὼν
τὴν σάρκα καὶ ἄνθρωπος γέγονεν ἡμῖν ὅμοιος ὁ θεὸς Λόγος, ἵνα ἐν
τῇ θεότητι δῴη | ἡμῖν τὴν σωτηρίαν καὶ ἐν τῇ αὐτοῦ ἀνθρωπότητι D195
πάθη ὑπὲρ ἡμῶν τῶν ἀνθρώπων, πάθος διὰ τοῦ πάθους λύσας καὶ
θάνατον διὰ θανάτου τοῦ ἰδίου θανατώσας. ἐλογίσθη δὲ τὸ πάθος 4
εἰς τὴν θεότητα, καίτοι γε τῆς θεότητος ἀπαθοῦς οὔσης, ⟨λογιζομένου
δὲ τοῦ πάθους τῇ θεότητι⟩, ὅτι οὕτως εὐδόκησεν ἐλθὼν ὁ ἅγιος καὶ
ἀπαθὴς θεὸς Λόγος. ἔστι δὲ τὸ ὑπόδειγμα τοιόνδε τι· ὡς ἐάν τις 5
ἱμάτιον ⟨ᾖ⟩ ἐνδεδυμένος, ἐν δὲ τῷ ἱματίῳ αἷμα ῥαντισθὲν μολύνῃ
τὸ ἱμάτιον, τὸ δὲ * σῶμα οὐκ ἔφθασε τοῦ ἐνδεδυμένου, λογίζεται δὲ
ὁ σπίλος ὁ ἐκ τοῦ αἵματος τῷ ἐνδεδυμένῳ τὸ ἱμάτιον, οὕτως ἐν τῇ 6
σαρκὶ πέπονθεν ὁ Χριστός, ἐν αὐτῷ φημι τῷ κυριακῷ ἀνθρώπῳ,
ὃν ⟨εἰς ἑαυτὸν⟩ ἀνεπλάσατο ἐλθὼν ἀπ᾽ οὐρανῶν αὐτὸς ὁ ἅγιος θεὸς
Λόγος· ὥς φησιν ὁ ἅγιος Πέτρος »θανατωθεὶς σαρκί, ζωοποιηθεὶς
δὲ πνεύματι« καὶ πάλιν »Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί,
καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε«. καθὼς τὸ αἷμα ἐν ἱματίῳ 7

10 Hebr. 5, 1 — **19ff** vgl. oben c. 36; S. 46, 16ff u. Panarion h. 77, 33 — **25** I Petr. 3, 18 — **26** I Petr. 4, 1

L J Joh. Scot.

1 ἔσται + *qui habet spem in hominem* Joh. Scot. | ἡ] ἐν L J **5** κύριον < L **6** ἐλθὼν] *venit* Joh. Scot. **7** ἡμῖν * *nobis* Joh. Scot.] ἡμῶν L J **13** ὅμοιος] ὁ μόνος L < Joh. Scot. **17f** ⟨λογιζομένου δὲ τοῦ πάθους τῇ θεότητι⟩ *, nach Joh. Scot. *reputata autem passione deitati* **20** ⟨ᾖ⟩ * **21** * ⟨αἷμα τὸ γενόμενον ἐν ἱματίῳ τὸ⟩ *, nach Joh. Scot. *sanguis in vestimentum veniens* **23** φημι < Joh. Scot. **24** ⟨εἰς ἑαυτὸν⟩ * (gewöhnlicher Ausdruck bei Epiph.), nach Joh. Scot. *in se ipsum* | αὐτὸς hinter ὃν L J **27** ἡμεῖς L J Joh. Scot. | καθὼς *, *sicut veluti* Joh. Scot.] οὕτως L J

λογίζεται τῷ φοροῦντι, ἐλογίσθη αὐτῷ τὸ πάθος τῆς σαρκὸς εἰς θεότητα, μηδὲν αὐτῆς παθούσης, ἵνα μὴ εἰς ἄνθρωπον ἔχῃ ὁ κόσμος τὴν ἐλπίδα, ἀλλ' ἐν τῷ κυριακῷ ἀνθρώπῳ, τῆς θεότητος ἀναδεχο- 8
μένης λογισθῆναι εἰς αὐτὴν τὸ πάθος, ἵνα γένηται ὑπὲρ κόσμου ἡ
5 ἀπὸ θεότητος ἀπαθοῦς σωτηρία, ἵνα τὸ ἐν σαρκὶ γενόμενον πάθος εἰς τὴν θεότητα λογισθῇ, καίτοι γε μηδὲν παθούσης αὐτῆς, ἵνα πληρωθῇ ἡ λέγουσα γραφή »εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν« καὶ τὰ ἑξῆς.

94. Ἐσταυρώθη οὖν, ἐσταυρώθη ὁ κύριος καὶ προσκυνοῦμεν τὸν 94, 1
10 ἐσταυρωμένον, τὸν ταφέντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ καὶ εἰς οὐρανοὺς ἀνελθόντα. »ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ« κατὰ τὸ γεγραμμένον· »ἐκ μέρους γὰρ γινώσκομεν καὶ ἐκ μέ- 2
ρους προφητεύομεν«, ὡς ῥανίδα ἀπὸ πελάγους ἀρυόμενοι τῆς τοῦ θεοῦ γνώσεως καὶ καταλαμβάνοντες τῆς | τοιαύτης οἰκονομίας ὑπό- D196
15 δειγμα, τῆς ἡμῶν ἐλπίδος τὴν χάριν εὐδοκίᾳ πατρὸς θελήσει υἱοῦ σὺν θελήσει ἁγίου πνεύματος, * τῆς αὐτῆς θεοῦ οἰκονομίας. P98
εἶχον δὲ πᾶσαι αἱ γραφαὶ σποράδην τὸ κήρυγμα τῆς ἀναστάσεως, 3
ἐτηρεῖτο δὲ τὸ τέλειον τῇ αὐτοῦ τοῦ ἐνυποστάτου Λόγου παρουσίᾳ. »πλήρωμα γὰρ νόμου Χριστός« κατὰ τὸ γεγραμμένον. ποῦ γὰρ οὐκ ἔλεγε 4
20 τὸ θεῖον γράμμα περὶ ἀναστάσεως; πρῶτον τὸ τοῦ Ἄβελ αἷμα κηρύττει· μετὰ γὰρ τὸ ἀποθανεῖν »ἔτι λαλεῖ«, ⟨ὡς⟩ φησιν ἡ γραφή. »Ἐνὼχ μετετέθη καὶ οὐχ ηὑρίσκετο καὶ οὐκ εἶδε θάνατον· εὐηρέστησε γὰρ τῷ θεῷ«. Νῶε κιβωτὸν κατεσκεύασεν ἐκ θεοῦ προστάγματος, ἑαυτῷ παλιγγενεσίαν τῷ οἰκείῳ ἐργαζόμενος οἴκῳ. Ἀβραὰμ γηραλέος λαμ- 5
25 βάνει παῖδα »νενεκρωμένου ἤδη τοῦ σώματος« καὶ ἐκ νεκρῶν ὁ θεὸς τὴν ἐλπίδα κεχάρισται, νεκρωθείσης μάλιστα »τῆς μήτρας Σάρρας·« καὶ τὸ »πεπαλαιωμένον καὶ ἐγγὺς ἀφανισμοῦ γεγονός«, τῆς κατ' ἐθισμὸν γυναικὸς ἀκολουθίας ἡ ξηρανθεῖσα πηγή, αὖθις δύναμιν λαμβάνει εἰς καταβολὴν σπέρματος καὶ ἡ γηραλέα ⟨ὡς⟩ νεωτέρα
30 κυΐσκει. καὶ Ἰσαὰκ ἀπὸ θανάτου ζῶν τῷ πατρὶ παρεδόθη· ὁ γὰρ 6

7 I Kor. 2, 8 — **11** Röm. 11, 33 — **12** I Kor. 13, 9 — **17**—S. **118, 21** vgl. Panarion h. 9, 3 — **19** Röm. 10, 4 — **21** Hebr. 11, 4 — **21f** Hebr. 11, 5 (Gen. 5, 24) — **23** vgl. Hebr. 11, 7 — **24f** vgl. Hebr. 11, 11 — **25f** Röm. 4, 19 — **27** Hebr. 8, 13 — **30f** vgl. Hebr. 11, 17f

L J Joh. Scot. (bis Z. **11** *ἀνελθόντα*)

1 *λογίζεται* * *deputatur* Joh. Scot.] *λογίζεσθε* L J **2** *αὐτῆς*] *deitate* Joh. Scot. **5** *ἀπαθοῦς* * *impassibili* Joh. Scot.] *ἀπάθεια* L J **6** *παθούσης*] *patiente neque sustinente* Joh. Scot. **14** *καὶ* + ⟨*μόλις*⟩? * **16** * etwa ⟨*τὸ μυστήριον*⟩ * | *αὐτοῦ* J **17** *δὲ*] *γὰρ*? * **21** ⟨*ὡς*⟩ * **24** *παλιγγενεσίας* J | *οἴκῳ*] lies *ἔργῳ*? * **29** ⟨*ὡς*⟩ *

θεὸς ἐκ νεκρῶν τῷ πατρὶ τὸν παῖδα παραδιδοὺς ζῶντα ἀναστάσεως ἐλπίδα ἐκήρυττεν. Ἰακὼβ δείκνυσι τὴν πραγματείαν, μὴ ἐν δευτέρῳ 7
τιθέμενος τὴν τῶν ὀστέων ἐλπίδα· ἐπεμελεῖτο γὰρ τῶν τοιούτων οὐχ ὡς ἀπολλυμένων, ἀλλ' ὡς μελλόντων αὖθις ἀναβιοῦν καὶ ἐνετέλλετο ἀνακομισθῆναι ἐκ τῆς τῶν Αἰγυπτίων χώρας οὐ παρέργως. καὶ ὁ Ἰωσὴφ τοῦτο ἐσήμανε »συνανοίσετέ μου τὰ ὀστᾶ« φάσκων· 8
»ἐπισκοπῇ γὰρ ἐπισκέψεται ὑμᾶς ὁ κύριος«. εἰ μὴ ἐλπὶς ἦν ἀναστάσεως, τίς ὀστέων ἡ ἐπιμέλεια ⟨ἐν τῷ⟩ περὶ τῶν φθειρομένων ὀστέων ἐντέλλεσθαι τοὺς δικαίους; πρώτη φωνὴ τῷ Μωυσῇ ἡ τοῦ θεοῦ 9
μαρτυρία· »ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ«, τῶν ἐν κόσμῳ μὲν κοιμωμένων παρ' | ἐμοὶ δὲ ζώντων. ἓν πνεῦμα D197
καὶ τὸ αὐτὸ τὸ λαλῆσαν ἐν νόμῳ καὶ ἐν εὐαγγελίῳ διδάσκον. τοῦτο γὰρ καὶ Σαδδουκαίοις ὁ σωτὴρ ἐσήμαινεν »ὁ λαλῶν ἐν τοῖς προφήταις ⟨ἰδοὺ⟩ πάρειμι«.

95. Ὑποδείξῃ δὲ ⟨καὶ⟩ ἡ ῥάβδος τοῦ Ἀαρὼν ξηρὰ οὖσα ⟨διὰ⟩ πολλῶν 95, 1
τάχα ἐτῶν καὶ ἐν σκηνῇ ἀφ' ἑσπέρας καὶ ἄχρι τῆς ἕω καταλειφθεῖσα. αὐτοῖς γὰρ μετὰ καμάτων τὰ ζῶντα δένδρα διὰ δεκαδύο | μηνῶν P99
κατὰ περίοδον ἐνιαυτοῦ πληρουμένου καρποὺς γεννᾷ ἡλίου τε θάλποντος ὑετῶν ἀρδευόντων δρόσων πεταννυουσῶν νυκτός τε καὶ ἡμέρας τρεφουσῶν ὑπὸ μίαν ⟨δὲ⟩ νύκτα τὸ δυσχερὲς εὐχερὲς ὁ θεὸς 2
εἰργάσατο. ἐβλάστησε γὰρ ἡ ξηρὰ ῥάβδος καὶ φύλλα ἐκβάλλει καὶ καρποὺς πεπείρους. τὰ ὅμοια γὰρ ὑπέδειξεν ὁ θεὸς τῆς μελλούσης ὑπ' αὐτοῦ ἔσεσθαι ἀναστάσεως. συλλαμβανομένων δὲ τῶν παίδων 3
κατὰ τὸν σεμνὸν γάμον, ὃν ὁ κύριος ὑπέδειξε, πρῶτον καταβάλλεται σπέρμα τῆς ἀκολουθίας, ὡς κατέδειξεν ὁ κύριος κατὰ τὰς γεννητικὰς μήτρας· χρόνων δὲ ἀνακυλιομένων τὸ καταβληθὲν εἰς τῇ γαστρὶ τελεσφορεῖται διὰ χρόνου ἐναμηνιαίου· φημὶ δὲ ὑπὸ ἐννέα μηνῶν τὸν ἀριθμὸν τελεσιουργεῖται τὸ κυϊσκόμενον καὶ γεννᾶται. ἐν δὲ τῇ 4
ἀναστάσει οὐχ οὕτως· ὑπὸ θῆξιν γὰρ τὸ ἔργον »σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι«. ὡς ἔδειξεν ὁ κύριος ἐν τῇ σκηνῇ

2 vgl. Gen. 49, 29ff — Gen. 50, 25 Exod. 13, 19 — 10 Exod. 3, 6 — 13 Agraphon, vgl. Resch² S. 207 — 15 vgl. Num. 17, 1ff — 19 I Kor. 15, 52

L J

1f ἐκ νεκρῶν u. ἀναστάσεως ἐλπίδα *] ἐξ ἀναστάσεως νεκρῶν u. bloßes ἐλπίδα L J 2 Ἰακὼβ Klosterm.] Ἰωσὴφ L J 8 ⟨ἐν τῷ⟩ * 9 διδάσκων J 13 ἐν < L 14 ⟨ἰδοὺ⟩ *, nach den sonstigen Anführungen | πάρειμι J 15 ὑποδείξει Jül. | καὶ⟩ * | ⟨διὰ⟩ * 17 αὐτοῖς = von sich aus 19 πεταννυουσῶν L πεταννουσῶν J 22 δὲ⟩ * χρόνων . . . ἀνακυλιομένων *] χρόνῳ . . . ἀνακυλιόμενον L J 27f διὰ χρόνου — τελεσιουργεῖται a. R. nachgetragen von erster Hand L

τοῦ μαρτυρίου ὅτι τὰ κάρυα τὰ ἐν τοῖς ζῶσι δένδροις διὰ δεκαδύο μηνῶν ἐγκυμονούμενα ἐν τῷ ξηρῷ ξύλῳ πυκάζονται καὶ βλαστοὶ γίνονται καὶ ὑπὸ μίαν νύκτα, οὐ μόνον δὲ ἀλλ᾽ ὑπὸ θῆξιν μιᾶς 5
ὥρας ἐτελεσιούργησε τὸ διὰ δεκαδύο μηνῶν ὡς εἴρηται γινόμενον·
καὶ ὡσαύτως τὸ δι᾽ ἐννέα μηνῶν ἐν τῇ κοιλίᾳ γενόμενον βρέφος,
ὃ διὰ πολλοῦ τοῦ χρόνου συναχθὲν τελειοῦται, ἐν [δὲ] τῇ ἀναστάσει
ὑπὸ θῆξιν πληρωθὲν ἀνίσταται.

96. *Πεισάτω τοὺς ἀπίστους ἡ δύναμις τοῦ κυρίου,* | ⟨οὗ⟩ οὐδεὶς **96, 1**
D198
»ἀνθίσταται τῷ βουλήματι«. ἀκουσάτω Μωυσῆς καὶ ἐπιδεικνύτω. »τί
ἐν τῇ χειρί σου;« φησὶν ὁ κύριος· ὁ δὲ εἶπε »ῥάβδος«. ἡ δὲ ῥάβδος
ξυλίνη ἦν αὕτη, ξηρὰ δὲ πάντως. καί φησι »ῥῖψον αὐτὴν ἐπὶ τῆς
γῆς. καὶ ἔρριψε« τὴν ξηρὰν ῥάβδον. καὶ τὸ ξηρὸν ὁ θεὸς ὑγρὸν **2**
ἐπετέλει καὶ οὐ μόνον ὑγρόν, ἀλλὰ καὶ ἔμψυχον, ἀλλὰ καὶ τῇ φύσει
παρηλλαγμένον καὶ τῇ οὐσίᾳ ἑτέρως ἐσχηματισμένον. οὐκ ἦν φάν- **3**
τασμα τὸ ἔργον· ἀλήθεια γὰρ θεοῦ προστάγματι ἐργάζεται καὶ οὐ
φαντασία. ἐν ἅπασι γὰρ διορθουμένην τὴν ἡμῶν διάνοιαν παρέστησε
διὰ Μωυσέως ⟨πρὸς⟩ τὴν ἀλήθειαν. ἔγνω γὰρ ὁ προφήτης ὅτι τὸ **4**
γινόμενον οὐκ ἦν δοκήσει, ἀλλ᾽ ἀληθείᾳ ἐν τῷ ἀποδρᾶσαι· εἰ γὰρ
φαντασίαν ἤδει τὸ γινόμενον, | οὐκ ἀπεδίδρασκεν ἀπὸ προσώπου τοῦ P100
ὄφεως. ἀλλὰ μὴ πάλιν τοῦτο εἰς σκάνδαλον γενήσεται τοῖς φιλο- **5**
νείκοις καὶ εἴπωσιν· ὅτι ἄλλη ἦν ἡ ῥάβδος, »ὁ δὲ θεὸς ἔδωκεν« αὐτῇ
ἄλλοιον »σῶμα, ὡς ἠθέλησε«. καὶ πρῶτον μὲν οὖν μαθέτωσαν ὅτι
οὐκ ἄλλην ἀντὶ ἄλλης ἐψύχωσεν, ἀλλ᾽ αὐτὴν ἐκείνην τὴν ξηρὰν **6**
οὖσαν ἐψύχωσεν· ὅτι τοῦτο τὸ δοθὲν τῇ ῥάβδῳ σῶμα καὶ κινούμενον
ὑπ᾽ αὐτοῦ γένος ἢ εἶδος εἰς κρίσιν ὁ θεὸς οὐκ ἐκάλει οὐδὲ ἀντὶ τῆς
ῥάβδου τὸν δράκοντα ἠθέλησε δικάζειν, ἀλλὰ πληροφορίαν μὲν διὰ **7**
τῆς ῥάβδου ἀναστάσεως εἰργάσατο, τὸ δὲ ἴδιον δυνατὸν ὁ θεὸς
ἀπεδείκνυ, ἵνα μή τις ἀπιστήσῃ τῷ δυνατῷ ἐν πᾶσι. καὶ αὐτὸ δὲ
μετὰ πάσης ἀσφαλείας ἐποιήσατο· οὐ γὰρ μέρος τι τῆς ῥάβδου ἤγειρεν,
ἀλλ᾽ ὅλην τὴν ῥάβδον μετέβαλεν ὡς ἠθέλησε.

97. *Καὶ ὅτι μὲν ταῦτα οὕτως ἔχει καὶ οἱ νεκροὶ ἐλπίδα ἔχουσι* **97, 1**
ζωῆς αἰωνίου καὶ »οἱ ἐν μνήμασιν ἀναστήσονται«, *κάλει μοι πάλιν*
μάρτυρα τὸν ἀξιόπιστον Μωυσέα. πλημμελήσαντος γὰρ τοῦ Ῥουβὶμ

9 Röm. 9, 19 — Exod. 4, 2 — **11** Exod. 4, 3 — **14 ff** vgl. oben c. 62, 5; S. 74, 18ff — **18** vgl. Exod. 4, 3 — **21 f** I Kor. 15, 38 — **32** Jes. 26, 19

L J

2 ἐγγυμονουμενα J | ποκάζοντα L | βλαστοὶ Corn.] βλαστὸν L J **3** γίνονται *] γινόμενα L J **5** ὡσαύτως *] ὡς L J **6** [δὲ] * **8** ⟨οὗ⟩ Pet. **11** πάντη J **17** ⟨πρὸς⟩ * **19** φαντασίαν *] φαντασία L J

ἐπαρᾶται αὐτῷ ὁ πατὴρ αὐτοῦ ὁ ἅγιος Ἰακὼβ ὁ πατριάρχης καί | φησι D199
»Ῥουβὶμ πρωτότοκός μου καὶ ἀρχὴ τέκνων μου, ἐξύβρισας ὡς ὕδωρ· μὴ ἐκζέσῃς. ἀνέβης γὰρ εἰς τὴν κοίτην τοῦ πατρός σου καὶ ἀπεκάλυψας φησίν, οὗ ἀνέβης«. ἐν δὲ τῷ Ἑβραϊκῷ ἐλθωθάρ, ὅπερ ἐστὶν 2
ἑρμηνευόμενον μὴ ἀνακάμψῃς ἢ μὴ προστεθείης ἢ πάλιν μὴ περισσεύσῃς, ψιλούμενον δὲ τῇ λέξει μὴ ἐκζέσῃς· οἱ δὲ ἑρμηνευταὶ ἐξέδωκαν οὕτως. καὶ ⟨εἰ⟩ θέλεις μαθεῖν ὅτι ταῦθ' οὕτως ἔχει καὶ θάνατος 3
ἀπὸ πατρὸς ὡρίζετο τούτῳ ἡμαρτηκότι, Μωυσῆς σοι σαφηνίσει. εὐλογῶν γὰρ καὶ αὐτὸς τὰς δώδεκα φυλὰς ἐπὶ τὸν Ῥουβὶμ ἐλθὼν 4
καὶ γνοὺς ὅτι ἱερεὺς Λευί (ἐν χειρὶ γὰρ τῆς ἱερωσύνης ἐλύετο καὶ ἐδεσμεύετο τὰ ἁμαρτήματα), φησί »ζήτω Ῥουβὶμ καὶ μὴ ἀποθάνῃ«. πῶς δὲ ἐδύνατο ζῆν ὁ πρὸ ἑκατὸν εἴκοσι ἓξ ἐτῶν τεθαμμένος; ἀλλ' 5 6
ἐπεὶ ᾔδει καὶ τὴν ἀνάστασιν κατὰ πάντα μέλλουσαν ἔσεσθαι, οἶδε δὲ θάνατον δεύτερον τὸν διὰ καταδίκης ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως,
βουλόμενος αὐτὸν ἀντὶ τῆς μιᾶς τιμωρίας κουφίσαι ἀπὸ τῶν μελλόντων φησί »ζήτω« (ἐν τῇ ἀναστάσει, σημαίνων· | ᾔδει γὰρ ὅτι 7 P101
ζήσονται ἅπαντες) »καὶ μὴ ἀποθάνῃ«, τουτέστι μὴ περιβληθῇ θανάτῳ δευτέρῳ τῷ διὰ καταδίκης καὶ βασάνῳ αἰωνίᾳ. εἰ γὰρ περὶ τῆς 8
ζημίας τῆς ζωῆς αὐτῷ ἔμελεν, ἤρκει εἰπεῖν μόνον »ζήτω Ῥουβείμ«· ἐπειδὴ δὲ περὶ τῶν μελλόντων σημαίνει, λέγει »ζήτω Ῥουβὶμ καὶ μὴ ἀποθάνῃ«.

98. Καὶ πόθεν τις ⟨οὐ⟩ δυνήσεται συλλέξαι τὰς τοσαύτας μαρτυρίας 98, 1
περὶ τῆς ἡμῶν ἐλπίδος καὶ προσδοκίας τῆς ἀναστάσεως, τῆς ἐν ἀληθείᾳ καὶ οὐκ ἐν δοκήσει; λεγέτωσαν γὰρ οἱ κενόδοξοι καὶ φιλονεικοῦντες 2
μάτην, πότερόν ποτε μέρος ἀνίσταται τῶν σωμάτων καὶ πάντων ἀνὰ μέρος ἢ πάλιν τινῶν τὸ ὅλον ἐγείρεται καὶ τινῶν ἀνὰ μέρος ἡ ἀνάστασις, τινῶν δὲ ὅλον τὸ σῶμα. τίς ἡ τοιαύτη προσωποληψία; ἆρα »προσωποληψία παρὰ τῷ θεῷ;« μὴ γένοιτο. ἐρευνήσωμεν ποῦ ἢ | 3 D200
πότε ἤγειραν οἱ ἅγιοι νεκρὸν ἀπὸ μέρους καὶ οὐχὶ ὅλον τὸ σῶμα. ὁ υἱὸς τῆς ἐν Σαραφθίᾳ χήρας ὅλος ἀνέστη καὶ οὐ μέρος κατελείφθη, ὁ υἱὸς τῆς Σουμανίτιδος ὅλος ἀνέστη καὶ οὐδὲν μέλος αὐτοῦ εἴασε

2 Gen. 49, 3f — **11** Deut. 33, 6 — **12** die Angabe über die Zeit von Rubens Tod sonst nicht nachweisbar; Panarion h. 9, 3 nennt Epiph. Ruben nur *ἀπόπαλαι τελευτήσαντα* — **28** Röm. 2, 11 — **30** vgl. I Kön. 17, 17ff — **31** vgl. II Kön. 4, 18ff

L J

2 *ἀρχιτέκνων* L **3** u. **6** *ἐκζήσῃς*? Jül. **4** *ἐλθωθάρ* *] *ἐλθωβάρ* L J **7** ⟨εἰ⟩ * | *θέλειν* J | *ἔχει* *] *φησὶ* J *εἰσὶ* L **9** *γὰρ*] *δὲ* L **12** *ἐδύνετο* J **13** *ἐπεὶ ᾔδει* Pet.] *ἐπειδὴ διὰ* L *ἐπεὶ εἰ καὶ* J **14** *τὸν* < L **19** *ἔμελεν* Corn. Pet.] *ἔμελλεν* L J **22** ⟨οὐ⟩ * **25** *καὶ* Jül.] *ἢ* L J **27** [*τινῶν δὲ ὅλον τὸ σῶμα*]? Jül. **29** *πότε* + *ὃν* L

μὴ ἀναστάν. καὶ ⟨ὁ⟩ κύριος τὸν Λάζαρον ἤγειρε καὶ οὐκ ἐγκατέλιπε 4
λείψανον ἐν τῷ μνήματι, ἀλλὰ μετὰ τῶν κειριῶν καὶ τῶν ἄλλων
ἐνδυμάτων * καὶ οὐχὶ πάντως τῶν ἱματίων χρεία ἐν ἡμέρᾳ κρίσεως·
τὸν υἱὸν τῆς ἐν τῇ Ναΐν ὅλον ἤγειρε, τὴν θυγατέρα τοῦ ἀρχισυνα- 5
γώγου, τὴν θυγατέρα τοῦ ἑκατοντάρχου. καὶ ὦ μάταιος ὑπόνοια
τῶν τὰ τοιαῦτα λογιζομένων, ὅτι μέρος ἐγείρει καὶ μέρος καταλιμ-
πάνει. ἴδωμεν δὲ ἐξ αὐτῶν τῶν ὑποκειμένων καὶ τῶν ἤδη ἰσόρροπα 6
ἐλπίδος ἡμῖν γεγενημένων. Ἐνὼχ ὅλος μετετέθη καὶ οὐκ εἶδεν ἕως
τῆς δεῦρο θάνατον καὶ Ἠλίας ὅλος ἀνελήφθη ἐν σώματι καὶ οὐκ
εἶδεν ἄχρι τῆς δεῦρο θάνατον, ἵνα ἐν ὑσὶ ζῶσι σώμασιν παραστήσῃ
ἡμῖν τελείαν τὴν ἀνάστασιν. καὶ ἵνα μή τις ἀμφιβάλλῃ, δύο χαρακ- 7
τῆρας * τῶν δύο πρωτοτόκων τῆς ἡμετέρας ἀναστάσεως· Ἐνὼχ ἦν
ἐν ἀκροβυστίᾳ καὶ οὐκ ἐκώλυσεν ἡ ἀκροβυστία τὴν ἀνάστασιν οὐδὲ
τὴν τοῦ σώματος διὰ βίου τῆς ζωῆς ὑποδοχήν, Ἠλίας ἐν περι-
τομῇ, ἵνα μὴ ⟨ἡ⟩ ἀνάστασις ἐπί τινας καί τινας νομισθῇ, ἀλλὰ καθολικὴ
ὅλη. Ἠλίας ἦν ἐν παρθενίᾳ, ἵνα τὸ πρόκριτον τῆς παρθενίας τὴν 8
ἀθανασίαν κηρύξῃ τῷ κόσμῳ καὶ τὴν μετὰ σώματος | ἀφθαρσίαν· P102
ἵνα δὲ μὴ μόνον ἐπὶ τῆς παρθενίας νομισθῇ εἶναι διὰ τὸ ἐξαίρετον
ἡ ἀνάστασις καὶ σώματος ἡ παραμονή, Ἐνὼχ οὐκ ἦν παρθένος,
ἀλλ᾽ ἐγκρατὴς καὶ παιδοποιήσας τέκνα. καὶ δύο μὲν οὗτοι [ἐν] ζῶσιν,
ἐν σώματι καὶ ψυχῇ ἐμπαραμένοντες διὰ τὴν ⟨ἡμῶν⟩ ἐλπίδα.

99. Καὶ εἰς τὸ μή τινα πάλιν ἀμφιβάλλειν καὶ ἄλλους εἰς Ἅιδην **99**, 1
κατήγαγε μετὰ τῶν σωμάτων. ἤνοιξε γὰρ ἡ γῆ τὸ στόμα αὐτῆς
καὶ κατέπιε Δαθὰν καὶ Ἀβειρών, τοὺς υἱοὺς Κορὲ καὶ Αὐνᾶν, καὶ
κατέβησαν εἰς Ἅιδην ζῶντες ⟨σὺν⟩ σώματι καὶ ψυχῇ. ἀπ᾽ αὐτῆς γὰρ τῆς D201
ὥρας εἰς κρίσιν παρεδόθησαν, μήτε τῶν σωμάτων λυθέντων μήτε
λειψάνου παραδοθέντος ἢ μέρους, ἀλλὰ ὅλων σὺν σώματι καὶ ψυχῇ
εἰς τιμωρίαν παροδοθέντων. ὁ Ἰὼβ φησιν »ἕως πάλιν γένωμαι« καὶ 2
»⟨ἀναστήσαι⟩ τὸ σῶμα τοῦτο τὸ ἀντλοῦν ταῦτα« καί »ἀνακαινιεῖς
με« καὶ πάλιν »ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου«, Ἡσαΐας

1 vgl. Joh. 11, 44 — **4** vgl. Luk. 7, 11ff — vgl. Mark. 5, 22ff u. Par. — **5** vgl. Matth. 8, 5ff — **8** vgl. Hebr. 11, 5 — **9** vgl. II Kön. 2, 1ff — **23** vgl. Num. 16, 32f — **28** Hiob 14, 14 — **29** Hiob 19, 26 — **30** Psal. 102, 5

L J

2 τῶν (vor κειριῶν) < J **3** * ⟨ἀνέστησεν⟩ * **5** τὴν θυγατέρα] lies τὸν παῖδα? * **10** παραστήσω J **12** * etwa ⟨ὑπέδειξεν⟩ * **14** ὑποδοχήν *] ὑπομονὴν L J **15** ⟨ἡ⟩ * | νομισθῇ *] ὀνομασθῇ L J **18** δὲ μὴ] μηδὲ μὴ; δὲ μὴ auf Rasur von späterer Hand L **20** [ἐν] * **21** ⟨ἡμῶν⟩ * **25** ⟨σὺν⟩ * **29** ⟨ἀναστήσαι⟩ *

δέ »ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις«· ἦλθε γὰρ ὁ »λύων πεπεδημένους ἐν ἀνδρείᾳ, ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις«. λέγει δὲ Ἰώβ »ἄνθρωπος δὲ κοιμηθεὶς οὐκέτι οὐ μὴ ἐγερθῇ οὔτε ἐπιγνώσεται τὸν τόπον αὐτοῦ«. καὶ γὰρ ἀληθῶς καθ' ἡμέραν οὐ γίνεται ἡ ἀνάστασις, ἀλλ' εἰς μίαν ὥρισται ἡμέραν. δεικνὺς δὲ ὅτι οἶδεν εἰς ποίαν προθεσμίαν προσεδόκα, εὐθὺς ἔλυσε τὸ ζήτημα »ἕως ἂν ὁ οὐρανὸς οὐ μὴ συρραφῇ«. ὅσον γὰρ ἔστιν ⟨ὁ⟩ οὐρανὸς καὶ ἡ γῆ, ἔτι καὶ τὰ σώματα ἐν τῇ γῇ ὑπάρχει. ὅταν δὲ ἔλθῃ »ὁ ἑλίσσων τὸν οὐρανὸν ὡς βιβλίον« καὶ τινάσσων τὴν γῆν, τότε »ἐγερθήσονται καὶ οἱ ἐπὶ τῆς γῆς χώματος«. διὰ τοῦτο λέγει τῷ Ἰεζεκιήλ »υἱὲ ἀνθρώπου, εἰπὲ συναχθῆναι ὀστοῦν πρὸς ὀστοῦν καὶ ἁρμονίαν πρὸς ἁρμονίαν« καὶ ἐγένετο οὕτως· καί »γενέσθαι ἐπ' αὐτὰ νεῦρα καὶ φλέβας, σάρκας καὶ τρίχας καὶ ὄνυχας«· καὶ πάλιν »εἰπὲ υἱὲ ἀνθρώπου, ἐλθὲ τὸ πνεῦμα ἀπὸ τῶν τεσσάρων γωνιῶν τῆς γῆς«, τῶν τόπων δηλαδὴ τῶν ταῖς ψυχαῖς ἀποτεταμιευμένων. καὶ τίνι τῷ λόγῳ αὐτὸς ὁ κύριος οὐ λέγει, ἀλλὰ κελεύει τῷ ἀνθρώπῳ λέγειν; ὅτι ὃ λέγει κύριος ἅμα καὶ ποιεῖ καὶ οὐκέτι λύεται· τῷ δὲ ἀνθρώπῳ προσέταξε λέγειν, ἵνα μετὰ τὸ ἀναστῆναι πρὸς τὴν ὥραν σημανθῇ μὲν ἡμῶν ἡ ἐλπὶς τῆς σωτηρίας, ἀνθρώπου δὲ λόγος λυθῇ καὶ οὐ τοῦ κυρίου. ἤμελλον γὰρ πάλιν ἀποθνήσκειν ἐκεῖνα τὰ ὀστᾶ. ὅταν δὲ εἴπῃ ὁ κύριος, ἀνάστητε, ἐγείρονται καὶ οὐκ ἀποθνήσκουσι· θεοῦ γὰρ λόγος οὐ λυθήσεται. | | D202 P

100. *Διὰ τοῦτο καὶ ὁ κύριος ἐν σαρκὶ ἐλθὼν ἤγειρε νεκρούς, ἵνα* **100**, 1 *τὸ διὰ τῆς σαρκὸς πάλιν κοιμηθῇ, ἕως αὐτὴ ἡ σὰρξ ἀναστῇ καὶ μηκέτι ἀποθάνῃ καὶ σιωπήσῃ τοῦτο ⟨τὸ⟩ λέγειν μόνῳ ἐνί· »ἔγειραι«, »δεῦρο ἔξω«, ἕως ἂν ἔλθῃ καὶ μηκέτι ἑνικῶς εἴπῃ, ἔγειραι, ἀλλ'*

1 Jes. 26, 19 — **2** Psal. 67, 7 — **3 f** Hiob 14, 12 u. Psal. 102, 16 — **7** Hiob 14, 12 — **9** Jes. 34, 4 — **10** Dan. 12, 2 (Theod.) — **11** vgl. Ezech. 37, 4 ff — **25** Luk. 8, 54 — **26** Joh. 11, 43

L J **8—22** Sacra Parallela Coisl. 276 f. 94r-v Rupef. f. 95v

3 *τάφῳ* L **7 f** *οὐ μὴ — οὐρανὸς* < J **8** ⟨*ὁ*⟩ * | *ἔτι καὶ* Sa Pa] *ἔτι* L *ἔστι* (auf Rasur von erster Hand) J **9** *ὑπάρχει* < L J **10** *σινάσσων* J | *καὶ* < L J | *χώματος* < L J **11** *τῷ*] *τὸν* L *εἰπὲ*] *εἶπον* Sa Pac *εἰπὼν* Sa Parup. | *συναχθήσεται* J **13** vor *σάρκας* + *καὶ* Sa Pa **14** *εἶπε* Sa Pa **15 f** *τὸν τόπον . . . τὸν . . . ἀποτεταμιευμένον* Sa Pa **15** *δηλαδὴ* < Sa Pa **15 f** *τεταμιευμένων* L J | *ἀποτεταμιευμένων* + *φησί* Sa Pa **16** *τῷ* (vor *λόγῳ*) < Sa Pa **17** *ὅτι ὃ*] *ὃ γὰρ* Sa Pa | vor *κύριος* + *ὁ* Sa Pa | *καὶ*[1] < Sa Pa **19** *ἀνθρώπου*] *ὁ* (< Sa Pac) *ἀνθρώπινος* Sa Pa **20** *τοῦ* < Sa Pa **20 f** *ἐκεῖνα τὰ ὀστᾶ* < Sa Pa **21** *ὅταν δὲ* (*γὰρ* Sa Parup.) *ὁ κύριος εἴπῃ* Sa Pa **25** *σιωπήσει* L | *τοῦτο* ⟨*τὸ*⟩ *τοῦτο* J *τῷ* L **26** *ἔγειραι*] *εἶναι* L

ἐγείρεσθε πάντες, τὴν καθολικὴν ἀνάστασιν ἐργαζόμενος· αὐτὸς γάρ
ἐστιν ἡ ἀνάστασις τῶν νεκρῶν. οὕδε γὰρ μετὰ τὸ ἀναστῆναι ἐκ τῶν 2
νεκρῶν οὐδένα ἤγειρε ⟨εἰ μὴ⟩ τῶν προσφάτως τελευτησάντων. ἀνέστησαν
γὰρ σὺν αὐτῷ »πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων καὶ ὤφθησαν
πολλοῖς«, »μετ' αὐτοῦ εἰσελθόντες εἰς τὸν νυμφῶνα«, κατὰ τὰ ἐν
εὐαγγελίῳ γεγραμμένα. καὶ οὐκ εἶπεν, ἀνέστη μέρος τῶν σωμάτων 3
τῶν ἁγίων, ἀλλὰ σώματα τῶν ἁγίων· καί »ἐνεφανίσθησαν πολλοῖς«,
οὐκ ἄλλοι ὄντες παρὰ τοὺς τετελευτηκότας, ἀλλ' ἐπιγινωσκόμενοι
παρὰ τῶν ἰδίων, ὅτι οὐ πρὸ χρόνων ἦσαν τετελευτηκότες. καὶ ἄλλοις 4
δεῖξαι δὲ βουλόμενος ὁ κύριος ἡμῶν τὸ θαῦμα, τὰ δὴ δυσχερῆ ἐκεῖνα
εὐχερῆ δεικνὺς ἐπετέλει. καὶ ὅτε μὲν ἔρχεται πρὸς τὴν προσφάτως
τελευτήσασαν κόρην, τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου, ἐπειδὴ αὐτῇ
τῇ ὥρᾳ τετελεύτηκε, κατηξίωσεν αὐτῇ εἰπεῖν· »ἀνάστηθι ἡ παῖς«·
τῷ δὴ ἀνάστηθι ἰσχυροποιῶν τὸ ἤδη λελυμένον, ἐπειδὴ ἔτι ἐν τῇ
κλίνῃ ἦν. τὸν δὲ υἱὸν τῆς χήρας τῆς ἐν τῇ Ναΐν, ἐπειδὴ ἤδη ἐν τῇ 5
σορῷ ἐξεφέρετο, εὐχερέστερον ἤγειρεν· »ἥψατο γὰρ τῆς σοροῦ« καὶ
οὐκ εἶπέ τι τῷ παιδί, ἀλλὰ μόνον ἥψατο τῆς σοροῦ καὶ ἀνέστη.
τὸ δὲ ἔτι βαθύτατον καὶ παρ' ἐλπίδα ἀνθρώπων πολλῷ μακρότερον, 6
ὅτε ἦλθεν ἐπὶ τὸν τετραήμερον Λάζαρον, οὐδὲ εἶπεν ἀνάστηθι, οὐδὲ
ἥψατο τῇ χειρὶ τοῦ μνήματος, ἀλλ' οὕτως ἐν ἑτοίμῳ καλεῖ ἐν τῇ
ἰδίᾳ ἐξουσίᾳ, »Λάζαρε, δεῦρο ἔξω«. πολὺ δὲ εὐχερέστερόν ἐστι καὶ 7
ἑτοιμότερον τό »δεῦρο ἔξω« παρὰ τὸ ἅψασθαι, τὸ δὲ ἅψασθαι πάλιν
εὐχερέστερόν ἐστι πολὺ τοῦ καλέσαι »ἡ παῖς ἀνάστηθι«. οὕδε δὲ | D203
πάντα ποιεῖ ὁ ἅγιος τοῦ θεοῦ Λόγος, ἵνα ἡμῖν τὴν ἐλπίδα ὑποδείξῃ
τῆς ἀναστάσεως.

101. Εἰ δὲ βουληθείην τὰς πάσας μαρτυρίας ἐκ πασῶν τῶν **101**, 1
γραφῶν ἐκλέξασθαι, μικρὸς μὲν ὁ ἡμέτερος νοῦς βραχύς τε καὶ ἰδιώτης,
ὅμως διὰ τὸ πλῆθος ⟨δέδια μὴ⟩ εἰς πολὺ πλάτος ἐπεκτείνω τὸν λόγον·
| συνελὼν δὲ ἐρῶ ὅτι ἡ ἡμῶν σωτηρία σύντομός ἐστιν, ἐν πᾶσι δὲ P104
⟨ὁμοία⟩, μιᾶς ἐλπίδος τῆς ἀναστάσεως ἡμῖν κεκηρυγμένης. ταῦτα δὲ 2
ἀπιστοῦσιν ἄπιστοι, παραφθείρουσι κακόδοξοι, οὐ δέχονται φιλόνεικοι,
ἀπωθοῦνται κενόδοξοι. τοῖς δὲ πᾶσιν ὁ θεὸς τὸ ἔλεος παράσχῃ καὶ

1f vgl. Joh. 11, 25 — **4** Matth. 27, 52f — **5** vgl. Matth. 25, 10 — **13** Luk. 8, 54 — **16** Luk. 7, 14 — **21** Joh. 11, 43

L J

2 *ὧδε γὰρ* *] *ὃ γὰρ* L *ὁ δὲ γὰρ* (*γὰρ* vom Rubricator durchgestrichen) J **3** ⟨*εἰ μὴ*⟩ *, vgl. Z. 9 **4** *γὰρ* *] *δὲ* L J **9** *ὅτι* *] *ὃι* L J | *ἄλλοι* L **14** *τῷ* *] *τὸ* L J | *δὴ* *] *δὲ* L J **20** *τῆς χειρὶ* J **28** ⟨*δέδια μὴ*⟩ * **30** ⟨*ὁμοία*⟩ * | *μιᾶς ἐλπίδος* *] *ἐν μιᾷ ἐλπίδι* L J **32** *παράσχοι* J

διαυγάσῃ τὰ ξεξοφωμένα τῶν διανοημάτων. Ἕλληνες μὲν γὰρ ⟨μὴ⟩ 3
λαβόντες πνεῦμα ἅγιον ἐλεγχθήσονται ὑπὸ τῆς ἀληθείας καὶ πασῶν
τῶν προλεχθεισῶν μαρτυριῶν, μάλιστα δὲ ὑφ' ὑμῶν τῶν υἱῶν τῆς
ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ ὀρθοδόξου πίστεως. διδάσκετε γάρ, 4
λαβόντες πνεῦμα ἅγιον καταξιωθέντες τε λόγου εὐθέτου »ἐν ἀνοίξει
τοῦ στόματος«, πρῶτον μέν, ὅτι μαθηταὶ τοῦ Χριστοῦ καταξιωθέντες
εἶναι τοῦ »ἀρχιποίμενος« καὶ »προστάτου τῶν ἡμετέρων ψυχῶν« *, ὡς
τὰ τρόφιμα τοῖς τοῦ Χριστοῦ ποιμνίοις τοῖς ἑαυτῶν λαοῖς συναγα-
γόντες μεριμνῶντές ⟨τε⟩ ὅπως ἑαυτούς τε καὶ τὰ τοῦ θεοῦ θρέμ-
ματα, φημὶ δὲ τὸν βουλόμενον πάντως ὠφελεῖσθαι, ἐκ τῆς ἁγίας γῆς
τῆς παρὰ Μωυσῇ αἰνιττομένης θρέψητε. τίς δὲ τῶν εὖ φρονούντων 5
εἰς ὑμᾶς τοὺς εὐλαβεῖς καὶ πιστοὺς σκοπῶν, ὦ ὀρθόδοξοι καὶ υἱοὶ
τῆς ἐκκλησίας (ἑνίους γὰρ λέγων πάντας τοὺς υἱοὺς τῆς ἀληθείας
λέγω, κατὰ τὸ γεγραμμένον), τίς περὶ τούτων ἀμφιβάλοι; σοφῆς γὰρ 6
ὄντες καὶ ἀνδρειοτάτης υἱοὶ γυναικός, ἧς τὸ κλέος παρὰ Σολομῶντι
λέγοντι »γυναῖκα ἀνδρείαν τίς εὑρήσει;« (ὡς σπανίας οὔσης, μᾶλλον
δὲ μιᾶς), τὸ κρεῖττον ἐκλέξεσθε καὶ τὸ ὠφέλιμον ἀγαπήσετε. ἀνδρείαν 7
δὲ γυναῖκα νοεῖτέ μοι τὴν ἐκκλησίαν τοῦ θεοῦ, τὴν ὑμῶν μητέρα,
ἧς | οὐδὲν ἀνδρειότερον, θνησκούσης καθ' ἕκαστον ἐπεγειρόμενον D204
διωγμὸν ὑπὲρ τοῦ ὀνόματος τοῦ ἰδίου ἀνδρός.

102. Αὕτη οὖν ἡ ἐπιεικεστάτη τὸν ἴδιον νυμφίον ἀκριβῶς ἐρωτᾷ **102**, 1
ἐν τῇ βίβλῳ τῶν ᾀσμάτων »ποῦ ποιμαίνεις; ποῦ κοιτάζεις ἐν μεσημ-
βρίᾳ;«· ποιμαίνει δὲ Χριστὸς ἐν ἁγίᾳ γῇ τῇ προειρημένῃ καὶ οὐ μόνον
ποιμαίνει, ἀλλὰ καὶ προστάσσει λύειν τὸ ὑπόδημα τῶν ποδῶν τῶν
ποιμένων, ὡς Μωυσῇ πρῶτον λέγει· παρ' οὗ τὴν παράδοσιν παρειλη- 2
φότες καὶ αὐτοὶ τοὺς εἰς τὴν ἁγίαν ἐπιστήμην εἰσαγομένους ἀσφαλῶς
χειραγωγεῖτε πρῶτον, τὰ ὑποδήματα ἑκάστου ἐπιλύεσθαι ἐπιμελό-
μενοι. ὑποδήματα δὲ ἑκάστου ἡμῶν ἔχει διαφοράν. τῇ γὰρ ἰδίᾳ 3
ἑαυτοῦ πράξει ἕκαστος | ὑπεδήσατο. καὶ λοιπὸν ὑμῶν τῶν μαθητῶν P 105
καὶ καλῶν ποιμένων ὑπακούων ἕκαστος, ὃς μὲν ὑπεδήσατο εἰδωλο-
λατρείαν, ὑπελύσατο τῇ ὑμῶν νουθεσίᾳ, ἄλλος δὲ μοιχείαν ὑπελύσατο,

5 Ephes. 6, 19 — **7** I Petr. 5, 4 — I Petr. 2, 25 — **13f** vgl. Mark. 13, 37 — **16** Prov. 29, 28 — **22** Hohel. 1, 7 — **24f** vgl. Exod. 3, 5

L J

1 *διαυγάσει* L J | ⟨*μὴ*⟩ * **5** *τε* < J **7** * ergänze etwa ⟨»*ποιμαίνετε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ θεοῦ*«⟩ * **9** ⟨*τε*⟩ * **12** *ἡμᾶς* L **14** *ἀμφιβάλλοι* J **17** *ἐκλέξησθε* L | *ἀγαπήσατε* L **23** *ἁγίᾳ* < J **24** *τοὺς ποιμένας*? * **25** *Μωυσῇ* *] *Μωυσῆς* L J **28** *ἡμῶν* *] *ὑμῶν* L J **29** *ὑπεδύσατο* L **31** *ἡμῶν* J

ἕτερος πορνείαν, ἄλλος κλοπήν, ὃς δὲ πλεονεξίαν. οὐ μόνον δέ, ἀλλὰ 4
καὶ λόγοις στυγητοῖς καὶ αἰσχροῖς ῥήμασιν ἀποτασσόμενοι μακαρίαις
ἐλπίσιν »ὑπὸ χεῖρα κραταιὰν« τοῦ ἀγαθοῦ ποιμένος δι' ὑμῶν τῶν κα-
λῶν, τῶν μαθητῶν ἕκαστος βουκολεῖσθαι παραδίδωσιν ἑαυτόν· ἀφέξεται
γὰρ ἕκαστος πάντως τῆς πλάνης. καὶ πρὸ ὀφθαλμῶν παρατίθεσθε 5
τὴν ἀλήθειαν, εἴδωλα μὲν παραχαράττοντες καὶ ἀναφανδὸν τὴν περὶ
αὐτῶν πλάνην ἀνακηρύττοντες (οὔτε γὰρ νεκροὺς τούτους ἠγεῖσθε,
ἐπεὶ μήποτε ἔζησαν), κενὰ δὲ καὶ μάταια καὶ οὐκ ὄντα εἰκότως πάντας
πάντοτε διδάσκοντες. οὐ γὰρ ἦσάν ποτε, ἵνα ⟨τι⟩ ὦσιν ἐκεῖνοι· εἰσὶ 6
δὲ κακοδαίμονες, ἀνθρωπίνης διανοίας παράθεσις, ἡδονῶν ἀφορμὰς
ἐπιρρώσασα· καὶ ἔνθεν ὑπὸ ἑκάστου τὸ ἴδιον πάθος εἰς σέβασμα
κυρωθὲν τετόλμηται. πρῶτον γὰρ εὐθὺς ὅτε τοῦτο τοῖς ἀνθρώ- 7
ποις ἐκαινοτόμητο διὰ δαιμόνων κακουργίας, »πρώτη« αὕτη »πορνεία«
ἀπεφθέγγετο καὶ σκιογραφίαις τὰ εἴδωλα | προετυποῦτο. ἔπειτα D205
τέχνην τὴν ἰδίαν, ἣν μετὰ χεῖρας εἶχεν ἕκαστος, δι' ἧς τὴν εὐπορίαν
ἔσχεν, εἰς σέβασμα τοῖς ἰδίοις παρεδίδου τέκνοις καὶ διὰ τῆς ὕλης τῆς
ἰδίας τεχνουργίας θεοὺς ἀνεπλάσαντο, καὶ κεραμεῖς μὲν ἐκ πηλοῦ,
τέκτων ἐκ ξύλου, χρυσοχόος ἐκ χρυσίου καὶ ἀργυροκόπος ὡσαύτως.
103. ἔτι δὲ πάλιν ἕκαστος τὸ ἴδιον πάθος εἰς μορφοεμφερείας **103**, 1
⟨πρὸ⟩ τῶν ἰδίων ὀφθαλμῶν διέγραφεν, ὁ μὲν αἱμοβόρος τις ἀνὴρ
Ἄρεα φάσκων, μοιχὸς δὲ ἢ μοιχὰς τὴν πολύκοινον Ἀφροδίτην, τύ-
ραννος δὲ Νίκην ἀναπτερώσας. αὐχμώδης γὰρ καὶ περὶ τὰ βιωτικὰ 2
κεχηνὼς Κρόνου τὸν τύπον ἔγραφε, θηλυνόμενος δὲ Κυβέλην καὶ
Ῥέαν διὰ τὸ ῥευστόν, οἶμαι, τῆς ἀπὸ τῶν σωμάτων πολυμιξίας.
ἄλλος τε ῥεμβὸς ἢ ῥεμβὰς Ἄρτεμιν κυνηγέτριαν προετύπου καὶ μέθυ- 3
σον Διόνυσον καὶ πολύμοχθον Ἡρακλέα, πολύμιξ δέ τις Λία καὶ
Ἀπόλλωνα. καὶ τί μοι τὰ πλήθη λέγειν μυρίων παθῶν ἐν ἀν- 4
θρώποις ὑπαρχόντων; πλέον δὲ πάν|των Αἰγύπτιοι πλανηθέντες οὐ P106
μόνον τὰ ἴδια πάθη ἐσεβάσθησαν, ἀλλὰ πτηνὰ καὶ τετράποδα, χερ-
σαῖά τε καὶ ἔνυδρα καὶ ἀτίθασσά τινα θηρία καὶ τὰ εἰς δοῦλα αὐτοῖς

3 vgl. I Petr. 5, 6 — **12—18** vgl. Panarion Anacephalaeosis von tom. 1 des 1. Buchs 3, 2f — **13** Weish. Sal. 14, 12 — **28ff** vgl. Weish. Sal. 12, 24 Aristides apol. 12 Theophilus ad Aut. I 10; S. 90 Otto clement. Hom. VI 23; S. 80, 20 Lagarde clem. Recogn. V 20 Clemens Al. Protr. 39, 5; I 29, 18ff Stählin

L J

2 *μακαρίας* J **7** *τούτους* sc. *τοὺς νομιζομένους θεοὺς* | *ἠγεῖσθαι* L **9** ⟨*τι*⟩ * **9f** *εἰσὶ δὲ* *] *δέ εἰσι* L J **11** *ἐπιρρώσασα* *] *ἐπιρρεύσασα* L J **17** *ἀνεπλάσα[ν]το?* * **20** ⟨*πρὸ*⟩ * **28** *πάντων* *] *πάντως* L J

ὑπὸ τοῦ ἁγίου θεοῦ παραδοθέντα τῇ τάξει »μετήλλαξαν«· καὶ ὡς ὄντες 5
τῇ διανοίᾳ κτηνώδεις ὑπερασεβοῦσι, τὰ ζῷα τὰ παρ' αὐτοῖς θεο-
ποιοῦντες καὶ οὐκ αἰσχυνόμενοι, κύνα τὸ ὑλακτικόν, αἴλουρον τὸ
ἑρπετοφάγον, τράγον τὸ ἀκόλαστον, πρόβατον τὸ βληχρόν, κροκό-
δειλον τὸ πολυσχιδὲς καὶ ἀμειδέστατον, ἶβιν τὴν ἰοβόρον καὶ ἰκτῖνα
καὶ ἱέρακα καὶ κόρακα τὰ δουλοπρεπέστατα, ὄφιν δὲ τὸ σκολιὸν καὶ
ἀηδέστατον. καὶ ἁπαξαπλῶς ὦ τῆς μεγάλης αἰσχύνης τῶν μή⟨τε⟩ 6
ὄψει τὸν ἑαυτῶν ἔλεγχον κατανοούντων [καὶ] μήτε ἀκοαῖς τὴν αἴσθησιν
παραλαμβανόντων μήτε διανοίᾳ * τῶν παρ' αὐτοῖς ματαίως γινο-
μένων συνιέντων. κακῷ γοῦν μόρῳ | πεπληγμένοι εἰσὶ μηδὲ τοῖς 7 D206
ἰδίοις φιλοσόφοις ἐγκαταυγαζόμενοι μηδὲ τοῖς τῆς ἀληθείας ἐγκυκλη-
ταῖς συνθεαταὶ γινόμενοι. οὐκ ἀκούουσι γὰρ Διαγόρου τοῦ τὸν ἴδιον 8
Ἡρακλέα ξύλινον ὄντα δι' ἀπορίαν ξύλων ὑποκαύσαντος καὶ ἐπι-
σκωμματικῶς αὐτῷ λέγοντος· »ἄγε δή, Ἡρακλες, τὸν τρισκαιδέκατον
ἆθλον ἐκτελῶν πάρελθε, τὸ ὄψον ἡμῖν ἑψήσων«· ὃν δὴ λαβὼν καὶ
σχιδακίσας, καταγελῶν τοῦ ἰδίου θεοῦ ὡς οὐκ ὄντος, τῷ παρατεθέντι
αὐτῷ ἀρίστῳ γελοιάζων ἐτρέφετο. 104. ἄλλος δὲ Ἡράκλειτος 104, 1
Αἰγυπτίοις φησίν· εἰ θεοί εἰσι, διὰ τί θρηνεῖτε αὐτούς; (Τυφῶνα γὰρ
καὶ Ὄσιριν καὶ ἄλλους καταχθονίους λιγυρῶς θρηνῳδοῦντες ὡς κεκη-
δευμένους πενθοῦσι). φησὶ γοῦν οὗτος· εἰ θεοί εἰσι, διὰ τί θρηνεῖτε
αὐτούς; εἰ δὲ τεθνήκασι, μάτην θρηνεῖτε αὐτούς. ἄλλος δέ, κωμικὸς 2
Εὐδαίμων τοὔνομα, φησίν »εἴπερ εἰσὶ θεοί, οὐ δύναμαι περὶ αὐτῶν
λέγειν οὐδ' ὁποῖοί τινές εἰσι ἰδέαν δηλῶσαι. πολλὰ γάρ εἰσι τὰ
κωλύοντά με«. καὶ Ὅμηρος δέ φησιν »οὐκ ἀγαθὸν πολυκοιρανίη«. 3

1 vgl. Röm. 1, 25 — **7**—S. **130**, **8** vgl. von Wilamowitz SBA 1911 S. 759ff — **11f** zu *τοῖς τῆς ἀληθείας ἐγκυκλητοῖς* vgl. Clemens Al. protr. 12, 1; I 11, 14 Stählin — **12—17** Clemens Al. protr. 24, 4; I 18, 9. 17ff Stählin — **17—21** Clemens Al. protr. 24, 3; I 18, 15ff; statt Heraklit sonst Xenophanes genannt (Wandergeschichte?), vgl. Diels Vorsokratiker³ Xenophanes A 13; I 44, 3ff — **21—24** vgl. Theophilus ad Aut. III 7; S. 204 Otto; dort richtig Protagoras genannt, vgl. Diels Vorsokratiker³ Protagoras B 4; II 229, 25 — **24** *B* 204

L J

2 *ὑπερσέβουσι* J **5** *ἀμυδέστατον* L **7** *ἰοδέστατον* L | *μή⟨τε⟩* Pet. **8** *ὄψει* Pet.] *ὄψιν* L J | *τὸν . . . ἔλεγχον* Pet.] *τῶν . . . ἐλέγχων* L J | [*καὶ*] Wil. **9** * *⟨τὴν ἄνοιαν⟩* * **9f** *γιγνομένων* L **10** *συνιόντων* L **14** *λέγοντος* Ausgg.] *λέγοντα* L J **18** *Αἰγύπτιος* J **21** *θρηνεῖτε*] *σέβετε*? * **22** *δυνάμεθα* J **23** *οὐδ'* < J | *ἰδέαν* Wilamowitz, nach Diog. Laërt. IX 51] *δειλιῶν* L J

ὁ δὲ *Φιλήμων*, ἕτερος κωμικός, φησίν »οἱ ἕνα θεὸν σέβοντες ἐλπίδας
ἔχουσι καλὰς εἰς | σωτηρίαν«. Ἅπις γὰρ εὐθὺς ὁ ἀχυροφάγος μόσχος 4 P 107
ὑπὸ Κάμπυος, τοῦ τῶν Ἀσσυρίων βασιλέως, ξίφει τὸν μηρὸν πλήττεται, ἵν', εἰ ῥεύσει αἷμα, ἐλεγχθῇ μὴ ὢν θεός. Κρονικοὶ δὲ οὐκ 5
ἀρνοῦνται τὸν ἴδιον αὐτῶν θεὸν ἐγκαθειρχθαι ἁλύσεσι σιδηραῖς, οὕτως ἡγούμενοι. εἰ δέ τις ἐν καθείρξει ὑπάρχει, οὐχ ἁπλῶς ὅτι ἑνὶ μείζονι ὑπόκειται, ἀλλὰ καὶ ὡς κακοῦργος ὁ τοιοῦτος ἐν καθείρξει ἐστίν.
εἰ δὲ καὶ περὶ * Ἴσιδός μοι ἔσται λόγος τῆς ἤδη καὶ Ἀτθίδος καὶ 6
Ἰοῦς λεγομένης, θυγατρὸς δὲ Ἄπιδος τοῦ Καππαδόκου τοῦ καὶ Ἰνάχου
καλουμένου, αἰσχύνομαι μὲν ἴσως τὰς ἐκείνων πράξεις ἀνακηρῦξαι·
πλὴν δὲ οὐκ αἰσχυνθήσομαι λέγειν ἃ αὐτοὶ προσκυνεῖν οὐκ αἰσχύ- 7
νονται. αἰσχυνέσθωσαν δὲ οἱ ταύτης προσκυνηταὶ | καὶ ⟨τῆς⟩ Ἀφρο- D 207

1 f vgl. Theophilus ad Aut. III 7; S. 204 Otto (= Kock, Com. att. fragmenta II 529); zu *Φιλήμων* s. u. — **2—4** vgl. Clemens Al. protr. 52, 6; I 40, 32 ff Stählin — **4—7** über die *Κρονικοί* vgl. Panarion Schlußabschnitt *περὶ πίστεως* 11, 1 ff — **8—10** zur Gleichsetzung von Isis, Atthis u. Jo vgl. Panarion h. 4, 2, 5; Isis = Jo, der Tochter des Inachus, nach Eusebius praep. ev. X 9; Migne 21, 809 B u. Hieronymus Chronik S. 27, 14 f Helm; über Atthis vgl. Hieronymus Chronik S. 44, 2 Helm (Plutarch *de Is. et Osir.* c. 9; 354 C u. c. 62; 376 A) — **10 f** Clemens Al. protr. 14, 1; I 12, 20 f Stählin — **12 f** vgl. Clemens Al. protr. 33, 6; I 24, 26 ff Stählin

L J **6**—S. **132, 5** in saïdischer Übersetzung hersg. v. J. Leipoldt, Berichte der philol.-hist. Kl. der K. sächs. Ges. der Wiss. 1902 S. 136 ff (= saïd.)

1 *ὁ δὲ Φιλήμων* Ausgg. nach Theophilus] *ὁ δὲ ὑφ' ἡμῶν* L *ὁ δ' ἐφ' ἡμῶν* J *ὁ δ' Εὐφήμων* Wilamowitz | *ἀχυροφαγομόσχος* L **3** *Κάμπιος* J *Καμβύσου* Ausgg. **6** *οὐχ ἁπλῶς ὅτι*, bei Epiph. nicht selten = so geschieht dies nicht einfach darum weil] *οὐχ ὅπως* Wilamowitz | *ὅτι*] *ἔτι* J **8** *περὶ * Ἴσιδος*] *περὶ Ἴσιδος ⟨καὶ Ἀφροδίτης⟩* Leipoldt, auf Grund von *Ἀφρογενείας* Z. 12 f u. der Plurale *θεῶν* u. *ἐρῶσαι* im Folgenden. Daß ein Name ausgefallen ist, scheint sicher; aber die zu ergänzende Göttin muß jedenfalls vor Isis stehen, weil sonst die auch Pan. h. 4 wiederholte Gleichung Isis, Jo, Atthis zersprengt wird. Anstatt an Hathor (Leipoldt S. 165) möchte ich bei der *Ἀφρογένεια* lieber an Nephthys denken, die der hier zugrunde liegende Plutarch *de Is. et Osir.* c. 12; 355 F mit Aphrodite zusammenstellt. So ist vielleicht einzusetzen *περὶ ⟨Νέφθυος καὶ⟩* | *Ἀτθίδος* *, nach Pan. h. 4] *Ἀτιίδος* L J *Atho* saïd. **9** *Ἄπιδος* Ausgg.] *Ἀσπίδος* L J *Hape* saïd. **1** *ἐκείνων* Leipoldt] *ἐκείνης* L J *jener* saïd. **11** [*δὲ*] Wilamowitz | *ἃ* Ausgg.] *ἃς* L J **12** *αἰσχυνέσθωσαν* *sie mögen nur immer beten* (*εὐχέσθωσαν*) saïd. | *⟨τῆς⟩ ** **12 f** *Ἀφρογενείας* Leipoldt] *ἀφροgενεῖς* L J *der Aphrodite* saïd.

γενείας τὰς ἑαυτῶν θυγατέρας τε καὶ γυναῖκας καὶ ἀδελφὰς τὰς τῶν θεῶν αὐτῶν πράξεις μιμεῖσθαι παραινοῦντες. καὶ εὐθὺς μὲν 8
Ὀσίρεως ἐρῶσαι τοῦ ἰδίου αὐτῶν ἀδελφοῦ Τυφῶνος ⟨τε⟩ τοῦ ἄλλου ἀδελφοῦ τοὺς ἰδίους ἀδελφοὺς κατ᾽ ἀλλήλων στρατεύουσι. πολλὴ δὲ
5 αἰσχύνη θεᾶς τῆς μήτε αἰδοῦς ⟨τοῦ⟩ ἰδίου ἀδελφοῦ αἰσθομένης, ἀλλ᾽ ἐρώσης μὲν καὶ μὴ ἀρκουμένης τοῖς ἔξωθεν ἀνδράσιν, ἀλλὰ καὶ ἕως τοῦ ἰδίου ἀδελφοῦ φθανούσης. οὐ μόνον δέ, ἀλλὰ καὶ ἀδελφοκτονίαν 9
διὰ τὴν ἰδίαν τῆς ἐπιθυμίας ἀκορεστίαν τοῖς φιλτάτοις ὑποδείκνυσι. καὶ Ὧρον μὲν ἕνα γεννᾷ παῖδα, ᾧ οὐκ ἠδυνήθη παραστῆσαι, τίς ὁ 10
10 γνήσιος ἀληθῶς ἔστιν αὐτοῦ πατήρ. εἰ γὰρ μὲν Τυφῶνα ὀνομάσῃ, διστάζει μὴ οὐκ ἔστιν αὐτοῦ γονεύς· εἰ δὲ τὸν Ὄσιριν, τίς τούτου τὴν ἀκρίβειαν παραστήσειε; καλὸν δὲ θεὸν ⟨αὐτὸν γενέσθαι⟩ ᾗ τοι- 11
αύτη μήτηρ ἐδίδασκε, παραλαβοῦσα αὐτὸν καὶ ἐν Τύρῳ πορνεύσασα ἔτη δέκα. Σέραπιν δὲ τὸν Ἄπιν βασιλέα ⟨καλούμενον⟩ Σινωπέων 12
15 ⟨παῖδες⟩ θεοποιοῦντες τυραννίδι μᾶλλον ἐδούλευσαν ἢπερ ἀληθείᾳ.

105. Ταῦτά ἐστι τῶν παρ᾽ Αἰγυπτίοις τιμωμένων θεῶν τὰ ἐπί- 105, 1
χειρα, ὧν τὸ κατὰ μέρος εἰπεῖν * πολὺς χρόνος ἀναλωθήσεται.

2 ff vgl. Plutarch *de Is. et Osir.* c. 12 ff; aber Epiphanius vertritt eine eigentümliche Fortbildung — **13** *ἐν Τύρῳ*, dem Epiph. eigentümlich; auch Aristides apol. 12 nennt wie andere Byblos

L J saïd.

1 τὰς[2] < J **2** εὐθὺς μὲν < saïd. **3** Ὀσίρεως Wilamowitz] ὡς ἱερέως L J *Osire* saïd. **3 f** τοῦ ἰδίου αὐτῶν ἀδελφοῦ Τυφῶνος ⟨τε⟩ τοῦ ἄλλου ἀδελφοῦ τοὺς ἰδίους ἀδελφοὺς κατ᾽ ἀλλήλων *] τοῦ ἰδίου αὐτὴν(!) ἀδελφοῦ Τυφῶνος τοὺς ἄλλους κατὰ τῶν ἰδίων ἀδελφῶν L J *ihren Bruder Osire u. Typhon zu lieben. Ein anderer: als sie sie gerüstet hatten gegen einander zu kämpfen* saïd. **5** τῆς μήτε — αἰσθομένης] *konnte sie sich ihres Bruders nicht enthalten* saïd. | αἰδοῦς ⟨τοῦ⟩ *] αἰσχύνην L J **5—7** ἀλλ᾽ ἐρώσης μὲν — φθανούσης < saïd. **7** θανούσης J **8** τοῖς φιλτάτοις ὑποδείκνυσι] *die sie (doch eben erst) gelehrt hatte, ihre Brüder u. ihre anderen Leute zu lieben* saïd. **9** Ὧρον *] Ὧρος L J *einen Sohn Hor* saïd. | ᾧ *] ὦ L J *sie, die* saïd. | τίς ὁ *] τις εἰ L J *wer sein* saïd. (das von Wilamowitz getilgte γνήσιος ist durch saïd. gedeckt) **10** εἰ γὰρ *] ἢ ἂν L J *denn wenn* saïd. | ὀνομάσῃ *] τιμήσῃ L J *nennt* saïd. **11** τοίτου *] τούτω L οὕτω J (*da*) saïd. **12** vor καλὸν + *deshalb* saïd. | ⟨αὐτὸν γενέσθαι⟩ *] *ihn . . . zu werden* saïd. **14** δὲ saïd.] τε L J | ⟨καλούμενον⟩ *, *der König Hapis heißt* saïd. **14 f** Σινωπέων ⟨παῖδες⟩ *] *die Leute von Sinope* saïd. **15** τυραννίδι] *in Tyrannei* saïd. | ἢπερ ἀληθείᾳ] *gleich als wäre er wirklich ein Gott* saïd. **17** * etwa ⟨ἐπιχειροῦντι⟩ *

Ἕλληνες δὲ οἱ δοκοῦντές τι εἶναι ἐν ἑαυτοῖς, λόγοις μόνον καὶ ὀξύτητι
γλώσσης φιλοσοφοῦντες καὶ οὐκ ἔργοις, πλέον πάντων ἐξώκειλαν·
οἵτινες κατάγουσι Κρόνον ἀπ᾽ Οὐρανοῦ, λέγοντες αὐτὸν ἀπὸ τοῦ 2
Οὐρανοῦ γεγε⟨ν⟩νῆσθαι καὶ τὰ μόρια τοῦ ἰδίου πατρὸς τετμηκέναι
(ὦ κακῆς πράξεως, αἰσχρᾶς | τε ὑπονοίας)· ὃς εἰ μὴ ἐτμήθη, πολλοὶ P108
Κρονίωνες ἦσαν. οὗτος δὲ ὁ γεννάδας, ὁ ἕως πατρὸς πεφθακώς, 3
οὐκ ἠρκέσθη ἐπὶ τῇ πρώτῃ ἀσεβείᾳ, ἀλλὰ νέος μὲν ὢν ἀδικεῖ τὸν
πατέρα, πρεσβύτης δὲ γεγονὼς τὰ ἴδια αὐτοῦ τέκνα, Ποσειδῶνα μὲν 4
καταπίνων καὶ Πλούτωνα, Δία δὲ ἀναζητῶν καὶ ἐμπαιζόμενος ὑπὸ
τῆς Ῥέας [καὶ] πέτραν μεγάλην ἐσπαργανωμένην ἀντὶ βρέφους κατα-
πίνων· ὡσεὶ | θεὸς τάχα *. εὐγενῶν δὲ γονέων ὑπάρχων ἵν᾽ οὕτως 5 D208
εἴπω ὁ τούτου παῖς, Ζεὺς τούτῳ ὄνομα, ἐκινδύνευε πασῶν τῶν γυ-
ναικῶν ἀνὴρ γίνεσθαι καὶ ὁ τούτου υἱὸς Ἑρμῆς. καὶ εἴθε κατὰ
τοὺς νόμους ὑποπροίκιός τις ἐγένετο καὶ μὴ κλεψίγαμος πάντοτε
καὶ κακεργάτης· Πηνελόπην μὲν γὰρ φθείρει, δι᾽ ἡδονὴν τράγος 6
γενόμενος· τράγος δὲ οἶμαι ἐγίνετο διὰ τὸ ἀκμαῖον τῆς τοῦ γενείου
παραπλοκῆς. πρὸς Δανάην δὲ ⟨Ζεὺς ὁ πρῶτον ἡμῖν καλούμενος⟩ 7
χρυσὸς ἐγίνετο, ἵνα παρθένον σώφρονα θαλαμευομένην φθείρῃ·
χρυσὸς δὲ ἐκεῖνος οὐκ ἠδύνατο γενέσθαι ποτέ, ἀλλὰ γόης ὢν διὰ
χρυσοῦ δωροδοκῶν τὴν παρθένον ἠπάτησε. καὶ παρὰ μὲν Λήδᾳ 8
κύκνος αὖθις γίνεται, τὴν ἀναπτέρωσιν τῆς πυρώσεως τῆς αὐτοῦ

3 vgl. clem. Hom. IV 16; S. 60, 22ff Lagarde — **8** vgl. clem. Hom. VI 2; S. 73, 16ff Lagarde — **12**—S. **128**, **6** vgl. clem. Hom. V 12ff; S. 67, 1ff Lagarde clem. Recogn. X c. 21. 22 Clemens Al. Protr. 32, 4; I 24, 3ff Stählin 37, 1; I 27, 23ff

L J saïd.

3 *κατάγουσι*] *unterhalb von* saïd. **5** *ὃς* *] *ὡς* L J *denn* saïd. **9** *καὶ*[2] < saïd. **10** [*καὶ*] * **11** * etwa ⟨*ᾔσθετο τῶν ἔργων αὐτοῦ τῶν περὶ τὴν πέτραν*⟩ *, *hätte er vielleicht seine Werke hinsichtlich des Steins gemerkt* saïd. **11** *Vater vornehmer Kinder* saïd. **12** *τοῦτο* L **13** das auffallende (Wilamowitz S. 767f) *καὶ ὁ τούτου υἱὸς Ἑρμῆς* ist auch durch saïd. gesichert; vgl. auch Z. 17 u. Leipoldt S. 167 | *καὶ εἴθε* L J *u. wenn doch* saïd.] *εἴτε* u. vor *καὶ μὴ* (Z. 14) + ⟨*εἴτε*⟩ Wilamowitz **14** *ὑποπροίκιός τις ἐγένετο*] *man sie hätte nahen lassen* saïd. | *ἐγίνετο* J | *καὶ μὴ*] *aber* saïd. **15** *καὶ κακεργάτης*] *wie ein Gehörnter oder ein böser Liebhaber* (*ὡς κεράστης ἢ κακεργάτης*) saïd. | *δι᾽ ἡδονὴν* *] *δι᾽ ἣν* L *δι᾽ ἣν ἣν* J *wegen der Lust* saïd. **16f** *διὰ τὸ ἀκμαῖον — παραπλοκῆς*] *wegen der Kraft u. Neuheit seines Barts* saïd. **17** *δανᾶν* J | ⟨*Ζεὺς ὁ πρῶτον ἡμῖν καλούμενος*⟩ *, *der aber, den wir zuerst nannten, Zeus* saïd. **20** *Λήιδα* L Thlete saïd. **21f** *τὴν ἀναπτέρωσιν — ἀνασημαίνων*] *indem er das Werk seines Feuers u. die Lust, die in ihm war, offenbarte* saïd.

ἡδονῆς ἀνασημαίνων. ἀετὸς δὲ ⟨γενόμενος⟩ μηδεπώποτε ἀναπε- 9
τασθεὶς παιδοφθόρων διδάσκαλος προκαθέζεται· μηδέποτε ἀετὸς
γενόμενος, ἀλλ' ἐν πλοίῳ παρασήμῳ, ἀετῷ ὀνομαζομένῳ διὰ τὸ
τάχος, Τροίαν παραπλεύσας καὶ τὸν υἱὸν τοῦ βασιλέως [Τρώων]
Γανυμήδην ἁρπάσας τὴν φθορὰν ἀπειργάσατο. καὶ πρὸς Πασιφάην 10
δὲ ταῦρος ἐγένετο, ὡσαύτως καὶ πρὸς Εὐρώπην.

106. Καὶ τί μοι τὰ πλήθη λέγειν ⟨τῶν φθορῶν⟩ τοῦ γενναίου 106, 1
τούτου ⟨παρθένων⟩ φθορέως καὶ φθορέων διδασκάλου; οὗ τὸ μνῆμα
οὐκ ὀλίγοις ἐστὶ δῆλον. ἐν Κρήτῃ γὰρ τῇ νήσῳ ἐν τῷ ὄρει τῷ
λεγομένῳ Λασίῳ ἕως δεῦρο δακτυλοδεικτεῖται. Ζῆνες δὲ οὐχ εἷς 2
ἢ δύο, ἀλλὰ καὶ τρεῖς καὶ τέσσαρες γεγόνασι τὸν ἀριθμόν. ὁ μὲν
γὰρ εἷς αὐτῶν Κρονίδης ὁ προειρημένος, ὁ ταρταρώσας τὸν ἴδιον
αὐτοῦ πατέρα ἐν τῷ Καυκασίῳ ὄρει, ὁ δ' ἄλλος Λατιάριος λεγόμενος,
ἐξ οὗπερ οἱ μονομάχοι γεγόνασιν, ἄλλος δὲ ὁ τραγῳδός, ὁ καὶ τὴν
χεῖρα αὐτοῦ καύσας. τάχα δὲ θεὸς ὢν ἐπελάθετο ὅτι δάκνει τὸ πῦρ 3

7 ff vgl. G. Michaelis, de origine indicis deor. cogn. Berlin 1898 W. Bobeth, de indicibus deorum. Leipzig 1904 — **9** vgl. Theophilus ad Aut. II 3; S. 52 Otto clem. Hom. VI 21; S. 80, 6 Lagarde clem. Recogn. X c. 23 Clemens Al. Protr. 37, 4; I 28, 7 Stählin — **10** vgl. Theophilus ad Aut. I 10; S. 30f Otto Clemens Al. Protr. 28, 1ff; I 20, 30ff Stählin 37, 1f; I 27, 26ff (Cicero de nat. deorum III 53 Arnobius adv. nat. IV 14 Joh. Laurentius Lydus de mens. IV 38) — **13** zu *Καυκασίῳ ὄρει* vgl. clem. Hom. (IV 16; S. 60, 26 Lagarde) V 23; S. 70, 28 VI 21; S. 80, 2 — zu *Λατιάριος* Theophilus ad Aut. III 8; S. 210 Otto (Eusebius praep. ev. IV 16; Migne 21, 272 C) — **14** *τραγῳδὸς* Theophilus ad Aut. III 8; S. 210 Otto, vgl. Sueton Augustus 57 (Wilamowitz S. 769) — **15 ff** vgl. Plutarch *de cap. ex inimicis util.* c. 2; 86 F

L J saïd.

1 *ἀετὸν* L **1 f** *ἀετὸς δὲ ⟨γενόμενος *⟩ μηδεπώποτε ἀναπετασθεὶς*] *er ist aber auch Adler. Er flog aber nie* saïd.; zur Sache vgl. Clem. Al. Protr. 37, 2; I 27, 29 Stählin *οὐχ ἵπταται θεός* **2** *als er auf diesen saß u. Mädchenverführer war* saïd. **3** *ἐν πλοίῳ παρασήμῳ ἀετῷ ὀνομαζομένῳ*] *in einem Adlerschiffe, an dem ein Korymboszeichen war* saïd. **3 f** *διὰ τὸ τάχος* < saïd. **4** [*Τρώων*] Wilamowitz, < saïd. **5** *πρὸς Πασιφάην* < saïd. **6** *πρὸς Εὐρώπην* + *sprang er* (*ἐφίλετο*) saïd. **7** *⟨τῶν φθορῶν⟩ *, die vielen Befleckungen* saïd. **8** *⟨παρθένων⟩* saïd. | *καὶ φθορέων διδασκάλου* < saïd. | *φθορείων* J **9** *οὐκ ὀλίγοις* < saïd. | vor *ἐν τῷ* + *καὶ* saïd. **11** *ἢ δύο — τέσσαρες*] *sondern es gibt zwei Zeus u. sogar vier an Zahl* saïd. **13** *Καυκασίῳ*] *Kausios* saïd. | *Λατιάριος* Scaliger] *λαπατριάριος* J *πατριάριος* L *Ladiarios* saïd. | *λεγόμενος* Wilamowitz] *γενόμενος* L J *heißt* saïd. **14** *γεγόνασιν*] *kämpfen lernten* saïd. | *τραγῳδὸς*] *Trakontos* saïd. **15** *καύσας* + *im Feuer* saïd.

καὶ οὐκ εἶχε τὴν πρόγνωσιν τοῦ λέγοντος τράγῳ τῷ σατύρῳ, εὑρόντι πρότερον τὸ πῦρ καὶ προσελθόντι | φιλῆσαι »μὴ ἅψῃ, | τράγε· ἁψάμενος γὰρ σοῦ ἐμπρήσεις τὰ γένεια«. Ἀθηναῖ δὲ γεγόνασιν οὐ μία, ἀλλὰ πολλαί· μία μὲν ῥεμβομένη καὶ περὶ τὴν Τριτωνίδα λίμνην ἁλωμένη, ἄλλη δὲ ἡ Ὠκεανοῦ, ἑτέρα δὲ ἡ Κρόνου καὶ πολλαὶ ἄλλαι. Ἀρτέμιδες πολλαί· μία μὲν ἡ Ἐφεσία, ἄλλη δὲ ἡ τοῦ Διὸς καὶ ἄλλαι ὡσαύτως οὐκ ὀλίγαι. καὶ Διόνυσοι ⟨δὲ⟩ ὁ Θηβαῖος, ἄλλος δὲ ὁ Σεμέλης, ὁ ἐπὶ τῶν Κορυβάντων καὶ ὁ ὑπὸ τῶν Τιτάνων διασπώμενος καὶ Κουρήτων [ὁ] τὴν κρεωνομίαν μυῶν. Ἡρακλῆς δὲ ὁ λεγόμενος παρ' αὐτοῖς ἀλεξίκακος, οὗ τὰς πράξεις πάσας ἀποσιωπήσω, μίαν δὲ ἀπὸ πασῶν τὴν παρ' αὐτοῖς τάχα ἐπαινουμένην ὑποδείξω· ἀρκέσει τούτῳ τὸν κάματον τοῦτον ὑποστῆναι, ἵνα τῷ βίῳ σωτηρία γένηται. εἰ μὴ γὰρ ἔφθειρεν ἐν μιᾷ νυκτὶ πεντήκοντα παρθένους, πῶς ὁ κόσμος ἐσῴζετο; μᾶλλον δὲ ὠλώλει. καὶ ἁπλῶς ὁμολογῶ σοι, περικακῶ τὰς κακὰς αὐτῶν πράξεις καταλογάδην ἀναγράψαι. ἔτι δὲ βασιλεῖς καὶ τύραννοι ἀπηνέστατοι, ἐπιποθήτους τινὰς ἐσχηκότες καὶ τούτους ἐν γῇ κατορύξαντες, πλέον τι μὴ ἔχοντες τούτοις χαρίσασθαι (οἷα δὴ καὶ αὐτοὶ φθαρτοὶ κατ' αὐτοὺς ὄντες), εἰς τὴν ἐκείνων εὔνοιαν τοὺς τάφους αὐτῶν ἐπὶ πλάνῃ τοῦ βίου

P109 D209

3ff vgl. Clemens Al. Protr. 28, 2; I 20, 32ff Stählin (Firm. Maternus *de errore prof. rell.* c. 16) — **6** vgl. Cic. *de nat. deorum* III 58 — **7f** vgl. Clemens Al. Protr. 12, 2 u. 19, 1; I 11, 14ff u. 15, 1ff Stählin (Cicero *de nat. deorum* III 58 Arnobius *adv. nat.* IV 15 Joh. Laur. Lydus *de mensib.* IV 38) — **9ff** vgl. Clemens Al. Protr. 13, 4; I 24, 18ff Stählin — **19f** vgl. Weish. Sal. 14, 15

L J saïd.

1 *τράγῳ*] *des Drakontos* saïd. **1f** *εὑρόντι πρότερον*] *zuerst fand* saïd.; *πρῶτον*? * **2** *καὶ προσελθόντι φιλῆσαι* < saïd. **3** *σοῦ* Meineke] *μου* L J *deinen* saïd. | *ἐμπρήσεις*] *trauern* (*πενθήσεις*) saïd. **4f** *μία — ἁλωμένη*] *die sich rasend dreht*; *die dritte und die, die an dem See verrückt ist* saïd., *μία μὲν ἡ περὶ τὴν Τριτωνίδα λίμνην ῥεμβομένη* Wilamowitz **5** *ἁλομένη* L | *καὶ πολλαὶ ἄλλαι* < saïd. **6** *τοῦ Διὸς*] *des Ucheus* saïd., *Οὔπις* E. Meyer bei Leipoldt S. 169 **7** *Διόνυσοι* Wilamowitz] *Διόννσος* L J saïd. | ⟨*δὲ*⟩ *, *aber* saïd. **8** *καὶ* < saïd. | *Τιτάνων*] *Tianer* saïd. **9** *Κουρήτων* [*ὁ*] *] *ὁ τῶν Κουρήτων* Wilamowitz | *κρεωνομίαν μυῶν* Pet. nach Panarion Schlußabschnitt *περὶ πίστεως* 11] *κληρονομίαν μείων* L J *während die Kureten an seinen Fleischstücken Anteil hatten* saïd. **11** *τὴν* *] *τῶν* L J | *τάχα* + ⟨*μάλιστα*⟩? * **12** *ὑποδείξω*] *erzählen . . . u. werde sie vielen kundtun* saïd. **15** *σοι* < saïd. | *αὐτῶν*] *αὐτοῦ* saïd. **16** *ἔτι*] *weshalb* (*διὰ τί*) saïd. **17f** *schenkten . . ihnen mehr Ehre, da doch auch sie Leute waren, die verdienten in ihrer Weise zugrunde zu gehen* saïd.

τοῖς ἰδίοις ὑπηκόοις ἐπὶ κακῇ προφάσει ὡς θεῶν θρησκεύεσθαι παραδεδώκασιν, ὡς ὁ Ἀντίνους ὁ ἐν Ἀντινόου κεκηδευμένος, καὶ ἐν 9
λουσορίῳ πλοίῳ κείμενος ὑπὸ Ἀδριανοῦ οὕτως κατετάγη. Τιμογένης δὲ ἐν Ἀσίᾳ, Κάνωβός τε ὁ Μενελάου κυβερνήτης καὶ ἡ τούτου γυνὴ
5 *Ἐνμενουθὶς ἐν Ἀλεξανδρείᾳ τεθαμμένοι τιμῶνται πρὸς τῇ ὄχθῃ τῆς θαλάσσης, ἀπὸ δεκαδύο σημείων διεστῶτες, καὶ Μαρνᾶς δοῦλος Ἀστερίου τοῦ Κρητὸς παρὰ Γαζαίοις, Κάσιος δὲ ὁ ναύκληρος παρὰ Πηλουσιώταις.*

107. *Ταῦτα οὖν πάντα ὅταν ⟨ἐν⟩ μέσῃ τῇ ἐκκλησίᾳ ἀκριβοῦτε,* **107**, 1
10 *κακὸν † ὑπόδειγμα θανασίμης ὁδοῦ * τοὺς * οὕτω προαχθέντας*
ὑπολύετε, ἄλλους δὲ ἀπὸ μοιχείας εἰς | σωφροσύνην φέρετε καὶ μὴ D210
*μόνον τοῦ κλεψιγαμεῖν αὐτοὺς ἀπαλλάττετε, ἀλλὰ καὶ τῆς ἰδίας ⟨γαμετῆς⟩ κατὰ ἐγκράτειαν * καταφρονεῖν, ὡς ἔτι »ὁ καιρὸς συνεσταλ-*
15 *μένος ἐστίν«, ὥς φησιν ὁ ἱερὸς ἀπόστολος, | πόρνους δὲ κατηχεῖτε,* P110
ἵνα μὴ τὴν ἀθέμιτον πρᾶξιν παρὰ θεῷ τε καὶ ἀνθρώποις ἐργασάμενοι
τιμωρηθῶσιν. καὶ ὅταν πάντα ταῦτα διὰ στόματος καὶ δι' ἔργων 2
κάμνοντες παραδῶτε, πείθετε αὐτοὺς τὰ πάντα ἐγκαταδέξασθαι ὑμῶν,

2 vgl. Theophilus ad Aut. III 8; S. 210 Otto Clemens Al. Protr. 49, 1; I 38, 5ff Stählin — **13** I Kor. 7, 29

L J saïd.

1 *ὡς θεῶν* *] *κακῶς* L J *damit sie ihnen wie Göttern dienten* saïd. **2** *ἐν* 2] *σὺν* L **3** *indem er . . . lag, da Adrianos so befohlen hatte* saïd. | *λεισορίῳ* L | *Τιμαγένης* J *Timognes* saïd., *Θεαγένης*? Wilamowitz Wendland **4** *ἐν Ἀσίᾳ*] *ἀνασία* J | *ὁ Μενελάου*] *den Schiffer der Völker* saïd. **5** *Ἐνμενουθὶς*] *Neueise* saïd.; *Ἐνμενουθὶς* ist nicht zu ändern, vgl. die von W. Weber, Drei Untersuchungen zur äg. Religion S. 41 angeführte Inschrift | *τιμῶνται* + *nachdem sie Geschenke von sich dorthin gelegt hatten* (*δώροις ἐκεῖσε αὐτοῖς τεθεῖσι*) saïd. **6** *Barnas* saïd. **7** *Ἀστερίου*] *des Assyrios* saïd. **9** *⟨ἐν⟩* *, *inmitten der Kirche* saïd. | *ἀκριβοῦται* J **10** *κακὸν † ὑπόδειγμα θανασίμης ὁδοῦ * τοὺς* *] *den bösen Berg des Weges der Toten, die zu den Füßen derer sind, die man von Anfang an* saïd.; darnach etwa: *κακὸν τέλος ὑποδείξαντες θανασίμης ὁδοῦ ⟨τῆς πρὸ ποδῶν αὐτῶν⟩, τοὺς ⟨ἀπ' ἀρχῆς⟩ κτὲ* * **11** *ὑπολύετε* *] *ὑπολύεται* L J *löset auf* saïd.; zum Sinn von *ὑπολύω* vgl. S. 122, 27 **12** *ἀπαλλάττετε* L **12f** *τῆς ἰδίας ⟨γαμετῆς⟩* *] *ἰδίας τῆς* L J *von ihrer Frau* saïd. **13** *κατὰ ἐγκράτειαν* *] *κατὰ φύσιν* L J *in Mäßigkeit* said. | * etwa *⟨διδάσκετε⟩* * **16** *ὅτι* J | *ταῦτα* + *ihnen* saïd. | *στόματος*] *eurem Munde* saïd. **17** *αὐτὰ* J | *ὑμῶν* + *und es tun* saïd. (aus *ἔργῳ* entstanden; dadurch auch das Folgende in saïd. verwirrt: *nachdem ihr früher als sie alle waret u. sie in der Sache machtet*)

ἔργῳ πάντα πρῶτον πράξαντες καὶ ἐν αὐτοῖς ἀνατυπωσάμενοι, τοὺς λόγους πιστοποιοῦντες διὰ τῶν πράξεων, οἷς ἑαυτοὺς πρῶτον ἐδιδάξατε, ἵνα καὶ ἑτέρους μαθητεύσητε. ἐπέχετε γὰρ καὶ σιωπῶντες **3** τρόπον ἡλίου τοῦ καὶ σιωπῇ πάντας πανταχοῦ διδάσκοντος· εὐθὺς γὰρ ἀνατέλλων καὶ σιωπῶν τὰς τέχνας αὐτῶν πάντας ἀναδιδάσκει.

καὶ ὅταν μὲν τούτων ἁπάντων τὴν ὠφέλειαν τοῖς ἑαυτῶν τέκ- **4** νοις εἴτ᾽ οὖν ἀδελφοῖς πιστοτάτοις παραδῶτε, προβιβάζετε μὲν αὐτοὺς ἐπὶ γῆς μὲν βαδίζειν, »ἐν οὐρανῷ« δὲ ἔχειν »τὸ πολίτευμα«, μοναχῶν δὲ ζῆλον τοῖς πλείστοις ἐγγεννᾶτε· διὰ τῆς ἐν ὑμῖν στερρότητος καὶ **5** ἀνυποκρίτου πίστεως αἱρεσιώτας στυγοῦντες, Μανιχαίους φιμοῦντες Μαρκιωνιστάς ⟨τε⟩ καὶ λοιποὺς ὁμοίους αὐτῶν, τῆς τοῦ θεοῦ μάνδρας ἀπελαύνετε, πάσας αὐτῶν τὰς προφάσεις παραλύοντες καὶ ἐπιστομίζοντες. πόσα γὰρ κατὰ τοῦ θεοῦ καὶ κατὰ τῶν ἁγίων αὐτοῦ προ- **6** φητῶν τολμηρῶς καταφθέγγονται, κοῦφοι ὄντες καὶ κενοὶ ἀπὸ ἁγίου πνεύματος, εἷς τε τὸν τῶν ὅλων δημιουργὸν βλασφημοῦσι καὶ ὅσα καλὰ διὰ τῶν ἁγίων αὐτοῦ προφητῶν τοῖς πᾶσιν ἀνθρώποις κατὰ προφητείαν ⟨ἐν πνεύματι⟩ ὁ θεὸς ἐχαρίσατο, οὗτοι μισοῦσι τά τε βαθύτατα τοῦ νόμου καὶ τῶν προφητῶν οἷα δὴ γεώδεις ὄντες καὶ σωματικοί, ⟨ψυχικῶς⟩ ἀνακρίνοντες οὐ νοοῦσι. μάτην δὲ βλασφημοῦσιν. **7** εὐθὺς τὴν αὐτῶν πλάνην μὴ ὀκνεῖτε ἀπὸ τῶν ἀκουόντων ἀποσείεσθαι ⟨ἐλέγχοντες⟩ αὐτοὺς ἀπὸ τῶν ἀληθινῶν | ἀποδείξεων. διὰ γὰρ τῶν D211

2f vgl. II Tim. 2, 2 — **8** vgl. Phil. 3, 20 — **19** vgl. I Kor. 2, 14

L J saïd.

1f *τοὺς λόγους πιστοποιοῦντες διὰ τῶν πράξεων, οἷς* *] *τ. λ. πιστοποιοῦντες οἷς διὰ τῶν πράξεων* L J *indem ihr tut nach euren wahrhaftigen Reden* saïd. **3** *μαθητεύοιτε* J **3f** *haltet nur in dieser Weise fest, indem ihr lehrt u. wie die Sonne bleibt, die schweigt. Lehret alle an allen Orten* saïd. **5** *αὐτῶν πάντας* *] *πάντων* L J *alle ihre Kunst* saïd. **7** vor *προβιβάζετε* + *und* saïd. **9** *ἐγενᾶτε* L | *ἐν ἡμῖν* L < saïd. **10** *στυγοῦντες*] *haßt ihr* saïd. | *φιμοῦντες*] *ich meine* (*φημὶ δὲ*) saïd. **11** ⟨*τε*⟩ * **12** *παραλύοντες*] *u. löst auf* saïd. **12f** *ἐπιστομίζοντες*] *schließt ihren Mund* saïd. **13** *πόσα* *] *ὅσα* L J < saïd. **14** *κοῦφοι ὄντες καὶ* < saïd. **15** *τε* *] *δὲ* L J *und* saïd. | *βλασφημοῦντες* L **17** ⟨*ἐν πνεύματι*⟩ *] < L J *durch Geist* saïd. | vor *τά τε βαθύτατα* + *und erkennen nicht* saïd.; trotzdem aber in Z. 19 (wie L J) noch einmal *οὐ νοοῦσι* **19** ⟨*ψυχικῶς*⟩ *ἀνακρίνοντες* *] *ἀνακρινόμενοι* L J *als bestünden sie aus psychischer Erde, indem sie kritisieren* saïd. | *δὲ* < J **20** *ἀποσείεσθε* J **21** ⟨*ἐλέγχοντες*⟩ *] *und bringt die Beweise aus der Wahrheit* saïd. | *αὐτοὺς* < L

τοιούτων ῥημάτων οἱ ματαιόφρονες ὥσπερ φρύγανα ἐν ῥεύματι πλουσίου ποταμοῦ καταφέρονται.

108. Εἴπασι δὲ ὅτι καλὸς ὁ θεὸς τοῦ νόμου, ὃς τὸν Ἀδὰμ ἀγνοῶν 108,
ποῦ ἐστιν ἠρώτα λέγων »Ἀδὰμ ποῦ εἶ;« καὶ τῷ Κάϊν λέγει »ποῦ
5 Ἄβελ ὁ ἀδελφός σου;« καὶ πρὸς τὸν Ἀβραάμ »ποῦ Σάρρα ἡ γυνή σου;«
καὶ ἄλλα πολλὰ τοιαῦτα. αὐτοὶ δὲ οἱ τοιαῦτα λέγοντες πιστεύουσι 2
τῷ σωτῆρι θεῷ στόματι καὶ οὐκ ἀληθείᾳ, θεῷ ὄντι | καὶ πρόγνωσιν P111
ἔχοντι, τὰ δὲ αὐτὰ τῇ παλαιᾷ ὁμοίως ἐπερωτῶντι »ποῦ τεθείκατε
τὸν Λάζαρον;« καί »τίς μου ἥψατο;« καὶ ὅτι »ἔχετε ἄρτους μεθ'
10 ἑαυτῶν;« καί »τίνα θέλετε;« ἢ »τίνα ζητεῖτε;«. εὐχερὴς λοιπὸν καὶ 3
ῥᾴδιος ὁ πρὸς τούτους ἔλεγχος. ὡς γὰρ ἐπερωτᾷ ὁ υἱὸς πρόγνωσιν
ἔχων, οὕτως καὶ ὁ πατὴρ καὶ αὐτὸς [καὶ] ἐν τῷ νόμῳ ἐπερωτᾷ, ὁ
αὐτὸς ὢν ἀεὶ καὶ μὴ μεταλλασσόμενος. ἐὰν γὰρ εἴπῃ »ποῦ τεθεί- 4
κατε τὸν Λάζαρον;« * οὔτε τὸ εὐαγγέλιον ἀγνοεῖ οὔτε τὴν παλαιὰν
15 διαθήκην. »ποῦ τεθείκατε« γάρ »αὐτόν;« λέγει, ἐξελέγξαι θέλων τὰς
μηδὲ τὴν ἴσην πίστιν ἐξενηνοχυίας πρὸς τὴν Σουμανῖτιν, καίτοι γε
ἐκείνης πρὸς ἄνθρωπον ἐχούσης, τουτέστιν Ἐλισσαῖον τὸν ἅγιον
προφήτην, τῶν δὲ περὶ Μάρθαν ἐχουσῶν πρὸς τὸν θεόν. καὶ ἐὰν 5
εἴπῃ »τίς μου ἥψατο;« οὐκ ἀγνοῶν λέγει, ἀλλ' ἵνα πείσῃ τὴν γυναῖκα
20 ἀφ' ἑαυτῆς ὁμολογῆσαι, ἵνα μὴ περὶ ἑαυτοῦ μαρτυρῇ ὁ υἱὸς τοῦ θεοῦ,
ἀλλ' ὑπὸ ἄλλων δοξάζηται. καὶ ὅταν εἴπῃ »ἔχετε ἄρτους μεθ' 6
ἑαυτῶν;« ἐπὶ τούτῳ λέγει, ἵνα τὸ βραχὺ τῶν ἄρτων πᾶσι σημανθῇ
καὶ τὸ μέγεθος τῆς αὐτοῦ θαυματουργίας θαυμασθῇ, διὰ τοσούτων
ἄρτων τοσούτου τραφέντος ὄχλου. καὶ ὅταν εἴπῃ »τίνα ζητεῖτε;« 7

3—S. **133**, **28** vgl. oben c. 38, 1ff; S. 47, 23ff (der Ausdruck *καλὸς ὁ θεὸς τοῦ νόμου* deutet auf die Manichäer vgl. Panarion h. 66, 83, 2) — **4** Gen. 3, 9 — Gen. 4, 9 — **5** Gen. 18, 9 — **8** Joh. 11, 34 — **9** Luk. 8, 45 — Mark. 6, 38 (8, 14) — **10** Joh. 18, 4 — **13** Joh. 11, 34 — **15** Joh. 11, 34 — **19** Luk. 8, 45 — **20** vgl. Joh. 5, 31ff — **21** Mark. 6, 38 (8, 14) — **24** Joh. 18, 4

L J saïd. (bis Z. 5 *ὁ ἀδελφός σου*) **11**—S. **133**, **5** Siegel des Glaubens S. 265 Karapet, dort zwischen eingeschoben in das Stück aus Ancor. c. 38 (= arm.)

3 *εἴπασι*] *so daß sie sagen* saïd.; lies *εἴπωσι* (im potent. Sinn)? * | *ὅτι*] *nicht* (*οὐ*) saïd. **6** *δὲ* < J **12** *πατὴρ*] *Christus* arm. | *καὶ*[2]*] εἰ L J | [*καὶ*]* **13** *ἐὰν γὰρ εἴπῃ*] *denn der welcher sagte: was ist das da, was in deiner Hand ist?* (Exod. 4, 2), *der sagte, (denen) welche sahen »ich bin der ich bin« u. wo habt ihr* usw. arm. **14** * etwa ⟨*σαφὴς ἡ δύναμις τῷ εὐσεβῶς νοοῦντι, ὃς*⟩ * **14f** *οὔτε τὸ — διαθήκην*] *das Evangelium ist nicht unwissend u. nicht war das AT unwissend* arm. **15** *γάρ* < J **16** *ἐξενηνεχυίας* L J **17f** *τουτέστιν — προφήτην* < arm. **17** *ἐλισσαῖος* J **18** *τῶν . . . ἐχουσῶν* *] *τὰς . . . ἐχούσας* L J **20** *ἀφ' ἑαυτοῦ* L **22** *πᾶσι*] *von andern* (*ὑπὸ ἄλλων*) arm.; viell. vorzuziehen **23** *θαυμαστῇ* L J

τοὺς ζητοῦντας δείκνυσιν ἠπατημένους ὄντας καὶ »Ἰησοῦν ζητοῦντας«,
τὸν ἰατρὸν | ἑρμηνευόμενον καὶ σωτῆρα, ἵν' ὅταν ἀποκτείνωσιν αὐτόν, D212
τῆς τούτου σωτηρίας λήξωσιν.

109. Ὥσπερ οὖν τὰ περὶ τῆς τοῦ κυρίου ἡμῶν οἰκονομίας ἐδείξαμεν **109, 1**
λεγόμενα μὲν ἀνθρωπίνως, οὐκ ἄμοιρα δὲ προγνώσεως (οὐδὲ γάρ τις
τῶν εὖ φρονούντων εἴπῃ ἀγνοεῖν αὐτὸν ποῦ τεθείκασι Λάζαρον,
ἐγγὺς ὄντα τοῦ τόπου, εἰ καὶ δι' ὃν εἴπομεν τρόπον ἠρώτα, πόρρω
⟨ἐπὶ⟩ Γαλιλαίας πρώην ὄντα καὶ δείξαντα ἀφ' ἑαυτοῦ ὅτι τέθνηκε
Λάζαρος), οὕτω καὶ περὶ τῆς παλαιᾶς διαθήκης ταῦτα εὐφρόνως ἀνα-
λύομεν. τὸ εἰπεῖν τὸν θεόν »Ἀδὰμ ποῦ εἶ;« οὐκ ἀγνοοῦντος ἦν, **2**
ἀλλὰ δεικνύοντος ἀπὸ οἵου ὕψους πρὸς ποῖον βάθος ἄσχους ὁ Ἀδὰμ
ἐκπεπτώκει. καί »ποῦ Ἄβελ ὁ ἀδελφός σου;« ὅτι ὃν σε ἔδει φέρειν **3**
ἀεὶ ἐν ἀγκάλαις καὶ ἀεὶ συνεῖναι αὐτῷ, οὗτος ἐπὶ γῆν παρὰ σοῦ
ἔρριπται. δείκνυσι γὰρ ἐκ τοῦ ἐπαγομένου ὅτι οὐκ ἀγνοίας χάριν **4**
ἠρώτα, | ἀλλὰ διελέγχων ἐν τῷ εἰπεῖν ὅτι »ἐπικατάρατος ἡ γῆ ἐν P114
τοῖς ἔργοις σου καὶ ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἥτις ἔχανε τὸ
στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου«·
»ἰδού, γάρ φησιν, ἡ φωνὴ αὐτοῦ βοᾷ πρός με«. καί »ποῦ Σάρρα **5**
ἡ γυνή σου;« οὐκ ἀγνοῶν εἶπεν. ἐπεὶ πῶς ἠγνόει ὁ γελῶσαν ἔνδον
τῆς οἰκίας εἰδὼς αὐτήν; οὐκ ἀγνοῶν τοίνυν ἠρώτα, ἀλλ' ἵνα παρα-
στήσῃ ταῖς θυγατράσιν αὐτῆς ταῖς »ἐπαγγελλομέναις θεοσέβειαν« μαθεῖν
τὴν ἐκείνης ἀγωγήν, ὅταν ἁγίοις ἐκ τῶν ἰδίων καμάτων ὑπηρετεῖν
πειρῶνται. ἐκείνη γὰρ ἐν τοσαύτῃ ὑπηρεσίᾳ ὑπάρχουσα, αὐτὴ τοὺς **6**
ἀξύμους καὶ τοὺς ἐγκρυφίους ἐργαζομένη καὶ τὴν τοσαύτην ὑπηρεσίαν
ἐξαρτύσασα ἅμα τοῖς ἰδίοις αὐτῆς οἰκέταις, πρόσωπον τῶν ὑπηρετου-
μένων οὐχ ἑώρα, σωφροσύνης ἐπιεικοῦς ὑπογραμμὸν ταῖς ἡμετέραις
γενεαῖς ὑπολιμπάνουσα. καὶ ταῦτα μὲν ἀρκέσει εἰς παράστασιν ταῖς
τῶν ματαίων ἀντιλογίαις. | D213

110. Ἄν τε εἴπωσιν ὅτι καλὸς ὁ θεὸς τοῦ νόμου, ὁ τοὺς μὲν **110, 1**
Αἰγυπτίους πλεονεκτήσας καὶ σκυλεῦσαι διδάξας τοὺς ἰδίους αὐτοῦ
ἀνθρώπους ἐν τῷ ἐξέρχεσθαι αὐτοὺς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδασιν

1 vgl. Joh. 18, 5 — **2** vgl. Matth. 1, 21 u. vgl. Eusebius dem. ev. IV 10; S. 168, 12f Heikel — **8f** vgl. Joh. 11, 11 — **10** Gen. 3, 9 — **12** Gen. 4, 9 — **15** Gen. 3, 17 u. Gen. 4, 11 — **18** Gen. 4, 10 — **18f** Gen. 18, 9 — **21** vgl. I Tim. 2, 10 — **29ff** vgl. Panarion h. 66, 83 (u. Irenäus adv. haer. IV 30, 1f; II 248f Harvey) — **30** vgl. Ex. 3, 22; 12, 36

L J arm (bis Z. 5 *προγνώσεως*)

8 ⟨ἐπὶ⟩ * **12** ἐπεπτώκει? * **18** ἡ φωνὴ < L, daher αὐτὸ//// (ein Buchstabe wegradiert) | βοᾷ < J **19f** ὁ γελῶσαν αὐτὴν ὁ γελῶσαν ἔνδον τῆς οἰκίας εἰδὼς αὐτήν L **25** ἐξαρτήσασα, ἡ auf Rasur von erster Hand L

οἱ μάταιοι ὅτι παρὰ θεῷ οὐδὲν ἀπόλλυται καὶ ὅτι δικαιοκρισία ἐστὶ καὶ »θεὸς οὐ μυκτηρίζεται«. τί γὰρ ἐνόμιζον Αἰγύπτιοι ὅτι ἐζήτουν 2 ταῦτα ἀμισθὶ ἐργάζεσθαι τοὺς Ἰουδαίους καὶ οὐ τὰ τυχόντα ἔτη, ἀλλὰ διακόσια δεκαπέντε σὺν † τοῖς διακοσίοις δεκαπέντε ἔτεσι τοῦ Ἰωσήφ; τετρακοσίων γὰρ καὶ τριάκοντα ἐτῶν παροικίας ὁρισθείσης τῷ 3 Ἀβραὰμ καὶ τῷ αὐτοῦ σπέρματι, ὡς λέγει »πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ ἀλλοτρίᾳ«, ⟨τότε⟩ τὸ ὁρισθὲν ἐτελειοῦτο. τῇ οὖν ἑαυτοῦ 4 εὐσπλαγχνίᾳ ὁ θεὸς τὰ ἔτη τῆς αὐτοῦ παροικίας διεμέρισε. καὶ εὐθὺς μὲν ⟨διὰ⟩ $\overline{ϛ}$ δεκαπέντε ἐτῶν ἔτι ὄντων ἐν τῇ Χανανίτιδι ἀν⟨τ⟩ελάβετο αὐτῶν καὶ τὰ ἄλλα $\overline{ϛ}$ πεντεκαίδεκα διεῖλε τοῖς εἰς Αἴγυπτον μετελθοῦσιν. ὁ γὰρ ἀριθμὸς τούτων τῶν ἐτῶν οὕτως ἀναλογεῖται· ἦν 5 τότε ἑβδομηκοστὸν πέμπτον ἔτος τοῦ Ἀβραάμ. γίνονται τοίνυν ἀπὸ ἑβδομηκοστοῦ πέμπτου ἔτους Ἀβραὰμ ἕως γεννήσεως Ἰσαὰκ ἔτη $\overline{κε}$· Ἰσαὰκ γεννᾷ τὸν Ἰακὼβ κατάγων ἔτος ἑξηκοστὸν καὶ γέγονεν ἔτη $\overline{πε}$· Ἰακὼβ δὲ γενόμενος ἐτῶν $\overline{πθ}$ γεννᾷ τὸν Λευὶ καὶ γίνονται ἔτη ροδ· | P115 Λευὶ ἐτῶν γενόμενος $\overline{μ}$ τεσσάρων γεννᾷ τὸν Καάθ· ἐν δὲ τῷ τεσσαρακοστῷ ἔτει καὶ ἑβδόμῳ Λευὶ κάτεισιν Ἰακὼβ εἰς Αἴγυπτον καὶ γίνονται ἔτη διακόσια ἕνδεκα. καὶ μετὰ τὴν εἴσοδον αὐτῶν τὴν εἰς

1 vgl. Act. 7, 7 (Röm. 2, 5) — **2** Gal. 6, 7 — **6** Gen. 15, 13 — **11ff** vgl. J. Africanus bei Gelzer S. Julius Africanus I 85f Hippolyt Refut. X 30 Eusebius Chronik S. 46, 27ff Karst; Epiphanius weicht jedoch von allen ab u. hat seine Quelle entweder mißhandelt oder bereits verderbt vorgefunden, da er bis zur Übersiedelung nach Ägypten nur 211 Jahre herausbringt u., um die Zahl 215 zu erreichen, Z. 18 noch 4 Jahre einschieben muß

L J **5—11** Anast. Sin. quaest. 28; Migne 89, 556 D ff Lemma (*τοῦ ἁγίου Ἐπιφανίου*) *ἐκ τοῦ Ἀγκυρωτοῦ*

4 † *τοῖς διακοσίοις δεκαπέντε ἔτεσι*] gemeint kann nur sein die Zeit, die Joseph vor Jakobs Ankunft in Ägypten zubrachte. Dafür gibt Epiphanius sonst keine Zahl; Eusebius (vgl. Hieronymus Chronik S. 32, 4 u. 33, 4 Helm) setzt 22 Jahre an | *τοῦ*] *τοῦτο* J **5** *γὰρ*] *τοίνυν* Anast. Sin. **5f** *κατὰ τοῦ Ἀβραὰμ καὶ τοῦ σπέρματος αὐτοῦ* Anast. Sin. **6f** *ὡς — ἀλλοτρίᾳ* < Anast. Sin. **6** *ὡς**] *ὧ* L J **7** ⟨*τότε*⟩ * | *τὸ ὁρισθὲν*] *τὰ ὁρισθέντα* Anast. Sin. | *ἐτελεῖτο* Anast. Sin. **8** *αὐτοῦ* (so auch Anast. Sin.) sc. *τοῦ σπέρματος* **9** ⟨*διὰ*⟩ * | *διακόσια πεντεκαίδεκα ἔτη* Anast. Sin. | *ἔτι* < Anast. Sin. **9f** *ἀν⟨τ⟩ελάβετο αὐτῶν**] *ἀνελάβετο αὐτὸν* L J < Anast. Sin. **10f** *μετελθοῦσι* Anast. Sin.] *κατοικοῦσι* L J **11—18** die angegebenen Zahlen (25 + 60 + 89 + 47) stimmen nicht zu der Gesamtsumme von 211 Jahren; wenn man ändern will, so liegt es am nächsten, die Zahl $\overline{πθ}$ Z. 15 in $\overline{πε}$ zu verwandeln, das *τεσσάρων* in Z. 16 zu streichen u. Z. 17 *πρώτῳ* statt *ἑβδόμῳ* zu schreiben **15** *ἐτῶν*] *ἔτη* L

Αἴγυπτον ἕτερα τέσσαρα ἔτη καὶ πληροῦνται τὰ διακόσια δεκαπέντε.
ἐντεῦθέν μοι πάλιν ἀριθμεῖται τὰ λοιπὰ διακόσια πεντεκαίδεκα 6
ἔτη τῆς τῶν Ἰσραηλιτῶν παροικίας. Καὰθ δὲ μετὰ τὴν εἰς Αἴγυπτον
κάθοδον ἐν τῷ ἑξηκοστῷ πέμπτῳ ἔτει αὐτοῦ γεννᾷ τὸν πατέρα
Μωυσέως Ἀβραάμ· γίνονται τοίνυν ἀπὸ τοῦ πρώτου Ἀβραάμ, τοῦ
ἑβδομηκοστοῦ αὐτοῦ | πέμπτου ἔτους ἕως τῆς γεννήσεως τοῦ ἐσχάτου D214
Ἀβραὰμ ἔτη σπ, ἀπὸ δὲ τῆς εἰς Αἴγυπτον καταγωγῆς ἔτη ξε. Ἀβραὰμ 7
δὲ ἐτῶν ἑβδομήκοντα ὢν γεννᾷ τὸν Μωυσέα, καὶ γίνονται ἀπὸ μὲν
τοῦ πρώτου Ἀβραὰμ ἔτη τν, ἀπὸ δὲ τῆς εἰς Αἴγυπτον καταγωγῆς
ἔτη ρλε. ὁ δὲ Μωυσῆς ἐν τῷ λ αὐτοῦ ἔτει πατεῖ τὴν ἐρυθρὰν θά- 8
λασσαν, ἅμα Ἰσραηλίταις ἐξ Αἰγύπτου ἐξιών. καὶ γίνονται ἀπὸ μὲν
τοῦ μεγάλου Ἀβραὰμ ἔτη τπ, ἀπὸ δὲ τῆς εἰς Αἴγυπτον καθόδου ἔτη
ρξε. τὰ δὲ λοιπὰ πεντήκοντα ἔτη κατηνάλωσαν μετὰ τὴν διαπεραίωσιν 9
τῆς ἐρυθρᾶς θαλάσσης μέχρι τῆς εἰς Παλαιστίνην ἀπαντήσεως, οὐ
διὰ τὸ μῆκος τῆς ὁδοῦ, ἀλλὰ διὰ τὸ μάχεσθαι καὶ ἐμποδίζεσθαι παρὰ
τῶν καθ' ὁδὸν αὐτῶν εὑρισκομένων ἐθνῶν. γίνονται οὖν ἀπὸ μὲν 10
τοῦ ἑβδομηκοστοῦ πέμπτου ἔτους τοῦ μεγάλου Ἀβραάμ, ἀφ' οὗ ἡ
πρόρρησις αὕτη ἐδόθη αὐτῷ παρὰ τοῦ θεοῦ, μέχρι Μωυσέως καὶ τῆς
εἰς τὴν Παλαιστίνην ἀφίξεως τῶν υἱῶν Ἰσραὴλ ἔτη υλ, ἀπὸ δὲ τῆς
καθόδου τῆς εἰς Αἴγυπτον καὶ μέχρι ⟨τῆς εἰς⟩ Παλαιστίνην αὐτῶν
ἀφίξεως ἔτη σιε.

111. Τοσούτοις οὖν ἔτεσιν ἐργασαμένοις τοῖς Ἰουδαίοις ἀμισθὶ **111**, 1
οὐκ ἦν δίκαιον καὶ παρὰ θεῷ καὶ ἀνθρώποις δοθῆναι αὐτοῖς τὸν
μισθὸν αὐτῶν κἂν ἐπὶ τέλει; οὐκ ἄδικος τοίνυν ὁ θεὸς μετὰ σκύλων
ἐκεῖθεν ἐκβαλὼν τοὺς οἰκείους. εἰ δέ τις ἀμφιβάλλοι μὴ οὕτως ἐξ- 2
αριθμεῖσθαι τὰ ἔτη, ἀκουέτω Μωυσέως λέγοντος »ἡ δὲ κατοίκησις
τῶν υἱῶν Ἰσραὴλ ἐν γῇ Χαναὰν καὶ ἐν γῇ Αἰγύπτῳ ἔτη υλ«. τοῦ 3
οὖν δικαιοτάτου μισθοῦ τοῦ κυρίου ἐπιμελομένου, ποία τις ἔτι ὑπο-
λείπεται μάταιος ἀντιλογία τοῖς βουλομένοις κατὰ τοῦ ἁγίου θεοῦ
καταφέρειν ψόγον; θεὸν δὲ ἀληθινὸν οὐκ ἄν ποτέ τις ψέξειεν, ἀλλ'
οἱ ψέγοντες ἑαυτοὺς | ψέγουσιν. P116

Ἑτέρα δέ τις παρ' αὐτῶν μάταιος καταγγέλλεται ἀντιλογία 4

2—21 auch diese Berechnung ist dem Epiph. eigentümlich — **26** Exod. 12, 40 — **32ff** vgl. Pan. h. 66, 83f

L J **26f** und **32**—S. **136**, **2** = Anast. Sin. quaest. 28; Migne 89, 557 A (Fortsetzung der S. 134 genannten Stelle)

4 *αὐτοῦ ἔτει* J **5** *μωσέος* J **8** *μωσέα* L J **13** *φξε* J **19** *τὴν* < J **20** *εἰς*[1] < J | *⟨τῆς εἰς⟩ Παλαιστίνην* *] *Παλαιστίνης* L J **25** *ἐκβαλλὼν* J **26** *μωσέος* J **27** *γῇ* beidemale Anast. Sin.] *τῇ* L J **32f** *ἑτέρα δέ τις — πρώτη ὅτι*] *φασὶ δέ που εἰρωνικῶς οἱ ἀκάθαρτοι Μανιχαῖοι* Anast. Sin.

ὁμοία τῇ πρώτῃ, ὅτι καλὸς ὁ θεὸς τοῦ νόμου | ὃς ἐπλεονέκτησε D217
τοὺς Χαναναίους, ἵνα δῷ τοῖς Ἰσραηλίταις τὸν αὐτῶν τόπον, »οἰκίας
ἃς οὐκ ᾠκοδόμησαν καὶ ἐλαιῶνας καὶ συκῶνας καὶ ἀμπελῶνας οὓς οὐκ
ἐφύτευσαν«. πρὸς οὓς ἐρῶ· ὦ μάταιοι, εἰ μὲν ἦν θεὸς ὡς ἄνθρωπος, 5
τὰ σήμερον λεγόμενα ἢ πραττόμενα παρήρχετο καὶ οὐδὲν ἦν αὐτῷ
ἐν ἐνθυμήσει· ἐπειδὴ δὲ ὁ θεὸς »θεός ἐστι καὶ οὐκ ἄνθρωπος«, τὰ εἰς
αὐτὸν ἀναφερόμενα εἰς πολλὰς γενεὰς ἐκδικῶν οὐκ ἐπιλανθάνεται.
εἰ γὰρ ἀγνοοῦσι τὸ πρᾶγμα τοῦτο, μαθέτωσαν.

112. Ἴσασι πάντες τὸν δίκαιον Νῶε λείψανον τοῦ κόσμου γεγο- 112, 1
νότα μετὰ τὸν κατακλυσμόν. ὡς οὖν παρελείφθη αὐτός τε καὶ οἱ
τρεῖς αὐτοῦ υἱοί, οἷα δίκαιος ὢν καὶ τοὺς ἑαυτοῦ παῖδας εὐλαβεῖς
καθιστᾶν πειρώμενος, ἵνα μὴ τοῖς αὐτοῖς ὑποπέσωσι κακοῖς ὡς καὶ
οἱ ἐν τῷ κατακλυσμῷ, οὐ μόνον διὰ λόγων τούτοις τὴν εὐλάβειαν
παρεδίδου, ἀλλὰ καὶ δι' ὅρκου ἀφ' ἑνὸς ἑκάστου αὐτῶν τὴν πρὸς τὸν
ἀδελφὸν εὔνοιαν ἀπήτησε. καὶ διαμερίζει μὲν ὡς κληρονόμος τοῦ 2
κόσμου καταστὰς ὑπὸ τοῦ θεοῦ τοῖς τρισὶν υἱοῖς αὐτοῦ τὸν πάντα
κόσμον, ὑπὸ κλήρους διελὼν καὶ ἑκάστην μερίδα κατὰ κλῆρον ἑκάστῳ
ἀπονέμων· καὶ τῷ μὲν Σὴμ τῷ πρωτοτόκῳ ὑπέπεσεν ὁ κλῆρος ἀπὸ 3

2—4 Deut. 6, 11 — **6** vgl. Hos. 11, 9 — **10ff** lib. Jub. 8, 11ff Littmann, vgl. Panarion h. 66, 83 — **14** lib. Jub. 9, 14 Littmann — **18—S. 140, 7** vgl. lib. Jub. 8, 12—9, 13 Littmann Hippolyt Chronik § 44ff Bauer Excerpta latina Barbari 192, 16ff Frick Chronicon pasch. 26 Aff; S. 45ff Dindorf (dazu die bei v. Gutschmid, Kl. Schr. V 240ff 585ff, A. Bauer, Die Chronik des Hippolytos u. Frick, Chronica minora behandelten weiteren Zeugen). Epiph. fußt auf Hippolyt; jedoch so, daß er dessen Völkerlisten mit anderwärts aus Hippolyts Chronik hergeholtem Stoff, ganz vereinzelt auch aus eigenem Wissen auffüllt. Beachtenswert ist, daß Epiph. häufig mit dem lib. gen. gegen den cod. Matrit. zusammenstimmt. Vgl. für seine Auffassung noch Panarion h. 2, 8ff u. h. 66, 83

L J **4—S. 141, 20** Anastasius Sinait. quaest. 28; Migne 89, 557 Aff (Forts. der S. 134 u. 135 genannten Stelle; bei Anast. Sin. sind jedoch zwischen die aus Epiphanius entnommenen Abschnitte der Völkerliste Stücke aus anderer Quelle eingeschoben) **18—S. 137, 3** Chron. pasch. 30 B; S. 53, 17—21 Dindorf

2 τὸν τόπον αὐτῶν Anast. Sin. **3** οὓς] ἃς L **4—8** zusammengefaßt bei Anast. Sin. ἀλλ' ἴστωσαν οἱ ἀνόητοι ὅτι ὁ θεὸς δίκαιος ὢν δικαίως τὰ πάντα διεξάγει **4** ὡς < J **6** δὲ < J **9—12** zusammengefaßt bei Anast. Sin. ὁ γὰρ δίκαιος Νῶε λείψανον τοῦ κόσμου μετὰ τὸν κατακλυσμὸν γενόμενος πολυτρόπως τοὺς ἑαυτοῦ παῖδας εὐλαβεῖς καθιστᾶν ἐπειρᾶτο **12** περιπέσωσι Anast. Sin. | ὡς] οἷσπερ Anast. Sin. **14** παρεδίδου Anast. Sin.] παρετίθει L J | δι' ὅλου L J **15f** μὲν ὡς — τοῦ θεοῦ < Anast. Sin. **16** πάντα τὸν κόσμον εὐθέως τοῖς τρισὶν υἱοῖς αὐτοῦ Anast. Sin. **17** κατὰ κλῆρον < Anast. Sin. **18** τῷ 1] ταῦτα L | Σὴμ < Anast. Sin.

Περσίδος καὶ Βάκτρων ἕως Ἰνδικῆς ⟨τὸ μῆκος, πλάτος δὲ ἀπὸ Ἰνδικῆς⟩ ἕως τῆς χώρας Ῥινοκουρούρων· κεῖται δὲ αὕτη ἡ Ῥινοκουρούρων ἀνὰ μέσον Αἰγύπτου καὶ Παλαιστίνης, ἀντικρὺ τῆς ἐρυθρᾶς θαλάσσης. Χὰμ δὲ τῷ δευτέρῳ ἀπὸ τῆς αὐτῆς Ῥινοκουρούρων ἕως Γαδείρων 4
5 *τὰ πρὸς νότον. Ἰάφεθ δὲ τῷ τρίτῳ ἀπὸ Μηδίας ἕως Γαδείρων καὶ Ῥινοκουρούρων τὰ πρὸς βορρᾶν.*

113. *Τῷ οὖν Σὴμ γίνονται παῖδες καὶ παίδων παῖδες* $\overline{κε}$ *ἕως ὅτε* **113, 1**
διεμερίσθησαν αἱ γλῶσσαι· καὶ εἰσὶ διεσπαρμένοι ἐν γλώσσαις καὶ φυλαῖς καὶ βασιλείαις. τὰ δὲ ὀνόματα αὐτῶν ἐστι τάδε· Ἐλυμαῖοι 2
10 *Παίονες Λαζόνες Κοσσαῖοι Γασφηνοὶ [Παλαιστινοὶ] Ἰνδοὶ | Σύροι* D 216
Ἄραβες οἱ καὶ ⟨Ταϊ⟩ανοὶ Ἀριανοὶ Μάρδοι Ὑρκανοὶ Μαγουσαῖοι Τρωγλοδύται Ἀσσύριοι Γερμανοὶ Λυδοὶ Μεσοποταμῖται Ἑβραῖοι Κοιληνοὶ Βακτριανοὶ Ἀδιαβηνοὶ Καμήλιοι Σαρακηνοὶ Σκύθαι † Χίονες Γυμνο-

L J Anast. Sin. **4 f** Chron. pasch. 28 A; S. 49, 6 Dindorf **5 f** Chron. pasch. 26 C; S. 46, 5 Dindorf

1 ⟨τὸ μῆκος, πλάτος δὲ ἀπὸ Ἰνδικῆς⟩ *, nach Hipp. § 47] < L J *καὶ μῆκος τοῦ κλήρου* Anast. Sin. Chron. pasch. **2** Ῥινοκουρούρων²] Ῥινοκουρούρα Anast. Sin. **3** ἀντικρὺ] *τῆς ἀντικρὺ κειμένης* Chron. pasch. **5** δὲ < J | *τρίτῳ* + *ἔλαχεν εἰς μερισίαν* Anast. Sin. | *Μηδείας* L | *Γαδήρων* Anast. Sin. **6** nach *πρὸς βορρᾶν* schiebt Anast. Sin. nach einer auf Josephus antiqu. I 143—146 (vgl. Chron. pasch.) zurückgehenden Quelle ein *Υἱοὶ Σήμ· Ἐλάμ, ἀφ' οὗ Ἐλυμαῖοι, Περσῶν οἱ ἀρχαῖοι· Ἀσσούρ, ἀφ' οὗ Ἀσσύριοι· Ἀρφαξάδ, ἀφ' οὗ Χαλδαῖοι· Ἀράμ, ἀφ' οὗ Σύροι· Λούδ, ἀφ' οὗ Λυδοί· Ἔβερ, ἀφ' οὗ Ἑβραῖοι* **7** τῷ] τοῦ L J | $\overline{κε}$ Anast. Sin.] *καὶ* L J **8** *αἱ γλῶσσαι διεμερίσθησαν* Anast. Sin. **9 ff** In der folgenden Liste gibt Anast. Sin. nur 36 von den in L J aufgeführten Namen, zugleich in stark abweichender Reihenfolge; andererseits ist aber L J nachweislich in einzelnen Fällen durch Einschübe entstellt, vgl. zu S. 138, 3—5 **10** *Παίονες*] schon bei Hipp. vorliegendes Verderbnis; *Μα⟨τ⟩ιανοί*? Marquart | *Λαζόνες*] *Λαζοὶ* LJ *Ἀλαζονεῖς* Hipp. § 163; richtig *Ἀλαζόνες* Marquart | *Κοσσαῖοι* Gutschmid] *Κοσσευσοῦοι* L J < Anast. Sin. (das von Gutschmid aus dem zweiten Teil des Worts gebildete *Σούσιοι* ist unglücklich u. überflüssig) | [*Παλαιστινοὶ*] *, < Anast. Sin.; wohl nachepiph. Zusatz **11** *οἱ καὶ ⟨Ταϊ⟩ανοὶ* Gutschmid Marquart] *οἱ Καϊανοὶ* L J *οἱ καὶ Λαρδάνοι* Anast. Sin. | *Μάρδοι*] *Μασυρήλιοι* L J **12** *Γερμανοὶ*] richtig *Γερμάνιοι*, gemeint sind die *Καρμάνιοι* Marquart | *Λυδοὶ*] vgl. lib. gen. § 167 | *Μεσοποταμῖται* < Anast. Sin. **13** Ἀδιαβηνοὶ < Anast. Sin. | *Καμήλιοι* *] *Καμίλιοι* L J *Καρμήλιοι* Hipp. § 179 (aus *Καρμάνιοι* entstanden Marquart) | *Σαρακηνοὶ* < Anast. Sin. | † *Χίονες*, nicht bei Hipp.; jedenfalls verdorben

σοφισταὶ Χαλδαῖοι Πάρ|θοι Ἐῆται Κορδυληνοὶ Μασσυνοὶ Φοίνικες P117
Μαδιηναῖοι Κομμαγηνοὶ Δαρδάνιοι Ἐλαμασηνοὶ Κεδρούσιοι Ἐλαμῖται
Ἀρμένιοι Κίλικες [Αἰγύπτιοι] Καππάδοκες [Φοίνικες] Ποντικοὶ [Μαρμαρίδαι] † Βίονες [Κᾶρες] Χάλυβες [Ψυλλῖται] Λαζοὶ [Μοσσύνοικοι]
Ἴβηρες [Φρύγες].

Χὰμ δὲ τῷ δευτέρῳ παῖδες καὶ παίδων παῖδες τριάκοντα δύο 3
ἕως τοῦ αὐτοῦ διαμερισμοῦ τῶν γλωσσῶν· Αἰθίοπες Τρωγλοδύται
Ἀγγαῖοι Ταιηνοὶ Σαβῖνοι Ἰχθυοφάγοι Ἑλλανικοὶ Αἰγύπτιοι Φοίνικες
Μαρμαρίδαι Κᾶρες Ψυλλῖται Μοσσύνοικοι Φρύγες Μάκωνες Μάκρωνες

L J Anast. Sin.

1 *Ἐῆται* *] *Ἔνται* L J *Ἐῆτες* Anast. Sin. *Αἶται* Hipp. § 165 (aus *Μαιῆται* entstanden Marquart) | *Κορδυληνοὶ*] vgl. *Κορδυλία* Hipp. § 194; richtig *Κορδυηνοὶ* Gutschmid | *Μασσυνοὶ*] *Μασσηνοὶ* L J | *Φοίνικες* < Anast. Sin. **2** *Κομαγηνοὶ* L J | *Δαρδάνιοι*] paßt nicht in den Zusammenhang; entstanden aus einer Glosse zu *καὶ Ταϊανοὶ*, vgl. S. 137, 11 Marquart | *Ἐλαμασηνοὶ*] < Anast. Sin. *Ἀλαμοσυνοὶ* Hipp. § 184 | *Ἐλαμῖται*, Glosse zu *Ἐλυμαῖοι* S. 137, 9 Marquart **3** *Ἀρμένιοι*] *Ἑρμαῖοι* Hipp. § 185, ein südasiatisches (oder ostafrikanisches) Volk Marquart **3—5** [*Αἰγύπτιοι*] . . [*Φοίνικες*] . . [*Μαρμαρίδαι*] . . [*Κᾶρες*] . . [*Ψυλλῖται*] . . [*Μοσσύνοικοι*] . . [*Φρύγες*] Gutschmid S. 676, wegen der Wiederholung in Z. 8f, die Ausscheidung wird durch Anast. Sin. bestätigt; die anderen Namen *Κίλικες Καππάδοκες Ποντικοὶ † Βίονες Χάλυβες Λαζοὶ Ἴβηρες* sind Zusatz des Epiph. über Hipp. hinaus **3** *Κύλικες* L J **4** † *Βίονες*] *Βίκωνες* Anast. Sin.; vgl. Gutschmid S. 677 | *Λαζοὶ*] < Anast. Sin. **5** nach *Ἴβηρες* schaltet Anast. Sin. aus seiner Nebenquelle (Josephus antiqu. I 131—135, vgl. Chron. pasch.) ein: *υἱοὶ Χάμ. Χοῦς ἀφ' οὗ Χοῦσαι Αἰθίοπες. οὗτος ὁ Αἰθιοψ ἐγέννησε τὸν Νεβρὼδ τὸν γίγαντα καὶ κυνηγὸν καὶ πρῶτον ἐφευρόντα μαγείαν [ἀστρολογίαν] καὶ κτίσας τὴν Βαβυλῶνα ἐβασίλευσεν ἐν αὐτῇ πρῶτος βασιλεὺς γεγονώς· Μεσραΐμ, ἀφ' οὗ Μεσραῖοι [Αἰγύπτιοι]· Φούδ ἀφ' οὗ Φουδαῖοι Λίβυες· Χαναὰμ ἀφ' οὗ Χαναναῖοι· Σαββᾶ ἀφ' οὗ Σαββιαῖοι, Αἰθιόπων γένος· Εὐϊλάτ, ἀφ' οὗ Γετουλοί* **6** *τριάκοντα δύο* hinter *γλωσσῶν* (Z. 7) Anast. Sin. **7** *αὐτοῦ* < Anast. Sin. **7—S. 139, 9** die folgende Liste stimmt (einschließlich der Inseln) auch in der Reihenfolge genau mit Anast. Sin. überein; nur daß bei diesem 2 Namen (*Φρύγες* u. *Γετοῦλοι*) fehlen **7** *Τρωγλοδίται* L **8** *Ταιηνοὶ* Marquart] *Ταγγηνοὶ* L J *Ταγηνοὶ* Hipp. § 132, 4 (vgl. § 200, 27) | *Σαβῖνοι*] *Ἡσαννοὶ* Anast. Sin. *Ἰσακηνοὶ* Hipp. § 132, 5; richtig wäre *Σακκηνοὶ* vgl. Hipp. § 228 Marquart **9** *Μοσσυνοὶ* Anast. Sin. | *Φρύγες* < Anast. Sin. | *Μάκωνες* Anast. Sin., so schon von Gutschmid vermutet] *Μακεδόνες* L J | *Μάκρωνες*] *Κράκονες* L J, Verbesserung zu *Μάκωνες*

Συρτῖται Λεπτιμαγνῖται Βιθυνοὶ Νομάδες Λύκιοι Μαριανδηνοὶ Πάμφυλοι † Μοσχεσίδιοι Πισιδηνοὶ Αὐγαλαῖοι Κίλικες Μαυρούσιοι Κρῆτες Μαγάρδαι Νουμιδοὶ Ἄφροι ⟨οἱ⟩ καὶ Βιζακηνοὶ Νασαμῶνες Φασγηνοὶ Μάζικες Γάραμοι Γετοῦλοι Βλέμμυες Ἀξωμῖται· οὗτοι
5 *κατέχουσιν ἀπὸ Αἰγύπτου ἕως Ὠκεανοῦ. καὶ νῆσοι αὐτοῖς· Κούρ-* 4
σουλα Λοπάδουσα Γαῦλος Ῥίδη Μελίτη Κέρκυρα Μήνη Σαρδανὶς Γόρτυνα Κρήτη Γλαῦκος Ῥίδη Θήρα Καρίανθος Ἀστυπαλαία Χίος Λέσβος Τένεδος Ἴμβρος Ἴασος Σάμος Κῶος Κνίδη Νίσσυρος Μεγίστη καὶ Κύπρος.

L J Anast. Sin.

1 *Συρτῖται*, vgl. Hipp. § 145 *Σύρτις* | *Λεπτιμαγνῖται* Marquart] *Λεπτῖται Μαγνῆται* L J *Λεπτῖται Μάγνητες* Anast. Sin, vgl. Lecti magna (Lepthi magna) Hipp. lib. gen. II § 83 | *Νομάδες*] *Νονάδι* Anast. Sin. | *Κύκιοι* L **2** † *Μοσχεσίδιοι*] *Μοσχευσίδιοι* Anast. Sin. *Misudi* lib. gen. I § 128, 23 *Μοσυνοὶ* Hipp. § 132, 15 (falsche Lesart für *Μοσσύνοικοι* Marquart) **3** *Μαγάδες* Anast. Sin. | *Ἄφροι ⟨οἱ⟩ καὶ Βιζακηνοί* *, nach de mens. ac pond. 79, 4; S. 207, 40 Lagarde Symmikta II] *Ἀ. καὶ Βιζακ.* L J *Ἀ. οἱ Βιζ.* Anast. Sin. **4** *Φασγινοὶ* L J; sonst unbekannt | *Γετοῦλοι* < Anast. Sin. | *Βλέμμυες Ἀξωμῖται* von Epiph. über Hipp. hinaus zugesetzt | *Αὐξομῖται* L J *Ἀζωνῖται* Anast. Sin. **5** *κατέχουσι* + ⟨*τὰ κλίματα*⟩? * **5f** *Κούρσουλα*] *Κούρκουδα* J *Κορκ λα* (zwischen *κ* und *λ* ein Loch) L *Κόρσυλα* Hipp. § 153 (richtig *Cossura* lib. gen. II) **6** *Λοπάδουσα*] *Λάμπουσα* Anast. Sin.; eigentlich *Λαμπαδοῦσα* Marquart | *Γαῦλος Ῥίδη*] *Γαυλορίδη* Hipp. § 153, 12 (ursprünglich war gemeint *Γαῦδος κατὰ Κρήτην*; Epiph. wirft (vgl. Z. 7) das kretische *Γαῦδος* mit dem nordafrikanischen *Γαῦδος* zusammen und setzt daher beidemale *Ῥίδη* hinzu Marquart) **6f** *Μελίτη — Θήρα* < Anast. Sin. **6** *Κέρκυρα*] Verballhornung aus *Κέρκινα* Hipp. § 153, 5 | *Μήνη*] *Μηνὶς* Hipp. § 153, 6; richtig *Μῆνιγξ* Marquart | *Σαρδανὶς* Marquart nach Hipp. § 153, 6] *Σαρδανὴ* J *Σαρδανίη* L **7** *Γόρτυνα*] Verbesserung von *Γορσύνη* Hipp. § 153, 10 | *Γλαῦκος* für *Κλαῦδος* Marquart, vgl. zu Z. 6 | *Καρίανθος*] *Ἀριανὸς* L J *Καρίαθος* Hipp. § 153, 14 (= *Κάρπαθος* Marquart) | *Ἀστυπάλαι* Anast. Sin. **8** *Ἴάμβρος* L | *Κνίδη Νίσσυρος*] *Κυδωνήσιρος* Anast. Sin. **9** *καὶ* < Anast. Sin. | nach *Κύπρος* schiebt Anast. Sin. aus seiner Nebenquelle (Josephus antiqu. I 134. 124—128, vgl. Chron. pasch.) ein: *Σαβαθᾶ, ἀφ' οὗ Ἀσταβάροι. Ἐσβεκαθᾶ, ἀφ' οὗ Ἐσβεχθηνοί. Υἱοὶ Ἰάφεθ· Γόμερ, ἀφ' οὗ Γαλάται· Μαγώγ, ἀφ' οὗ Σκύθαι· Μαδαΐ, ἀφ' οὗ Μῆδοι. Ἰωνάν, ἀφ' οὗ Ἴωνες. Ἐλισά, ἀφ' οὑ Αἰολεῖς. Θόβελ, ἀφ' οὗ Ἴβηρες. Μοσόχ, ἀφ' οὗ Καππάδοκες· Θείρας, ἀφ' οὗ Θρᾷκες. Ἀσχανάζ, ἀφ' οὗ Ῥήγινες. Ῥιφάθ, ἀφ' οὗ Παφλαγόνες. Θοργαμά, ἀφ' οὗ Φρύγες. Θαρσίς, ἀφ' οὗ Κίλικες. Χεττιείμ, ἀφ' οὗ Κύπριοι, Κύποι, Ρόδιοι. Γώγ, ἀφ' οὗ Γότθοι. Γεργομάν, ἀφ' οὗ Ἄρμενοι*

Ἰάφεθ δὲ τῷ τρίτῳ παῖδες καὶ παίδων παῖδες δεκαπέντε ἕως τοῦ 5
αὐτοῦ διαμερισμοῦ τῶν γλωσσῶν· Μῆδοι Ἀλβανοὶ Γαργιανοὶ Ἀρμένιοι
Ἀρραῖοι Ἀμαζόνες Κῶλοι Κορζηνοὶ Βενεαγηνοὶ Καππάδοκες Γαλάται
Παφλαγόνες Μαριανδηνοὶ Τιβαρηνοὶ Χάλυβες Μοσσύνοικοι Κόλχοι
Μελαγχηνοὶ Σαυρομάται Γερμανοὶ Μαιῶται Σκύθαι Ταῦροι Θρᾷκες
Βαστέρνοι Ἰλλυριοὶ Μακεδόνες Ἕλληνες Λίβυες † Φρύγες Παννόνιοι D217
Ἴστροι Οὐέννοι Δαυνεῖς Ἰάπυγες Καλαβροὶ Ἱππικοὶ Λατῖνοι οἱ καὶ
Ῥωμαῖοι Τυρρηνοὶ Γάλλοι ⟨οἱ⟩ καὶ Κελτοὶ Λιγυστινοὶ [Καμπανοὶ]
Κελτίβηρες Ἴβηρες Γάλλοι Ἀκουιτανοὶ Ἰλλυριανοὶ Βάσαντες Κάννιοι
Καρτανοὶ Δυσιτανοὶ Οὐακκαῖοι Βρεττανικοὶ Σκότοι Σπάνοι.
νῆσοι δὲ αὐτοῖς Βρεττανία Σικελία Εὔβοια Ῥόδος Χίος Λέσβος Κύθηρα 6
Ζάκυνθος Κεφαληνία Ἰθάκη Κέρκυρα Κύπρος. εἴ που δὲ ὄνομα 7

L J Anast. Sin.

2—12 die Liste der Japhetsöhne stimmt im wesentlichen mit Anast. Sin. überein; nur auf der Strecke *Μαριανδηνοὶ — Ἕλληνες* ist die Reihenfolge verschieden; bei Anast. Sin. fehlen ganz die *Παφλαγόνες*, die *Τιβαρηνοὶ Χάλυβες Μοσσύνοικοι*, die *Μελαγχηνοί*, die *Ἴβηρες Γάλλοι* u. die *Κάννιοι*, dazu von den Inseln *Ἰθάκη*; dafür hat er die *Ἀλβανοί* u. die *Γερμανοί* über L J hinaus **2** *Ἀλβανοί*, vgl. Hipp. § 80, 2] < L J **3** *Ἀρραῖοι*, vgl. über sie de duod. gemmis 36; CSEL 35 II S. 753, 16 Günther] *Ἀρρέοι* L J | *Κῶλοι* * nach Hipp. § 80, 7] *Κόλλοι* L J *Κολοί* Anast. Sin. | *Κορζηνοί*] richtig *Κολορζηνοί* Marquart | *Βενεαγηνοί*] *Benageni* lib. gen. *Δενναγηνοί* Matrit. | vor *Καππάδοκες* + *Γαλάται* L J (Dittographie) **4** *Παφλαγόνες* < Anast. Sin. | *Μαριαδηνοί* L J | *Τιβαρηνοὶ Χάλυβες Μοσσύνοικοι* < Anast. Sin. **5** *Μελαγχηνοὶ* Gutschmid] *Μελασχηνοί* L J < Anast. Sin. | *Γερμανοί*, vgl. Hipp. § 200, 53] < L J | *Μαιῶται*] *Μαίωνες* Anast. Sin. **9** *Βαστρανοί* Anast. Sin. | † *Φρύγες*] wohl Vermutung zu *Λίγυρες* bei Hipp. § 80, 26 Marquart | *Πανόνιοι* J **7** *Ἴστροι* Gutschmid] *Οὐέστροι* L J *Σεστροί* Anast. Sin. | *Οὐέννοι*] *Ὀγγενοὶ* Anast. Sin. (verderbt aus *Οὐενετοὶ* Marquart) | *Ἱππικοί*] ebenso Hipp. § 80, 32; richtig *Ὀπικοί* **8** *⟨οἱ⟩ καὶ Κελτοὶ* *] *κεκέλτοι* L J *Κελτοὶ* Anast. Sin. | *Λιγυστινοὶ* Gutschmid] *Λιβυστηνοὶ* L J *Λιβεστικοὶ* Anast. Sin. | [*Καμπανοὶ*], geographisch hier nicht hereinpassend Marquart **9** *κελσίβηρες* L J | *Ἴβηρες Γάλλοι*] *Ἴβηρες* < J beides < Anast. Sin. | *Ἀκονιτανοὶ* J | *Βέσαντες* Anast. Sin. | *Κάννιοι* Marquart, nach *Κόννιοι* Hipp. § 80, 46] *Σάμιοι* L J < Anast. Sin. **10** *Καρτανοὶ*] *Κυρτανοὶ* Hipp. § 80, 43; richtig *Καρ⟨πη⟩τανοὶ* Pet. | *Οὐακαῖοι* L J | *Βραττανικοί* L | *Σκότοι*, eigene Zutat des Epiph.] *Σκόρτοι* L J **11** *αὐτῶν* L J | *Εὔοια* J | *Κιθήρα* L *Κυθέρεια* Anast. Sin. **12** *Ἰθάκη* < Anast. Sin. | *Κύπρος*, eigene Zutat des Epiph.] *Κυκλάδες* vermutet Gutschmid **12 f** *ἔθνους ὄνομα* Anast. Sin.

ἔθνους ἢ νήσου ἐντέτακται δισσῶς ἐν κλήρῳ ἄλλου καὶ πάλιν ἄλλου, κατὰ τὰ κοινὰ ὅρια ἢ κατὰ τὰς γενομένας κατὰ καιρὸν ἀποικίας ἢ κατὰ | πρόσληψιν τοῦ Χάμ, ὃς ἐπλεονέκτησε καὶ ἔλαβε τοῦ Σὴμ μέρη, P118
μηδεὶς θαυμαζέτω ἢ ἀμφιβαλλέτω.

5 **114.** *Τούτων τοίνυν τῶν ἐθνῶν οὕτως ἐκ τῶν τριῶν υἱῶν τοῦ* **114, 1**
Νῶε γεγονότων καὶ τριχῇ τοῦ κόσμου τοῖς τρισὶν υἱοῖς διαμερισθέντος, ὡς προεῖπον ὅρκος ἀπητήθη παρ᾽ αὐτῶν ὑπὸ τοῦ πατρὸς μηδένα **2**
ἐπεμβαίνειν τῷ τοῦ ἀδελφοῦ κλήρῳ· τὸν δὲ ὑπερβαίνοντα τὴν τοῦ
ὅρκου διαταγὴν ἐξολοθρεύεσθαι ἐν τῷ ὅρκῳ ἔφησαν καὶ πᾶν τὸ
10 *σπέρμα αὐτοῦ. ἐπεὶ οὖν ἐν τῷ κλήρῳ ⟨τοῦ⟩ Σὴμ ἡ Παλαιστίνη* **3**
ὑπέπεσε καὶ πάντα τὰ πλησίον αὐτῆς, πλεονέκτης δὲ ὢν ὁ Χαναὰν
υἱὸς Χὰμ ἐπῆλθε τῇ Παλαιστινῶν ὕστερον γῇ τουτέστι τῇ Ἰουδαίᾳ
καὶ ἁφαρπάζει αὐτήν, ἐμακροθύμει δὲ ὁ θεὸς διδοὺς χρόνους μετα- **4**
νοίας, ἵνα μετανοήσειαν οἱ ἐκ τοῦ Χὰμ καὶ ἀποδῶσι τοῖς τοῦ Σὴμ
15 *τὴν ἰδίαν κληρουχίαν, ἐκεῖνοι δὲ οὐ μετενόουν, ἀλλ᾽ ἤθελον τὸ μέτρον*
αὐτῶν πληρῶσαι, — τότε ὁ θεὸς μετὰ πολλὰς ὕστερον γενεὰς δίκαιος **5**
ὢν ἐκδικεῖ τὴν παράβασιν τοῦ ὅρκου· οὕτω γὰρ ἔδει πληρωθῆναι τὸ

3 vgl. lib. Jub. 10, 29 Littmann — **7 ff** lib. Jub. 9, 14 Littmann; vgl. Panarion h. 66, 84 — **10** lib. Jub. 8, 30 Littmann — **17 f** vgl. Gen. 15, 16

L J Anast. Sin.

1 ἔθνος J | ἐντέταται L J **1 f** καὶ πάλιν — ὅρια < Anast. Sin. **2** τὰ < J **3** πρόληψιν L | μέρους L J **7** ὡς προεῖπον] οἷς ὡς εἴρηται Anast. Sin. **8** ἀδελφοῦ + αὐτοῦ Anast. Sin. **9** ἔφησαν < J **9 f** τὸ σπέρμα αὐτοῦ + τοῦ ἐπιβαίνοντος χώρᾳ τινὶ τοῦ ἀδελφοῦ αὐτοῦ καὶ πλεονεκτοῦντος τὸν ἴδιον ἀδελφὸν Anast. Sin. (nach der Herstellung von Gretser) **10 f** ἐπεὶ οὖν ἐν — πλησίον αὐτῆς] ἐπεὶ οὖν ἐν τῷ τοῦ Χὰμ κλήρῳ Αἴγυπτος καὶ πάντα τὰ πρὸς νότον ὑπέπεσαν πάνυ δοκοῦντα καυσώδη τινὰ ὑπάρχειν Anast. Sin. **11** ὁ < Anast. Sin. **12** Χὰμ < Anast. Sin. | ὕστερον < Anast. Sin. **13** ἁφαρπάζει αὐτὴν + τοῦ κλήρου οὖσαν τοῦ Σήμ Anast. Sin. | ἐμακροθύμει δὲ] καὶ ἐμακροθύμει Anast. Sin. **13 f** μετανοήσειεν L μετανοήσωσιν Anast. Sin. **14** Χὰμ + ἔκγονοι Anast. Sin. | τοῖς + υἱοῖς Anast. Sin. **15** κληρονομίαν Anast. Sin. **16—142, 13** faßt Anast. Sin. folgendermaßen zusammen σπλαγχνισθεὶς ὁ θεὸς μηδὲν κακὸν τούτοις ἐπήνεγκεν. ἐπεὶ οὖν ἔτεσι πολλοῖς ἡ μακροθυμία τοῦ θεοῦ συνεχώρει κατὰ τὸ εἰρημένον »οὔπω ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων«, ἔμενε τε τῇ ἁμαρτίᾳ ὁ Χαναάν, γεννήσας τὸν Ἀμορραῖον καὶ Ἀσεναῖον καὶ Ἀράδιον καὶ Σιδώνιον καὶ τῷ χρόνῳ τούτῳ τῆς μακροθυμίας τοῦ θεοῦ οὐ μετεμελεῖτο ὁ Χάμ

Ἀμορραίων μέτρον. Σὴμ γὰρ γεννᾷ τὸν Ἀρφαξάδ· Χὰμ δὲ γεννᾷ 6
τὸν Χαναάν, Χαναὰν δὲ γεννᾷ μετὰ τὴν πλεονεξίαν τὸν Ἀμορραῖον
καὶ τὸν Γεργεσαῖον καὶ Φερεζαῖον καὶ Εὐαῖον καὶ Ἀρουκαῖον καὶ | D218
Ἀράδιον καὶ Σιδώνιον. ἀριθμοῦνται τοίνυν οὕτως αἱ γενεαὶ ἕως 7
τῆς τοῦ Σὴμ ἐκδικίας· Σὴμ ὁ πλεονεκτηθεὶς γεννᾷ τὸν Ἀρφαξάδ,
ὡς εἴπομεν· Ἀρφαξὰδ δὲ γεννᾷ τὸν Κηνᾶ, Κηνᾶ τὸν Σάλα, Σάλα
τὸν Ἔβερ καὶ γίνεται ἡ πυργοποιία· Ἔβερ γεννᾷ τὸν Φαλὲκ καὶ γίνεται
γῆς καὶ γλωσσῶν διαμερισμός· Φαλὲκ γεννᾷ τὸν Ῥαγαῦ, ⟨Ῥαγαῦ⟩ τὸν
Σερούχ, Σεροὺχ τὸν Ναχώρ, Ναχὼρ τὸν Θάρρα, Θάρρα τὸν Ἀβραάμ,
Ἀβραὰμ τὸν Ἰσαάκ, Ἰσαὰκ τὸν Ἰακὼβ τὸν ἐπονομασθέντα Ἰσραήλ,
ἐξ οὗπερ Ἰσραηλῖται, Ἰακὼβ τὸν Ἰούδαν, Ἰούδας τὸν Φαρές, Φαρὲς
τὸν Ἐσρώμ, Ἐσρὼμ τὸν Ἀράμ, Ἀρὰμ τὸν Ἀμιναδάβ, Ἀμιναδὰβ τὸν
Ναασσὼν καὶ ⟨Ναασσὼν⟩ τὸν Σαλμών. αὕτη ἡ γενεὰ τῶν ἀπὸ Σὴμ
γεγεννημένων. τούτους οὖν ἀδικηθέντας ὑπὸ τῶν υἱῶν Χὰμ καὶ 8
τὸν ἴδιον τόπον ἀφαιρεθέντας ἐκδικεῖ ὁ θεὸς ἐξολοθρεύσας τοὺς τοῦ
Χαναὰν κατὰ τὸν ὅρκον αὐτῶν, καὶ τὸ σπέρμα τοῦ Σὴμ τὴν ἰδίαν
ἀπολαμβάνει χώραν. οὐκ ἠδίκησεν οὖν ὁ θεός, τὰ δίκαια ἑκάστῳ
μέρει | ἀπονέμων· »οὐ γὰρ μυκτηρίζεται ὁ θεός«, ὡς προεῖπον. P119

115. Ἐν τῇ οὖν ἐξόδῳ συναγωγὴν ἑαυτῷ ὁ θεὸς ἁρμόζων φησὶ **115**, 1
Μωυσῇ »ὑπόλυσαι τὰ ὑποδήματα ἐκ τῶν ποδῶν σου«. πᾶς γὰρ ὁ
μέλλων καθαροῖς λουτροῖς προσιέναι πρῶτον ὑπολύεται. ἐπειδὴ 2
τοίνυν χρόνος πολὺς διελήλυθε καὶ πᾶς τις »ἐν τῇ ὁδῷ αὐτοῦ ἐπλα-
νήθημεν« καὶ αὕτη ἡ συναγωγὴ ἐν τοῖς ἰδίοις κακοῖς ἔμεινεν, οὕπω
»τὸ λουτρὸν« ὁ θεὸς »τῆς παλιγγενεσίας« ἀπεκάλυπτεν, ἀλλ' ἔτεσι μὲν
πολλοῖς ἀνεβάλλετο, ὕστερον δὲ τῇ ἁγίᾳ ἐκκλησίᾳ τὸ πανάγιον
λουτρὸν ἀπεκάλυψεν· ἐν μὲν Μωυσῇ ὑποδήματα ὑπολύων, ἐν δὲ 3

1 vgl. Gen. 10, 22 — **1—4** vgl. Gen. 10, 16f — **5—13** Luk. 3, 32—36 (Matth. 1, 2—4) — **7** zu *Φαλὲκ* lib. Jub. 8, 8; vgl. Jul. Africanus bei Georg. p. 86 — **18** Gal. 6, 7 — **19ff** damit wird der Gedanke von c. 107, 1 wieder aufgenommen — **20** Exod. 3, 5 — **22** Jes. 53, 6 — **24** vgl. Tit. 3, 5

L J Anast. Sin. (bis Z. 18)

1 Ἀμμοραίων L **2** Ἀμμοραῖον L **6** δὲ < J . **9** ναχὼρ[1]] ἀχὼρ J **12** Ἀμιναδὰμ beide Male L J **14—16** lautet bei Anast. Sin. *τούτου ἕνεκεν ἔκδικος ὢν ὁ θεὸς ἀληθὴς μετὰ δεκαοκτὼ γενεὰς ἐκδικεῖ τὸν ὅρκον ὃν μεταξὺ ἀλλήλων πρὸς θεὸν συνέθεντο ἐξολοθρευομένου τοῦ σπέρματος Χαναάν, καθὰ ἐκ στόματος αὐτοῦ ἐξεληλυθότα* **18** ἀπονέμων + *μάτην τοίνυν λοιδοροῦσιν οἱ Μανιχαῖοι* Anast. Sin. **20** πᾶς] πῶς J

προφήταις τὸν ἔξωθεν χιτῶνα ἀπεκδύων, περίζωμα μόνον καταλείψας
τῷ Ἱερεμίᾳ, ἐν [δὲ] Ἰωάννῃ ὅλα τὰ τοῦ κόσμου ἱμάτια μεταβαλὼν ἐκ
τριχῶν καμήλου μετεσχημάτιζεν, ἐν δὲ αὐτῷ τῷ σωτῆρι καὶ τοῖς
αὐτοῦ μαθη|ταῖς »κόσμου τὸ σχῆμα« ἐξέδυσεν, ἄνωθεν δὲ ἀπ᾽ οὐρανῶν D219
μετὰ τὴν τῶν ὑδάτων κάθαρσιν »πυρὸς καὶ πνεύματος« ἔνδυσιν ἐνεδί-
δυσκεν. ἀλλ᾽ ὁρῶντες οἱ Ἰσραηλῖται [τὴν] χάριν τούτου οὐκ ἔγνωσαν 4
ὅτε θεός ἐστι. διὸ καὶ ὁ προφήτης ἐγκληματικῶς τούτους ἀπω-
δύρετο διὰ τὴν εἰς τὸν σωτῆρα ὑπ᾽ αὐτῶν ἐσομένην ἀτιμίαν, »ταῦτα
κυρίῳ ἀνταποδίδοτε, λέγων, λαὸς μωρὸς καὶ ἀκάρδιος;« οὐκ ἔγνωσαν 5
γὰρ τοῦτον ὅτι οὗτος ἦν ἐν ἀρχῇ μεθ᾽ οὗ ⟨ὁ⟩ πατὴρ συνεβουλεύσατο,
»ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν« λέγων·
τὸ γὰρ »ποιήσωμεν« οὐχ ἑνὸς ἀριθμοῦ ἐστι σημαντικόν· ἀλλὰ γοῦν 6
συνεβουλεύσατο ὁ πατὴρ υἱῷ καὶ ἁγίῳ πνεύματι· »τῷ γὰρ λόγῳ
κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ
πᾶσα ἡ δύναμις αὐτῶν«. οὐδ᾽ ἂν συνήκασι τοῦ λέγοντος ἐν τῇ 7
αὐτῇ βίβλῳ ῥητῶς, ὅτι »ἔβρεξε κύριος παρὰ κυρίου πῦρ καὶ θεῖον
ἐπὶ Σόδομα καὶ Γόμορρα ἀπ᾽ οὐρανοῦ«. ἔβρεξε γὰρ »κύριος πῦρ«, ὁ
πρὸς Ἀβραὰμ ἐληλυθώς, παρὰ »κυρίου ἀπ᾽ οὐρανοῦ«, τοῦ αὐτὸν ἀπο-
στείλαντος. οὐδὲ ἔγνωσαν αὐτὸν ἀπ᾽ Αἰγύπτου αὐτοὺς ἐκβάλλοντα 8
οὐδὲ συνῆκαν τοῦ προφήτου λέγοντος »καὶ σὺ Βηθλεὲμ οὐχὶ ἐλαχίστη«
(πῶς γὰρ οἷόν τε ἐλαχίστην καλεῖν πόλιν χωρήσασαν ὃν οὐρανὸς καὶ
πάντα χωρεῖν οὐ δεδύνηνται;) καὶ ὅτι »ἐκ σοῦ μοι ἐξελεύσεται ἡγού-
μενος«· εἰ δὲ ἀπὸ Βηθλεὲμ ἐκπορεύεται καὶ ἄνθρωπός ἐστι, καὶ πῶς
θεολογεῖται; 116. ταράσσει αὐτοὺς τὸ εἶναι θεὸν καὶ ἄνθρωπον. **116**, 1
ἐν ταὐτῷ γὰρ ⟨λέγει⟩ »αἱ διέξοδοι αὐτοῦ ἀπ᾽ ἀρχῆς, ἀπὸ κτί|σεως P120
κόσμου«· τοῦτο δὲ οὐκ ἔστιν οὐκέτι ἀνθρώπου, ἀλλὰ θεοῦ. οὐ 2
μέμνηνται δὲ ὅτι »ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν
καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ«· τὸ δὲ καλέσουσι σημαίνει
τὸν τρόπον τῶν ἁγίων καὶ πιστῶν, τῶν υἱῶν τῆς ἐκκλησίας. ἐξετα- 3

1f vgl. Jerem. 13, 1ff — **2f** vgl. Matth. 3, 4 — **4** vgl. I Kor. 7, 31 — **5** vgl. Matth. 3, 11 — **8** Deut. 32, 6 — **11** Gen. 1, 26 — **13f** Psal. 32, 6 — **16** Gen. 19, 24 — **20** u. **25** Micha 5, 2 — **27** Jes. 7, 14

L J

1 *ἀπέδυων* J **2** [δὲ] * | *μεταβαλὼν* *] *ἀποβαλὼν* L J **6** [τὴν] *
7f *ἀπεδύρετο* J **9** *ἔγνωσαν* *, vgl. Z. 19] *ἔγνων* L J **10** ⟨ὁ⟩ Ausgg.
11 *ποιήσομεν* J **16** *ῥητῶς* *] *ῥητοῦ* L J **16f** *παρὰ κυρίου — κύριος* < J
19 *αὐτοὺς* < J **23** *εἰ* *] *τί* L J **25** ⟨*λέγει*⟩ *

ζόμενοι γὰρ ὑπὸ τῶν κυριοκτόνων Ἰουδαίων περὶ τοῦ σωτῆρος ὅτι
πῶς εἰς τὸν σταυρωθέντα ⟨πιστεύετε⟩ ὁμολογοῦσιν * | ἀκούουσι D220
παρὰ τῶν αὐτῶν πιστῶν ὅτι παρ' ὑμῖν ἐσταύρωται, μεθ' ἡμῶν δὲ
θεός ἐστι. τοῦ δὲ Δαυὶδ οὐκ ἤκουσαν καὶ οὐκ ἔγνωσαν αὐτοῦ τὸν 4
λόγον, ὃν ὁρῶν ἐν ἁγίῳ πνεύματι ἔλεγε, φρίττων τὴν αὐτοῦ τοῦ
κυρίου μέλλουσαν ἔσεσθαι οἰκονομίαν, λέγων »εἶπεν ὁ κύριος τῷ
κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου« καὶ τὰ ἑξῆς.

Σάββατα τοίνυν »τὰ ἀρχαῖα παρελήλυθε«, σάββατον δὲ ἀληθινὸν 5
παρ' ἡμῖν κηρύττεται. ἤργησε δὲ ἡ πρώτη περιτομὴ ἓν μέλος σμι-
κρότατον περιτέμνουσα, ἐνεργεῖ δὲ εὖ μάλα ἡ ἐπουράνιος περιτομὴ
ὅλον τὸ σῶμα περιτέμνουσα. τὰ γὰρ ὕδατα καὶ ἡ ἁγία ἐπίκλησις 6
οὐκ ἐν ἑνὶ μέλει τοῦ ἀνθρώπου γίνεται, ἀλλ' ὅλον τὸ σῶμα τοῦ
ἀνθρώπου σφραγίζει καθαροποιεῖ περιτέμνει, πάντων τῶν κακῶν
ἀπαλλάττει. ἡ γοῦν ἁγία ἐκκλησία παρέλαβε ταῦτα τὰ μυστήρια. 7
ἐπανέστησαν δὲ αὐτῇ καὶ δεινοὶ »ἐχθροί, οἰκειακοί« λεγόμενοι, μὴ
ὄντες δὲ ἐκ τῆς τῶν ἀποστόλων τοῦ κυρίου ἀληθοῦς πίστεως (»εἰ
γὰρ ἦσαν ἐξ αὐτῶν, μεμενήκεσαν ἂν μετ' αὐτῶν«)· ἀλλὰ νόθοι ὄντες 8
καὶ σύμμικτοι ἐπιθυμίαν κακὴν τῆς δι' ἰχθύων καὶ σικυῶν Αἰγυπτίων
ἐδωδῆς πάλιν ἐπιθυμοῦσι, βλασφημοῦντες ἄνω καὶ κάτω τὸν υἱὸν
τοῦ θεοῦ, Ἀρειομανῖται, οὓς ἤδη ἐν τοῖς πρὸ τούτου λόγοις ἐστηλι-
τεύσαμεν, ἄλλοι δὲ Σαβέλλιοι. καὶ οἱ μὲν Σαβέλλιοι τέλεον ἀρνοῦνται 9
τὸ εἶναι [τὸν] υἱὸν καὶ ἅγιον πνεῦμα, λέγοντες ὅτι ὁ υἱὸς αὐτός
ἐστιν ὁ πατὴρ καὶ ὁ πατὴρ αὐτός ἐστιν ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα
αὐτός ἐστιν ὁ πατήρ, ὡς μὴ εἶναι υἱὸν καὶ ἅγιον πνεῦμα, δεύτεροι
Ἰουδαῖοι καὶ κυριοκτόνοι ἀπελεγχόμενοι. Ἀρειομανῖται δὲ οἱ πάντων 10
ἀσεβέστατοι, οἱ τὸν υἱὸν ἀπὸ τῆς πατρῴας οὐσίας διαιρεῖν καὶ ἀπαλ-
λοτριοῦν τολμῶντες, οὐκ ἀξιοῦσι τὸν υἱὸν ὁμότιμον εἶναι τῷ πατρὶ
οὐδὲ ἐκ τῆς οὐσίας τοῦ πατρὸς αὐτὸν γεγεννῆσθαι. ἄλλοι δὲ τούτων 11
ἔκγονοι, οἱ πρὸ τούτου μετὰ τῶν ἄλλων τῶν | προταχθέντων *· D221
εἴθε κατὰ Ἰουδαίους | αὐτοὺς ἀπηρίθμουν τοὺς βλασφημοῦντας τὸ P121
ἅγιον πνεῦμα, δεύτεροι Σαδδουκαῖοι καὶ Σαμαρεῖται καὶ ἄγνωστοι
νεκροὶ καὶ ἄπιστοι.

3 f vgl. Matth. 1, 23 — **6** Psal. 109, 1 — vgl. II Kor. 5, 17 — **15** Matth. 10, 36 — **16** I Joh. 2, 19 — **18 f** vgl. Num. 11, 4 f — **21** vgl. Panarion h. 62, 1, 2 — **31** vgl. Act. 23, 8 u. Panarion h. 14 u. h. 8

L J

2 ⟨πιστεύετε⟩ * | * etwa ⟨καὶ ἀποκρίνονται μετὰ παρρησίας τοῖς δι' ἐναντίας⟩ * **5** λόγον *] φόβον L J **13** φραγίζει L, < J **14** ἀπαλάττει J **15** καὶ < L **18** τῆς *] τοῖς L J **19** ὠδωδῆς J **22** τὸ εἶναι *] τοῦ εἶναι J, < L | [τὸν] * **29** * etwa ⟨ἐλεγχθέντες⟩ *

117. Ἵνα δὲ μὴ »διὰ μέλανος καὶ χάρτου« τὰς κατὰ τούτων μαρτυρίας διὰ πολλοῦ ποιησώμεθα, εἰς τὸ μὴ περικακεῖν τοὺς ἀναγινώσκοντας, ἀρκέσουσιν αὐτοῖς Σαβελλιανοῖς μὲν μετὰ τῶν ἄλλων μαρτυριῶν ἡ μαρτυρία τοῦ Ἰορδάνου, ὡς ἤδη εἶπον. υἱὸς γὰρ ἐν Ἰορδάνῃ ἀληθῶς παραγίνεται, θεὸς ἄνθρωπος γεγονώς, οὐ τροπὴν ὑποστὰς ἀλλὰ σάρκα λαβών, οὐ διὰ σπέρματος ἀνδρὸς ἀλλ' ἀπὸ τῆς ἁγίας παρθένου σῶμα ἀνειληφὼς δι' ἁγίου πνεύματος συλληφθέν, σῶμα τέλειον τουτέστιν ἄνθρωπον τέλειον ψυχῇ καὶ σώματι. γέγονεν οὖν ὁ θεὸς καὶ ἄνθρωπος πρὸς Ἰωάννην ἐν τῷ Ἰορδάνῃ, εἰς ὃν ὁ αὐτὸς υἱὸς καὶ Χριστὸς καὶ κύριος· πατὴρ δὲ ἄνωθεν βοᾷ, μαρτυρῶν τῷ υἱῷ τῷ ἐν τῷ Ἰορδάνῃ γεγονότι »οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός«· τὸ δὲ ἅγιον πνεῦμα ἐν εἴδει περιστερᾶς κατέβαινεν ἐπ' αὐτὸν εἰς τὰ ὕδατα κατεληλυθότα, ἵνα καθαρὰ αὐτὰ ἀποδείξῃ ἕνεκεν τῶν μελλόντων εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος βαπτίζεσθαι. τοῖς δὲ Ἀρειανοῖς μετὰ τῶν προλεχθεισῶν ἀρκέσει τὸ εἰπεῖν τὸν υἱόν »ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί«· ἰσότητα γὰρ ἐνταῦθα υἱοῦ πρὸς πατέρα ἀπέδειξε καὶ γνησιότητα. τοῖς δὲ ἐκγόνοις τῶν Ἀρειανῶν τοῖς τὸ ἅγιον πνεῦμα βλασφημοῦσιν ἀρκέσουσι δύο μαρτυρίαι αἳ ἤδη προτεταγμέναι μετὰ τῶν ἄλλων μαρτυριῶν, μία μὲν ἀπὸ τοῦ Δανιὴλ οὕτως ἔχουσα· ἐν τῇ καμίνῳ τοῦ πυρὸς Σεδρὰχ Μισὰκ Ἀβδεναγὼ αἰνοῦντες τὸν θεὸν συμπεριλαμβάνουσι μεθ' ἑαυτῶν τὴν πᾶσαν τοῦ θεοῦ κτίσιν καὶ λέγουσιν »εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον«· καὶ ἠρίθμησαν οὐρανοὺς καὶ ἀγγέλους καὶ σελήνην καὶ ἥλιον καὶ | δυνάμεις, γῆν τε καὶ θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ οὐδαμοῦ υἱὸν καὶ ἅγιον πνεῦμα συνηρίθμησαν ταῖς κτίσεσι. τὰ Σεραφὶμ δὲ ἁγιάζει τριάδα ἴσως, οὐχ ἅπαξ οὐ δὶς οὐ τέταρτον, ἀλλὰ τρὶς τὸ ἅγιος λέγοντα. 118. ἐλεγξάτω δὲ πάλιν τούτους Πέτρος, ἐπιτιμῶν τοῖς περὶ Ἀνανίαν καὶ λέγων »ἐπειράσατε τὸ ἅγιον πνεῦμα«· καί φησιν »οὐκ ἐψεύσασθε ἀνθρώπῳ, ἀλλὰ τῷ θεῷ«. ὁ δὲ ἀπόστολος οἶδεν, ὡς καὶ πολλάκις εἴπομεν, τὸ πνεῦμα μὴ | ἀλλότριον εἶναι τοῦ θεοῦ λέγων »ἐρευνᾷ καὶ τὰ βάθη τοῦ θεοῦ«·

117, 1 2 3 4 5 6 7 D222 118, 1 2 P122

1 II Joh. 12 — **4 ff** vgl. Matth. 3, 17; dazu oben c. 3, 6 u. 49, 1 — **11** Matth. 3, 17 — **16** Joh. 14, 10 — **17 ff** vgl. oben c. 23f — **22** Dan. 3,57 — **26** Jes. 6, 3; vgl. oben c. 10, 2f — **28 f** vgl. Act. 5, 9; dazu oben c. 9, 2 — **29** Act. 5, 4 — **30 ff** vgl. oben c. 12, 1ff — **31** I Kor. 2, 10

L J

2 *μὴ* < L **3** *ἀρκέσουσιν* ist nicht zu ändern; die Mehrzahl bezieht sich schon mit auf Z. 15ff **7 f** *σῶμα τέλειον συλληφθὲν* L **17** *υἱοῦ* < J **19** *μετὰ τῶν ἄλλων μαρτυριῶν *]* *μετὰ τὰς ἄλλας μαρτυρίας* L J **26** *δὲ* < J

τὸ δὲ μὴ ὂν ἐκ τῆς οὐσίας τοῦ θεοῦ ἀδύνατόν ἐστι τὰ βάθη τοῦ θεοῦ ἐρευνᾶν. ἡμεῖς δὲ οἴδαμεν πατέρα πατέρα, υἱὸν υἱόν, ἅγιον 3
πνεῦμα ἅγιον πνεῦμα, τριάδα ἐν ἑνότητι. μία γὰρ ἑνότης ἐστὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, μία οὐσία μία κυριότης ἓν
5 θέλημα μία ἐκκλησία ἓν βάπτισμα μία πίστις. καὶ παυσάσθωσαν 4
οἱ κατὰ τῆς ἁγίας παρθένου τοῦ Χριστοῦ καὶ νύμφης ἀγνῆς, τουτέστι τῆς μητρὸς ἡμῶν τῆς ἁγίας ἐκκλησίας *. παρέλαβον γὰρ οἱ ταύτης 5
παῖδες παρὰ ἁγίων πατέρων τουτέστι τῶν ἁγίων ἀποστόλων πίστιν φυλάττειν, ἅμα δὲ καὶ τοῖς ἑαυτῶν τέκνοις παραδιδόναι τε καὶ ἀπαγ-
10 γέλλειν. ἐξ ὧν καὶ αὐτοὶ υἱοὶ ὑπάρχετε, τιμιώτατοι ἀδελφοί, καὶ 6
τοῖς ἑαυτῶν τέκνοις ταύτην τὴν διδασκαλίαν παραδιδόατε.

Ταῦτα οὕτως λέγοντες καὶ τὰ τούτοις ὅμοια ἀπὸ τῶν θείων 7
γραφῶν * βεβαιῶσαι αὐτούς τε καὶ τοὺς ἀκούοντας ὑμῶν, διδάσκοντες ὀδοποιοῦντες κατηχοῦντες μὴ διαλείπητε οἱ πιστοὶ καὶ
15 ὀρθόδοξοι ταύτην τὴν ἁγίαν πίστιν τῆς καθολικῆς ἐκκλησίας, ὡς παρέλαβεν ἡ ἁγία καὶ μόνη παρθένος τοῦ θεοῦ ἀπὸ τῶν ἁγίων ἀποστόλων τοῦ κυρίου, φυλάττειν. καὶ οὕτως ἕκαστον τῶν κατηχου- 8
μένων τῶν μελλόντων τῷ ἁγίῳ λουτρῷ προσιέναι οὐ μόνον ἀπαγγέλλειν ὀφείλετε † τὸ πιστεύειν τοῖς ἑαυτῶν υἱοῖς ἐν κυρίῳ, ἀλλὰ | D223
20 καὶ διδάσκειν ῥητῶς, ὡς πάντων ἡ αὐτὴ μήτηρ ὑμῶν τε καὶ ἡμῶν, τὸ λέγειν·

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ τε 9
καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. καὶ εἰς ἕνα κύριον Ἰησοῦν 10

4 vgl. Ephes. 4, 5 — **22**—S. **146**, **20** vgl. Hahn, Bibliothek der Symbole³ § 125 u. 144 Lietzmann, Symbole der alten Kirche² S. 19; dazu C. P. Caspari, Zeitschr. f. l. Theol. 18 (1857) 634ff ders. Ungedruckte, unbeachtete . . . Quellen I 73ff Hort, Two dissertations II 73ff Cambridge 1876 Kattenbusch, Confessionskunde S. 252ff A. Harnack PRE³ XI 12ff Burn, Journal of theol. studies II 106 Ed. Schwartz, Nachr. Gött. Ges. 1904 S. 387 ders., Hist. Zeitschr. 112 (1914) S. 242 A. 2 (doch ist eine Interpolation unwahrscheinlich)

L J **2—6** Sacra Parallela Coisl. 276 f. 26ʳ Rupef. 16ᵛ

2 *δὲ* < Sa Pa **3** *ἐστιν ἑνότης* Sa Pa **7** * etwa ⟨*ἀσίστατα ληροῦντες*⟩ * **13** * etwa ⟨*συλλέγοντες εἰς τὸ*⟩ * **19** † *τὸ πιστεύειν*] lies wohl *ποιεῖν* *; zum Sinn vgl. S. 148, 1f **22** am Rand von erster Hand *ἔκθεσις πίστεως τῶν ἐν Νικαίᾳ τιˉ καὶ ηˉ ἁγίων πατέρων καὶ τῶν ἐν Κωνσταντινουπόλει τὸ δεύτερον* L zur Seite *τὸ ἅγιον σύμβολον*, am untern Rand rot *ἔκθεσις πίστεως τοῦ ἁγίου Ἐπιφανίου καὶ τῶν ἁγίων τῶν ἐν ταῖς ἡμέραις Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος τῶν βασιλέων, οἵτινες ἀπηντήκασι μετὰ τούτου πρὸς τὰς τότε ἀναφυείσας αἱρέσεις* J

Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας | οὐκ ἔσται τέλος. καὶ εἰς τὸ πνεῦμα τὸ **11** P123
ἅγιον, τὸ κύριον καὶ ζωοποιόν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν· εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν· **12**
ὁμολογοῦμεν ἐν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν, προσδοκῶμεν ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. ἀμήν. τοὺς δὲ λέγοντας ἦν **13**
ποτε ὅτε οὐκ ἦν καὶ πρὶν γεννηθῆναι οὐκ ἦν ἢ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι ⟨ἢ⟩ ῥευστὸν ἢ ἀλλοιωτὸν τὸν τοῦ θεοῦ υἱόν, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

Καὶ αὕτη μὲν ἡ πίστις παρεδόθη ἀπὸ τῶν ἁγίων ἀποστόλων καὶ * ἐν ἐκκλησίᾳ τῇ ἁγίᾳ πόλει ἀπὸ πάντων ὁμοῦ τῶν τότε ἁγίων ἐπισκόπων, ὑπὲρ τριακοσίων δέκα τὸν ἀριθμόν. | **14** D224

119. ***Ἐπειδὴ δὲ ἐν τῇ ἡμετέρᾳ γενεᾷ ἀνέκυψαν ἄλλαι τινὲς*** **119, 1**
αἱρέσεις ἀλλεπάλληλοι, τουτέστιν ἐπὶ χρόνου Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος τῶν βασιλέων κατὰ τὸ δέκατον αὐτῶν τῆς βασιλείας ἔτος καὶ πάλιν κατὰ τὸ ἕκτον ἔτος Γρατιανοῦ, τουτέστιν ἐν τῷ ἐνενηκοστῷ ἔτει Διοκλητιανοῦ τοῦ τυράννου, τούτου χάριν ὑμεῖς **2**
τε καὶ ἡμεῖς καὶ πάντες οἱ ὀρθόδοξοι ἐπίσκοποι καὶ συλλήβδην πᾶσα ἡ ἁγία καθολικὴ ἐκκλησία πρὸς τὰς ἀνακυψάσας αἱρέσεις ἀκολούθως

25 für die Zeitbestimmung vgl. zu Ancoratus c. 60, 5; S. 72, 12ff

L J

2 *τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός* < L; aber vgl. S. 148, 6f **13** *συνπροσκυνούμενον* J **18** ⟨ἢ⟩ * **22** * ⟨*ἐβεβαιώθη*⟩ Lietzmann | *τῇ ἁγίᾳ πόλει* ist nicht zu ändern, auch nicht mit Kattenbusch (Confessionskunde I 257) auf Jerusalem oder mit andern (Lietzmann früher) auf Nicäa zu beziehen; die *ἐκκλησία* ist die *ἁγία πόλις* vgl. Panarion h. 75, 7, 7 h. 86, 11, 6 Schlußabschnitt *περὶ πίστεως* 1, 6 2, 5. 9 **24** *ἐνέκυψαν* J **25** *ἐπὶ* *] *ἀπὸ* L J | *Βαλεντινιανοῦ* L *Οὐαλεντιανοῦ* J

τῇ τῶν ἁγίων ἐκείνων πατέρων προτεταγμένῃ πίστει οὕτως λέγομεν, μάλιστα τοῖς τῷ ἁγίῳ λουτρῷ προσιοῦσιν, ἵνα ἀπαγγέλλωσι καὶ λέγωσιν οὕτως·

Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα παντοκράτορα, πάντων ἀοράτων 3
τε καὶ ὁρατῶν ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν, 4
τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ θεοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐν τῇ γῇ, ὁρατά τε καὶ ἀόρατα, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ 5
διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα τουτέστι γεννηθέντα τελείως ἐκ τῆς ἁγίας Μαρίας τῆς ἀειπαρθένου διὰ πνεύματος ἁγίου, ἐνανθρωπήσαντα | τουτέστι τέλειον ἄνθρωπον λαβόντα, P124
ψυχὴν καὶ σῶμα καὶ νοῦν καὶ πάντα εἴ τι ἐστὶν ἄνθρωπος χωρὶς ἁμαρτίας· οὐκ ἀπὸ σπέρματος ἀνδρὸς οὐδὲ ἐν ἀνθρώπῳ ⟨γεγονότα⟩, 6
ἀλλ' εἰς ἑαυτὸν σάρκα ἀναπλάσαντα εἰς μίαν ἁγίαν ἑνότητα· οὐ καθάπερ ἐν προφήταις ἐνέπνευσέ τε καὶ ἐλάλησε καὶ ἐνήργησεν, ἀλλὰ τελείως ἐνανθρωπήσαντα· »ὁ γὰρ Λόγος σὰρξ ἐγένετο«, οὐ τροπὴν 7
*ὑποστὰς οὐδὲ μεταβαλὼν τὴν ἑαυτοῦ θεότητα εἰς ἀνθρωπότητα, εἰς μίαν ⟨δὲ⟩ συνενώσας ἑαυτοῦ * ἁγίαν τελειότητά τε καὶ θεότητα· εἷς γάρ ἐστιν κύριος Ἰησοῦς Χριστὸς καὶ οὐ δύο, ὁ | αὐτὸς θεός,* D225
ὁ αὐτὸς κύριος, ὁ αὐτὸς βασιλεύς· παθόντα δὲ τὸν αὐτὸν ἐν σαρκὶ 8
καὶ ἀναστάντα καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς ἐν αὐτῷ τῷ σώματι, ἐνδόξως καθίσαντα ἐν δεξιᾷ τοῦ πατρός, ἐρχόμενον ἐν αὐτῷ τῷ σώματι ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. καὶ εἰς τὸ ἅγιον πνεῦμα τὸ λαλῆσαν ἐν νόμῳ καὶ 9
κηρῦξαν ἐν τοῖς προφήταις, καταβὰν ἐπὶ τὸν Ἰορδάνην, λαλοῦν ἐν ἀποστόλοις, οἰκοῦν ἐν ἁγίοις. οὕτως δὲ πιστεύομεν ἐν αὐτῷ ὅτι 10
ἐστὶ πνεῦμα ἅγιον πνεῦμα θεοῦ πνεῦμα τέλειον πνεῦμα παράκλητον, ἄκτιστον, ἐκ τοῦ πατρὸς ἐκπορευόμενον καὶ ἐκ τοῦ υἱοῦ λαμβάνον

4 ff vgl. Hahn, Bibliothek der Symbole³ § 126 u. § 127 Lietzmann Symbole² S. 21 Caspari, Ungedruckte, unbeachtete . . . Quellen I p. VII u. S. 1 ff Kattenbusch, Apostolisches Symbol I 273 ff. — Diese Umschreibung des vorausgehenden Bekenntnisses trägt in allen Einzelheiten den Stempel des Epiph.; vgl. die Stichworte im Index unter Christologie

L J

1 *πατέρων ἐκείνων* L **15** ⟨*γεγονότα*⟩ * **20** ⟨*δὲ*⟩ * | *συνενώσας* *] *συνενώσαντα* L J | * ⟨*τὴν σάρκα*⟩ * **26** *πνεῦμα* + *πιστεύομεν* J **27** vor *καταβὰν* + *καὶ* J **28** *ἐν αὐτῷ*] *ἑαυτοῦ* L; lies *εἰς αὐτό*? * **30** *λαμβάνον* Caspari] *λαμβανόμενον* L J

καὶ † πιστευόμενον. πιστεύομεν εἰς μίαν καθολικὴν καὶ ἀπο- 11
στολικὴν ἐκκλησίαν καὶ εἰς ἓν βάπτισμα μετανοίας καὶ εἰς ἀνάστασιν
νεκρῶν καὶ κρίσιν δικαίαν ψυχῶν καὶ σωμάτων καὶ εἰς βασιλείαν
οὐρανῶν καὶ εἰς ζωὴν αἰώνιον. τοὺς δὲ λέγοντας ὅτι ἦν ποτε 12
ὅτε οὐκ ἦν ὁ υἱὸς ἢ τὸ πνεῦμα τὸ ἅγιον, ἢ ὅτι ἐξ οὐκ ὄντων ἐγέ-
νετο ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι ⟨ἢ⟩ τρεπτὸν
ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ ἢ τὸ ἅγιον πνεῦμα, τούτους ἀνα-
θεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία, ἡ μήτηρ ὑμῶν τε
καὶ ἡμῶν. καὶ πάλιν ἀναθεματίζομεν τοὺς μὴ ὁμολογοῦντας ἀνά-
στασιν νεκρῶν καὶ πάσας τὰς αἱρέσεις τὰς μὴ ἐκ ταύτης τῆς ὀρθῆς
πίστεως οὔσας.

Ὑμῶν δὲ καὶ τῶν ὑμῶν τέκνων, μακαριώτατοι, οὕτω πιστευόντων 13
καὶ τὰς ἐκ ταύτης τῆς πίστεως ἐντολὰς ἐπιτελούντων ἐλπίζομεν
ὑπερεύχεσθαι ἡμῶν πάντοτε ἔχειν μερίδα καὶ κλῆρον ἐν τῇ αὐτῇ
πίστει καὶ ἐν τῷ κλήρῳ τῶν αὐτῆς ἐντολῶν. | καὶ εὔχεσθε ὑπὲρ 14 P125
ἡμῶν ὑμεῖς τε καὶ πᾶς ὁ οὕτως πιστεύων καὶ τὰς ἐντολὰς τοῦ κυρίου
φυλάττων ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, δι' οὗ καὶ μεθ' οὗ δόξα
τῷ πατρὶ σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. | D226

Ἕως ὧδε, ἀγαπητοὶ ἀδελφοί, ἡ βραχύτης ἡμῶν καὶ ἀσθενὴς τῆς 15
διανοίας δύναμις ἠναγκάσθη φθάσαι, τῆς ὑμῶν καλοκαγαθίας προ-
τρεψαμένης ἡμᾶς εἰ καὶ ἀνικάνους ὑπὲρ τὸ ἑαυτῶν μέτρον παριστᾶν,
ὥστε δέεσθαι βοηθείας, ἐπεκτεινομένους· ἀλλὰ πάντα οἶδεν ὁ ἐν
οὐρανῷ πιστός. πλὴν εἰρήνη παντὶ τῷ στοιχοῦντι τῷ κανόνι τούτῳ 16
τῆς ἀληθινῆς καὶ ὀρθοδόξου ταύτης πίστεως καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ
θεοῦ. ἀσπάσασθε πάντας τοὺς ἁγίους ἐν κυρίῳ. ἀσπάζονται ὑμᾶς
οἱ τοῦ κυρίου δοῦλοι, μάλιστα δὲ ἐγὼ ὁ Ἀνατόλιος ὁ γράψας τοῦτο
τὸ βιβλίον τοῦ Ἀγκυρωτοῦ ἐπονομασθέντος λόγου καὶ ἐρρῶσθαι
ὑμᾶς ἐν κυρίῳ εὔχομαι.

20 vgl. oben c. 1, 1f; S. 6, 1ff — **23f** vgl. Gal. 6, 16

L J

1 † *πιστευόμενον*] *ἀποστελλόμενον*? *, [*καὶ πιστευόμενον*] Jül., als Dittographie zum folgenden *πιστεύομεν* **6** ⟨ἢ⟩ * **12** *ὑμῶν*^{2} *] *ἡμῶν* L J **17f** *τῷ πατρὶ δόξα* J **18** *τῶν αἰώνων* < J **19** *ἕως ὧδε*] *ἐγὼ δὲ* J **20** *ἡμῶν* L **21** *παριστᾶν* *] *παρίστησιν* L J **22** *ἐπεκτεινομένη* J **25** *θεοῦ* + *καὶ ἐν Χριστῷ τῷ θεῷ* L **27** *ἐπωνομασθέντος* J

ΠΑΝΑΡΙΟΝ

Ἐπιστολὴ γραφεῖσα ἐν τῷ ἐνενηκοστῷ δευτέρῳ | ἔτει Διοκλητιανοῦ PII
βασιλείας, Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος ἔτους δωδεκάτου καὶ Ö 3
Γρατιανοῦ ἔτους ὀγδόου, πρὸς Ἐπιφάνιον Παλαιστινὸν Ἐλευθερο- D 263
πολίτην, γενόμενόν ⟨ποτε⟩ πατέρα μοναστηρίου ἐν τῇ τῆς αὐτῆς
Ἐλευθεροπόλεως περιοικίᾳ, ἐπίσκοπον ὄντα νῦν πόλεως Κων-
σταντίας ἐπαρχίας Κύπρου, παρὰ Ἀκακίου καὶ Παύλου, πρεσβυτέ-
ρων ἀρχιμανδριτῶν τουτέστιν πατέρων μοναστηρίων μερῶν
Χαλκίδος καὶ Βεροίας τῆς κοίλης Συρίας, ⟨αἰτησάντων αὐτὸν⟩
περὶ τοῦ κατὰ αἱρέσεων πασῶν γράψαι, οὐ μὴν ἀλλὰ καὶ ⟨ἄλλων⟩
πολλῶν προτρεψαμένων καὶ ὡς εἰπεῖν ἀναγκασάντων αὐτὸν εἰς
τοῦτο ἦκειν.

Τῷ κυρίῳ ἡμῶν καὶ τιμιωτάτῳ κατὰ πάντα, εὐλαβεστάτῳ πατρὶ Ἐπιφανίῳ ἐπισκόπῳ Ἀκάκιος πρεσβύτερος καὶ Παῦλος πρεσβύτερος, ἀρχιμανδρῖται, ἐν κυρίῳ χαίρειν.

Ἥρκει μὲν ἡ θέα τῆς σῆς θεοσεβείας, πάτερ, ἐμπλήσασα πνευματι- **1, 1**
κῶν ῥημάτων καὶ ἐμφυτεύσασα τὸν τοσοῦτον πρὸς ἡμᾶς πόθον γεγονότα ⟨τοῖς⟩ τῆς σῆς αὐτοψίας μεταλαβοῦσιν. ἀλλ' ἐπειδὴ πρόδρομος φήμη **2**
μαθητοῦ | τοῦ σωτῆρος κηρύττουσα τὴν τῆς εὐωδίας τῶν ῥημάτων καὶ PIII
πράξεων ὀσμὴν ἄγχει καὶ λέξεων καὶ νοῦ κορεσθῆναι, ἔδει μὲν αὐτοψίᾳ ἐλθόντας μεταλαβεῖν τῆς ἐκ θεοῦ σοι δοθείσης χάριτος ὡς τοῖς ἀποστόλοις.

1 über die Abfassungszeit des Panarion (375—77) vgl. Panarion prooem. II 2, 3 h. 48, 2, 7 h. 66, 20, 5. Unsere Überschrift nennt eine Durchschnittszahl (376); der Brief muß in Wirklichkeit ein Jahr früher fallen. Denn Epiphanius nimmt gleich im prooem. I 1, 1; S. 155, 4 u. prooem. II 2, 5; S. 170, 25 des Panarion darauf Bezug. S. auch Zahn, Gesch. neutest. Kan. II 1, 220 A. — **3—5** vgl. die Vorbemerkung zum Ancoratus S. 1, 4f — **18** zu *πρόδρομος φήμη* vgl. den Brief des Palladius an der Spitze des Ancoratus S. 4, 8f

G U M

3 *Παλαιστηνὸν* U **4** ⟨*ποτε*⟩ * **5** *νυνὶ* G U **5f** *Κωνσταντείας* G U **6** *Ἀκακία*, von späterer Hand verbessert M **7** vor *ἀρχιμανδριτῶν* + *καὶ* G U; aber vgl. Z. 13 **8** *Χαλκίδος*] *Καρχηδόνος* U | ⟨*αἰτησάντων αὐτὸν*⟩ *, vgl. Ancoratus S. 2, 4 u. 3, 5 **9** ⟨*ἄλλων*⟩ * **12** *ἡμῶν*] *μου* G U **17** ⟨*τοῖς*⟩ * | *πρόδρομος* + *ἡ* G **18** *κηρύττουσα* *] *κηρύττει* G U M **19** *ὀσμὴν* Klosterm., nach Phil. 4, 18] *ὁρμὴν* G U M | *ἄγχει*] *ἄχρ*Scaliger falsch, vgl. S. 154, 12 **20** *δοθείσης σοι* U

ἀλλ' | ἐπειδὴ ἡ ὁδὸς ἐπεσχέθη ὑπὸ τῆς ἀρρωστίας τῆς σωματικῆς καὶ τῆς 3 D264
ταλαιπωρίας, οὐκ ἰσχύσαμεν αὐτοὶ γενόμενοι πρὸς τοὺς σοὺς πόδας προκυ-
λινδούμενοι ἀκοῦσαί τε καὶ μαθεῖν τὰ ἐκπορευόμενα πνευματικὰ ἅγια ῥήματα
ἐκ τοῦ σοῦ στόματος. πι|στεύομεν γὰρ ὅτι εἰ ἦμεν ἄξιοι ἀνελθόντες τε 4 Ö4
καὶ ἀκούσαντες ἐστηριζόμεθα τὴν πολιτείαν ἣν προβεβλήμεθα, εἰ ἐσμὲν
ἄξιοι τὸ τέρμα ταύτης καταλαβεῖν. τῆς οὖν ἀρρωστίας καταλαβούσης 5
δεόμεθα τῆς τοσαύτης σου θεοσεβείας, μὴ φθονήσῃς μεταδοῦναι ἡμῖν ἀπὸ
τῶν δεδωρημένων σοι ἀληθῶς ὑπὸ τοῦ σωτῆρος. ὁμολογοῦμεν γὰρ οὐ μόνον 6
ἡμεῖς, ἀλλὰ καὶ πάντες οἱ ἀκούοντες, ὅτι ἐν ταύτῃ τῇ γενεᾷ νέον σε ἀπό-
στολον ἤγειρεν ἡμῖν καὶ κήρυκα ὁ σωτήρ, Ἰωάννην νέον, τοῦ κηρύσσειν
τὰ ὀφειλόμενα φυλάττεσθαι ὑπὸ τῶν τὸν δρόμον τοῦτον προβαλλομένων.
τοῦ οὖν κοινοῦ ἀδελφοῦ Μαρκέλλου ἐπὶ τῇ τοσαύτῃ φήμῃ ἀγχομένου 7
καὶ ἑλκομένου τῇ ποθήσει τῆς σῆς θεοσεβείας, ὄντος τε καὶ τῆς ἡμετέρας
μάνδρας, αὐτόν τε ὑπηρέτην ἐσχηκότες τῆς τοσαύτης ὁδοῦ, καὶ νεοκατη-
χήτου ὄντος, ἐπετρέψαμεν ⟨αὐτῷ⟩ τὴν τοσαύτην ἡμῶν τόλμαν τῶν ἁμαρ-
τωλῶν πρὸς τὸν μαθητήν σε τοῦ σωτῆρος. ὃ δὲ ἀξιοῦμεν, τῶν ῥηθέντων 8
σοι πρός τινας ἀδελφοὺς εἰς παιδείαν δωρήσασθαι, ὅπερ σοὶ μὲν τῷ δικαίῳ
ἀβαρές, ἡμῖν δὲ τοῖς ἁμαρτωλοῖς μεταλαβοῦσιν εὐφρανθῆναι ἐν κυρίῳ.
ἐμπλησθέντες γάρ σου τῶν πνευματικῶν ῥημάτων ἐπικουφιζόμεθα τῶν
ἀνομιῶν ἡμῶν. ἠκούσαμεν δὲ ἐπικληθέντα ὀνόματα ὑπὸ τῆς σῆς τιμιότητος 9
ταῖς αἱρέσεσιν, ὧν ἑκάστης θρῃσκείας ἀξιοῦμεν τὴν σὴν θεοσέβειαν διαρ-
ρῆδην ἡμῖν δηλῶσαι τὴν αἵρεσιν. ⟨οὐκ⟩ ἴση γὰρ ἁπάντων ἡ δωρεά. καὶ σὲ 10
ἀξιοῦμεν εὐχὴν ποιήσασθαι, σὲ τὸν δίκαιον, τῷ κυρίῳ ὑπὲρ πάντων τῶν
σε ποθούντων καὶ ἐκδεχομένων τὴν παρὰ σοῦ δωρεάν. ἐν νηστείᾳ καὶ 11
εὐχῇ ἐσμεν τὸν κοινὸν ἡμῶν ἀδελ|φὸν δεχθέντα ὑπὸ | τῆς σῆς τιμιότητος PIV D264
ἀσμένως [καὶ] κομίσαι τὴν ὑπὸ σοῦ δεδωρημένην δωρεὰν καὶ οὕτως ἀνα-
πέμψαι τὰς ἐξ ἔθους εὐχὰς πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι. πάντες 12
ἐλπίζουσιν οἱ ἀδελφοὶ τῇ ὑπὸ σοῦ εὐχῇ ὑπὲρ αὐτῶν γιγνομένῃ στηριχθῆναι.
παρακαλοῦμεν μὴ ὀκνῆσαι μεταδοῦναι χάριν θεϊκὴν ἐσχηκότα ἀποστόλων.
πάντες οἱ μικροὶ ἐν ταῖς μάνδραις ὄντες εὐχὴν τῷ κρείττονι ἀναπέμπουσι 13
μεταλαβεῖν ἀπὸ τῆς σῆς θεοσεβείας πνευματικὴν δωρεάν. ἐρρωμένος ἐν κυρίῳ
καὶ εὔθυμος ἐν Χριστῷ διατελοίης καὶ ἐν ἁγίῳ πνεύματι * τὸν δοθέντα σοι
θρόνον καὶ τὴν θεϊκὴν δωρεὰν μέχρι τοῦ σὲ ἐκδεχομένου στεφάνου. | Ö6

20 vgl. Ancoratus c. 12, 7ff; S. 20, 28ff

G U (bis *καταλαβεῖν* Z. 6; von da an bis *Μελχισεδεκιανοί* S. 160, 21 fehlt U; als Ersatz dient R) M

2 *γενόμενοι* + ⟨*πρὸς σὲ καὶ*⟩? * | *σοὺς πόδας*] *πόδας σου* U **2f** *προκαλινδούμενοι* G **4** *στόματός σου* M **7** *ἡμῖν* < R **10** *σωτῆρ*] *χριστὸς* G R | *τοῦ* *] *καὶ* G R M **15** ⟨*αὐτῷ*⟩ * **22** ⟨*οὐκ*⟩ Jül. | *σὲ* < M **23** *σὲ* < M **26** [*καὶ*] * **32** * etwa ⟨*διοικῶν*⟩ *

Ἡ ἀντιγραφεῖσα πρὸς τοὺς περὶ Ἀκάκιον καὶ Παῦλον πρεσβυτέρους ὑπὸ ⟨τοῦ⟩ αὐτοῦ Ἐπιφανίου πρὸς τὰ ὑπ᾽ αὐτῶν αὐτῷ γραφέντα περὶ τοῦ κατὰ αἱρέσεων γράψαι αὐτόν.

Κυρίοις τιμιωτάτοις ἀδελφοῖς καὶ συμπρεσβυτέροις Ἀκακίῳ καὶ
Παύλῳ Ἐπιφάνιος ἐν κυρίῳ χαίρειν.

Προοίμιον εἴτ᾽ οὖν λαλιάν, ἐπιγραφὴν ὥσπερ διαγράφοντες παλαιοὶ **1, 1**
συγγραφεῖς διὰ τοῦ αἰνίγματος ὑπόφασιν ἐδείκνυον πάσης ὑποκειμένης
πραγματείας. ὅθεν καὶ αὐτοὶ τῷ αὐτῷ κεχρημένοι χαρακτῆρι προοιμια-
ζόμεθα ὑμῖν, ἀγαπητοί, [τὰ] τῆς κατὰ αἱρέσεων † αἰτήσεως ὑμῶν ἐν **2**
ὀλίγῳ τὴν δύναμιν ἀνακεφαλαιούμενοι. ἐπειδὴ γὰρ μέλλομεν ὑμῖν
τά τε ὀνόματα τῶν αἱρέσεων δηλοῦν τάς τε παρ᾽ αὐτοῖς ἀθεμίτους
πράξεις ἀνακαλύπτειν, ὥσπερ ἰοὺς καὶ δηλητήρια ὄντα, σὺν αὐτοῖς
δὲ ἅμα καὶ ἀντιδότους ἐφαρμόσαι, ἀλε|ξητήρια τῶν δεδηγμένων καὶ PV
προκαταληπτικὰ τῶν μελλόντων εἰς τοῦτο | ἐμπίπτειν, τοῖς φιλο- D266
κάλοις διαγράφομεν αὐτὸ τοῦτο τὸ προοίμιον, Πανάριον εἴτ᾽ οὖν
κιβώτιον ἰατρικὸν τῶν θηριοδήκτων ἑρμηνεύοντες, ὅπερ ἐστὶ διὰ
βιβλίων τριῶν συγγραφέν, ⟨περι⟩έχον αἱρέσεις ὀγδοήκοντα, αἵτινές
εἰσι θηρίων εἴτ᾽ οὖν ἑρπετῶν αἰνίγματα. »μία δὲ μετὰ τὰς ὀγδοή- **3**
κοντα« ἡ τῆς ἀληθείας βάσις ἅμα καὶ διδασκαλία καὶ σωτήριος πραγμα-
τεία καὶ Χριστοῦ »νύμφη ἁγία« ἐκκλησία, οὖσα μὲν ἀπ᾽ αἰῶνος, διὰ
δὲ τῆς ἐνσάρκου Χριστοῦ παρουσίας κατὰ τὴν διαδοχὴν τοῦ χρόνου
μέσον τῶν προειρημένων αἱρέσεων ἀποκαλυφθεῖσα καὶ ὑφ᾽ ἡμῶν ἐν **4**

18 ff vgl. den Schlußabschnitt *περὶ πίστεως* c. 19, 1 — **18** u. **20** vgl. Hohesl. 6, 7

G R M **10—8. 156, 9** Anacephalaeosis (= anaceph.)

2 ⟨τοῦ⟩ * **7** ὑπόφασιν] ὑπόθεσιν? Dind. **8** *χαρακτῆρι κεχρημένοι* M **9** ὑμῖν] ὑμῶν G R | [τὰ] * | † αἰτήσεως ὑμῶν] πραγματείας ἡμῶν oder ⟨ἐξ⟩ αἰτήσεως ὑμῶν ⟨πραγματείας⟩ * **10** ἐπειδὴ γὰρ] ἐπειδήπερ anaceph. **12** ὄντας M **13** ἐφαρμοσάμενοι G R M | ἀλεξητηρίους anaceph. **14** προκαταληπτικοὺς anaceph. **14 f** τοῖς φιλοκάλοις — προοίμιον < anaceph. **16** τῶν θηριοδήκτων anaceph.] καὶ θηριοδηκτικὸν G R < M **17** συγγραφέν, ⟨περι*⟩έχον anaceph.] < G R M **17 f** αἵτινες εἰς . . . αἰνίγματά εἰσιν anaceph. **22** αἱρέσεων < G R

ὑπομνήσει διὰ τοῦ κηρύγματος Χριστοῦ ταχθεῖσα καὶ πάλιν μετὰ πάσας τὰς τῶν αἱρέσεων τούτων μοχθηρίας εἰς ἀναψυχὴν τῶν τὸν κάματον τῶν αἱρέσεων διὰ τῆς ἀναγνώσεως διελθόντων ὑφ᾽ ἡμῶν μετ᾽ ἐπιτομῆς τοῦ λόγου κατὰ τὴν τῶν ἀποστόλων διδασκαλίαν σαφῶς ἀπαγγελθεῖσα.

2. Παρακλήθητε δὲ πάντες οἱ φιλοκάλως ἐντυγχάνοντες τῷ τε προοιμίῳ καὶ ταῖς μετέπειτα αἱρέσεσι καὶ τῇ ὑπὲρ τῆς ἀληθείας ἀπολογίᾳ τε καὶ διδασκαλίᾳ τῆς ἀληθείας καὶ πίστει τῆς ἁγίας καθολικῆς ἐκ|κλησίας, συγγνῶναι ἡμῖν ἀνθρώποις οὖσι καὶ μετὰ πόνου καὶ ζήλου θεϊκοῦ φιλοτιμουμένοις ὑπὲρ θεοσεβείας ἀπολογεῖσθαι, εἴ τι ὑπέρογκον * εἰς αὐτὸ τὸ πανάγιον καὶ πανσεβάσμιον ὄνομα θέλοντες κατὰ τὴν ἰδίαν δύναμιν ὑπεραπολογεῖσθαι, τοῦ θεοῦ συγχωροῦντος τὰ ὑπὲρ δύναμιν ἡμῖν ἐκζητοῦσιν, ἐπειδὴ δι᾽ ἀλήθειαν ἡμῖν ὁ λόγος καὶ δι᾽ εὐσέβειαν ἡ πραγματεία. καὶ ἔτι παρακλήθητε ⟨συγγνῶναι ἡμ⟩ῖν, εἴ που εὕροιτε ⟨ἡμᾶς⟩, καίτοι γε μὴ ἐν ἕθει ὄντας ἐπισκώπτειν τινὰς ἢ ἐπισκωμματίζειν, διὰ δὲ τὸν πρὸς τὰς αἱρέσεις ζῆλον καὶ εἰς ἀποτροπὴν τῶν ἐντυγχανόντων εἴ που παροξυνόμενοι λέξωμεν, ἢ ἀπατεῶνάς τινας καλοῦντες ἢ ἀγύρτας ἢ ἀθλίους. αὐτὴ γὰρ ἡ | ἀνάγκη ἡ πρὸς τοὺς λόγους τοῦ ἀγῶνος παρασκευάζει ἡμῖν τὸν τοιοῦτον ἱδρῶτα δι᾽ ἀποτροπὴν τῶν ἐντυγχανόντων καὶ ὅπως δείξωμεν παντελῶς ἀπηγορευμένας τοῦ ἡμε|τέρου φρονήματος τὰς ἐκείνων ἐργασίας καὶ μυστήρια καὶ διδασκαλίας, ἵν᾽ ἀπὸ τῶν λόγων καὶ τῆς ὀξύτητος τῆς ἀντιλογίας καὶ τὸ ἡμέτερον ἐλευθέριον ἀποδείξωμεν καί τινας ἀπὸ τῶν αὐτῶν ἐκκλίνωμεν καὶ διὰ τῶν δοκούντων βαρυτέρων λόγων. 2, 1 Ö8 2 4 D267 PVI

3. Καὶ ἔστι τὰ ἐν τῇ πάσῃ πραγματείᾳ διὰ τῶν προειρημένων τριῶν βιβλίων, πρώτου καὶ δευτέρου καὶ τρίτου, ἅτινα τρία βιβλία εἰς ἑπτὰ τόμους διείλομεν, ἐν δὲ ἑκάστῳ τόμῳ ἀριθμός τις αἱρέσεων 3, 1

14 ff vgl. dieselbe Entschuldigung im Schlußabschnitt *περὶ πίστεως* c. 19, 2 ff

G R M anaceph. (bis *ἐκκλησίας* Z. 9) **26**—S. **168**, **16** Anacephalaeosis

1 *τοῦ Χριστοῦ* anaceph. **2** *εἰς*] *ὡς* anaceph. **6** *παρακαλεῖτε* anaceph. **7** *τῆς* < G R M **7 f** *ἀπολογίᾳ*] *ὁμολογίᾳ* anaceph. **10** *εἴ τι*] *εἰς δ εἴ τι* G R **11** * etwa ⟨*ἐπιχειροῦμεν*⟩ * | *σεβάσμιον* M | *θέλοντες* *] *θελήσομεν* G R M **12** *ἰδίαν*] *ἁγίαν* G R **14** ⟨*συγγνῶναι ἡμ*⟩*ῖν* Dind.] *ἵν᾽* G R M **15** ⟨*ἡμᾶς*⟩ * | *ἐπισκήπτειν* G R *ἐπισκόπτειν* M **17** *λέξομεν* G R **18** *αὖτη* M **21** vor *τοῦ* + ⟨*ἀπὸ*⟩ oder *ἀπηλλοτριωμένας* statt *ἀπηγορευμένας* * **26** *τὰ* < G R M

καὶ σχισμάτων ἔγκειται, ὁμοῦ δὲ πᾶσαί εἰσιν ὀγδοήκοντα, ὧν αἱ ὀνομασίαι καὶ αἱ προφάσεις αὗται· πρώτη Βαρβαρισμός, δευτέρα 2
Σκυθισμός, τρίτη Ἑλληνισμός, τετάρτη Ἰουδαϊσμός, πέμπτη Σαμαρειτισμός. ἐκ τούτων αἱ καθεξῆς· πρὸ Χριστοῦ μὲν τῆς ἐπιδημίας, 3
μετὰ δὲ Βαρβαρισμὸν καὶ τὴν Σκυθικὴν δεισιδαιμονίαν αἱ ἀπὸ τοῦ Ἑλληνισμοῦ φύσασαι αὗται· ἕκτη Πυθαγόρειοι εἴτ' οὖν Περιπατητικοί, διὰ τῶν περὶ Ἀριστοτέλην διαιρεθεῖσα· ἑβδόμη Πλατωνικοί· ὀγδόη Στωϊκοί· ἐνάτη Ἐπικούρειοι. εἶτα ἡ Σαμαρειτικὴ αἵρεσις ἡ οὖσα ἐκ 4
τοῦ Ἰουδαϊσμοῦ καὶ ταύτης τέσσαρα ἔθνη· δεκάτη Γοροθηνοί, ἑνδεκάτη Σεβουαῖοι, δωδεκάτη Ἐσσηνοί, τρισκαιδεκάτη Δοσίθεοι. εἶτα 5
ὁ αὐτὸς προειρημένος Ἰουδαϊσμὸς ἀπὸ τοῦ Ἀβραὰμ τὸν χαρακτῆρα εἰληφὼς καὶ διὰ τοῦ δοθέντος νόμου τῷ Μωυσῇ πλατυνθεὶς καὶ ἀπὸ τοῦ Ἰούδα υἱοῦ Ἰακὼβ τοῦ καὶ Ἰσραὴλ διὰ Δαυὶδ τοῦ βασιλεύσαντος ἐκ τῆς τούτου φυλῆς τὸ ἐπώνυμον τοῦ Ἰουδαϊσμοῦ κληρωθείς.
καὶ ἀπ' αὐτοῦ τοῦ Ἰουδαϊσμοῦ ἑπτὰ αἱρέσεις αὗται· τεσσαρεσκαιδεκάτη 6
Γραμματέων, πεντεκαιδεκάτη Φαρισαίων, ἑκκαιδεκάτη Σαδδουκαίων, | D 268
ἑπτακαιδεκάτη Ἡμεροβαπτιστῶν, ὀκτωκαιδεκάτη Ὀσσαίων, ἐννεακαιδεκάτη Νασαραίων, εἰκοστὴ Ἡρῳδιανῶν. Ö 10

4. Ἐκ τούτων τῶν αἱρέσεων καὶ μετέπειτα κατὰ διαδοχὴν τῶν 4, 1
χρόνων ἐπεφάνη ἡ σωτήριος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἰκονομία ἤγουν ἡ ἔνσαρκος αὐτοῦ παρουσία καὶ εὐαγγελικὴ διδασκαλία τε καὶ κήρυγμα βασιλείας, ἥτις μόνη ἐστὶ πηγὴ σωτηρίας καὶ πίστις ἀληθείας τῆς καθολικῆς καὶ ἀποστολικῆς καὶ ὀρθοδόξου ἐκκλησίας. ἐκ δὲ ταύτης περιεκλάσθησάν τε καὶ ἐσχίσθησαν ὄνομα μόνον Χριστοῦ 2

11—14 vgl. Anaceph. des 1. Tomus 4, 1; S. 164, 16ff

G R M anaceph. **1—S. 159, 13** vgl. auch Ancoratus c. 12, 7ff; S. 21, 1—22, 12 (= anc.)

1 vor *πᾶσαι* + *αἱ* G R **2ff** die Zahlen fehlen in der Anaceph. **4** *πρὸ μὲν τῆς ἐπιδημίας Χριστοῦ* anaceph. *πρὸ Χριστοῦ μὲν* G R M **5f** *ἀπὸ δὲ τοῦ Βαρβαρισμοῦ καὶ τῆς Σκυθικῆς δεισιδαιμονίας καὶ τοῦ Ἑλληνισμοῦ καὶ τῶν λοιπῶν* anaceph. **5** *δὲ* < G R M **6** *Πυθαγόριοι* M **7** *Ἀριστοτέλη* M **8** *Ἐπικούριοι* M | *ἡ*[1] < G R M | *ἡ*[2] < M R **10** *Σαιβουαῖοι* M | *Δωσίθεοι* M **13** *διὰ* + *δὲ* M | *τοῦ*[3] + ⟨*πρώτου*⟩ Dind. nach S. 164, 20; aber vgl. S. 193, 24 **13f** vor *βασιλεύσαντος* + *καὶ* G R | *βασιλεύσαντος* + *αὐτῶν* anaceph. **15** *αὐτοῦ* + *τε νῦν* anaceph. | *τοῦ* (vor *Ἰουδαισμοῦ*) < M **16** *Φαρισμῶν* M **17** *Ἡμεροβαπτισταί* M **18** *Νασσαραίων* anaceph. **20f** *ἡ σωτήριος Χριστοῦ τοῦ κυρίου ἡμῶν ἔνσαρκος παρουσία* G R M **23** *καὶ ὀρθοδόξου* < anaceph.

ἔχουσαι, ἀλλ᾽ οὐχὶ τὴν πίστιν, αἱρέσεις αὗται· πρώτη Σιμωνιανοί, 3
δευτέρα Μενανδριανοί, τρίτη | Σατορνιλιανοί, τετάρτη Βασιλειδιανοί, PVII
πέμπτη Νικολαΐται, ἕκτη Γνωστικοὶ οἱ καὶ Στρατιωτικοὶ οἱ αὐτοὶ δὲ
Φιβιωνῖται παρὰ δέ τισι Σεκουνδιανοὶ παρὰ ἄλλοις δὲ Σωκρατῖται παρ᾽
ἑτέροις δὲ Ζακχαῖοι παρὰ δέ τισι Κοδδιανοὶ καλούμενοι καὶ Βορβορῖται
καὶ Βαρβηλῖται, ἑβδόμη Καρποκρατῖται, ὀγδόη Κηρινθιανοὶ οἱ καὶ Μη-
ρινθιανοί, ἐνάτη Ναζωραῖοι, δεκάτη Ἐβιωναῖοι, ἑνδεκάτη Οὐαλεντῖνοι,
δωδεκάτη Σεκουνδιανοί, οἷς συνάπτονται Ἐπιφάνης καὶ Ἰσίδωρος,
τρισκαιδεκάτη Πτολεμαῖοι· τεσσαρεσκαιδεκάτη Μαρκώσιοι, πεντεκαι- 4
δεκάτη Κολορβάσιοι, ἑκκαιδεκάτη Ἡρακλεωνῖται, ἑπτακαιδεκάτη Ὀφῖται,
ὀκτωκαιδεκάτη Καϊανοί, ἐννεακαιδεκάτη Σηθιανοί, εἰκοστὴ Ἀρχοντι-
κοί, εἰκοστὴ πρώτη Κερδωνιανοί, εἰκοστὴ δευτέρα Μαρκίωνες, εἰκοστὴ
τρίτη Λουκιανισταί, εἰκοστὴ τετάρτη Ἀπελληϊανοί, εἰκοστὴ πέμπτη
Σευηριανοί, εἰκοστὴ ἕκτη Τατιανοί· εἰκοστὴ ἑβδόμη Ἐγκρατῖται, εἰκοστὴ 5
ὀγδόη κατὰ Φρύγας, τῶν καὶ Μοντανιστῶν καὶ Τασκοδρουγιτῶν·
οὗτοι δὲ πάλιν οἱ Τασκοδρουγῖται διηρέθησαν εἰς ἑαυτούς, εἰκοστὴ
ἐνάτη Πεπουζιανοὶ οἱ καὶ Πρισκιλλιανοὶ καὶ Κυϊντιλλιανοί, οἷς | συν- D269
άπτονται Ἀρτοτυρῖται, τριακοστὴ Τεσσαρεσκαιδεκατῖται οἱ τὸ πάσχα
μίαν ἡμέραν τοῦ ἔτους ποιοῦντες, τριακοστὴ πρώτη Ἄλογοι οἱ τὸ
εὐαγγέλιον καὶ τὴν ἀποκάλυψιν Ἰωάννου μὴ δεχόμενοι, τριακοστὴ
δευτέρα Ἀδαμιανοί, τριακοστὴ τρίτη Σαμψαῖοι οἱ καὶ Ἐλκεσαῖοι,
τριακοστὴ τετάρτη Θεοδοτιανοί, τριακοστὴ πέμπτη Μελχισεδεκιανοί,
τριακοστὴ ἕκτη Βαρδησιανισταί, τριακοστὴ ἑβδόμη Νοητιανοί, τρια-
κοστὴ ὀγδόη Οὐαλήσιοι, τριακοστὴ ἐνάτη Καθαροὶ οἱ καὶ Ναυᾶτοι,
τεσσαρακοστὴ Ἀγγελικοί, τεσσαρακοστὴ πρώτη Ἀποστολικοὶ οἱ καὶ
Ἀποτακτικοί, τεσσαρακοστὴ δευτέρα Σαβελλιανοί, τεσσαρακοστὴ τρίτη
Ὠριγένειοι οἱ καὶ αἰσχροποιοί, τεσσαρακοστὴ τετάρτη | Ὠριγένειοι οἱ Ö12
καὶ τοῦ Ἀδαμαντίου· τεσσαρακοστὴ πέμπτη Παύλου τοῦ Σαμοσατέως, 6
τεσσαρακοστὴ ἕκτη Μανιχαῖοι οἱ καὶ Ἀκουανῖται, τεσσαρακοστὴ ἑβδόμη
Ἱερακῖται, τεσσαρακοστὴ ὀγδόη Μελιτιανοὶ οἱ κατ᾽ Αἴγυπτον σχίσμα
ὄντες, τεσσαρακοστὴ ἐνάτη Ἀρειανοὶ οἱ καὶ Ἀρειομανῖται· πεντηκοστὴ 7

G R M anaceph. anc.

1 *αἱρέσεις*] *εἰσὶ δὲ* anaceph. **1 ff** die Zahlen fehlen wieder in der anaceph. **2** *Βασιλιδιανοί* M **3** *δὲ* < G R M **4 f** *Σεκουνδιανοὶ — παρὰ δέ τισι* < anaceph. **5** *Βορβοριανοὶ* anaceph. **6** *καὶ Βαρβηλῖται* < anaceph. **8** *συνάπτεται* G R M | *Ἡσίδωρος* M **16** *Τασκουρουγῖται* G **17** *Κυϊντιλιανοὶ* M **22** *Θεοδοτειανοὶ* M **24** *Ναυᾶτοι*] *Πανάτοι* M **26 f** $\overline{\mu\beta}$ $\overline{\mu\gamma}$ (beide Zahlen untereinander) *Σαβελλιανοὶ* < *Ὠριγένειοι οἱ καὶ αἰσχροποιοί* M **27** *καὶ* < G R M **27 f** *οἱ καὶ τοῦ* anaceph.] *τοῦ καὶ* G R M **29** *Ἀκωανῖται* anaceph.

Αὐδιανῶν τὸ σχίσμα, πεντηκοστὴ πρώτη Φωτεινιανοί, πεντηκοστὴ δευτέρα Μαρκελλιανοί, πεντηκοστὴ τρίτη Ἡμιάρειοι, πεντηκοστὴ τετάρτη Πνευματομάχοι οἱ καὶ Μακεδονιανοὶ καὶ Ἐλευσίου μαθηταί, οἱ τὸ ἅγιον τοῦ θεοῦ πνεῦμα βλασφημοῦντες, πεντηκοστὴ πέμπτη Ἀεριανοί, πεντηκοστὴ ἕκτη Ἀετιανοὶ οἱ καὶ Ἀνόμοιοι, οἷς συνάπτεται | Εὐνόμιος, P VIII
μᾶλλον δὲ ὁ Ἄνομος· πεντηκοστὴ ἑβδόμη Διμοιρῖται, οἱ μὴ τελείαν 8
τὴν Χριστοῦ ἐνανθρώπησιν ὁμολογοῦντες, οἱ καὶ Ἀπολλιναρῖται, πεντηκοστὴ ὀγδόη οἱ καὶ τὴν ἁγίαν Μαρίαν τὴν ἀειπάρθενον λέγοντες μετὰ τὸ τὸν σωτῆρα γεγεννηκέναι τῷ Ἰωσὴφ συνῆφθαι, οὕστινας ἐκαλέσαμεν Ἀντιδικομαριαμίτας, πεντηκοστὴ ἐνάτη οἱ καὶ εἰς ὄνομα τῆς αὐτῆς Μαρίας κολλυρίδα προσφέροντες, οἳ καλοῦνται Κολλυρι-| D270
διανοί, ἑξηκοστὴ Μασσαλιανοί, οἷς συνάπτονται Μαρτυριανοὶ οἱ ἀπὸ Ἑλλήνων καὶ Εὐφημῖται καὶ Σατανιανοί.

5. Ἐπανιὼν δὲ αὖθις καὶ διελὼν ταύτας κατὰ βιβλίον ὑποδείξω **5, 1**
ἐν ταύτῃ μου τῇ ἀνακεφαλαιώσει, πόσαι τούτων τῶν ὀγδοήκοντα αἱρέσεων ἐν τῷ πρώτῳ βιβλίῳ καὶ καθεξῆς ἐν τῷ δευτέρῳ ἕως τοῦ τρίτου, ἀλλὰ καὶ καθ' ἕκαστον τῶν ἑπτὰ τόμων τῶν ἐν τοῖς τρισὶ βιβλίοις συντεταγμένων, πόσαι εἰσὶν αἱ ἐν αὐτῷ χωρηθεῖσαι αἱρέσεις. καὶ ἔστιν οὕτως· ἐν τῷ πρώτῳ βιβλίῳ τόμοι τρεῖς, αἱρέσεις δὲ τεσσαράκοντα ἕξ, **2**
σὺν ταῖς ⟨μητράσι καὶ πρωτοτύποις⟩ ὀνομασίαις τούτων, φημὶ δὲ Βαρβαρισμοῦ καὶ Σκυθισμοῦ καὶ Ἑλληνισμοῦ καὶ Ἰουδαϊσμοῦ καὶ Σαμαρειτισμοῦ. ἐν δὲ τῷ δευτέρῳ βιβλίῳ τόμοι δύο, αἱρέσεις εἴκοσι τρεῖς. ἐν δὲ τῷ τρίτῳ βιβλίῳ τόμοι δύο, αἱρέσεις ἕνδεκα. ἐν τῷ οὖν πρώτῳ βιβλίῳ **3**
πρώτῳ τόμῳ αἱρέσεις εἴκοσι, αἵ εἰσιν αἵδε· Βαρβαρισμὸς Σκυθισμὸς Ἑλληνισμὸς Ἰουδαϊσμός. Ἑλλήνων διαφοραί· Πυθαγόρειοι εἶτ' οὖν Περιπατητικοὶ Πλατωνικοὶ Στωϊκοὶ Ἐπικούρειοι. Σαμαρειτικὴ αἵρεσις, ἡ οὖσα ἐκ τοῦ Ἰουδαϊσμοῦ· Σαμαρειτῶν ἔθνη τέσσαρα οὕτως· Γοροθηνοὶ Σεβουαῖοι Ἐσσηνοὶ Δοσίθεοι. Ἰουδαίων αἱρέσεις ἑπτὰ οὕτως· Γραμματεῖς Φαρισαῖοι Σαδδουκαῖοι Ἡμεροβαπτισταὶ Ὀσσαῖοι Νασαραῖοι

G R M anaceph. anc.

2 *Μαρκελλιανοί* G M **4** *Ἀεριανοὶ* + *Ἐλευσίου μαθηταί* G R **5** *Ἄνομοι* G R **7** *Χριστοῦ τὴν* G R *Χριστοῦ* < M | *Ἀπολιναρῖται* G R M anaceph. **8** *οἱ καὶ*] *καὶ οἱ* G R M | *τὴν*[2] + *θεοτόκον καὶ* M **10** *οἱ καὶ*] *καὶ οἱ* G R **11f** *Κολλουριδιανοί* M **12** *Μαρτριανοὶ* G **15** *μου* < anaceph. **16** *τοῦ* (vor *τρίτου*) < M **17** *τοῖς* < anaceph. **18** *αἱ* < anaceph. | *χωρισθεῖσαι* anaceph. **19** *τῷ* < M | *τόμοι τρεῖς* anaceph.] *πρώτου τόμου* G R M **20** *⟨μητράσι καὶ πρωτοτύποις⟩* *, nach S. 162, 3 | *Βαρβαρισμὸν Σκυθισμὸν* usw. anaceph. **24** *πρώτου τόμου* G R M **25** *Πυθαγόριοι* M **26** *Ἐπικούριοι* M | *αἵρεσις ἡ* < G R M **28** *Δωσίθεοι* M

Ἡρῳδιανοί. ἐν δὲ τῷ δευτέρῳ τόμῳ τοῦ πρώτου βιβλίου ὡσαύτως 4
αἱρέσεις δεκατρεῖς οὕτως· Σι|μωνιανοὶ Μενανδριανοὶ Σατορνιλιανοὶ Ö14
Βασιλειδιανοὶ Νικολαΐται Γνωστικοί, οἱ καὶ Στρατιωτικοὶ καὶ Φιβιωνῖται οἱ αὐτοὶ δὲ παρά τισι Σεκουνδιανοὶ παρὰ δὲ ἄλλοις Σωκρατῖται
παρὰ δὲ ἑτέροις Ζακχαῖοι καλούμενοι καὶ Κοδδιανοὶ καὶ Βορβορῖται καὶ Βαρβηλῖται, Καρποκρατῖται Κηρινθιανοί, οἱ καὶ Μηρινθιανοί, Ναζωραῖοι Ἐβιωναῖοι Οὐαλεντῖνοι Σεκουνδιανοί, οἷς συνάπτονται Ἐπιφάνης καὶ Ἰσίδωρος, | Πτολεμαῖοι. ἐν δὲ τῷ τρίτῳ τόμῳ τοῦ αὐ- 5 D271
τοῦ πρώτου βιβλίου αἱρέσεις | δεκατρεῖς οὕτως· Μαρκώσιοι Κολορβά- P IX
σιοι Ἡρακλεωνῖται Ὀφῖται Καϊανοὶ Σηθιανοὶ Ἀρχοντικοὶ Κερδωνιανοὶ Μαρκίωνες Λουκιανισταὶ Ἀπελλῃανοὶ Σευηριανοὶ Τατιανοί. αὕτη ἡ ἀνακεφαλαίωσις τοῦ πρώτου βιβλίου τῶν τριῶν τόμων.

Τοῦ δὲ δευτέρου βιβλίου τόμοι δύο. καὶ ἐν μὲν τῷ πρώτῳ τόμῳ 6
τοῦ δευτέρου βιβλίου, τετάρτῳ δὲ ὄντι κατὰ τὴν ἀπ' ἀρχῆς ἀκολουθίαν τοῦ ἀριθμοῦ, αἱρέσεις δεκαοκτὼ οὕτως· Ἐγκρατῖται κατὰ Φρύγας, οἱ καὶ Μοντανισταὶ καὶ Τασκοδρουγῖται· οἱ δὲ Τασκοδρουγῖται διηρέθησαν ἀπὸ τῶν προειρημένων, Πεπουζιανοὶ ⟨οἱ καὶ Πρισκιλλιανοὶ⟩ καὶ Κυϊντιλλιανοί, οἷς συνάπτονται Ἀρτοτυρῖται, Τεσσαρεσκαιδεκατῖται οἱ τὸ πάσχα μίαν ἡμέραν τοῦ ἔτους ποιοῦντες, Ἄλογοι οἱ τὸ εὐαγγέλιον Ἰωάννου καὶ τὴν ἀποκάλυψιν μὴ δεχόμενοι, Ἀδαμιανοὶ Σαμψαῖοι, οἱ καὶ Ἐλκεσαῖοι, Θεοδοτιανοὶ Μελχισεδεκιανοὶ Βαρδησιανισταὶ Νοητιανοὶ Οὐαλήσιοι Καθαροὶ Ἀγγελικοὶ Ἀποστολικοί, οἱ καὶ Ἀποτακτικοί, οἷς συνάπτονται οἱ καλούμενοι Σακκοφόροι, Σαβελλιανοὶ Ὠριγενιανοὶ οἱ αἰσχροποιοὶ Ὠριγενιανοὶ οἱ τοῦ Ἀδαμαντίου. ἐν δὲ τῷ δευτέρῳ 7
τόμῳ τοῦ αὐτοῦ δευτέρου βιβλίου, πέμπτῳ δὲ ὄντι κατὰ τὸν ἀριθμὸν τὸν προειρημένον, αἱρέσεις πέντε οὕτως· Παύλου τοῦ Σαμοσατέως Μανιχαῖοι, οἱ καὶ Ἀκουανῖται, Ἱερακῖται Μελιτιανῶν τῶν ἐν τῇ Αἰγύπτῳ

G R (von Z. 21 *Βαρδησιανισταὶ* an wieder U statt R) M anaceph. anc.

4 *δὲ παρά*] *παρὰ δὲ* G R anaceph. **4 f** *Σωκρατῖται — ἑτέροις* < G R **5** vor *καλούμενοι* + *οἱ* G R M * **5 f** *καὶ Κοδδιανοὶ — Βαρβηλῖται* < anaceph. **6** vor *Καρποκρατῖται* + *καὶ* M | *Καρποκρατιανοὶ* anaceph. | *Κορινθιανοὶ* M **11** *Ἀπελλιανοὶ Λουκιανισταὶ* anaceph. | *Ἀπελλιανοὶ* M anaceph. **13** *ἐν πρώτῳ μὲν τόμῳ* (< *καὶ*) G R M **15 f** *τῶν καὶ* (*καὶ* < G R) *Μοντανιστῶν καὶ Τασκοδρουγιτῶν* G R M **16 f** *οἱ δὲ Τασκοδρουγῖται — προειρημένων* < anaceph. **17** ⟨*οἱ καὶ Πρισκιλλιανοὶ*⟩ *, vgl. S. 158, 17 **20** *Ἰωάννου* hinter *ἀποκάλυψιν* anaceph. **22 f** *οἷς συνάπτονται — Σακκοφόροι* < anaceph. **23** u. **24** *Ὠριγενειανοὶ* beidemale G **24** *Ἀδάμαντος* anaceph. | *δὲ*] *τε* G U M **25** *κατὰ* < U **26** *Παύλου τοῦ Σαμοσατέως*] *Παυλιανισταί* U **27** *Μελητιανοί, οἱ ἐν τῇ Αἰγύπτῳ πεποιηκότες τὸ σχίσμα* anaceph. *Μελιτιανοὶ σχίσμα ἐν Αἰγύπτῳ* U

σχίσμα Ἀρειανοί. αὕτη καὶ ἡ τοῦ δευτέρου βιβλίου τῶν ⟨δύο⟩ τόμων ἀνακεφαλαίωσις.

Ὁμοίως καὶ ἐν τῷ τρίτῳ βιβλίῳ εἰσὶ τόμοι δύο. ἐν τῷ μὲν 8
πρώτῳ τόμῳ τοῦ τρίτου βιβλίου, ἕκτῳ δὲ ὄντι καθ' ὃν ἀριθμὸν
προείπαμεν, αἱρέσεις ἑπτὰ οὕτως· Αὐδιανοὶ σχίσμα ὄντες, Φωτεινιανοὶ
Μαρκελλιανοὶ Ἡμιάρειοι Πνευματομάχοι, οἱ τὸ πνεῦμα τοῦ θεοῦ τὸ
ἅγιον βλασφημοῦντες, Ἀεριανοὶ | Ἀετίου τοῦ Ἀνομοίου, ᾧ συνήφθη D272
Εὐνόμιος ὁ καὶ Ἄνομος. ἐν δὲ τῷ δευτέρῳ τόμῳ τοῦ αὐτοῦ 9
τρίτου βιβλίου, ἑβδόμῳ δὲ τόμῳ ὄντι καθ' ἣν εἴπαμεν τῶν τόμων
τοῦ ἀριθμοῦ διαίρεσιν, ὅς ἐστι τόμος ἕβδομος καὶ τέλος τῆς πραγμα-
τείας, αἱρέσεις τέσσαρες οὕτως· Διμοιρῖται, οἱ μὴ τελείαν τὴν | Χριστοῦ Ö16
ἐνανθρώπησιν ὁμολογοῦντες οἱ καὶ Ἀπολλιναρῖται, καὶ οἱ τὴν ἁγίαν
Μαρίαν τὴν ἀειπάρθενον μετὰ τὸ τὸν σωτῆρα γεγεννηκέναι τῷ
Ἰωσὴφ συνῆφθαι λέγοντες, οὓς ἐκαλέσαμεν Ἀντιδικομαριαμίτας, καὶ
οἱ εἰς ὄνομα τῆς αὐτῆς Μαρίας κολλυρίδα προσφέροντες, οἵτινες κα-
λοῦνται Κολλυριδιανοί, Μασσα|λιανοί, καὶ ἡ περὶ τῆς ὀρθῆς πίστεως PX
καὶ ἀληθείας ἀπολογία μετ' ἐπιτομῆς τοῦ λόγου, ἥτις ἐστὶν ἡ ἁγία
καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

Αὕτη ἡ ἀνακεφαλαίωσις καὶ ἐπιγραφὴ τῆς πάσης κατὰ αἱρέσεων
ὀγδοήκοντα πραγματείας καὶ μιᾶς τῆς ὑπὲρ ἀληθείας ἀπολογίας τῆς
μόνης τουτέστι τῆς καθολικῆς καὶ ὀρθοδόξου ἐκκλησίας, ἐν τρισὶ μὲν
βιβλίοις ὑποκειμένοις συντεταγμένης, ἐν ἑπτὰ δὲ τόμοις διαιρεθείσης.

G U M anaceph. anc. (bis Z. 16)

1 ⟨δύο⟩ *, vgl. S. 160, 12 **3** τῷ² < G M | μὲν τῷ U **4** ἕκτῳ δὲ ὄντι] ἕκτου δὲ τόμου G U M **4 f** κατὰ τὸν ἀριθμὸν ὃν προείπομεν anaceph. **5** προείπομεν U anaceph. | σχίσμα ὄντες < anaceph. | Φωτιανοὶ anaceph. **6** Μαρκελληϊανοὶ G Μαρκεληϊανοὶ M **7** vor Ἀετίου + Ἀετιανοὶ ἀπὸ U **7 f** Ἀετίου—Ἄνομος] Ἀέτιοι οἱ καὶ Ἀνόμοιοι anaceph. **8** Ἀνόμοιος U | τόμῳ < anaceph. **9** εἴπομεν U anaceph. **9 f** τῶν τόμων τοῦ ἀριθμοῦ < anaceph. **10** ὃς — πραγματείας < anaceph. **11** Διμοιραῖοι anaceph. | vor Χριστοῦ + τοῦ anaceph. **12** Ἀπολιναρῖται G U M anaceph. | καὶ οἱ] οἱ καὶ U anaceph. **14** λέγοντες hinter ἀειπάρθενον (Z. 13) anaceph. **15** αὐτῆς < M | κολλουρίδα M κολλυρίδας anaceph. **16** Κολλουριδιανοί M | ἡ < U **17** τοῦ λόγου < anaceph. **19 f** κατὰ τῶν ὀγδοήκοντα αἱρέσεων anaceph. **20** μία U **20 f** τῆς μόνης — ἐκκλησίας] τουτέστι τῆς μόνης καθολικῆς ἐκκλησίας anaceph. **21** τῆς (vor καθολικῆς) < M **22** ὑποκειμένοις συντεταγμένης . . . διαιρεθείσης Öh.] ὑποκειμένοις συντεταγμένη . . . διαιρεθεῖσα G U M ὑποκειμένη συντεταγμένως . . . διαιρεθεῖσα anaceph. | ἐν < anaceph.

Τάδε ἔνεστιν ἐν τῷ πρώτῳ τόμῳ τοῦ πρώτου βιβλίου τοῦ κατὰ τῶν [εἴκοσι] *αἱρέσεων ἐλέγχου, ⟨ἐν ᾧ εἰσιν αἱρέσεις κ̄⟩ οὕτως·*

Πρῶτον μὲν αἱ τῶν αἱρέσεων πασῶν μητέρες τε καὶ πρωτότυποι ὀνομασίαι, ἐξ ὧν μητέρων πέντε αἱ ἄλλαι ἐφύησαν, καὶ εἰσὶν αὗται αἱ πρῶται τέσσαρες·

⟨α̅.⟩ *Πρώτη Βαρβαρισμός, ἥτις καθ' ἑαυτήν ἐστι, διαρκέσασα ἀφ' ἡμερῶν τοῦ Ἀδὰμ ἐπὶ δέκα γενεαῖς ἕως τοῦ Νῶε. Βαρβαρισμὸς δὲ κέκληται ἀπὸ τοῦ μὴ τοὺς τότε ἀν|θρώπους ἀρχηγόν τινα ἔχειν ἢ μίαν συμφωνίαν, ἀλλ' ὅτι πᾶς τις ἑαυτῷ ἐστοίχει καὶ νόμος ἑαυτῷ κατὰ τὴν προτίμησιν τοῦ ἰδίου βουλήματος ἐγίνετο.* **1, 1** **2** D273

⟨β̅.⟩ *Δευτέρα Σκυθισμός, ἀπὸ τῶν ἡμερῶν τοῦ Νῶε καὶ μετέπειτα ἄρχι τῆς τοῦ πύργου οἰκοδομῆς καὶ Βαβυλῶνος καὶ μετὰ τὸν τοῦ πύργου χρόνον ἐπὶ ὀλίγοις ἔτεσι τουτέστιν ἕως Φαλὲκ καὶ Ῥαγαῦ· οἵτινες ἐπὶ τὸ τῆς Εὐρώπης κλίμα νενευκότες τῷ τῆς Σκυθίας μέρει καὶ τοῖς αὐτῶν ἔθνεσι προσεκρίθησαν ἀπὸ τῆς τοῦ Θάρρα ἡλικίας καὶ ἐπέκεινα, ἐξ οὗπερ οἱ Θρᾷκες γεγόνασι.* **2, 1** **2**

14 ff vgl. Panarion h. 2, 10; S. 175, 22 ff

G U M anaceph. **3 ff** Chron. pasch. p. 23 D ff Joh. Damasc. *de haeres.* Migne 94, 677 A ff Doctr. patr. c. 34; S. 266, 6 ff Diekamp (die Abweichungen der letzteren von der Anacephalaeosis sind nur bei den wichtigsten Stellen verzeichnet)

1 *τάδε ἔνεστιν ἐν τῷ πρώτῳ τόμῳ* *, gemäß den sonstigen Überschriften] *Τάδε ἔνεστιν ἀνακεφαλαίωσις τοῦ πρώτου τόμου κτέ* G U M *ποιησόμεθα δὲ πάλιν ἀνακεφαλαίωσιν ἑτέραν τοῦ πρώτου τόμου τοῦ πρώτου βιβλίου τοῦ κατὰ τῶν εἴκοσιν αἱρέσεων διαλαμβάνοντος* anaceph. **2** [εἴκοσι] *, *ὀγδοήκοντα*? | *⟨ἐν ᾧ εἰσιν αἱρέσεις κ̄⟩* *, der Satz ist gefordert ebenso durch das *οὕτως*, wie durch den sonstigen Brauch des Epiph. **3** *πρῶτον μὲν* + *γὰρ* anaceph. **4** vor *ὀνομασίαι* + *καὶ* M | *μητέρες* U | *πέντε* > anaceph.; die Zahl ist nicht zu streichen; zu den 4 erstgenannten gehört als fünfte *μήτηρ* der *Σαμαρειτισμός*, vgl. S. 157, 1 ff | *αἱ*[1] < anaceph. | *αἱ*[2] < G U **4 f** *αἱ πρῶται τέσσαρες* < anaceph. **7** *γενεὰ////ς*, von erster Hand aus *γενεαῖς* hergestellt U **11** *δευτέρα* < G | *τοῦ* < anaceph. **13** *ἕως* < G U M **15** *ἔθεσι* M *ἔτεσι* U | *προσεκλίθησαν* anaceph. | *Θάρρα*] *Θήρας* G U M

⟨γ.⟩ *Τρίτη Ἑλληνισμός, ἀπὸ τῶν χρόνων τοῦ Σερουχ ἐναρξάμενος* **3, 1**
διά τοι τῆς εἰδωλολατρείας καὶ ὡς ἑστοίχουν τὸ τηνικαῦτα ἕκαστος
κατά τινα δεισιδαιμονίαν ἐπὶ τὸ μᾶλλον πολιτικώτερον καὶ ἐπὶ ἔθη
καὶ θεσμούς. εἰδώλων μέντοι γε ἐναρξαμένων τάττεσθαι, τὰ τῶν **2**
*ἀνθρώπων γένη οἷς τότε στοιχήσαντες * ἐθεοποίουν, διὰ μὲν χρωμά-*
των διαγράφοντες τὴν ἀρχὴν καὶ ἀπεικονίζοντες τοὺς πάλαι παρ' | Ö18
αὐτοῖς τετιμημένους ἢ τυράννους ἢ γόητας ἢ τινάς τι δράσαντας ἐν
*βίῳ μνήμης δοκοῦν ἄξιον, δι' ἀλκῆς τε ἢ σωμάτων εὐρωστίας *·*
ἔπειτα δὲ ἀπὸ τῶν χρόνων τοῦ Θάρρα πατρὸς Ἀβραὰμ καὶ δι' **3**
ἀγαλμάτων τὴν πλάνην τῆς εἰδωλολατρείας εἰσηγησάμενοι, τοὺς
ἑαυτῶν προπάτορας δι' ἀπεικονισμῶν τετιμηκότες καὶ τοὺς | *πρὸ* PXI
αὐτῶν τετελευτηκότας τεχνησάμενοι ἐκ κεραμικῆς ἐπιστήμης τὸ
πρῶτον, ἔπειτα δι' ἑκάστης τέχνης μιμησάμενοι, οἰκοδόμοι μὲν λίθον
ξέσαντες, ἀργυροκόποι δὲ καὶ χρυσοχόοι διὰ τῆς ἰδίας ὕλης τεκτη-
νάμενοι, οὕτω καὶ τέκτονες καὶ οἱ καθεξῆς· (Αἰγύπτιοι δὲ ὁμοῦ καὶ **4**
Βαβυλώνιοι καὶ Φρύγες καὶ Φοίνικες ταύτης τῆς θρησκείας πρῶτοι
εἰσηγηταὶ γεγόνασιν, ἀγαλματοποιίας τε καὶ μυστηρίων, ἀφ' ὧν τὰ
πλεῖστα εἰς Ἕλληνας μετηνέχθη ἀπὸ τῆς Κέκροπος | *ἡλικίας καὶ* D274

1 vgl. liber Jub. 11, 1ff Littmann — **9** vgl. liber Jub. 11, 16 12, 2 Littmann — **9ff** vgl. Ancoratus c. 102, 7; S. 123, 12ff — **15** vgl. Eus. praep. ev. I 6; Migne 21, 48 B — **17f** vgl. Eus. praep. ev. II 1; Migne 21, 93ff — **18** zu *Κέκροψ* vgl. Eus. praep. ev. X 9; Migne 21, 809 B Chronik aus dem Armenischen S. 159 Karst Hieronymus Chronik S. 21, 24 Helm

G U M anaceph. Chron. pasch.

1 *τρίτη* < G | *ἀπὸ τῶν χρόνων*] *πρὸ ἓξ χρόνων* anaceph. | *τοῦ* (vor *Σερουχ*) < Chron. pasch. **1f** *ἐναρξάμενος — εἰδωλολατρείας* < M **2** *τοι*] *τὸ* anaceph. | *εἰδωλατρίας* G U | *ὡς*] *ἕως* G **3** *καὶ* < Chron. pasch. **4** *μέντοι γε ἐναρξαμένων* < Chron. pasch. | *ἐναρξαμένων* *] *ἐναρξάμενα* G U M anaceph. **5** * etwa ⟨*ἦσαν ἀρχηγοῖς*⟩ * | *ἐθεοποιοῦντο* anaceph. *ἐποίουν* Chron. pasch. **7** *γόητας*] *ἡγεμόνας* Chron. pasch. | *ἤ τινας* < anaceph. **8** vor *βίῳ* + *τῷ* U anaceph. | *μνήμης* + *τι* G U M | *δοκοῦν* < anaceph. | * etwa ⟨*διαφέροντας*⟩ * **10** *ἀγαλμάτων* + *αὐτῶν* anaceph. **11** *τοὺς* < G U M **13** *δι' ἑκάστης — μιμησάμενοι* anaceph.] *ἑκάστης — μιμησαμένης* G U M Chron. pasch. | *λίθον* + *λίθῳ* Chron. pasch. **14** *ξύσαντες* anaceph. | *δὲ*] *τε* Chron. pasch. **14f** *τεκτηνάμενοι οὕτω*] *τεχνασάμενοι ἐπετέλεσαν, χαλκοπλάσται δὲ καὶ ἐπιξῦσται τέχναις χρησάμενοι ἐποικιλλεύσαντο* Chron. pasch. **15** *δὲ ὁμοῦ*] *μὲν οὖν* Chron. pasch. *ὁμοῦ* hinter *Βαβυλώνιοι* anaceph. **17** *γεγονότες* Chron. pasch. | *μυστηρίων* + *τελετὰς* Chron. pasch. **18f** *καὶ καθεξῆς — ὑστέρῳ πολὺ*] *καὶ μετέπειτα καθεξῆς ὕστερον πολλοὶ* Chron. pasch.

καθεξῆς), μετέπειτα δὲ καὶ ὑστέρῳ πολὺ τοὺς περὶ Κρόνον καὶ Ῥέαν, Δία τε καὶ Ἀπόλλωνα καὶ τοὺς καθεξῆς θεοὺς ἀναγορεύσαντες. Ἕλληνες δὲ κέκληνται ἀπὸ Ἕλληνός τινος ἀνδρὸς τῶν ἐν τῇ Ἑλλάδι κατῳκηκότων καὶ τὴν προσωνυμίαν τῇ χώρᾳ παρεχομένου, ὡς δὲ ἕτεροί φασιν ἀπὸ τῆς ἐλαίας τῆς ἐν Ἀθήναις βλαστησάσης. Ἴωνες δὲ τούτων ἀρχηγοὶ γεγόνασιν, ὡς ἔχει ἡ ἀκρίβεια, ἀπὸ τοῦ Ἰωνάν *, ἑνὸς ἀνδρὸς τῶν τὸν πύργον οἰκοδομησάντων, ὅτε αἱ γλῶσσαι διεμερίσθησαν τῶν ἀνθρώπων, δι' ἣν αἰτίαν καὶ Μέροπες πάντες κέκληνται διὰ τὴν μεμερισμένην φωνήν. ὕστερον δὲ ὁ Ἑλληνισμὸς εἰς αἱρέσεις κατέστη κατωτέρω τῷ χρόνῳ, φημὶ δὲ Πυθαγορείων καὶ Στωϊκῶν καὶ Πλατωνικῶν καὶ Ἐπικουρείων καὶ λοιπῶν. θεοσεβείας δὲ χαρακτὴρ ὑπῆρχεν ἅμα καὶ ὁ κατὰ φύσιν νόμος, πολιτευόμενος ἀπὸ τούτων τῶν ἐθνῶν, ἑαυτὸν ἀφορίζων ἀπὸ τῆς τοῦ κόσμου καταβολῆς καὶ δεῦρο, μέσος τυγχάνων Βαρβαρισμοῦ καὶ Σκυθισμοῦ καὶ Ἑλληνισμοῦ, ἕως ὅτου συνήφθη τῇ τοῦ Ἀβραὰμ θεοσεβείᾳ.

〈δ.〉 Καὶ μετέπειτα Ἰουδαϊσμός, ἀπὸ τῶν χρόνων Ἀβραὰμ τὸν χαρακτῆρα διὰ περιτομῆς εἰληφὼς καὶ ἐν Μωυσῇ, ἑβδόμῳ ἀπὸ Ἀβραάμ, διὰ τοῦ δι' αὐτοῦ δοθέντος νόμου ὑπὸ τοῦ θεοῦ πλατυνθείς, ἀπὸ δὲ τοῦ Ἰούδα, τετάρτου υἱοῦ τοῦ Ἰακὼβ τοῦ ἐπικληθέντος Ἰσραήλ, διὰ Δαυὶδ τοῦ πρώτου βασιλεύσαντος ἀπὸ τῆς τοῦ αὐτοῦ Ἰούδα φυλῆς τὸ τέλειον τοῦ Ἰουδαϊσμοῦ ὄνομα κεκληρωμένος. σαφῶς γὰρ περὶ

3 vgl. Clemens Al. strom. VI 130, 3; II 497, 28 Stählin Hieronymus Chronik S. 43, 5ff Helm — **5** zu ἐλαία vgl. Hieronymus Chronik S. 41, 17ff Helm — zu Ἴωνες Hippolyt Chronik § 60 Bauer u. Refut. X 31 — **7f** vgl. S. 176, 4ff und de mens. ac pond. S. 180, 53f Lagarde — **16ff** vgl. prooemium I c. 3, 5; S. 157, 10ff

G U M anaceph. Chron. pasch.

2 τοὺς < U | τοὺς καθεξῆς] τοὺς ἐφεξῆς δυνάστας Chron. pasch. **3** δὲ < M anaceph. Chron. pasch. | Ἑλένου G **4** καὶ τὴν — παρεχομένου anaceph.] < G U M **6** ὡς ὁ ἀκριβὴς ἔχει λόγος Chron. pasch. | Ἰωνᾶν U M Ἴωνος υἱὸς anaceph. | * 〈κεκλημένοι〉 * **7** ἑνὸς ἀνδρὸς] ἀνδρός τινος anaceph. **7f** ὅτε — ἀνθρώπων < anaceph. **8** ἀνθρώπων Chron. pasch.] πάντων G U M anaceph. | μερόπει M | πάντες < anaceph. **10** κατεστάθη anaceph. | τῶν χρόνων anaceph. | Πυθαγορίων U M **11** Ἐπικουρίων U M **12** καὶ < anaceph. | ὁ] τὸ M **17** χαρακτῆρα + τοῦ Ἀβραὰμ Chron. pasch. | διὰ περιτομῆς < U anaceph. | ἐν + τῷ Chron. pasch. | Μωυσεῖ M **18** δι' αὐτοῦ < anaceph. δι' < U | τοῦ² < anaceph. **19** ἐπικληθέντος] ἐπὶ anaceph. **20** τοῦ πρώτου βασιλεύσαντος] τοῦ βασιλέως πρώτου Chron. pasch. | αὐτοῦ τοῦ Chron. pasch. **21** τέλεον M τέλος, < τοῦ Ἰουδαϊσμοῦ ὄνομα anaceph. | ὀνόματος Chron. pasch. **21**—S. 165, **3** σαφῶς — κτίσις < anaceph. **21** σαφῶς γὰρ] καθὰ σαφῶς Chron. pasch.

τούτων τῶν τεσσάρων αἱρέσεων ὁ ἀπόστολος ἐπιτιμῶν ἔφη »ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐ βάρβαρος, οὐ Σκύθης, οὐχ Ἕλλην, οὐκ Ἰουδαῖος, ἀλλὰ καινὴ κτίσις«.

Ἑλλήνων διαφοραί·

5 ⟨ε.⟩ Πυθαγόρειοι εἴτ᾽ οὖν Περιπατητικοί· τὴν μονάδα καὶ τὴν **5, 1** Ö 20
πρό|νοιαν καὶ τὸ κωλύειν θύεσθαι τοῖς δῆθεν θεοῖς | Πυθαγόρας D275
ἐδογμάτισεν, ἐμ|ψύχων τε μὴ μεταλαμβάνειν, ἀπὸ οἴνου δὲ ἐγκρα- PXII
τεύεσθαι. διώριζεν δὲ ἅμα τὰ ἀπὸ σελήνης [καὶ] ἄνω ἀθάνατα λέγων, **2**
τὰ δὲ ὑποκάτω θνητά· μεταγγισμούς τε ψυχῶν ἀπὸ σωμάτων εἰς
10 σώματα ἄχρι ζῴων καὶ κνωδάλων, σιωπὴν δὲ ἅμα ἀσκεῖν ἐπὶ χρόνον
πέντε ἐτῶν ἐδίδασκε. τὸ τελευταῖον δὲ ἑαυτὸν θεὸν ὠνόμασε.

ς. Πλατωνικοὶ θεὸν καὶ ὕλην καὶ εἶδος, καὶ τὸν κόσμον γενητὸν **6, 1**
καὶ φθαρτὸν ὑπάρχειν, τὴν ψυχὴν δὲ ἀγένητον καὶ ἀθάνατον καὶ
θείαν· εἶναι δὲ αὐτῆς τρία μέρη, λογικὸν θυμικὸν καὶ ἐπιθυμητικόν·
15 τὰς δὲ γυναῖκας κοινὰς τοῖς πᾶσι γίνεσθαι καὶ μηδένα μίαν ἔχειν **2**
γαμετὴν ἰδίαν, ἀλλὰ τοὺς θέλοντας ταῖς βουλομέναις συνεῖναι· μεταγ-
γισμὸν δὲ ὡσαύτως ψυχῶν εἰς σωμάτων διαφορὰς ἄχρι κνωδάλων,
ὁμοῦ δὲ καὶ θεοὺς ἐκ τοῦ ἑνὸς πολλοὺς ἐδογμάτισαν.

ζ. Στωϊκοὶ σῶμα τὸ πᾶν δογματίζοντες καὶ τὸν αἰσθητὸν τοῦ- **7, 1**
20 τον κόσμον θεὸν νομίζοντες, τινὲς δὲ ἐκ τῆς τοῦ πυρὸς οὐσίας τὴν
φύσιν ἔχειν αὐτὸν ἀπεφήναντο. καὶ τὸν μὲν θεὸν νοῦν ὁρίζουσι καὶ **2**

1 Kol. 3, 11 vgl. Gal. 3, 28 — **5**—S. **166**, **8** vgl. Diels *Doxographi graeci* S. 587f u. S. 175 — **12—16** fast wörtlich wiederholt im Schlußabschnitt *περὶ πίστεως* c. 9

G U M anaceph. Chron. pasch. (bis Z. 3)

1 *ἐπιτιμῶν*] *ἐπιτεμὼν* G U *ἐπιστέλλων* Chron. pasch. | *ἔφη*] *ἔλεγεν* Chron. pasch. **5** *Πυθαγόριοι* U M | *εἴτουν*] *ἢ* anaceph. | *την*^{2} < anaceph. **6** *τοῖς δῆθεν* < anaceph. | *δῆθεν* + ⟨*νομιζομένοις*⟩? * | *Πυθαγόρας* < anaceph. **7** *δογματίζοντες* anaceph. | *ἐνψύχων* M | *δὲ*] *δεῖ* M **8** *διώριζον* anaceph. | *τὰ* < anaceph. | [*καὶ*] Jahn Diels | *λέγοντες* anaceph. **9** *ὑποκάτωθεν* M | *τε*] *δὲ* M anaceph. **10—11** *σιωπῶν δὲ ὁ τούτων διδάσκαλος ἑαυτὸν θεὸν ὠνόμασε* anaceph. **10f** *ἐπὶ — ἐδίδασκε* < M **12** *Πλατωνικοὶ* + *δὲ* anaceph. | *γεννητὸν* G U anaceph. **13** vor *την ψυχην* + *καὶ* G | *την δὲ ψυχὴν* anaceph. | *ἀγέννητον* U M anaceph. | *ἀθάνατον*] *ἄφθαρτον* G **14** *αὐτὴν* M | *καὶ* < G U M **15** *πᾶσι* + ⟨*δεῖν*⟩ Dind. **18** *ὁμοῦ δὲ*] *ὁμοίως δὲ* anaceph. | *πολλοὺς* + *καὶ αὐτοὶ* anaceph. | *ἐδογμάτισε* G U M **20** *δὲ* < anaceph. **21** *ἔχειν* < anaceph. | *αὐτῶν* anaceph. | *ἀπεφήναντο*] *ὁρίζουσι* anaceph. | *ὁρίζουσι*] *δογματίζουσι* anaceph.

ὡς ψυχὴν παντὸς τοῦ ὄντος κύτους οὐρανοῦ καὶ γῆς· σῶμα δὲ αὐτοῦ τὸ πᾶν, ὡς ἔφην, καὶ ὀφθαλμοὺς τοὺς φωστῆρας. τὴν δὲ σάρκα πάντων ἀπόλλυσθαι καὶ τὴν ψυχὴν πάντων μεταγγίζεσθαι ἀπὸ σώματος εἰς σῶμα.

η. Ἐπικούρειοι ἄτομα καὶ ἀμερῆ σώματα, ὁμοιομερῆ τε καὶ ἄπειρα 8, 1
τὴν ἀρχὴν εἶναι τῶν πάντων ὑπεστήσαντο καὶ τέλος εἶναι εὐδαιμονίας τὴν ἡδονὴν ἐδογμάτισαν καὶ μήτε θεὸν μήτε πρόνοιαν τὰ πράγματα διοικεῖν.

θ. Σαμαρειτισμὸς καὶ οἱ ἀπ' αὐτοῦ Σαμαρεῖται, ὅς ἐστιν ἀπὸ 9, 1
Ἰουδαϊσμοῦ, πρὸ μὲν τοῦ καταστῆναι αἱρέσεις εἰς Ἕλληνας καὶ πρὸ τοῦ συστῆναι αὐτῶν τὰ δόγματα, μετὰ δὲ τὸ εἶναι Ἑλλήνων τὴν θρησκείαν καὶ | μέσον τοῦ Ἰουδαϊσμοῦ τὴν πρόφασιν εἰληφὼς ἀπὸ D276
τῶν χρόνων Ναβουχοδονόσορ καὶ τῆς τῶν Ἰουδαίων αἰχμαλωσίας· μέτοικοι δὲ ὄντες ἀπὸ Ἀσσυρίων εἰς τὴν Ἰουδαίαν καὶ λαβόντες τὴν 2
πεντάτευχον μόνην Μωυσέως, τοῦ βασιλέως αὐτοῖς ἀποστείλαντος ἀπὸ Βαβυλῶνος διὰ ἱερέως Ἔσδρα καλουμένου, τὰ πάντα ἔχοντες ἴσα 3
Ἰουδαίων, πλὴν τοῦ βδελύττεσθαι τὰ ἔθνη καὶ μήτε προσψαύειν τι|νῶν καὶ πλὴν τοῦ ἀρνεῖσθαι νεκρῶν ἀνάστασιν καὶ τὰς ἄλλας PXIII
προφητείας τὰς μετὰ Μωυσέα.

Σαμαρειτῶν ἔθνη τέσσαρα|· Ö22

ι. Γοροθηνοί, οἱ ἄλλοις καιροῖς τὰς ἑορτὰς ἄγοντες παρὰ τοὺς 10
Σεβουαίους.

ια. Σεβουαῖοι, διὰ τὴν αὐτὴν αἰτίαν τῶν ἑορτῶν πρὸς τοὺς 11
Γοροθηνοὺς διαφερόμενοι.

ιβ. Ἐσσηνοί, μηδ' ὁποτέροις ἐναντιούμενοι, τοῖς δὲ παρατυγχά- 12
νουσι συνεορτάζοντες ἀδιαφόρως.

ιγ. Δοσίθεοι, τοῖς αὐτοῖς ἔθεσιν οἷς καὶ Σαμαρεῖται ἐμπολι- 13, 1
τευόμενοι, περιτομῇ τε καὶ σαββάτῳ καὶ τοῖς ἄλλοις, χρώμενοί τε τῇ πεντατεύχῳ, περιττότερον δὲ τῶν ἄλλων φυλάττοντες τὸ ἀπέ-
χεσθαι ἐμψύχων καὶ ἐν νηστείαις δὲ συνεχέστατα βιοῦντες. ἔχουσι δὲ 2

G U M anaceph.

1 *τοῦ ὄντος παντὸς* M **5** *Ἐπικούριοι* M | *ἀτόμους* M | *ἀμερῆ*] *μέρη* M | vor *ὁμοιομερῆ* + *καὶ* anaceph. **6** *εἶναι* < anaceph. **7** *καὶ* < G **7 f** *τὰ πράγματα*] *τὰ πάντα* anaceph. **11** *μετὰ δὲ τὸ* *] *μετὰ δὲ τοῦ* G U M anaceph. **15** *αὐτοῖς*] *αὐτοὺς* M **16** *ἴσα*] *εἰσιν* G U **19** *τὰς* < anaceph. | *Μωυσέως* anaceph. *Μωσέα* M **20** *Σαμαρειτῶν* + *δὲ* U **21** *Γορθηνοί* U | vor *ἄλλοις* + *ἐν* U **22** *Σεβουαίους*] *Ἑβραίους* U **23** *Σεβουαῖοι* + *οἱ* U **24** *Γορθηνοὺς* U **26** *ἑορτάζοντες* anaceph. **27** *Δωσίθεοι* G M | *ἤθεσιν* M | *οἷς καὶ* anaceph.] *οἷα δὴ* G U M **28 f** *χρώμενοι, τῇ τε πεντατεύχῳ* anaceph. **30** *καὶ* < anaceph. | *δὲ*] *τε* M | *βιοῦν* M

καὶ παρθενίαν τινὲς αὐτῶν, ἐγκρατεύονται δὲ ἄλλοι. πιστεύουσι δὲ νεκρῶν ἀνάστασιν, ὅπερ ξένον ἐστὶ Σαμαρείταις.

Ἰουδαίων αἱρέσεις ἑπτά·

ιδ. Γραμματεῖς, οἵτινες νομικοὶ μὲν ἦσαν καὶ δευτερωταὶ παρα- **14**
δόσεων τῶν παρ᾽ αὐτοῖς πρεσβυτέρων, τῇ περιττοτέρᾳ ἐθελοθρησκείᾳ ἔθη φυλάττοντες ἃ οὐ διὰ τοῦ νόμου μεμαθήκασιν, ἀλλ᾽ ἑαυτοῖς ἐτύπωσαν, σεβάσματα δικαιώματος τῆς νομοθεσίας.

ιε. Φαρισαῖοι, ἑρμηνευόμενοι ἀφωρισμένοι, οἱ τὸ ἀκρότατον βι- **15, 1**
οῦντες καὶ δῆθεν τῶν ἄλλων δοκιμώτεροι· παρ᾽ οἷς καὶ νεκρῶν ἀνάστασις ὡς καὶ παρὰ τοῖς Γραμματεῦσι καὶ ἡ περὶ ἀγγέλων καὶ πνεύματος ἁγίου, ὅτι ἔστι, συγκατάθεσις, πολιτεία τε διάφορος, ἐγκρά|τεια D277
ἕως χρόνου καὶ παρθενία, νηστεία δὲ δὶς τοῦ σαββάτου, ξεστῶν καθαρισμοὶ καὶ πινάκων καὶ ποτηρίων, ὡς καὶ παρὰ τοῖς Γραμματεῦσι, ἀποδεκατώσεις καὶ ἀπαρχαὶ καὶ ἐνδελεχὴς εὐχὴ καὶ σχήματα **2**
ἐθελοθρησκευτικὰ τῆς ἐνδυμενίας διά τοι τῆς ἀμπεχόνης καὶ τῶν δαλματικῶν ἤγουν κολοβιώνων καὶ τοῦ πλατυσμοῦ τῶν φυλακτηρίων τουτέστι σημάτων τῆς πορφύρας καὶ κρασπέδων καὶ ῥοΐσκων ἐπὶ τὰ πτερύγια τῆς ἀμπεχόνης, ἅτινα ταῦτα ἐτύγχανε σημεῖα τῆς παρ᾽ αὐτοῖς ἕως καιροῦ ἐγκρατείας· οἳ καὶ παρεισέφερον γένεσιν καὶ εἱμαρμένην.

ις. Σαδδουκαῖοι, ἑρμηνευόμενοι δικαιότατοι, οἳ ἐκ γένους μὲν **16**
ἦσαν Σαμαρειτῶν ὁμοῦ δὲ καὶ ἱερέως Σαδδοὺκ ὀνόματι, νεκρῶν μὲν ἀνά|στασιν ἀρνούμενοι καὶ μὴ παραδεχόμενοι ἄγγελον μήτε πνεῦμα, P XIV
τὰ δὲ λοιπὰ πάντα ὄντες Ἰουδαῖοι.

ιζ. Ἡμεροβαπτισταί· οὗτοι μὲν κατὰ πάντα Ἰουδαῖοι ἦσαν, **17**
ἔφα|σκον δὲ μηδένα ζωῆς τυγχάνειν αἰωνίου, εἰ μή τι ἂν καθ᾽ ἑκά- Ö24
στην βαπτίζοιτο.

12 vgl. Luk. 18, 12 — **12f** vgl. Mark. 7, 4 — **16** vgl. Matth. 23, 5 — **23** vgl. Act. 23, 8

G U M anaceph.

1 δὲ[2]] τε U **4f** παραδώσεων M **7** δικαιότητι anaceph. **10** ἀγγέλων καὶ] ἀγγέλου τοῦ anaceph. **11** τε < anaceph. | ἐγκράτεια + τε G **12** δὶς] διὰ anaceph. **13f** παρὰ τοῖς Γραμματεῦσι *] οἱ Γραμματεῖς G U M anaceph. **14** ἀποδεκάτωσις und + τε anaceph. | ἐνδελεχεῖς εὐχαὶ U **15** ἐνδυμενείας anaceph. **16** ἤγουν] ἢ τῶν U M | κολοβίων U κολλοβίων anaceph. **18** ταῦτα] πάντα? Öh. ταῦτα + πάντα? Dind. **21** Σαδδουκαῖοι + οἱ U | οἳ + καὶ anaceph. **22** δὲ < G U M | Σαδοὺκ M | ὀνόματι *] ὀνόματος G U M < anaceph. **23** μηδὲ anaceph. **24** λοιπὰ < G U M **25** οὗτοι] οἳ anaceph. **26** δὲ < M ! αἰωνίου τυγχάνειν anaceph.

ιη'. Ὀσσηνοί, οἳ δὴ ἰταμώτατοι ἑρμηνεύονται. ἦσαν δὲ οὗτοι τὰ **18**
πάντα κατὰ νόμον τελοῦντες, ἐχρῶντο δὲ καὶ γραφαῖς ἑτέραις μετὰ
τὸν νόμον, τοὺς δὲ πλείους τῶν μετέπειτα προφητῶν ἀπεβάλλοντο.

ιθ'. Νασαραῖοι, ἑρμηνευόμενοι ἀφνιασταί, οἳ πᾶσαν σαρκο- **19, 1**
φαγίαν ἀπαγορεύουσιν, ἐμψύχων οὐδ' ὅλως μεταλαμβάνουσιν, ἄχρι δὲ
Μωυσέως καὶ Ἰησοῦ τοῦ Ναυῆ τοῖς ἐν τῇ πεντατεύχῳ ἁγίοις ὀνόμασι
πατριαρχῶν κεχρημένοι τε καὶ πιστεύοντες, φημὶ δὲ Ἀβραὰμ καὶ **2**
Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τῶν ἀνωτάτω καὶ αὐτοῦ Μωυσέως καὶ Ἀαρὼν
καὶ Ἰησοῦ. τὰς δὲ τῆς πεντατεύχου γραφὰς οὐκ εἶναι Μωυσέως
δογματίζουσιν, ἄλλας δὲ παρ' αὐτὰς ἔχειν διαβεβαιοῦνται.

κ'. Ἡρῳδιανοί, οἳ Ἰουδαῖοι μὲν ἦσαν κατὰ πάντα, | Ἡρῴδην δὲ **20** D278
Χριστὸν προσεδόκων καὶ τούτῳ τὸ τοῦ Χριστοῦ ἀπεδίδοσαν γέρας
καὶ ὄνομα.

Οὗτος ὁ πρῶτος τόμος, περιέχων κατὰ πασῶν τῶν εἴκοσι τού-
των αἱρέσεων· ἐν αὐτῷ δὲ καὶ ἡ περὶ τῆς Χριστοῦ ἐνδημίας ὑπόθεσις
καὶ ἡ τῆς ἀληθείας ὁμολογία. | D279

1 anders unten h. 19, 1, 3; S. 218, 2 *Ὀσσηνοί* = *στιβαρὸν γένος*

G U M anaceph.

2 *κατὰ πάντα τὸν νόμον* anaceph. **4** *Νασσαραῖοι* u. + *οἳ* anaceph. | *ἀφανιασταὶ* G *ἀφιανισταὶ* U | *οἳ* < G U M **5** *ἐμψύχων* + *δὲ* anaceph. **6** *ὀνομάζουσι* U **10** *παρὰ ταύτας* anaceph. **12** *προσεδόκουν* M anaceph. | *τὸ*] *περὶ* anaceph. | *ἀπεδίδωσαν* U *ἐπεδίδουν* anaceph. | *γέρα* anaceph. **14** *ὁ* < G anaceph. **14 f** *τούτων* < anaceph. **15** *τῆς*] *τοῦ* M **16** *ὁμολογία* + *ἡ μία καὶ μόνη οὖσα τοῦ θεοῦ ἀληθὴς πίστις* anaceph. | Unterschrift: *αἱ πρὸ τῆς παρουσίας Χριστοῦ αἱρέσεις κ̄* M

Ἐπιφανίου ἐπισκόπου κατὰ αἱρέσεων τὸ ἐπικληθὲν πανάριον εἴτουν κιβώτιον.

1. *Ἀρχόμενος πίστιν τε καὶ ἀπιστίαν, εὐδοξίαν τε καὶ ἑτεροδοξίαν* **1, 1** P1
ἀναγγέλλειν τε καὶ λέγειν μνησθήσομαι τῆς ἀρχῆς τῆς τοῦ κόσμου Ö26
καταβολῆς καὶ ἀκολουθίας, οὐ διὰ τῆς ἐμαυτοῦ δυνάμεως οὐδ' ἀπὸ
ἰδίων λογισμῶν ὁρμώμενος, ἀλλ' ὡς ὁ θεὸς ὁ πάντων δεσπότης καὶ
ἐλεήμων ἀπεκάλυψε τοῖς ἑαυτοῦ προφήταις καὶ δι' αὐτῶν ἡμᾶς τῆς
τοῦ παντὸς γνώσεως κατὰ τὸ ἐγχωροῦν ἀνθρωπεία φύσει κατη-
ξίωσε. καὶ ἀρχόμενος περὶ τούτων εὐθὺς διασκοπεῖν πρῶτον μὲν **2**
οὐκ ἐν μικρῷ ἀγῶνι καθίσταμαι, ἀλλὰ καὶ σφόδρα δέδια ἐπιβαλλό-
μενος ἔργῳ οὐ τῷ τυχόντι καὶ ἐπικαλοῦμαι αὐτὸν τὸν ἅγιον θεὸν
καὶ τὸν μονογενῆ | αὐτοῦ παῖδα Ἰησοῦν Χριστὸν καὶ τὸ ἅγιον αὐτοῦ P2
πνεῦμα, ὅπως καταυγάσῃ τῆς ἡμετέρας εὐτελείας τὸν νοῦν πρὸς
φωτισμὸν τῆς περὶ τούτων γνώσεως. οἱ μὲν γὰρ τῶν Ἑλλήνων **3**
συγγραφεῖς ποιηταί τε καὶ λογογράφοι ἐπιβαλλόμενοί τινι μυθώδει
συγγράμματι Μοῦσάν τινα ἐπεκαλοῦντο. οὐ γὰρ θεόν· δαιμονιώδης
γὰρ παρ' αὐτοῖς ἡ σοφία καὶ »ἐπίγειος καὶ οὐκ ἄνωθεν κατερχομένη«
κατὰ τὸ γεγραμμένον. ἡμεῖς δὲ ἐπικαλούμεθα τὸν τῶν ὅλων ἅγιον **4**
δεσπότην ἀντιλαβέσθαι τῆς ἡμῶν πτωχείας καὶ ἐμπνεῦσαι τὸ ἅγιον
αὐτοῦ πνεῦμα, εἰς τὸ μηδὲν παραπεποιημένον εἰς τὴν τῆς ἐπαγγελίας
γραφὴν συντάξαι. καὶ αὐτὸ τοῦτο αἰτησάμενοi, τὴν ἑαυτῶν ἀνικα- **5**
νότητα γινώσκοντες »κατὰ τὸ μέτρον τῆς πίστεως καὶ κατὰ ἀναλο-
γίαν« δωρήσασθαι τὸν αὐτὸν ἡμῖν παρακαλοῦμεν. | Ö28

13 vgl. II Kor. 4, 6 — **14** vgl. Theophilus ad Autol. II 8; S. 74 Otto — **16** Jak. 1, 15 — **22** vgl. Röm. 12, 3. 6

G U M

1 Überschrift: *Ἐπιφανίου ἐπισκόπου κατὰ αἱρέσεων τὸ ἐπικληθὲν πανάριον εἴτουν κιβώτιον* G M *Ἐπιφανίου ἐπισκόπου Κωνσταντείας τῆς Κύπρου κατὰ αἱρέσεων ὀγδοήκοντα τὸ ἐπικληθὲν πανάρειον εἴτουν κιβώτιον* U **4** *τῆς*[2] < G M **5** *τῆς* < G | *ἑαυτοῦ* U | *ἀπὸ* Pet.] *ὑπὸ* G U M **11** *θεὸν* < U **12** *παῖδα*] *υἱὸν* M **15** *τε* < G

2. Ἔστω δὲ ὁ σκοπὸς * τῷ ἐντυγχάνοντι περὶ παντός του **2, 1**
ζητήματος, ὅτι τῶν καιρῶν ἐστι καὶ χρόνων | τὰ ἐφευρήματα, ὅσα D280
ἠδυνήθη ὁ σμικρὸς ἡμῶν νοῦς ἐξασκηθεὶς καταλαβέσθαι, καὶ οὐ πάν-
τως που ἐπαγγελλόμεθα πάντων τῶν ἐν τῷ κόσμῳ *· ἄφατα γάρ **2**
ἐστι καὶ φατά, ἀμύθητά τε καὶ ἐν ἀριθμῷ μὴ καθιστάμενα καὶ ὅσον
μὲν εἰς ἀνθρώπους ἦκεν ἀνέφικτα, μόνῳ δὲ τῷ τῶν ὅλων δεσπότῃ
γινωσκόμενα. τὸ δὲ ἐπάγγελμα ἔχει περὶ διαφορᾶς δοξῶν τε καὶ **3**
γνώσεων, [ἐπαγγελμάτων τε] πίστεώς τε θεοῦ καὶ ἀπιστίας, αἱρέσεών
τε καὶ κακοδόξου γνώμης ἀνθρωπείας ὑπὸ πεπλανημένων ἀνδρῶν
ἐν κόσμῳ ἐσπαρμένης, ἐξότε ἄνθρωπος ἐπὶ γῆς πέπλασται ἄχρι τοῦ
ἡμετέρου χρόνου τουτέστι βασιλείας Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος
ἑνδεκάτου ἔτους καὶ Γρατιανοῦ ἑβδόμου. τῶν δὲ ὑφ' ἡμῶν μελ- **4**
λόντων εἰς γνῶσιν τῶν ἐντυγχανόντων ἥκειν ⟨περὶ⟩ αἱρέσεών τε καὶ
σχισμάτων τὰ μὲν ἐκ φιλομαθίας ἴσμεν, τὰ δὲ ἐξ ἀκοῆς κατειλήφαμεν,
τοῖς δέ τισιν ἰδίοις ὠσὶ καὶ ὀφθαλμοῖς παρετύχομεν· καὶ τῶν μὲν
τὰς ῥίζας καὶ τὰ διδάγματα ἐξ ἀκριβοῦς ἀπαγγελίας ἀποδοῦναι
πεπιστεύκαμεν, τῶν δὲ μέρος τι τῶν παρ' αὐτοῖς γινομένων. ἐξ ὧν
τοῦτο μὲν διὰ συνταγμάτων παλαιῶν συγγραφέων, τοῦτο δὲ δι'
ἀκοῆς ἀνθρώπων ἀκριβῶς πιστωσαμένων τὴν ἡμῶν ἔννοιαν ἔγνωμεν. P3
τοῦτο δὲ τὸ πᾶν συνηγάγομεν φρόντισμα οὐ δι' ἑαυτῶν ἐπιβαλλό- **5**
μενοι οὐδ' ἐπεντριβέντες ἐπαγγελίαις ὑπερβαινούσαις τὴν ἡμῶν
βραχυλογίαν. καὶ γὰρ καὶ αὐτὸν τοῦτον τὸν λόγον, ὃν συνθεῖναι
ηὐδοκήσαμεν θεοῦ βουλήσει, ἐξ ἀνδρῶν φιλοκάλων *, ἄλλοθι ἄλλως
καὶ ἄλλοτε ἄλλως νυξάντων τὴν ἡμῶν ἀσθένειαν καὶ βιασαμένων
ἡμᾶς ὡς εἰπεῖν παρελθεῖν εἰς τοῦτο, ὡς ἡ ὑμῶν τιμιότης γράφουσα
διὰ προσρητικῶν γραμμάτων ᾔτησεν, ὦ τιμιώτατοί μου ἀδελφοὶ καὶ
φιλοκαλώτατοι, Ἀκάκιε καὶ Παῦλε, συμπρεσβύτεροι. ἐπεὶ οὖν παντα- **6**

10f gemeint ist das Jahr 375; vgl. zu S. 153, 1 — **23** vgl. Ancoratus c. 1, 1; S. 6, 1f — **27f** vgl. Ancoratus c. 2, 1; S. 7, 3ff u. c. 1, 4; S. 6, 23ff

G U M

1 * etwa ⟨τῆς πραγματείας σαφῆς⟩ * | τον < G **2** ἐφευρέματα M **3** ἠδυνήθη < M | μικρὸς G U **4** * etwa ⟨γενομένων τὴν γνῶσιν μεταδοῦναι⟩ * **5** ἀμύθητά τε + ⟨καὶ ἐφικτά, ἀριθμητὰ⟩? * ἀριθμητὰ st. ἀμύθητα? Klosterm. | μὴ < M **8** [ἐπαγγελμάτων τε] * | τε[2] ἐκ G U | ἀπιστείας M **12** ἑβδόμου < U M **13** ⟨περὶ⟩ * **14** σχισμάτων *] τῶν ἀνωτάτω G U M **16** ἀπαγγελίας *] ἐπαγγελίας G U M **17** τῶν δὲ + ⟨μόνον⟩? * | παρ' αὐτοῖς] ἀπ' αὐτῆς U | γιγνομένων M **18** συγγραμμάτων G **20f** ἐπιβαλόμενοι U **21** οὐδ' *] οὐκ G U M **23** φιλοσόφων U | * etwa ⟨συνετάξαμεν αἰτήσεως⟩ * **26** προφητικῶν U **27** φιλοκαλότατοι U

χόθεν οὐκ ἀθεεὶ διασκοπήσας τὰς ψήφους τῶν αἰτήσεων διὰ τὴν
ὑπερβάλλου|σαν τῶν τοῦ θεοῦ δούλων ἀγάπην εἰς τοῦτο παρελθεῖν D 281
κατηξίωμαι, οὐ δι' εὐεπείας λόγων οὐ στωμύλοις τισὶ φθογγαῖς, ἀλλ'
ἁπλῇ τῇ διαλέκτῳ ἁπλῷ τῷ λόγῳ, ἀκριβείᾳ δὲ τῶν ἐν τῷ λόγῳ
δηλουμένων ἄρξομαι τοῦ λέγειν.

3. Καὶ Νίκανδρος μὲν ὁ συγγραφεὺς θηρῶν τε καὶ ἑρπετῶν **3, 1**
ἐποιήσατο τῶν φύσεων τὴν γνῶσιν, ἄλλοι δὲ συγγραφεῖς ῥιζῶν τε
*καὶ | βοτανῶν τὰς ὕλας *, ὡς Διοσκουρίδης μὲν ὁ ὑλοτόμος, Πάμφι-* Ö 30
λός τε καὶ Μιθριδάτης ὁ βασιλεύς, Καλλισθένης τε καὶ Φίλων, Ἰόλαός
τε ὁ Βιθυνὸς καὶ Ἡρακλείδας ὁ Ταραντῖνος, Κρατεύας ὁ ῥιζοτόμος,
Ἀνδρέας τε καὶ Βάσσος ὁ Τύλιος, Νικήρατος καὶ Πετρώνιος, Νίγερ
καὶ Διόδοτος, καὶ ἄλλοι τινές. τῷ δὲ αὐτῷ τρόπῳ καὶ ἡμεῖς τὰς **2**
τῶν αἱρέσεων ῥίζας τε καὶ γνώμας πειρώμενοι ἀποκαλύπτειν οὐ **3**
*βλάβης ἕνεκα τοῖς ἐντυγχάνειν ἐθέλουσιν *, ἀλλὰ καθάπερ τοῖς προ-*
ειρημένοις συγγραφεῦσι διὰ σπουδῆς ἐγένετο οὐ τὸ κακὸν σημᾶναι,
ἀλλὰ πρὸς φόβον καὶ ἀσφάλειαν τῆς ἀνθρωπείας φύσεως, εἰς τὸ
γινώσκειν τὰ δεινὰ καὶ ὀλετήρια καὶ προασφαλίζεσθαι καὶ διαδιδρά-
σκειν σὺν τῇ τοῦ θεοῦ δυνάμει διὰ τοῦ προσέχειν καὶ μὴ συναμιλ-
λᾶσθαι τοῖς δηλητηρίοις τοιούτοις περιτυχόντας καὶ ὑπὸ τῶν τοιού-
των ἐπιβουλευθέντας ἢ δι' ἐμφυσήματος ἢ δήγματος ἢ θεωρίας, οἱ αὐ-
τοὶ τὰ αὐτὰ μεριμνήσαντες ⟨ἅμα⟩ καὶ ἀλεξητήρια ῥιζῶν τε καὶ βοτανῶν
προετύπωσαν πρὸς ἀθέτησιν τῆς τῶν προειρημένων ἑρπετῶν μοχθη-
ρίας, — οὕτω καὶ ἡμῖν τὸ πόνημα διὰ τὴν τῶν προειρημένων ἀπο- **4**
*τροπὴν καὶ ὑμῶν, ποθεινότατοι, * εἰς τὸ | ἀποκαλύψαι τῶν δεινῶν* P 4
ἑρπετῶν καὶ θηρίων μορφάς τε καὶ ἰοὺς καὶ δήγματα ὀλετήρια. πρὸς **5**
ἀντίθεσιν δὲ τούτων ὅσαπερ δυνάμεθα ἐν συντόμῳ εἴ που ἓν ἢ δύο

3 Theophilus ad Autol. I 1; S. 20ff, vgl. Panarion h. 66, 2, 1f — **6—12** Dioskurides *de mat. med. praef.* 1f; I 1, 9ff Wellmann

G U M

1 *ἀθεεὶ* + ⟨*γενομένας*⟩? * **2** *εἰς τοῦτο* *, nach S. 170, 25] *εἰς δ* G U *εἴσω* M **8** * ⟨*διέγραψαν*⟩ * | *Διοσκορίδης* G **8f** *Πάμφυλος* U **10** *Βυθηνὸς* G | *Ἡρακλείδης* U **14** *ἕνεκεν* G | *ἐντυγχάνειν ἐθέλουσιν*] *ἐντυγχάνουσιν* U | * ⟨*δηλοῦμεν*⟩ * **15** *ἐγίνετο* M **19** *τοῖς δηλητηρίοις*, aber von erster Hand aus etwas anderem, wohl *τοῖσδε καὶ τοῖς* hergestellt M] *τοῖσδε καὶ τοῖς* G U | *περιτυχόντας* *] *περιτυχοῦσι* G U M **20** *ἐπιβουλευθέντας* *] *ἐπιβουλευθεῖσιν* G U M **21** *τὰ αὐτὰ*] *ταῦτα* U | ⟨*ἅμα*⟩ * **23f** *διὰ τὴν .. ἀποτροπὴν* *] *διὰ τῆς ... ἀποτροπῆς, ἀποτροπῆς* von erster Hand aus *προτροπῆς* M *διὰ τῆς ... προτροπῆς* G U **24** * etwa ⟨*ἀσφάλειαν πεπόνηται*⟩ * **25** *καὶ ἰοὺς*] *ἀνιαρὰς* U | *δήγματα* + *καὶ* M

*ῥήματα εἰς τὸ ἀνακρούσασθαι μὲν αὐτῶν τὸν ἰόν, σῶσαι δὲ τὸν βουλόμενον * μετὰ τὸν κύριον καὶ καθ' ἑκουσίαν γνώμην καὶ ἀκουσίαν εἰς τὰ αὐτὰ ἑρπετώδη τῶν | αἱρέσεων διδάγματα παραπεπτωκότα* D282
ἀντιδότων δίκην παραθησόμεθα.

⟨Ā.⟩ ⟨Βαρβαρισμός.⟩

Καὶ γὰρ ἀπ' ἀρχῆς Ἀδὰμ τῇ ἕκτῃ ἡμέρᾳ πλασθεὶς ἀπὸ γῆς καὶ 1
λαβὼν τὸ ἐμφύσημα ἐζωογονήθη (οὐ γάρ, ὥς τινες οἴονται, ἀπὸ πέμπτης ἤρξατο καὶ τῇ ἕκτῃ ἐτελειώθη· ἔσφαλται γὰρ ἡ τῶν λεγόντων τοῦτο διάνοια), ἁπλοῦς τε ἦν καὶ ἄκακος, οὐκ ὄνομά τι κεκτημένος ἕτερον, οὐ δόξης οὐ γνώμης οὐ βίου διακρίσεως ἐπίκλησιν κεκτημένος ⟨ἀλλ'⟩ ἢ Ἀδὰμ μόνον κληθείς, τὸ ἑρμηνευόμενον ἄνθρωπος. τούτῳ πλάττεται ἐξ αὐτοῦ γυνὴ ὁμοία αὐτῷ, ἐκ τοῦ αὐτοῦ 2
σώματος, ⟨διὰ⟩ τοῦ αὐτοῦ ἐμφυσήματος. παῖδες δὲ γεννῶνται τούτῳ ἄρρενές τε καὶ θήλειαι. καὶ βιώσας ἔτη ἐννακόσια τριάκοντα τὸ χρεὼν ἀπέδωκε. τούτου παῖς Σήθ, υἱὸς δὲ τούτου Ἐνώς, καὶ 3
κατὰ διαδοχὴν Καινάν, Μαλελεήλ, Ἰάρεδ. ὡς δὲ ἡ παράδοσις ἡ εἰς ἡμᾶς ἐλθοῦσα ⟨περι⟩έχει, ἐντεῦθεν ἤρξατο ἡ κακομηχανία ἐν κόσμῳ γίνεσθαι, καὶ ἀπ' ἀρχῆς μὲν διὰ τῆς τοῦ Ἀδὰμ παρακοῆς, ἔπειτα δὲ Ö32
διὰ τῆς τοῦ Κάϊν ἀδελφοκτονίας, νῦν δὲ ἐν χρόνοις τοῦ Ἰάρεδ καὶ ἐπέκεινα φαρμακεία καὶ μαγεία, ἀσέλγεια, μοιχεία τε καὶ ἀδικία. οὐ 4

6f vgl. Gen. 1, 26; 2, 7 — **12** vgl. Gen. 2, 21ff — **14** Gen. 5, 5 — **15f** Gen. 5, 6. 9. 12. 15 — **16ff** vgl. liber Jub. 4, 15 u. 22 Littmann

G U M **6**—haer. 34 ausgezogen im Crypto-Ferratensis *Ba* (= f); noch kürzer u. zugleich freier sind die Auszüge bei Nicetas Choniates, Thesaurus orthod. fidei I **16**—**20** Chron. pasch. 23 B; S. 40 Dindorf

2 * ⟨σῴζεσθαι⟩ * **3** *δήγματα* G | *διδάγματα* + *τὰ* M **5** ⟨*Ā*⟩ ⟨*Βαρβαρισμός*⟩ *; die Überschriften der 4 ersten Häresen sind in den Handschriften ausgefallen. Daß Epiphanius aber tatsächlich auch hier Zahlen beigeschrieben hat, beweisen die Spuren bei S. 173, 22 (Apparat) 176, 18 177, 12 179, 18 u. 20 **8** vor *τῇ ἕκτῃ* + *ἐν* G U M < f | *ἐτελειώθη* f] *ἐπλάσθη* G U M **8f** *τοῦτο λεγόντων* f **11** ⟨*ἀλλ'*⟩ * **12** *γυνὴ* hinter *ὁμοία αὐτῷ* G U M **13** ⟨*διὰ*⟩ * **15** *Αἰνώς* G **16** *ὡς δὲ ἡ*] *ἡ δὲ* Chron. pasch. **17** ⟨*περι*⟩*έχει* *] *ἔχει* f < G U M Chron. pasch. | *ἐντεῦθεν* < Chron. pasch. **18** *δὲ* < G M **19** *νῦν*] *εἶτα* Chron. pasch. **20** *φαρμακεῖαι* Chron. pasch. | *καὶ*[1] < M | *καὶ ἀσέλγειαι* Chron. pasch. | *μοιχεία* < Chron. pasch. | *τε* < M | *ἀδικία* + *ἐχρημάτισεν* Chron. pasch.

γνώμη ⟨δέ⟩ τις ἑτέρα, οὐ δόξα μετηλλαγμένη, ἀλλὰ μία γλῶττα καὶ γένος ἓν ἐπὶ γῆς κατ᾽ ἐκεῖνο καιροῦ ἐσπαρμένον. τούτῳ δὲ τῷ Ἰάρεδ γίνεται παῖς τοὔνομα Ἐνώχ, ὅς »εὐηρέστησε τῷ θεῷ καὶ οὐχ ηὑρίσκετο· μετέθηκεν γὰρ αὐτὸν ὁ θεός« καὶ »οὐκ εἶδεν θάνατον«. Ἐνὼχ δὲ γεννᾷ τὸν Μαθουσάλα, Μαθουσάλα τὸν Λάμεχ, Λάμεχ τὸν Νῶε. καὶ ἡ τοῦ θεοῦ δικαιοκρισία κατακλυσμὸν ὕδατος ἐπενέγκασα τῇ οἰκουμένῃ πᾶσαν σάρκα ἀνθρώπων τε καὶ τῶν ἄλλων * ἐξήλειψεν, ἐφύλαξε δὲ ἐν λάρνακι διὰ προστάγματος τὸν Νῶε, εὐαρεστήσαντα ἐνώπιον αὐτοῦ καὶ εὑρόντα χάριν, αὐτόν τε τὸν προδεδηλωμένον Νῶε καὶ τοὺς τρεῖς υἱοὺς αὐτοῦ, Σὴμ Χὰμ | Ἰάφεθ, τήν τε ἰδίαν P5 σύζυγον καὶ τῶν τριῶν υἱῶν τὰς | τρεῖς γυναῖκας, ὥστε ἀνθρώπων 7 D283 ψυχὰς ὀκτὼ ἐν τῇ τότε λάρνακι διασεσῶσθαι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ, καὶ ἀπὸ παντὸς γένους θηρίων τε καὶ ζῴων, κτηνῶν τε καὶ τῶν ἄλλων τῶν ἐπὶ γῆς πρὸς σύστασιν πάλιν τῆς ἐν κόσμῳ πάντων ὑποστάσεως ἀπὸ τινῶν μὲν δύο δύο ἀπὸ δὲ ἄλλων ἑπτὰ ἑπτά. καὶ οὕτως παρῆλθε δεκάτη γενεὰ ἐτῶν δισχιλίων διακοσίων 8 ἑξήκοντα δύο. καὶ ὁ κατακλυσμὸς πέπαυται καὶ Νῶε καὶ ὁ αὐτοῦ οἶκος λείψανον τῷ κόσμῳ γεγένηται. οὔπω δὲ οὐχ ἑτεροδοξία, 9 οὐκ ἔθνος τι διαφερόμενον, οὐκ ὄνομα αἱρέσεως, ἀλλ᾽ οὐδὲ εἰδωλολατρεία. ἐπειδὴ δὲ ἕκαστος ἀνθρώπων ἰδίᾳ γνώμῃ ἐστοίχει (νόμος γὰρ οὐδὲ εἷς ἐτύγχανεν· ἕκαστος γὰρ ἑαυτῷ νόμος ἐγίνετο καὶ τῇ ἰδίᾳ γνώμῃ ἐστοίχει, καθὼς παρὰ τῷ ἀποστόλῳ ἡ χρῆσις, οὐ μόνον Βαρβαρισμοῦ, ἀλλὰ καὶ τῶν ἄλλων· φησὶ γάρ »ἐν Χριστῷ Ἰησοῦ οὐ βάρβαρος, οὐ Σκύθης, οὐχ Ἕλλην, οὐκ Ἰουδαῖος«), Βαρβαρισμὸς τότε ἐκαλεῖτο ἐν ταῖς δέκα γενεαῖς τοῦ χρόνου τὸ ἐπώνυμον.

1 vgl. Gen. 11, 1 — **2—4** Gen. 5, 18. 24 vgl. Hebr. 11, 5 — **4—5** Gen. 5, 21. 25. 29 — **6ff** vgl. Gen. 6, 9ff — **12** vgl. I Pet. 3, 20 — vgl. Gen. 7, 2 — **16** die Zahl nach Julius Africanus vgl. Georgius Sync. p. 83; dazu ep. ad Joh. episc. Hieros. = Hieronymi ep. 51, 6, 7; CSEL 54, 1 S. 407, 20 Hilberg — **23** Kol. 3, 11 vgl. Gal. 3, 28

G U M f

1 ⟨δέ⟩ * **3f** εὑρίσκετο G **5** Ματθουσάλα G **7** * ⟨ζῴων⟩ * **8** δὲ] τε G U **12** διασώσασθαι U M **13** θηρῶν G U **14** τῶν² < G **16** vor ἐτῶν + δι᾽ U **18** γεγέννηται M | οὐχ < U **19** οὐδὲ] οὔπω M οὐδὲ + οὔπω G **21** οὐδὲ εἷς] εἷς οὐδαμοῦ G U **22** καθὼς] καὶ G | am Rand ᾱ (am Schluß stehende Kapitelzahl) M **23** ἐν + γὰρ U

⟨*B̄.*⟩ ⟨*Σκυθισμός.*⟩

Μετὰ δὲ τὸν κατακλυσμὸν ἐπιστάσης τῆς λάρνακος τοῦ Νῶε ἐν **1**
τοῖς ὄρεσι τοῦ Ἀραρὰτ ἀνὰ μέσον Ἀρμενίων καὶ Καρδυαίων ἐν τῷ
Λουβὰρ ὄρει καλουμένῳ, ἐκεῖσε πρώτως κατοίκησις γίνεται μετὰ τὸν
κατακλυσμὸν τῶν ἀνθρώπων κἀκεῖ φυτεύει ἀμπελῶνα Νῶε ὁ προ-
φήτης, οἰκιστής τε γίνεται τοῦ τόπου. γίνονται δὲ τοῖς αὐτοῦ παι- **2**
σὶν (οὐ γὰρ ἔτι αὐτὸν ἐμφαίνει γεγεννηκέναι) παῖδες καὶ παίδων
παῖδες ἕως πέμπτης γενεᾶς ἐτῶν ἑξακοσίων πεντήκοντα ἐννέα, πάρεξ
τοῦ Σήμ. | κατὰ ἀκολουθίαν δὲ τοῦ ἑνὸς υἱοῦ διέξειμι τὴν γενεαλο- Ö34
γίαν· Σὴμ τοίνυν γεννᾷ τὸν Ἀρφαξάδ, Ἀρφαξὰδ τὸν Κηνᾶ, Κηνᾶ
τὸν Σάλα, Σάλα τὸν Ἔβερ, εὐλαβῆ καὶ θεοσεβῆ, Ἔβερ τὸν Φαλέκ.
καὶ οὐδὲν ἦν ἐπὶ τῆς γῆς οὐχ αἵρεσις, οὐ γνώμη ἑτέρα καὶ ἑτέρα, **3**
ἀλλ' ἢ μόνον ἄνθρωποι ἐκαλοῦντο, »ἑνὸς χείλους καὶ μιᾶς γλώττης«.
ἦν δὲ μόνον | ἀσέβεια καὶ εὐσέβεια ὁ κατὰ φύσιν νόμος καὶ ἡ κατὰ D284
φύσιν ἑκάστου θελήματος οὐκ ἀπὸ διδασκαλίας οὔτε ἀπὸ συγγραμ-
μάτων [συγγραφέων] πλάνη, οὐκ Ἰουδαϊσμὸς οὐχ Ἑλληνισμὸς οὐχ
αἵρεσις ἑτέρα τις, ἀλλ' ὡς εἰπεῖν ἡ νῦν πίστις ἐμπολιτευο|μένη ἐν τῇ P6
ἄρτι ἁγίᾳ τοῦ θεοῦ καθολικῇ ἐκκλησίᾳ, ἀπ' ἀρχῆς οὖσα καὶ ὕστερον
*πάλιν ἀποκαλυφθεῖσα. τῷ γὰρ βουλομένῳ φιλαλήθως * ἰδεῖν * 4*
ἀρχὴ πάντων ἐστὶν ἡ καθολικὴ καὶ ἁγία ἐκκλησία, ἐξ αὐτοῦ τοῦ
σκοποῦ. Ἀδὰμ γὰρ ⟨ὁ⟩ πρωτόπλαστος πέπλασται οὐκ ἐμπερίτομος,

2 liber Jub. 5, 28 Littmann Eusebius *Onomasticon* S. 2, 21ff Klostermann; vgl. de mens. ac pond. 61; S. 203, 79 Lagarde — **5** Gen. 9, 20 lib. Jub. 7, 1 Littmann — **6—11** Namen u. Zahl nach Gen. 11, 10—17 (Luk. 3, 35—38 Hippolyt, Chronik § 37—41 Bauer u. Refut. X 30); vgl. Ancoratus c. 59, 4 Panarion h. 55, 6 u. Chron. pasch. 25A; S. 43, 1 Dindorf 26A; S. 45, 1—5 Dindorf (hier 44, 20 irrtümlich auf den Ancoratus zurückgeführt) — **13** Gen. 11, 1 — **16ff** vgl. Eusebius dem. ev. I 2, 8f; S. 8, 25ff Heikel

G U M f **4—6** Chron. paschale 26B; S. 45, 12—14 Dindorf

3 *τοῦ* *] *τοῖς* U M < G | *Καρδυέων* U *Καυκασίων* M Quardu in de mens. ac pond. a. a. O. S. 203, 82 Lagarde **4** *Λούβερ* M | *πρώτως] πρῶτον ἡ* Chron. pasch. **5** *φυτεύει] φυτεύσας* Chron. pasch. **6** *οἰκήτωρ* u. < *τε* Chron. pasch. **6f** *παισὶν αὐτοῦ* G **8** *πεντακοσίων* G **9f** *τοῦ ἑνὸς — γενεαλογίαν] τοῦ λόγου ἕξειμι τὴν γενεαλογίαν τοῦ ἑνὸς υἱοῦ* U **10** *Ἀρφαξὰδ*[2] < M **13** *καὶ* (vor *μιᾶς*) < M **14f** *ἡ κατὰ φύσιν ἑνὸς ἑκάστου προαίρεσις τοῦ θελήματος καὶ οὐκ* U **16** *[συγγραφέων] * | οὐχ Ἑλληνισμὸς* < U **17** *τις ἑτέρα* U **19** ** ἰδεῖν *] ⟨ἑρευνᾶν ἔστιν⟩ ἰδεῖν ⟨ὅτι⟩ *; ἐξ αὐτοῦ τοῦ σκοποῦ* gehört zu ⟨*ἔστιν*⟩ *ἰδεῖν* **20** vor *ἁγία* + *ἀποστολικὴ* G **21** *⟨ὁ⟩ **

ἀλλ᾽ ἀκροβύστης μὲν τῇ σαρκί, οὐκ εἰδωλολάτρης δὲ ἦν καὶ ἤδει πατέρα θεὸν καὶ υἱὸν καὶ ἅγιον πνεῦμα· προφήτης γὰρ ἦν. οὐκ ἔχων τοίνυν περιτομὴν οὐκ ἦν Ἰουδαῖος, ξόανα δὲ μὴ προσκυνῶν ἢ ἄλλο τι οὐκ ἦν εἰδωλολάτρης· προφήτης γὰρ ⟨ἦν⟩ ὁ Ἀδὰμ καὶ ἤδει ὅτι ὁ πατὴρ εἶπε τῷ υἱῷ »ποιήσωμεν ἄνθρωπον«. τί οὖν ἦν, μήτε περιτομὴν ἔχων μήτε εἴδωλα σέβων, ἀλλ᾽ ὅτι τοῦ Χριστιανισμοῦ τὸν χαρακτῆρα ὑποφαίνων ἐδείκνυτο; οὕτως καὶ ἐπὶ τοῦ Ἄβελ καὶ ἐπὶ τοῦ Σὴθ καὶ ἐπὶ τοῦ Ἐνὼς καὶ ἐπὶ τοῦ Ἐνὼχ καὶ ἐπὶ τοῦ Μαθουσάλα καὶ ἐπὶ τοῦ Νῶε καὶ ἐπὶ τοῦ Ἔβερ ἄχρι τοῦ Ἀβραὰμ διαληπτέον. ἐνήργει δὲ τότε εὐσέβειά τε καὶ ἀσέβεια, πίστις καὶ ἀπιστία· πίστις μὲν ἐπέχουσα τοῦ Χριστιανισμοῦ τὴν εἰκόνα, ἀπιστία δὲ ἐπέχουσα ἀσεβείας τὸν χαρακτῆρα καὶ παρανομίας, ἐναντία τοῦ κατὰ φύσιν νόμου, ἕως τοῦ προδεδηλωμένου χρόνου. πέμπτῃ τοίνυν γενεᾷ μετὰ τὸν κατακλυσμόν, πληθυνόντων ἄρτι τῶν ἀνθρώπων ἀπὸ τῶν τριῶν υἱῶν τοῦ Νῶε, κατὰ διαδοχὴν παίδων παῖδες καὶ τούτων παῖδες γεγόνασιν ἑβδομήκοντα δύο τὸν ἀριθμὸν ἐν κόσμῳ ἀρχηγέται καὶ κεφαλαιωταί. ἐπεκτεινόμενοι δὲ καὶ πρόσω βαίνοντες ἀπὸ τοῦ Λουβὰρ ὄρους καὶ ὁρίων τῆς Ἀρμενίας τουτέστιν Ἀραρὰτ τῆς χώρας γίνονται ἐν πεδίῳ Σεναάρ, ἔνθα που * ἐπε|λέξαντο· κεῖται D285 δὲ αὕτη ἡ Σεναὰρ νυνὶ ἐν χώρᾳ τῇ Περσίδι· ἦν δὲ πάλαι Ἀσσυρίων. ἐκεῖσε τοίνυν συνδυάσαντες συμβούλιον λαμβάνουσι | μετ᾽ ἀλλήλων Ö36 πύργον καὶ πόλιν οἰκοδομῆσαι· ἀπὸ δὲ τοῦ κλίματος τοῦ πρὸς

5 Gen. 1, 26 — **13—176, 15** vgl. Ancoratus c. 112ff Panarion h. 66, 83; dazu v. Gutschmid, Kl. Schr. V 604ff — **17—19** liber Jub. 10, 19 Littmann — **19f** vgl. lib. Jub. 10, 26 Littmann — **22f** vgl. oben Anaceph. 2, 2; S. 162, 14ff u. de duod. gemmis 36 CSEL 35II S. 753, 14ff Günther *Scythiam vero soliti sunt veteres appellare cunctam septentrionalem plagam, ubi sunt Gothi et Dauni, Uenni et Arii* (die Änderung in *Abii* ist falsch) *usque ad Germanorum Amazonarumque regionem*

G U M **13—19** Chronicon pasch. 26 A; S. 45, 5—12 Dindorf **19—S. 176, 7** Chron. pasch. 26 B; S. 45, 14—46, 1 Dindorf

4 ⟨ἦν⟩ * **6** ἀλλ᾽ ὅτι] ἀλλὰ G U **7** ἐδείκνυτο < U **10** τε καὶ ἀσέβεια < M **13** ἕως + τούτου G U **14** κατακλυσμὸν + τουτέστιν ἀπὸ τοῦ Αρφαξὰδ ἕως τοῦ Φαλέγ Chron. pasch. **15** παῖδες < Chron. pasch. **16** καὶ τούτων παῖδες < U **18** ἀπὸ < Chron. pasch. | Λοῦβερ M **19** Σενναάρ G | * ⟨οἰκεῖν⟩ * **20** Σενναὰρ G U | ἐν χώρᾳ τῇ Περσίδι] ἐν τῇ Περσῶν χώρᾳ Chron. pasch. | ἦν δὲ + τοῦτο G U M < Chron. pasch. **21** καὶ συμβούλιον ποιησάμενοι Chron. pasch.

Εὐρώπην εἰς Ἀσίαν κεκλικότες ἐπωνομάσθησαν πάντες κατὰ τὴν τοῦ χρόνου ἐπίκλησιν Σκύθαι. κτίζουσι δὲ τὴν πυργοποιίαν καὶ οἰκοδο- 11 μοῦσι τὴν Βαβυλῶνα. καὶ οὐκ ηὐδόκησεν ὁ θεὸς ἐπὶ τῷ ἔργῳ τῆς αὐτῶν ἀνοίας· διεσκέδασε γὰρ αὐτῶν τὰς γλώττας καὶ ἀπὸ μιᾶς εἰς ἑβδομήκοντα δύο διένειμεν κατὰ τὸν τῶν τότε ἀνδρῶν ἀριθμὸν εὑρεθέντων, ὅθεν καὶ Μέρο|πες οὗτοι κέκληνται διὰ τὴν μεμερισμένην P7 *φωνήν, καὶ τὸν πύργον ἀνέμων βολὴ κατέστρεψεν. ἐμερίσθησαν 12 γοῦν ἐπὶ πᾶσαν τὴν γῆν δεξιά τε καὶ εὐώνυμα, οἱ μὲν παλίνορσοι ὅθεν ἐκβεβήκασιν, ἄλλοι δὲ ἐπὶ τὰ πρόσω τῆς ἀνατολῆς κεχωρηκότες, ἕτεροι δὲ τὴν Λιβύην κατειλήφασιν· ὡς καὶ περὶ τούτων τὴν ἀκρί- 13 βειαν εἴ τις ἐθέλοι καταλαβέσθαι, εὕροι ἂν ἕκαστον τῶν προκεχωρηκότων καθ' ἑκάστην τινὰ πατρίδα πῶς εἴληχε τὸν κλῆρον, ὡς ὁ Μιστρὲμ μὲν διαδέχεται τὸν τῆς Αἰγύπτου κλῆρον, Χοὺς δὲ τὴν Αἰθιοπίδα, Ψοῦς τὰ Ἀξωμιτικὰ μέρη, Ῥέγμα καὶ Σαβακαθὰ καὶ † Θωϋὰν καὶ † Λοὺδ τὰ πρὸς τῇ Γαραμῶν χώρᾳ. καὶ ἵνα μὴ εἰς πολὺ πλάτος ποιήσωμαι τὴν ἐνταῦθα σύνταξιν τοῦ προοιμίου, ἐλεύσομαι πάλιν ἐπὶ τὸ προκείμενον καὶ κατὰ τὴν διαδοχὴν αὖθις ἐπιλήψομαι τῆς ἀκολουθίας.*

⟨Γ.⟩ ⟨Ἑλληνισμός.⟩

Μεταξὺ γοῦν τοῦ Ἔβερ καὶ τοῦ Φαλὲκ καὶ τῆς πυργοποιίας καὶ 1 *πρώτης πόλεως μετὰ τὸν κατακλυσμὸν κτισθείσης ἐπ' αὐτῇ τῇ οἰκοδομῇ ἀρχὴ λοιπὸν συμβουλίας ἀθροισμοῦ καὶ τυραννίδος γίνεται.*

2 vgl. Gen. 11 — **2—15** vgl. Panarion h. 39, 8 — **4f** vgl. S. 164, 7 u. de mens. ac pond. S. 180, 53 Lagarde — **7** vgl. lib. Jub. 10, 26 Littmann — **10f** vgl. Ancoratus c. 113; S. 20—23 — **13** vgl. Gen. 10, 6f lib. Jub. 9, 1ff Littmann — **20ff** Gen. 10, 8—12; vgl. Theophilus ad Autol. II 31; S. 144 Otto clem. Hom. IX 4ff; S. 94, 3ff Lagarde

G U M Chron. pasch. (bis Z. 7)

1 *ἀπὸ Εὐρώπης εἰς Ἀσίαν κεκλικότος*? * **2** *δὲ* < Chron. pasch. **4** *ἀνοίας*] *ἀνομίας* Chron. pasch. | *μιᾶς* + *γλώσσης* Chron. pasch. **5** *ἀριθμὸν* hinter *κατὰ τὸν* Chron. pasch. **6** *εὑρεθέντων* Chron. pasch.] *εὑρεθέντα* G U M | *αὐτοὶ* Chron. pasch. **11** *εἴ τις*] *ἥτις* G | *δᾶν* G U | *προκεχωρηκότων* *] *προσκεχωρηκότων* G U M **13** *Μιστρὸμ* M **14** *Αἰθίοπα* U | *Ψοῦς*] *Φοὺθ* Gutschmid; aber dieselbe Form Pan. h. 39, 8, 5 | *Ἀξωματικὰ* U *Αἰξωμαιτικὰ* M **15** † *Θωϋὰν καὶ* † *Λοὺδ*] *Δωυδὶν* ⟨*ὁ*⟩ *καὶ Ἰουδ*⟨*ὰδ*⟩, vgl. Hippolyt § 107 Marquart (Gutschmids *Θαμυδὴν* st. *Θωϋὰν* ist zu künstlich) | *Ἐλοὺδ* U **18** am Rande *B* M **21** vor *πρώτης* + *τῆς* U **22** nach *γίνεται* + *Νεβρὼθ* U

Νεβρὼδ γὰρ βασιλεύει υἱὸς τοῦ Χοὺς τοῦ Αἰθίοπος, ἐξ οὗ Ἀσσοὺρ **2**
γεγέννηται. τούτου ἡ βασιλεία ἐν Ὀρὲχ γεγένηται καὶ ἐν Ἀρφὰλ καὶ
Χα|λάννῃ· κτίζει δὲ καὶ τὴν Θειρὰς καὶ τὴν Θοβὲλ καὶ Λόβον ἐν τῇ D286
Ἀσσυρίων χώρᾳ. τοῦτόν φασι παῖδες Ἑλλήνων εἶναι τὸν Ζωρο-
ἀστρην, ὃς πρόσω χωρήσας ἐπὶ τὰ ἀνατολικὰ μέρη οἰκιστὴς γίνεται
Βάκτρων. ἐντεῦθεν τὰ κατὰ τὴν γῆν παράνομα διανενέμηται· **3**
ἐφευρετὴς γὰρ οὗτος γεγένηται κακῆς διδαχῆς, ἀστρολογίας καὶ μα-
γείας, ὥς τινές φασι περὶ τούτου τοῦ Ζωροάστρου· πλήν, ὡς ἡ
ἀκρίβεια περιέχει, τοῦ Νεβρὼδ τοῦ γίγαντος οὗτος ἦν ὁ χρόνος, πολὺ
δὲ ἀλλήλων τῷ χρόνῳ διεστήκασιν ἄμφω, ὅ τε Νεβρὼδ καὶ ὁ Ζωρο-
ἀστρης. Φαλὲκ δὲ γεννᾷ τὸν Ῥαγαῦ, Ῥαγαῦ τὸν Σερούχ τὸν ἑρμηνευ- **4**
ὁμενον ἐρεθισμόν, ἀφ' οὗ ἤρξατο εἰς ἀνθρώπους | ἡ εἰδωλολατρεία τε Ö38
καὶ ὁ Ἑλληνισμός, ὡς ἡ ἐλθοῦσα εἰς ἡμᾶς γνῶσις περιέχει. οὔπω δὲ
ἐν ξοάνοις καὶ ἐν τορείαις λίθων ἢ ξύλων ἢ ἀργυροτεύκτων ἢ ⟨ἐκ⟩
χρυσοῦ ἢ ἄλλης τινὸς ὕλης πεποιημέναις, μόνον δὲ διὰ χρωμάτων | P8
καὶ εἰκόνων ἡ τοῦ ἀνθρώπου διάνοια ἑαυτῇ ἐφηύρατο τὴν κακίαν
καὶ διὰ τοῦ αὐτεξουσίου καὶ λογιότητος καὶ νοῦ ἀντὶ τῆς ἀγαθότητος
τὸ παράνομον ἐφηύρατο. γίνεται δὲ τῷ Σερούχ παῖς ὁ Ναχώρ, **5**
Ναχὼρ δὲ γεννᾷ τὸν Θάρρα. ἐντεῦθεν γέγονεν ἀνδριαντοπλασία
ἀπὸ πηλουργίας καὶ κεραμικῆς ἐπιστήμης ἐκ τῆς τοῦ Θάρρα τούτου

1—3 vgl. Gen. 10, 8. 10 (Hippolyt Chronik § 54. 108. 109 Bauer) — **3f** aus unbekannter Quelle — **4ff** Nimrod = Zoroaster als Erfinder der Magie clement. Hom. IX 4; S. 94, 4 Lagarde (vgl. auch Recogn. I 30); Epiphanius u. Clemens mit einander verbunden Chron. pasch. 28 B; S. 49, 15—19 Dindorf — **9** Epiphanius folgt für Zoroaster wohl dem Ansatz des Eusebius vgl. praep. ev. X 9; Migne 21, 805 D Chronik S. 29, 1 Karst Hieronymus Chronik S. 20, 13 Helm — **11f** Gen. 11, 18. 20 — **12** Beginn des Götzendienstes unter Seruch lib. Jub. 11, 4—6 Littmann; vgl. auch Suidas s. v. *Σερούχ* — **15** vgl. Ancoratus c. 102, 7; S. 123, 12ff u. Panarion anaceph. c. 3, 2; S. 163, 5 — **18f** Gen. 11, 22. 24 — **19** der Götzendienst unter Thara lib. Jub. 11, 16 Littmann; vgl. Ancoratus c. 102, 7; S. 123, 14ff u. Panarion anaceph. c. 3, 3; S. 163, 9ff

G U M **6—8** Chron. pasch. 28 B; S. 49, 15—17 Dindorf

1 *Νεβρὼθ* U | *Ἀσσοὺρ* U **3** *Χαλλάνη* M | *Θήρας* G M | *Λοβὸν* M **4** *Ἑλλήνων παῖδες* G **5** *τὰ* < G M **7** *ἐγένετο* Chron. pasch. | *διαδοχῆς* G M *διακονίας* Chron. pasch. **9** vor *πολὺ* + *οὐ* G U **10** *ἀλλήλων*] *Ἑλλήνων* M **11** *Ῥαγὰβ* U **12** *ἀφ' οὗ*] *καὶ* U M | *ἡ* < U | am Rande *Γ* M **13** *ὁ* < M **14** ⟨*ἐκ*⟩ *; + *ἐξ* vor *ἄλλης* (Z. 15) U **15** *πεποιημέναις* *] *πεποιημένων* G U *πεποιημένη* M **16** vor *ἑαυτῇ* + *ἐφ'* G U | *ἐφηύρετο* G *ηὕρισκε* U **18** *ἐφηύρετο* G *ηὑφηύρατο* U **20** *ἐκ*] *διὰ* U

τέχνης. περιέστη δὲ ὁ αἰὼν εἰς εἰκοστὴν γενεὰν ἕως τούτου, ἐτῶν
τρισχιλίων τριακοσίων τριάκοντα δύο. καὶ οὐδεὶς πώποτε τῶν προ- 6
τέρων ἀνθρώπων πρὸ πατρὸς υἱὸς ἐτελεύτα, ἀλλὰ πατέρες πρὸ
παίδων τελευτῶντες τοὺς υἱοὺς διαδόχους κατελίμπανον (καὶ μή τις
λεγέτω περὶ τοῦ Ἄβελ· οὐ γὰρ θανάτῳ ἰδίῳ τέθνηκεν)· ἐξότε δὲ 7
Θάρρα ἀντίζηλον τῷ θεῷ προεστήσατο διὰ τῆς ἰδίας πηλουργίας
τεχνησάμενος, τὰ ὅμοια οἷς ἔπραξεν ἀπὸ τῆς δίκης ἀπείληφε καὶ
αὐτὸς παραζηλωθεὶς διὰ τοῦ ἰδίου τέκνου. ὅθεν θαυμάσασα ἡ 8
θεία γραφὴ ἐπεσημήνατο λέγουσα »καὶ ἀπέθανεν Ἀρρὰν ἐνώ|πιον D287
Θάρρα τοῦ πατρὸς αὐτοῦ ἐν τῇ γῇ τῆς γεννήσεως αὐτοῦ«. ἕως 9
τούτου ἔμεινε Σκυθική τις διαδοχὴ καὶ ἐπίκλησις. οὔπω δὲ ἦν τις
αἵρεσις, οὔπω μηχανή τις ἑτέρα ἢ μόνον »⟨πρώτη⟩ πορνεία, ἐπίνοια
εἰδώλων«. καὶ ἔνθεν ἐθεοποιήσαντο ἢ κακοδαίμονας τυράννους ἢ
γόητας φαντάσαντας τὴν οἰκουμένην, τιμήσαντες τὰ τούτων μνήματα,
καὶ μετέπειτα πολλῷ τῷ χρόνῳ τοὺς περὶ Κρόνον καὶ Δία Ῥέαν τε 10
καὶ Ἥραν καὶ τοὺς ἀμφ' αὐτούς, ἔπειτα δὲ Ἀκινάκην σέβοντες οἵ τε
τῶν Σκυθῶν Σαυρομάται Ὀδρυσόν τε τῶν Θρακῶν προπάτορα, ἐξ
οὗ τὸ γένος κατάγεται Φρυγῶν· ὅθεν καὶ Θρᾷκες ἀπὸ τοῦ Θήρας
ἐπίκλην τοῦ ἐν τῇ πυργοποιίᾳ γεγενημένου καλοῦνται. περιέστη δὲ 11

1 anders clement. Recogn. I 30 *quinta decima generatione primo omnium homines idolum statuentes adoraverunt* — **2** die Zahl ist wohl so entstanden, daß zu den 3202 Jahren, die J. Africanus bis Abraham zählt, die 130 Jahre des von Africanus ausgelassenen Kenan hinzugerechnet wurden — **2f** vgl. clement. Recogn. I 31 (doch hier *ob incesti crimen*) — **9** Gen. 11, 28 — **12** vgl. Weish. Sal. 14, 12 — **13**—S. **179, 5** vgl. anaceph. 3, 2ff; S. 163, 4ff — **16** *Ἀκινάκης* Clemens Al. Protr. 46, 2; I 35, 14 Stählin ib. 56, 5; I 49, 15 — **17** *Ὄδρυσος* u. **18** *Φρύγες* vgl. Clemens Al. Protr. 13, 3; I 12, 9 Stählin — **18** zu *Θρᾷκες* u. *Θήρα* Hippolyt Chronik § 63; S. 52 Bauer; vgl. Panarion h. 39, 8, 3

G U M **1—10** Georgius monach. Chron. 93, 3—16 de Boor

1 *δὲ*] *μέντοι* Georg. | *αἰὼν*] *ἀγὼν* U **2f** *προτέρων*] *προγενεστέρων* Georg. **3** *πρὸ πατρὸς υἱὸς ἐτελεύτα*] *φαίνεται υἱὸς πρὸ πατρὸς τελευτήσας* Georg. **4** *τελευτῶντες* < Georg. | *διαδόχους* + *τῶν πραγμάτων αὐτῶν* Georg. | *καταλιμπάνοντες* Georg. **5** *ἰδίῳ θανάτῳ* Georg. | *τέθνηκεν* + *ἀλλὰ βιαίῳ* Georg. | *ἐξότου*, *ου* aus *ε* von erster Hand M | *δὲ* < U **6** *ἰδίας*] *οἰκείας* Georg. | *πλαστουργίας* Georg. **7** *τεχνησάμενος* + *εἴδωλα* Georg. | *ἀπὸ*] *ἐκ* Georg. **8** *διὰ*] *ἀπὸ* Georg. | *ὅθεν*] *διὸ καὶ* Georg. **10** *αὐτοῦ* < U **11** *Σκυθία* M | *τις — ἐπίκλησις*] *ἡ τῆς διαδοχῆς ἐπίκλησις* M | *δὲ ἦν* < G M **12** ⟨*πρώτη*⟩ nach Weish. Sal. 14, 12 vgl. S. 187, 16 * u. Klosterm. **13** vor *ἔνθεν* + *μετέπειτα* G M nur *μετέπειτα* U, vgl. Z. 15 | vor *τυράννους* + *ἢ* G **15** vor *Δία* + *τὸν* G **19** *ἐπίκλην*] *ἐπικέκληνται*, daher *καλοῦνται* < M

πᾶς ὁ χρόνος ἐντεῦθεν λαβούσης τῆς πλάνης ἀρχὴν εἰς τὸν προδηλούμενον καιρόν, * φύρων λοιπὸν τὰς ὁδούς· συγγραφεῖς τε ἔνθεν καὶ ἱστοριογράφοι ἀπὸ τῆς τῶν Αἰγυπτίων ἐρανισάμενοι ἐθνομύθου πλάνης *, ὅθεν δὴ τὰ τῆς φαρμακείας καὶ μαγείας ηὑρέθη. μετηνέχθη **12**
δὲ ταῦτα εἰς Ἕλληνας ἀπὸ τῆς ἡλικίας | Κέκροπος. καὶ ἦν μὲν κατὰ Ö40
τοῦτον τὸν καιρὸν Νίνος ἐν Ἀσσυρίοις καὶ Σεμίραμις, σύγχρονοι ὄντες τῷ Ἀβραάμ, Αἰγυπτίων δὲ ἐκκαιδεκάτη | δυναστεία· οἱ ἐν Σικυῶνι P9
δὲ τότε μόνοι ἐβασιλεύοντο, ἧς βασιλείας ἀρχὴ γέγονεν Εὔρωψ.

⟨Δ.⟩ ⟨Ἰουδαϊσμός⟩.

Καὶ ὁ θεὸς ἐπιλέγεται τὸν Ἀβραὰμ τῷ αὐτῷ χαρακτῆρι τῆς ἁγίας **1, 1**
καθολικῆς ἐκκλησίας ἐν ἀκροβυστίᾳ πιστὸν καὶ ἐν εὐσεβείᾳ τελειότατον, ἐν γνώσει προφήτην ἐν βίῳ εὐαγγελικὴν κεκτημένον ἀναστροφήν. οἴκοι γὰρ γέγονε πατέρα τιμῶν, καλούμενος ⟨δὲ⟩ ὑπὸ τοῦ λόγου **2**
καὶ τῶν οἰκείων ἀπετάσσετο, πειθόμενος [δὲ] τῷ καλοῦντι, ὥσπερ
οἱ περὶ Πέτρον καὶ Ἀνδρέαν καὶ Ἰάκωβον καὶ Ἰωάννην. καὶ ἵνα μὴ **3**
πάλιν μηκύνω τὸν λόγον, συνελὼν ἐρῶ. εἰς ἔτη γὰρ ἑλάσας | οὗτος D288
ὁ πατριάρχης ἐνενήκοντα ἐννέα ὑπὸ τοῦ θεοῦ χρηματίζεται εἰς περιτομὴν καὶ ἄρχεται ἔνθεν ὁ χαρακτὴρ τοῦ Ἰουδαϊσμοῦ μετὰ τὸν Ἑλληνισμόν· καὶ ἦν ⟨ἀπὸ⟩ τῆς τοῦ κόσμου καταβολῆς εἰκοστὴ πρώτη
γενεά, ἔτη τρισχίλια τετρακόσια τριάκοντα ἕν. Σκυθισμὸς γὰρ ἀπὸ **4**
τοῦ κατακλυσμοῦ ἄχρι τοῦ πύργου καὶ τοῦ Σερούχ, ἀπὸ δὲ τοῦ Σεροὺχ ἕως τοῦ Ἀβραὰμ καὶ δεῦρο Ἑλληνισμός, ἀπὸ δὲ Ἀβραὰμ οὕπω ἐπώ-

1 f vgl. S. 178, 1 f — **5** Cecrops als Anfänger des Götterdienstes bei den Griechen vgl. zu S. 163, 18 — **5—8** aus Eusebius vgl. Chronik S. 42, 28 81, 30 Karst Hieronymus Chronik S. 16, 4 Helm — **14 f** vgl. Matth. 4, 18—22 — **17** vgl. Gen. 17, 10 ff — **19** vgl. S. 178, 1 f; 3431 = 3332 + 99 Jahre Abrahams

GU M

2 * nach Panarion anaceph. c. 3, 4; S. 163, 15 ergänze etwa ⟨*ἀπ' Αἰγυπτίων δὲ καὶ Βαβυλωνίων καὶ Φρυγῶν ἄρχεται ὁ Ἑλληνισμός, τῶν ἀνθρώπων*⟩ * | *ἐντεῦθεν* U **4** * etwa ⟨*μετήνεγκαν αὐτὴν εἰς τὰ λοιπὰ ἔθνη*⟩ * | *δὴ*] *δὲ* M **7** *δὲ*] *τε* GU | *ἐκκαιδεκάτη* *, nach Eusebius] *ὀκτωκαιδεκάτη* GUM **11** *καθολικῆς* + *καὶ ἀποστολικῆς* U **12** *προφητῶν* GU **13** ⟨*δὲ*⟩ * **14** *ἀπετάσσετο* *] *ἀποτασσόμενος* GUM | [*δὲ*] * **16** *ἔτι* M **17** *εἰς* < M **18** am Rand (von erster Hand) *Δ Ἰουδαϊσμός* G **20** *ἔτη* + *δὲ* U | *ἓν* + *Ἰουδαϊσμός* M + *καὶ ὁ Ἰουδαϊσμὸς ἀρχὴν ἐλάμβανεν* U; *Ἰουδαϊσμὸς* in M ist wohl eine in den Text gedrungene Randbemerkung, vgl. zu Z. 18 | *Σκυθισμός*] *Σκύθαι* GM **22** *καὶ δεῦρο — Ἀβραάμ* < M | vor *Ἀβραάμ*[2] + *τοῦ* G

νυμον ἦν αἱρέσεως ἀλλ᾽ ἢ μόνον τῆς αὐτοῦ θεοσεβείας τοὔνομα· Ἀβρά-
μιοι τοίνυν οἱ ἀπὸ Ἀβραὰμ ἐκαλοῦντο. παῖδες γὰρ ὑπῆρξαν τούτῳ 5
ὀκτώ, Ἰσαὰκ δὲ ὁ κληρονόμος μόνος ἦν, διότι καὶ κατὰ γνώμην
πατρὸς ἐβίου θεοσεβείᾳ προσανέχων καὶ κατ᾽ ἐπαγγελίαν θεοῦ τῷ
πατρὶ ἐδεδώρητο. ἔσχε δὲ πρὸ τούτου τὸν Ἰσμαὴλ ἀπὸ παιδίσκης τῆς 6
Ἄγαρ, Χεττούρα δὲ τούτῳ τίκτει παῖδας ἕξ. διεμερίσθησαν δὲ οὗτοι
ἐπὶ τὴν εὐδαίμονα Ἀραβίαν λεγομένην· Ζεμβρὰν καὶ Ἰεζὰν καὶ Ἰεσβὸκ καὶ
Σουὲ καὶ Ἐμαδὲμ καὶ Μαδιάμ. καὶ »ὁ τῆς παιδίσκης« (Ἰσμαὴλ δὲ ὡς ἔφην 7
*τούτῳ ἦν ὄνομα), καταλαμβάνει δὲ οὗτος * καὶ κτίζει τὴν Φαρὰν κα-*
λουμένην ἐν τῇ ἐρήμῳ. τούτῳ παῖδες γίνονται δεκαδύο τὸν ἀριθ-
μόν, ἐξ ὧν αἱ φυλαὶ τῶν Ἀγαρηνῶν τῶν καὶ Ἰσμαηλιτῶν, Σαρακη-
νῶν δὲ ταύτῃ καλουμένων. γεννᾷ δὲ Ἰσαὰκ δύο παῖδας, Ἠσαῦ τε 8
καὶ Ἰακώβ, καὶ ἐκαλεῖτο τότε τὸ γένος τῶν θεοσεβῶν Ἀβράμιοί τε
καὶ Ἰσάκιοι. διορισθέντος δὲ τοῦ Ἠσαῦ ἐπὶ τὴν Ἰδουμαίαν πρὸς τῇ
μεσημβρίᾳ τῆς Χαναὰν κειμένην χώραν καὶ ἀνατολῇ | οἰκιστὴς γίνε- Ö42 P10
ται τοῦ Σηεὶρ ὄρους καὶ πόλιν κτίζει [τὴν] Ἐδώμ, τὴν Ῥοκὸμ καὶ
Πέτραν καλουμένην. γίνονται δὲ τούτῳ παῖδες καὶ ἡγεμονεύουσιν 9
ἐν τῇ Ἰδουμαίᾳ ἕκαστος κατὰ διαδοχήν, οἳ καὶ ἐκαλοῦντο ἡγεμό-
νες Ἐδώμ. ἐξ οὗπερ πέμπτος κατὰ διαδοχὴν ὁ Ἰώβ, ὑπεξαιρουμέ-
νου τοῦ Ἀβραὰμ τοῦ ἀριθμοῦ τούτου, ἀπὸ δὲ Ἰσαὰκ ἀριθμου|μένου· D289
Ἰσαὰκ γὰρ γεννᾷ τὸν Ἠσαῦ, Ἠσαῦ τὸν Ῥαγουήλ, Ῥαγουὴλ τὸν 10

5 vgl. Gen. 16 — **6—8** vgl. Gen. 25, 1f — **8** Gal. 4, 23 — **8f** vgl. Gen. 21, 21 — **10** vgl. Gen. 25, 12—16 — **14** vgl. Gen. 36, 1. 8 — **16** Eusebius *Onomasticon* S. 142, 7 Klostermann; vgl. Panarion h. 55, 1 und de mens. ac pond. 71; S. 204, 51ff Lagarde — **19**—S. **181**, **1** Hiob 42, 17 a ff (LXX) u. J. Africanus bei Georgius Cedrenus hist. comp. p. 43; vgl. de mens. ac pond. 80, 8; S. 207, 63ff Lagarde

G U M

1 *τῆς αὐτοῦ* *] *τῆς αὐτῆς* M *τῆς ἀρετῆς καὶ* G *οἱ τῆς αὐτῆς* u. hinter *τοὔνομα* + *ἔχοντες* U | *τὸ ὄνομα* G **1f** *Ἀβραμιαῖοι* U **2** *τοίνυν οἱ* < U | vor *Ἀβραὰμ* + *τοῦ* U | *ἐκαλοῦντο* < G M | *τούτῳ ὑπῆρξαν* G U **3** *ὁ* < U | *ἦν* < G **4** vor *πατρὸς* + *τοῦ* U **5** *ὑπὸ* U **7** *εὐδαίμονα* + *τὴν* G M | *λεγομένην*] *καλουμένην* U **8** *Ἐμμαδὲμ* U | *Μαδὲμ* G | *ὡς ἔφην* hinter *ὄνομα* (Z. 9) G **9** *τοῦτο* U | * ⟨*τὴν ἔρημον*⟩ * | *Φαρὲς* U **11** *τῶν*[1] < M **12** *δὲ*[1] < G M **13** *Ἀβραμιαῖοι* U **14** *Ἰσαάκιοι* U **15** *κειμένην χώραν καὶ ἀνατολῇ* *] *κειμένης χώρας καὶ ἀνατολικῆς* G U M **16** *πόλιν*] *πάλιν* G M | *[τὴν]* * **16f** *τὴν Ῥοκὸμ καὶ Πέτραν* < U **16** *Ῥοκὸμ*] dieselbe Form h. 55, 1; dagegen bei Eusebius u. de mens. ac pond. 71; S. 204, 51 Lagarde *Ρεκὲμ* **19f** *ὑφεξαιρουμένου* M **21** *γὰρ*] *δὲ* M

Zαρά, Zαρὰ τὸν Ἰώβ, πρὶν μὲν καλούμενον Ἰωβὰβ ὕστερον δὲ κληθέντα Ἰώβ, ὀλίγον ἔμπροσθεν πρὸ τοῦ γενομένου αὐτῷ πειρασμοῦ. ἦν δὲ περιτομὴ πολιτευομένη. Ἰακὼβ δὲ ἀποδιδράσκει ἀπὸ προσώπου Ἡσαῦ 11
τοῦ ἀδελφοῦ διὰ μῆνιν αὐτοῦ κατὰ συμβουλίαν πατρὸς καὶ μητρὸς ἐπὶ
τὴν Μεσοποταμίαν Φαδάν, ἐπέκεινα τῆς Μεσοποταμίας Σουβά· ὃς ἄγεται ἐκεῖθεν τῆς ἰδίας συγγενείας γαμετὰς τέσσαρας τὸν ἀριθμὸν καὶ κυΐσκουσιν αὐτῷ παῖδας δεκαδύο, τοὺς καὶ πατριάρχας ἐπικληθέντας. παλινδρο- 12
μοῦντι δὲ αὐτῷ ἐπὶ τὴν Χανανῖτιν γῆν πρὸς τὸν ἴδιον αὐτοῦ πατέρα Ἰσαὰκ καὶ μητέρα Ῥεβέκκαν γίνεταί τις αὐτῷ ὀπτασία ἐκ θεοῦ παρὰ τὰς
τοῦ Ἰορδάνου διεκβολάς (Ἰαβὸκ δὲ τὸν χειμάρρουν καλοῦσιν), ἔνθα που ἐθεάσατο παρεμβολὰς ἀγγέλων. »καὶ ἰδού, φησίν, ἄνθρωπος ἀφ' 13
ἑσπέρας καὶ συνεπάλαιεν αὐτῷ ἄχρι τῆς ἕω«, ὃν ἄγγελον ἐπεσημήνατο ἡ γραφή· ὃς κατ' εὐλογίαν δίδωσι τῷ Ἰακὼβ ἀξιώματος ὄνομα τὸ Ἰσραήλ. διαναστὰς δὲ ἐκεῖθεν Ἰακὼβ ἐπωνόμασε τὸ ὄνομα τοῦ 14
*τόπου εἶδος θεοῦ. ἐπειδὴ ⟨δὲ⟩ ὁ πρὸς αὐτὸν διὰ τῆς εὐλογίας φήσας »οὐκέτι κληθήσεται τὸ ὄνομά σου Ἰακώβ, ἀλλ' Ἰσραὴλ κληθήσεται« * καὶ διέστειλε λέγων ὅτι »ἐνίσχυσας μετὰ θεοῦ καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ«, ἀπὸ τούτου τοῦ χρόνου Ἰσραηλῖται καλοῦνται.*

2. Καὶ ὁ Ἰσραὴλ μετὰ τὴν τοῦ Ἰωσὴφ εἰς Αἴγυπτον κάθοδον 2, 1
κάτεισι καὶ αὐτὸς σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ υἱῶν τε καὶ ἐκγόνων, γυναικῶν τε τῶν προειρημένων καὶ ἄλλων, ἐν ἑβδομήκοντα ψυχαῖς τὸν ἀριθμόν. διατρίβει δὲ τὸ γένος τοῦ Ἰσραὴλ ἐν τῇ τῶν Αἰγυ- 2
πτίων χώρᾳ γενεὰς πέντε. Ἰακὼβ γὰρ γεννᾷ τὸν Λευὶ καὶ τὸν Ἰούδαν καὶ τοὺς ἄλλους δέκα πατριάρχας. Λευὶ γεννᾷ τὸν Καάθ, Ἰούδας
γεννᾷ τὸν Φαρές· Καὰθ γεννᾷ | τὸν Ἀμράμ, Ἀμρὰμ γεννᾷ τὸν Μωυ- D290
σέα· Φαρὲς γεννᾷ τὸν Ἐσρώμ, Ἐσρὼμ γεννᾷ τὸν Ἀράμ, Ἀρὰμ γεννᾷ τὸν

3 vgl. Gen. 27, 42ff — **5ff** vgl. Gen. 29 — **7ff** vgl. Gen. 32, 22ff — **11** Gen. 32, 24 — **14f** vgl. Gen. 32, 30 — **16** Gen. 32, 28 — **17** Gen. 32, 28 — **19—22** vgl. Gen. 46, 8ff; die Zahl 70 Seelen nach Deut. 10, 22; dagegen Ancoratus c. 59, 2; S. 69, 15 u. haer. 8, 4, 5; S. 189, 29 75 nach Act. 7, 14 — **23**—S. **182, 1** Exod. 6, 16—20 u. Matth. 1, 3f

G U M

1 *Zare* in de mens. ac pond. 71; S. 207, 64 Lagarde | *Ἰωκὰβ* U *Ἰωβάδ* M **2** *πρόσθεν* G U | *πρὸ* < G **3** *προσώπου* < G U **4** *διὰ μῆνιν αὐτοῦ* *] *αὐτοῦ διὰ μῆνιν* G U M **5** *Φαδὰ* G | *Σουβὰ*] *Σουσωβὰ* (Mißverständnis der Verbesserung im Archetypus $\Sigma\overset{\sigma\omega}{ουβὰ}$) U M **7** *δεκαδύο* + *τὸν ἀριθμὸν* U **7f** *πάλιν δὲ δρομοῦντι* M **10** *ἐκβολὰς* G **14** *τὸ*[1]] *τῷ* U | vor *Ἰακὼβ* + *ὁ* G U **15** ⟨*δὲ*⟩ *, zum Sinn vgl. 187, 19 **16** vor *οὐκέτι* + *ὅτι* G U | *ἀλλὰ* M | * etwa ⟨*Ἰσραὴλ αὐτὸν ἐπωνόμασεν*⟩ * **17** *καὶ*[1] < U | *ἐνισχύσας* M **23** *χώρᾳ* < M | *Λευὶς* + *δὲ* U **24** *Ἰούδας* + *δὲ* U **25** *Ἀμρὰμ*[2] + *δὲ* M **25f** *τὸν Μωυσέα, Φαρὲς γεννᾷ* < M

Ἀμι|ναδάβ, Ἀμιναδὰβ τὸν Ναασσών. ἐν χρόνοις Μωυσέως καὶ Ναασ- 3 P11
σὼν πέμπτῃ γενεᾷ κατὰ τὸν Λευὶ ἔξεισιν Ἰσραὴλ ἐκ τῆς Αἰγύπτου διὰ
τῆς ἐρυθρᾶς θαλάσσης ἐν θεοση|μείοις καὶ στρατοπεδεύει ἐν τῇ ἐρήμῳ Ö44
Σινᾶ. καὶ χρησμῶν δοθέντων ἐκ θεοῦ τῷ θεράποντι αὐτοῦ Μωυσῇ 4
ἀριθμήσασθαι ἀπὸ εἴκοσι ἐτῶν καὶ ἕως πεντήκοντα ἄνδρας δυναμέ-
νους σπάσασθαι ῥομφαίαν καὶ λαμβάνειν ὅπλα πολεμικά, εἰς ἑξήκοντα
δύο μυριάδας καὶ ὀκτακισχιλίους πεντακοσίους ηὗρεν. ἦν δὲ κατ' 5
ἐκεῖνο καιροῦ Ἴναχος παρ' Ἕλλησι γνωριζόμενος, οὗ θυγάτηρ Ἰώ, ἡ
καὶ Ἀθὶς καλουμένη, δι' ἣν καὶ ἡ νῦν Ἀττική· ἐξ ἧς καὶ ὁ Βόσπο-
ρος, οὗ ἐπώνυμος πόλις Βόσπορος ἐν τῷ Εὐξείνῳ πόντῳ καλουμένη·
καλοῦσι δὲ αὐτὴν Αἰγύπτιοι Ἶσιν, ἣν καὶ ὡς θεὰν προσκυνοῦσιν.
ὁμώνυμος δὲ τούτῳ καὶ ποταμός ἐστιν Ἴναχος οὕτω καλούμενος.
ἐκεῖθεν ἀρχὴν ἔσχεν τὰ παρ' Ἕλλησι μυστήριά τε καὶ τελεταί, πρό- 6
τερον παρ' Αἰγυπτίοις καὶ παρὰ Φρυξὶ καὶ Φοίνιξι καὶ Βαβυλωνίοις
κακῶς ἐπινενοημένα, μετενεχθέντα δὲ εἰς Ἕλληνας ἀπὸ τῆς τῶν
Αἰγυπτίων χώρας ὑπὸ Κάδμου καὶ αὐτοῦ τοῦ Ἰνάχου, Ἄπιδος πρό-
τερον κληθέντος καὶ οἰκοδομήσαντος τὴν Μέμφιν, ἀλλὰ καὶ παρ' 7
Ὀρφέως καὶ ἄλλων τινῶν τὴν ἀρχὴν λαβόντα καὶ εἰς αἱρέσεις συστα-
θέντα ὕστερον ἐν Ἐπικούρῳ καὶ Ζήνωνι τῷ Στωϊκῷ καὶ Πυθαγόρᾳ
καὶ Πλάτωνι ἐξ οὗπερ ἤρξαντο χρόνου κρατυνθείσας ἕως τῶν Μα-
κεδονικῶν χρόνων καὶ Ξέρξου τοῦ βασιλέως τῶν Περσῶν μετὰ τὴν

1 f vgl. Exod. 2, 37 ff — **2** *Λευὶ*] in Wahrheit Juda — **3 f** vgl. Num. 1 u. 2 — **7** Gleichzeitigkeit von Moses u. Jnachus Tatian orat. ad Graec. c. 39; S. 40, 5 Schwartz; darnach Clemens Al. strom. I 102, 4; II S. 66, 3 Stählin u. J. Africanus bei Eus. praep. ev. X 10; Migne 21, 816 A (vgl. Hieronymus Chronik S. 7, 20 Helm). Anders Eusebius — **8** Jo, Atthis, Isis vgl. zu Ancoratus c. 104, 6; S. 125, 8 ff — **9** aus Eusebius, vgl. Hieronymus Chronik S. 44, 1 Helm *Cranaus indigena, ex cuius filiae Attidis nomine Attica vocatur* — **9 f** *Βόσπορος* aus Eusebius, vgl. Hieronymus Chronik S. 27, 16 42, 15 Helm *Io, Icasi filiae mixtus est Iuppiter, qua in bovem ut dicitur versa Bosforus appellatur* — **11 f** Hieronymus Chronik S. 27, 14 Helm — **13 ff** vgl. Anaceph. 3, 4; S. 163, 15 ff — **16** *Κάδμος* vgl. Hieronymus Chronik S. 46, 23 Helm *Foenix et Cadmus de Thebis Aegyptiorum in Syriam profecti* — **16 f** Apis u. Memphis vgl. Hieronymus Chronik S. 32, 9 u. 22 Helm; die Gleichung zwischen Apis u. Inachus ist wohl eigene Erfindung des Epiph.

G U M

1 *Ναασσὼν* G *Ναασὼν* U **1 f** *Ναασὼν* U **4** *Μωυσεῖ* U **7** *εὗρεν* U **9** *καὶ ἡ νῦν* < G *νῦν* < U **11** *Ἴσην* M **12** *ὁμωνύμως* G **13** *ἐκεῖθεν* + *δὲ* U **14** *Φυξὶ* G *Φρύγαις* M **15** *δὲ*] *τε* U **16** *ὑπὸ*] *ἀπὸ* M **20** *κρατυνθείσας* *, gehört zu *αἱρέσεις* Z. 18] *κρατυνθεῖσαι* G M *κρατυνθῆναι* U

ἅλωσιν τῶν Ἱεροσολύμων τὸ πρῶτον καὶ Ναβουχοδονόσορ αἰχμαλωσίαν καὶ Δαρείου καὶ τῶν κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα χρόνον. Πλάτων γὰρ κατ' ἐκεῖνον τὸν καιρὸν ἐγνωρίζετο καὶ οἱ πρὸ αὐτοῦ 8
Πυθαγόρας τε καὶ Ἐπίκουρος ὁ μετέπειτα. ὅθεν | δὴ ὡς προεῖπον D291
τὴν πρόφασιν εἴληφεν καὶ εἰς κατάστασιν ἦλθε τὰ παρ' Ἕλλησι συγγράμματα καὶ μετὰ τοῦτον τὸν χρόνον αἱ βοώμεναι αἱρέσεις τῶν φι- 9
λοσόφων, πρὸς ἀλλήλας τῇ μὲν πλάνῃ συνᾴδουσαι καὶ ὁμόστοιχον γνῶσιν συνυφαίνουσαι εἰδωλολατρείας τε καὶ ἀσεβείας καὶ ἀθεΐας, τῇ δὲ αὐτῇ πλάνῃ εἰς ἑαυτὰς συγκλώμεναι [διαφέρονται] ἑτέρα πρὸς τὴν
ἑτέραν. | P12

Κατὰ Στωϊκῶν, ἀπὸ Ἑλληνισμοῦ ⟨αἱρέσεως⟩ γ̄, τῆς δὲ ἀκολουθίας ε̄.

Καὶ Στωϊκοὶ μὲν φρονοῦσι περὶ θεότητος τοῦτο· φάσκουσιν εἶναι **1, 1**
νοῦν τὸν θεὸν ἢ παντὸς τοῦ ὁρωμένου κύτους, οὐρανοῦ δέ φημι καὶ γῆς καὶ τῶν ἄλλων, ὡς ἐν σώματι ψυχήν. μερίζουσι δὲ οἱ αὐτοὶ **2**
τὴν μίαν θεότητα εἰς πολλὰς μερικὰς οὐσίας, εἰς ἥλιον καὶ σελήνην καὶ ἄστρα, εἰς ψυχὴν καὶ ἀέρα καὶ τὰ ἄλλα· μεταγγισμούς | τε ψυ- **3** Ö46
χῶν * καὶ μετενσωματώσεις ἀπὸ σώματος εἰς σῶμα, καθαιρομένων ⟨ψυχῶν ἀπὸ⟩ σωμάτων ἡδ' αὖ πάλιν εἰσδυουσῶν καὶ ἀνάπαλιν γεννωμένων, διὰ πολλῆς αὐτῶν πλάνης ταύτην τὴν ἀσέβειαν παρυφαίνοντες. μέρος δὲ θεοῦ καὶ ἀθάνατον τὴν ψυχὴν ἡγοῦνται.
ἔσχον δὲ Ζήνωνα ἀρχηγὸν τῆς Στοᾶς, περὶ οὗ πολὺς θρυλεῖται λόγος. **4**
οἱ μὲν γὰρ αὐτὸν ἔφασαν Κλεάνθου⟨ς⟩ τινὸς * τοῦ ἀπὸ Τύρου ὁρμωμένου, ἄλλοι δὲ φάσκουσιν αὐτὸν Κιτιέα τῆς Κύπρου νησιώτην, ἐν Ῥώμῃ δὲ βεβιωκέναι χρόνον, ὕστερον δὲ ἐν Ἀθήναις προστησάμενον

12—S. **184, 5** Diels *doxographi graeci* S. 588, vgl. S. 175

G U M

1f *αἰχμαλωσίαν* *] *αἰχμαλωσίας* G U M **2** *τῶν*] *τὸν* M | *χρόνον* *] *χρόνων* G U M **6** vor *μετὰ* + *αἱ* U | *αἱ* < G U **9** [*διαφέρονται*] *, ⟨*καὶ⟩ *διαφερόμεναι* Jül. **11** *Στωικοὶ ἀπὸ Ἑλληνισμοῦ γ̄, τῆς δὲ ἀκολουθίας ε̄* G M *Στωικοὶ τρίτη ἀπὸ Ἑλληνισμοῦ, πέμπτη δὲ τῇ ἀκολουθίᾳ* U; *⟨αἱρέσεως⟩* *, gemäß der Form der Überschriften in V **12** *φάσκουσι* *] *φάσκοντες* G U M **13** *ἦ*] *καὶ* nach Anaceph. 7, 2; S. 165, 21 Dind. Diels | *δέ* *] *τε* G U M **14** *ψυχὴν* Öh.] *ψυχὴ* G U M **15** *μερικὰς*] *μέρη καὶ* M **17** *⟨δογματίζουσιν⟩* * | *καθαιρομένων ⟨ψυχῶν ἀπὸ⟩ σωμάτων* *] *καθαιρομένας σωμάτων* G U *καθαιρόμεναι σωμάτων* M **18** *εἰσδυουσῶν* *] *εἰς δύο οὐσίας* G *εἰσδυούσας* U M **19** *γεννωμένων* *] *γεννωμένας* G U M | *παρυφαίνοντες* *] *παρυφαίνουσιν* G U M **21** *Ζήνονα* M **22** *Κλεάνθου⟨ς⟩* Corn. | *⟨υἱὸν⟩* * **23** *αὐτὸν*] *αὐτοὶ* U | *νησιώτην* U

τουτὶ τὸ δόγμα ἐν τῇ Στοᾷ οὕτω καλουμένῃ, τινὲς δέ φασι δύο Ζήνωνας εἶναι, τόν τε Ἐλεάτην καὶ τὸν προειρημένον· ὅμως οἱ ἀμφότεροι ἴσως ἐδογμάτισαν, εἰ καὶ δύο εἶεν. φάσκει οὖν καὶ οὗτος τὴν ὕλην σύγχρονον εἶναι τῷ θεῷ, ἴσα ταῖς ἄλλαις αἱρέσεσιν, εἱμαρμένην τε εἶναι καὶ γένεσιν, ἐξ ἧς τὰ πάντα διοικεῖται καὶ | πάσχει. πόσα 6 D292
τοίνυν ἰσχύει ἡ σύντομος ἡμῶν αὕτη σύνταξις, πρὸς τὴν τούτου φαυλότητα ἀλεξητήριον φάρμακον *διεξιέναι καὶ οὐχὶ μᾶλλον εἰς ὄγκον πολὺν ἐλάσω τῆς πραγματείας τὸ ἐχέγγυον· ἀκροθιγῶς δέ, ἵνα μὴ ἐν παραδρομῇ γένωμαι, πρὸς τοῦτον ἐρῶ.

2. Πόθεν εἴληφας, ὦ οὗτος, τὴν τῆς διδασκαλίας ὑφήγησιν; ἢ 2, 1
ποῖον πνεῦμα ἅγιον οὐρανόθεν λελάληκέ σοι περὶ τῆς σοῦ πλάνης; δύο μὲν γὰρ ἐπὶ τὸ αὐτὸ σύγχρονα, ὕλην καὶ θεόν, βεβιασμένως λέγεις· πεσεῖται γάρ σου ὁ λόγος καὶ ἀσύστατος ἔσται. ὁμολογεῖς μὲν γάρ 2
τινα εἶναι δημιουργόν, ὃν καὶ παντοκράτορα φῄς, τοῦτον δὲ μερίζεις εἰς πολυθεΐαν. | τίνος δ' ἂν εἴη δημιουργός, εἰ σύγχρονος εἴη ἡ ὕλη; P13
ἔσται γὰρ καθ' ἑαυτὴν ἑαυτῆς δεσπόζουσα ἢ μὴ ἀπὸ αἰτίου τινὸς λαβοῦσα τὴν ἀρχὴν καὶ οὐχ ὑποτασσομένη. εἰ δὲ ὁ δημιουργὸς παρὰ 3
ταύτης λαμβάνει, προβολὴν ταύτην εὑράμενος, ἀδράνειά τις ἂν εἴη καὶ ἔρανος δι' ἀπορίαν τῷ προσπορισαμένῳ οὐκ ἀπὸ τῶν ἰδίων ἀλλ' ἐξ ὑποκειμένων ἀλλοτρίων, ὅπως τὸ ἴδιον ὑποστήσεται δημιούργημα. καὶ περὶ τοῦ τῶν ψυχῶν μεταγγισμοῦ πολλή τις ἡ φαυλό- 4
της τῆς παραπεποιημένης σου διανοίας, ἐθελόσοφε καὶ γνῶσιν ἀνθρώποις ἐπαγγελλόμενε. εἰ γὰρ μέρος θεοῦ ὑπάρχει καὶ ἀθάνατος, σώματα δὲ οἰκτρὰ οὐ μόνον εἴποιμι *θηρίων δὲ καὶ ἑρπετῶν καὶ κνω- Ö48
δάλων δυσγενῶν τῇ πλάσει αὐτῆς συνάπτεις τῇ ἀπὸ θεοῦ κατὰ σὲ τὴν οὐσίαν κεκτημένῃ, καὶ τί ἂν γένοιτο τούτου μοχθηρότερον;

3. Εἱμαρμένην δὲ παρεισάγεις, ὡς ἐξ αὐτῆς γίνεσθαι τὰ τῷ 3, 1
ἀνθρώπῳ συμβαίνοντα καὶ ἄλλοις. ἐξ ἑνὸς δὲ ῥητοῦ δι' ἐπιτομῆς τοῦ λόγου ἀνατραπήσεται ἡ σὴ μυθοποιία. εἰ γὰρ εἱμαρμένης τὸ σοφίζεσθαι τὸ συνετίζεσθαι τὸ λογικὸν γεννᾶσθαι καὶ ἄλογον καὶ τὰ

G U M

1 *τουτὶ*] *τοῦτο* M **2** *ὁμοίως* M **3** *ἴσως*] *οὕτως* G U **5** *εἶναι* *] *καλεῖν* G U M *καλῶν* Oh. Diels | *πόσα*] *πρὸς ἃ* U **7** * etwa ⟨*ἐπιδώσω. ἀρκεῖ γάρ μοι τὰ κεφαλαιωδέστατα*⟩ * **8** *ἀκροθηγῶς* U **11** *σοῦ*] *σαυτοῦ* U **12** *βεβιασμένος* M **13** *μὲν* < M **14** *ὃν* < M **15** *εἰς*] *ἐπὶ* M | *εἰ*] *ἡ* U **18** *προσβολὴν* G | *εὑρόμενος* G **19** *προσπορησαμένῳ* G U **23** *ἐπαγγελλόμενος* M **24** * ⟨*ἀνθρώπων*⟩ * | *θηρῶν* G U | *δὲ*[2] *] *τε* G U M **25** *αὐτῆ* G **28** *ἄλλους* U **30** *τὸ λογικὸν γεννᾶσθαι* zweimal geschrieben, das erste Mal hinter *τὸ σοφίζεσθαι* M | *καὶ*[1]] *ἢ*? Jül.

ἄλλα πάντα, παυσάσθωσαν νόμοι· ἐπικρατεῖ γὰρ ἡ εἱμαρμένη | μοι- D293
χῶν τε καὶ ἄλλων· δίκην δὲ μᾶλλον τίσουσιν οἱ ἀνάγκην ἐπιτιθέν-
τες ἀστέρες ἥπερ ὁ ἀναγκαζόμενος δρᾶσαι τὸ ἐπιχείρημα. ἀλλὰ 2
καὶ ἄλλως ἔτι περὶ τούτων ἐρῶ· ἀργείτωσαν αἱ διατριβαί, παυσά-
σθωσαν σοφισταί τε καὶ ῥήτορες καὶ γραμματικοί, ἰατροί τε καὶ ἄλλαι
ἐπιστῆμαι βαναύσων τε τεχνῶν ἀμύθητον πλῆθος, καὶ μηκέτι μηδεὶς
παιδευέτω, εἴπερ ἐξ εἱμαρμένης τυγχάνει τῶν ἐπιστημῶν καὶ
μὴ ἐκ γραμμάτων μαθήσεως ὁ πορισμὸς τῇ ἀνθρωπείᾳ φύσει. εἰ γὰρ
εἱμαρμένη τὸν πεπαιδευμένον καὶ λογιώτατον παρεσκεύασε, μὴ μαν-
θανέτω τις παρὰ τοῦ διδάσκοντος, ἀλλὰ τῇ φύσει † λαμβανέτωσαν
τὴν εἴδησιν αἱ τοὺς μίτους κλώθουσαι Μοῖραι κατὰ τὸ φθέγμα τῆς
κομπώδους σου διὰ λόγων πλάνης. | P14

Πλατωνικοί, ἀπὸ Ἑλληνισμοῦ αἵρεσις δ̄, τῆς δὲ ἀκολουθίας ϛ̄.

ἀλλὰ ταῦτα πρὸς Ζήνωνα καὶ τοὺς Στωϊκούς μοι λελέχθω. Πλά- 1
των δὲ ἅμα καὶ αὐτὸς κατὰ τὰ αὐτὰ φερόμενος, τῇ μετενσωματώσει
καὶ μεταγγισμῷ τῶν ψυχῶν καὶ πολυθεΐαις καὶ ταῖς ἄλλαις εἰδωλο-
λατρείαις καὶ δεισιδαιμονίαις *, οὐ περὶ τῆς ὕλης πάντῃ ἴσως κατὰ
Ζήνωνα καὶ τοὺς Στωϊκοὺς ἐφρόνησεν. οἶδεν γὰρ αὐτὸς θεόν, τὰ 2
δὲ γεγενημένα πάντα ἐκ τοῦ ὄντος θεοῦ γεγενῆσθαι· εἶναι δὲ πρῶ-
τον αἴτιον καὶ δεύτερον καὶ τρίτον· καὶ τὸ μὲν πρῶτον αἴτιον θεόν,
τὸ δὲ δεύτερον αἴτιον ἐκ θεοῦ γεγενῆσθαι * τινὰς δυνάμεις, δι' αὐτοῦ
δὲ καὶ τῶν δυνάμεων γεγενῆσθαι τὴν ὕλην. φάσκει γὰρ οὕτως· 3
»οὐρανὸς ἅμα χρόνῳ γεγένηται, ὁμοῦ ἄρα καὶ λυθήσεται«, τὰ πρότερα
ἑαυτοῦ τὰ περὶ ὕλης ἀνασκευάσας. εἶπε γάρ ποτε καὶ σύγχρονον
εἶναι τῷ θεῷ τὴν ὕλην. | D294 Ö50

14—25 Diels *Doxographi graeci* S. 588, vgl. S. 175 — **19** Plato ep. II p. 312 E u. Jahn bei Öhler II 2 S. 10 — **23** vgl. Timaeus 38 B — **24f** vgl. Hippolyt refut. I 19, 4; S. 20, 2 Wendland

G U M

3 εἴπερ M **4** ἀργήτωσαν M **5** γραμματικαί M | ἄλλαι < G **6** ἀμυθήτων G U **7** παιδευέσθω? * **8** μὴ < G M | τῆς ἀνθρωπείας φύσεως G M **10** † λαμβανέτωσαν] etwa ἐννφαινέτωσαν * **13** *Πλατωνικοί, τετάρτη αἵρεσις ἀπὸ Ἑλληνισμοῦ, ἕκτη δὲ τῆς ἀκολουθίας* G *Πλατωνικοί, ἀπὸ Ἑλληνισμοῦ αἵρεσις δ̄, τῆς δὲ ἀκολουθίας ϛ̄* M *Πλατωνικοί, τετάρτη αἵρεσις ἀπὸ Ἑλληνισμοῦ, ἕκτη δὲ τῇ ἀκολουθία* U **15** κατὰ τὰ αὐτὰ *] κατὰ τῶν αὐτῶν G U μετὰ τῶν αὐτῶν M **17** * ⟨προσανέχων⟩ * | περὶ τῆς ὕλης *] τῇ ὕλῃ G U M **19** γενόμενα G U | γεγενῆσθαι + τινὰς δυνάμεις U **21** * etwa ⟨ἅμα δὲ καὶ⟩ * **23** ἄρα Jahn] γὰρ G U M

Πυθαγόρειοι, ἀπὸ Ἑλληνισμοῦ αἵρεσις ε̄, τῆς δὲ ἀκολουθίας ξ̄.

Πρὸ δὲ τούτου Πυθαγόρας καὶ οἱ Περιπατητικὴν ἐπαγγελλόμενοι **1**
*χαρακτηρίζουσιν ἕνα θεόν, φιλοσοφίαις δὲ ἄλλαις * καὶ τοῖς * φιλοσοφουμένοις προσανέχουσι. τὰ ἴσα μὲν τούτοις πάλιν τὰ τῆς ἀθεμίτου γνώμης καὶ ἀσεβεστάτης, τῶν ψυχῶν ἀπαθανατισμούς τε καὶ μετενσωματώσεις καὶ σωμάτων φθοράς, αὐτός τε καὶ οἱ σὺν αὐτῷ ἀγορεύουσιν. οὗτος δὲ τέλος ἐν τῇ Μηδίᾳ τὸν βίον καταστρέφει.* **2**
σῶμα δὲ λέγει εἶναι τὸν θεὸν τουτέστιν οὐρανόν, ὀφθαλμοὺς δὲ αὐτοῦ καὶ τὰ ἄλλα ὥσπερ ἐν ἀνθρώπῳ, ἥλιον καὶ σελήνην καὶ τὰ ἄλλα ἄστρα καὶ τὰ κατ᾽ οὐρανὸν στοιχεῖα.

Ἐπικούρειοι, ἀπὸ Ἑλληνισμοῦ αἵρεσις ξ̄, τῆς δὲ ἀκολουθίας η̄.

1. *Ἐπίκουρος δὲ καθεξῆς μετὰ τούτους ἀπρονοησίαν τῷ κόσμῳ* **1, 1**
εἰσηγήσατο· ἐξ ἀτόμων δὲ συνεστάναι τὰ πάντα ἠδ᾽ αὖ πάλιν εἰς ἄτομα χωρεῖν καὶ ἐξ αὐτοματισμοῦ | εἶναι τὰ ὅλα καὶ τὸν κόσμον P15
ὑφεστάναι, ἀεὶ γεννώσης τῆς φύσεως ἠδ᾽ αὖ πάλιν δαπανωμένης καὶ ἐξ αὐτῆς πάλιν ἐπιγινομένης, μηδέποτε δὲ ληγούσης, ἀφ᾽ ἑαυτῆς φυομένης καὶ εἰς ἑαυτὴν συντριβομένης. εἶναι δὲ ἐξ ὑπαρχῆς ᾠοῦ δίκην **2**
τὸ σύμπαν, τὸ δὲ πνεῦμα δρακοντοειδῶς περὶ τὸ ᾠὸν ὡς στέφανον ἢ ὡς ζώνην περισφίγγειν τότε τὴν φύσιν. θελῆσαν δὲ βιασμῷ τινὶ **3**
καιρῷ περισσοτέρως σφίγξαι τὴν πᾶσαν ὕλην εἴτ᾽ οὖν φύσιν τῶν

2—10 Diels *doxographi graeci* S. 588 — **7** *ἐν τῇ Μηδίᾳ*, entstanden aus *ἐνδείᾳ ὕδατος καὶ ἄρτου*, vgl. Diels S. 175; *ἐνδείᾳ* wird durch *Μηδεία* in M gestützt — **12**—S. **187, 8** Diels *doxographi graeci* S. 588f

G U M

1 *Πυθαγόρειοι, δευτέρα αἵρεσις ἀπὸ Ἑλληνισμοῦ, ἑβδόμη δὲ τῆς ἀκολουθίας* G U *Πυθαγόριοι, ἀπὸ Ἑλληνισμοῦ αἱρέσεις β̄, τῆς δὲ ἀκολουθίας ζ̄* M **2** *Περιπατητικόν* G *Περιπατητικοὶ* U **3** *χαρακτηρίζειν* U *χαρακτηριάζουσιν* M | * u. * etwa *⟨ὁμοίως⟩ καὶ τοῖς ⟨παρὰ τοῖς προδηλωθεῖσι⟩ φιλοσοφουμένοις* * **7** *Μηδεία* M **9** *ἄλλα* + *⟨μέλη⟩*? * **11** *Ἐπικούριοι τετάρτη αἵρεσις ἀπὸ Ἑλληνισμοῦ, ὀγδόη δὲ τῆς ἀκολουθίας* G *Ἕκτη αἵρεσις ἀπὸ τοῦ Ἑλληνισμοῦ, ὀγδόη δὲ τῇ ἀκολουθίᾳ* U *Ἐπικούριοι, ἀπὸ Ἑλληνισμοῦ αἱρέσεις δ̄, τῆς δὲ ἀκολουθίας η̄* M **12** *Ἐπικούριοι* M | *μετὰ τούτους* < U **14** *τὰ ὅλα*] *τὰ πάντα* G **18** *περὶ τὸ ᾠὸν*] *περιὸν*? * **19** *περισφίγγειν τότε τὴν φύσιν*] *περιὸν σφίγγειν τοίτου τὴν φύσιν*? Diels; aber *τότε* ist unentbehrlich als Gegensatz zu *τινὶ καιρῷ* Z. 19f | *θελήσασαν* M **19f** *τινι* † *καιρῷ* Diels, der *καὶ σῷ* vermutet; aber der Ausdruck *τινὶ καιρῷ* ist dem Epiph. geläufig **20** *περισσοτέρω* M | *εἴτουν*] *ἤγουν* G

πάντων οὕτως διχάσαι μὲν τὰ ὄντα εἰς τὰ δύο ἡμισφαίρια καὶ λοιπὸν ἐκ τούτου τὰ ἄτομα διακεκρίσθαι. τὰ μὲν γὰρ | κοῦφα καὶ λεπτότερα **4** D295
τῆς πάσης φύσεως ἐπιπολάσαι ἄνω τουτέστιν φῶς καὶ αἰθέρα καὶ τὸ λεπτότατον τοῦ πνεύματος, τὰ δὲ βαρύτατα καὶ σκυβαλώδη κάτω
5 νενευκέναι, τουτέστι γῆν (ὅπερ ἐστὶ τὸ ξηρόν) καὶ τὴν ὑγρὰν τῶν ὑδάτων οὐσίαν. τὰ δὲ ὅλα ἀφ' ἑαυτῶν κινεῖσθαι καὶ δι' ἑαυτῶν ἐν **5**
τῇ περιδινήσει τοῦ πόλου καὶ τῶν ἄστρων ὡς ἀπὸ τοῦ δρακοντοειδοῦς ἔτι τὰ πάντα ἐλαύνεσθαι πνεύματος.

Καὶ ἀπὸ μέρους μὲν περὶ τούτων ἔφημεν· | τῷ δὲ αὐτῷ τρόπῳ Ö52
10 τὰς τέσσαρας ταύτας αἱρέσεις ἀνατρεπτέον· * διὰ τὴν συντομίαν τῆς ἀναγνώσεως.

2. Ἐντεῦθεν ὡς καὶ ἀνωτέρω λοιπὸν ἔφην ποιηταὶ λογογράφοι **2, 1**
ἱστοριογράφοι ἀστρονόμοι τε καὶ οἱ τὰ ἄλλα τῆς πλάνης εἰσηγησάμενοι [οἱ] παρασκευάσαντες τὸν νοῦν ἐπὶ μυρίας κακὰς αἰτίας καὶ
15 ἀγωγὰς ἐσκότωσαν καὶ ἐθόλωσαν τὴν τῆς ἀνθρωπότητος ὑπόληψιν. καὶ γέγονεν αὕτη »πρώτη πλάνη ἐπίνοια εἰδώλων« καὶ κακοδαιμονία διδασκαλίας. ἦν δὲ τὰ πάντα μεμερισμένα Ἑλληνισμός τε καὶ Ἰου- **2**
δαϊσμός· Ἰουδαϊσμὸς δὲ οὔπω πρότερον καλούμενος, ἀλλὰ διὰ τοῦ Ἰσραὴλ τὸ ἐπώνυμον τῆς θεοσεβοῦς θρησκείας ἐπικεκτημένος, ἕως
20 ὅτε ⟨ē⟩ διαδοχαὶ γεγένηνται. ὁ γὰρ Ναασσὼν ὁ ἐν τῇ ἐρήμῳ γεγονὼς **3**
φύλαρχος τῆς φυλῆς Ἰούδα γεννᾷ τὸν Σαλμών, Σαλμὼν γεννᾷ τὸν Βοός, Βοὸς γεννᾷ τὸν Ὠβήδ, Ὠβὴδ γεννᾷ τὸν Ἰεσσαί, ἔτι τῶν θεοσεβῶν Ἰσραηλιτῶν καλουμένων, Ἰεσσαὶ γεννᾷ τὸν Δαυὶδ τὸν βασιλέα,
ὃς πρῶτος ἐβασίλευσεν ἐκ φυλῆς Ἰούδα· ἐξ οὗ λοιπὸν οἱ κατὰ δια-
25 δοχὴν βασιλεῖς ἐκ τοῦ σπέρματος αὐτοῦ, υἱὸς διαδεχόμενος πατέρα, καθεξῆς συνεστήκασιν. ἦν δὲ πρὸ αὐτοῦ τοῦ Δαυὶδ ὁ φύσει πρῶτος **4**
βασιλεύσας ἐν Ἰσραὴλ Σαοὺλ υἱὸς Κεὶς ἐκ φυλῆς Βενιαμίν, | * καὶ P16
οὐκέτι αὐτὸν διεδέξατο υἱός, ἀλλὰ μετέστη τὸ βασίλειον αὐτοῦ εἰς Δαυίδ, διὰ δὲ Δαυὶδ πρώτου εἰς τὴν φυλὴν Ἰούδα. | πρῶτος γὰρ τῷ **5** D296

12 vgl. S. 179, 2 — **16** vgl. Weish. Sal. 14, 12 — **20ff** knüpft an an S. 182, 1 — **20—23** Matth. 1, 4—6

G U M

4 *σκυβαλλώδη* U **5f** *τὴν ὑγρὰν . . οὐσίαν* *] *ἡ ὑγρὰ . . . οὐσία* G U M **10** * etwa ⟨*οὐκ ἐπιβαλοῦμαι δὲ*⟩ * **14** [*οἱ*] * **18** *δὲ* < G U **19** vor *τὸ ἐπώνυμον* + *διὰ* G | *ἐπικεκτημένος* *] *ἐπικεκλημένος* G U M **20** ⟨ē⟩ * **22** *ἔτι*] *ἐπὶ* M **27** *Κὶς* G | *Βενιαμὴν*, *εῖ* von erster Hand M | * etwa ⟨*ἀλλ' ἀπεβλήθη οὗτος*⟩ * **28f** *αὐτοῦ εἰς Δαυίδ* < G U

αὐτῷ Ἰακὼβ παῖς γίνεται Ῥουβήν, δεύτερος Συμεών, τρίτος Λευί, τέταρτος Ἰούδας, ὅθεν Ἰουδαῖοι καλοῦνται διὰ τὴν φυλὴν Ἰούδα, τοῦ γένους τῶν θεοσεβῶν εἰς τὸ ὄνομα τοῦτο μεταπεσόντος. ἐκαλοῦντο γοῦν Ἰσραηλῖται καὶ Ἰουδαῖοι.

3. Ἕως τούτου τοῦ χρόνου συνήφθησαν αἱ τέσσαρες γενεαὶ τῆς **3, 1** γῆς, τῶν τεσσάρων τμημάτων τούτων διαιρεθέντων κατὰ τοὺς πρώην χρόνους ἕως τοῦ καιροῦ τούτου τοῦ ἐνταῦθά μοι δεδηλωμένου καὶ ἐπέκεινα· τουτέστιν ἀπὸ Ἀδὰμ ἕως τοῦ Νῶε Βαρβαρισμός, ἀπὸ **2** τοῦ Νῶε ἕως τοῦ πύργου καὶ τοῦ Σεροὺχ μετὰ δύο γενεὰς τοῦ πύργου ἡ Σκυθικὴ δεισιδαιμονία καὶ μετέπειτα ἀπὸ τοῦ πύργου καὶ Σεροὺχ καὶ † Ἀρὰμ ἕως τοῦ Ἀβραὰμ Ἑλληνισμός, ἀπὸ τούτου καὶ μετέπειτα θεοσέβεια συναπτομένη τῷ αὐτῷ Ἀβραάμ, ἀπὸ τοῦ κατὰ διαδοχὴν σπέρματος αὐτοῦ τουτέστιν τοῦ Ἰούδα Ἰουδαϊσμός· ὡς ἐπι- **3** μαρτυρεῖ μοι ὁ πνευματοφόρος καὶ ἅγιος τοῦ θεοῦ ἀπόστολος Παῦλος ὧδέ πως λέγων ὅτι »ἐν Χριστῷ Ἰησοῦ οὐ βάρβαρος, οὐ Σκύθης, οὐχ Ἕλλην, οὐκ Ἰουδαῖος, ἀλλὰ καινὴ κτίσις«, ἐπειδὴ ἐξ ὑπαρχῆς, ὅτε ἔκτιστο ἡ κτίσις, καινὴ οὖσα οὐδέν τι διαφορώτερον ἔσχεν ὄνομα. | συνῳδὰ δὲ τούτοις πάλιν ἐν ἑτέρῳ τόπῳ λέγει οὕτως »ὀφει- **4** Ö 54
λέτης εἰμὶ Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις«, ἵνα δείξῃ σοφοὺς μὲν τοὺς Ἰουδαίους, ἀνοήτους δὲ τοὺς Σκύθας. καὶ φησιν »ὀφειλέτης εἰμί« *. ἐντεῦθεν τὸ πᾶν γένος τοῦ Ἰσραὴλ **5** Ἰουδαῖοι ἐκαλοῦντο ἀπὸ χρόνου τοῦ Δαυὶδ καὶ διήρκεσεν ἐπωνύμως καλούμενον Ἰσραηλιτῶν τε καὶ Ἰουδαίων [ἔχον τὴν ἐπίκλησιν] τὸ πᾶν γένος τοῦ Ἰσραὴλ ἀπὸ τῶν χρόνων τοῦ Δαυὶδ καὶ τοῦ υἱοῦ αὐτοῦ Σολομῶντος καὶ υἱοῦ τοῦ Σολομῶντος, φημὶ δὲ τοῦ Ῥοβοὰμ τοῦ μετὰ τὸν Σολομῶντα βασιλεύσαντος ἐν Ἱερουσαλήμ. ἵνα δὲ μὴ **6**
ἐν παρεξόδῳ γένωμαι, παρερχόμενος τὰ κατὰ τὴν τῶν | Ἰουδαίων D297

15f Kol. 3, 11 vgl. Gal. 6, 15 — **18** Röm. 1, 14

G U M

1 αὐτῷ < M | Λευὶς U **2** ὅθεν Ἰουδαῖοι καλοῦνται] Ἰουδαῖοι ἐντεῦθεν καλοῦνται G ἐξ οὗ καλοῦνται Ἰουδαῖοι U **3** vor εἰς + οἱ, und μεταπεσόντες G U **4** γοῦν + πρώην U | vor καὶ + οἱ U **7** πρώην < G U **9** τοῦ (vor Σεροὺχ) < G U | γεὰς M **11** † Ἀρὰμ] lies Θάρρα? * **12** vor μετέπειτα + τῶν G U **13** Ἰουδαϊσμός *] τοῦ Ἰουδαϊσμοῦ G M ἀφ' οὗπερ Ἰουδαϊσμός U **17** ὅτ' G | ἔκτισται G M | τι < M **21** * vielleicht ⟨ἵνα σημάνῃ ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν⟩ * **23** [ἔχον τὴν ἐπίκλησιν] * | ἔχον τὴν] ἐχόντων M **24f** καὶ τοῦ υἱοῦ αὐτοῦ Σολομῶντος < G **25** υἱοῦ τοῦ] τοῦ υἱοῦ U **26** δὲ < U

θρησκείαν καὶ μὴ ὑποσημαινόμενος τῆς κατ᾽ αὐτοὺς δόξης τὴν ὑπόθεσιν ὀλίγα ἀπὸ πολλῶν παραθήσομαι. πᾶσι γὰρ ὡς εἰπεῖν φανερώτατα ὑπάρχει τὰ κατὰ τοὺς Ἰουδαίους. διὸ οὐ πάνυ κάματον ἀναδέξομαι περὶ ταύτης τῆς ὑποθέσεως κατὰ τὸ λεπτότατον διηγήσασθαι, ἀλλ᾽ ὅμως ἦν ἀναγκαῖον ὀλίγα ἀπὸ πολλῶν ἐνταῦθα παραθέσθαι. | P17

4. Ἰουδαῖοι τοίνυν οἱ ἀπὸ τοῦ Ἀβραὰμ κατὰ διαδοχὴν ὑπάρχοντες καὶ τὴν αὐτοῦ θεοσέβειαν διαδεξάμενοι περιτομὴν μὲν τοῦ Ἀβραὰμ ἔχουσιν, ἣν κατὰ πρόσταξιν θεοῦ εἴληφεν ἐνενηκοστὸν ἔνατον ἔτος κατάγων δι᾽ αἰτίαν ἣν ἄνω προεῖπον, εἰς τὸ τούτου σπέρμα πάροικον γινόμενον ἐν γῇ ἀλλοτρίᾳ μὴ ἀποστραφῆναι τὸ ὄνομα τοῦ θεοῦ, ἐπὶ σώματος δὲ φέρειν σφραγῖδα ὑπομνήσεως χάριν καὶ ἐλέγχου εἰς τὸ ἐμμένειν τῇ τοῦ πατρὸς αὐτῶν θεοσεβείᾳ. ὁ δὲ τούτου παῖς Ἰσαὰκ ὀκταήμερος περιτέμνεται, ὡς τὸ τοῦ θεοῦ εἶχεν θέσπισμα. καὶ ὁμολόγηται μὲν ὅτι ἐκ προστάγματος θεοῦ ἡ περιτομὴ τότε ὑπῆρχεν, τύπῳ δὲ ἦν αὕτη διατεταγμένη τότε, ὡς κατὰ ἀκολουθίαν προβαίνοντες ὕστερον περὶ τούτου δείξομεν. διήρκεσαν τοίνυν περιτεμνόμενοι καὶ θεοσεβείᾳ προσανέχοντες οἱ αὐτοῦ τοῦ Ἀβραὰμ κατὰ διαδοχὴν παῖδες, ἀπ᾽ αὐτοῦ φημι καὶ καθεξῆς Ἰσαὰκ καὶ Ἰακὼβ καὶ οἱ τούτου παῖδες, ἔν τε τῇ Χανανίτιδι γῇ, Ἰουδαίᾳ καὶ Φυλιστιείμ οὕτως κληθείσῃ τότε, τανῦν δὲ Παλαιστίνῃ καλουμένῃ, ἀλλὰ καὶ ἐν Αἰγύπτῳ. Ἰακὼβ γὰρ ὁ καὶ Ἰσραὴλ κάτεισιν ἅμα τοῖς ἕνδεκα αὐτοῦ παισὶν εἰς Αἴγυπτον, ἔτος κατάγων ἑκατοστὸν τριακοστὸν τῆς αὐτοῦ ζωῆς. Ἰωσὴφ δὲ ὁ ἕτερος αὐτοῦ υἱὸς ἤδη ἐν Αἰγύπτῳ προϋπῆρχεν βασιλεύων, πραθεὶς ὑπὸ τῶν ἀδελφῶν αὐτοῦ διὰ φθόνον. ἡ δὲ τοῦ θεοῦ οἰκονομία τὰ ἀγαθὰ συνεργοῦσα τῷ δικαίῳ, εἰς θαυμασμὸν μετήγαγεν τὴν κατὰ τοῦ αὐτοῦ Ἰωσὴφ ἐπιβουλήν. κάτεισι | τοίνυν D298 ὡς προεῖπον ὁ Ἰακὼβ εἰς Αἴγυπτον καὶ οἱ αὐτοῦ υἱοὶ καὶ γυναῖκες καὶ ἔκγονοι ἐν ἑβδομήκοντα πέντε ψυχαῖς ἀριθμηθέντες, ὡς περιέχει

4, 1 2 3 4 5

9 vgl. Gen. 17, 1. 10 — **10** vgl. Panarion haer. 4, 1, 3; S. 179, 16 — **13f** vgl. Gen. 21, 4 — **22** vgl. Gen. 46 u. 47, 28 — **25f** vgl. Gen. 50, 20 — **27ff** vgl. Panarion haer. 4, 2, 1; S. 181, 19ff — **29** 75 Seelen nach Act. 7, 14; anders haer. 4, 2, 1; S. 181, 21 siehe z. d. St.

G U (bis Z. 19 *καθεξῆς*, dann V an Stelle beider) M

1 *κατ᾽ αὐτῶν* M **2** *ἀπὸ*] *ἀντὶ* M **5** *ὅμως* *] *ὧν* G U M **8** *ἑαυτοῦ* G M **9** *εἴληφεν*] *ἔσχεν* M **10** *εἰς τὸ*] *εἰς τοῦτο* M *εἰς τὸ τὸ* U **11** *γενόμενον* U **12** *σφραγῖδα φέρειν* U **13** *παῖς τούτου* G U **16** *κατ᾽* U **17** *δείξωμεν* U M **18** *αὐτοῦ* *] *αὐτοὶ* G U M **20** *Φυλιστιέα* V *Φυλιστιαία* V corr *Φιλιστιεὶμ* M **21** *τότε* < V **22** *ὁ καὶ*] *καὶ ὁ* M **28** *εἰς Αἴγυπτον* < V, vgl. Z. 29 **29** *ἀριθμηθέντες* + *εἰς Αἴγυπτον* V

ἡ πρώτη βίβλος τῆς κατὰ τὸν Μωυσέα πεντατεύχου, περὶ τούτων | Ö 56
πάντων σαφῶς δηλοῦσα. διετέλεσαν δὲ ἐκεῖσε ἐπὶ πέντε γενεαῖς, ὡς 6
καὶ πολλάκις εἶπον, νῦν δὲ ἀνάγκην ἔσχον ταῦτα δευτερῶσαι. ἔμειναν γὰρ ἀπὸ τοῦ Ἰακὼβ αἱ γενεαὶ ἀριθμούμεναι διὰ τοῦ Λευί, ἐξ οὗπερ οἱ ἱερεῖς κατέστησαν, καὶ διὰ τοῦ Ἰούδα, ἐξ οὗ μετὰ χρόνον ὁ βασιλεὺς ἦρξε Δαυίδ. καὶ ὁ μὲν Λευὶ γεννᾷ τὸν Καὰθ καὶ τοὺς 7
ἄλλους, Καὰθ γεννᾷ τὸν Ἀμράμ, | Ἀμρὰμ γεννᾷ τὸν Μωυσέα καὶ P 18
Ἀαρὼν τὸν ἀρχιερέα. οὗτος ὁ Μωυσῆς ἐκβάλλει τοὺς υἱοὺς Ἰσραὴλ ἐν δυνάμει θεοῦ ἐκ γῆς Αἰγύπτου, ὡς ἔχει ἡ δευτέρα βίβλος κατὰ τὴν νομοθεσίαν.

5. Τίς μέντοι γε ἦν ἡ τῶν υἱῶν Ἰσραὴλ πολιτεία ἄχρι τούτου 5, 1
τοῦ χρόνου, οὐ πάνυ σαφῶς κατὰ τὸ φανερώτατον ἔστιν εἰπεῖν ἢ μόνον ὅτι ἐν θεοσεβείᾳ καὶ περιτομῇ ὑπῆρχον· εἰ καὶ γέγραπται ὅτι »ἐπληθύνθησαν οἱ υἱοὶ Ἰσραὴλ ἐν γῇ Αἰγύπτῳ καὶ χυδαῖοι ἐγένοντο«. πάντως γάρ που ὁ χρόνος τῆς αὐτῶν παροικίας καὶ ἐπιμιξίας διὰ ῥᾳθυμίαν τὸ χυδαῖον εἰργάσατο. τίνων μέντοι γεύεσθαι ἢ τίνα ἀπα- 2
γορεύειν ἢ τἆλλα ὅσα κατὰ διαστολὴν τοῦ νόμου φυλάττειν προσετάχθησαν, οὔπω κατὰ τὸ φανερώτατον ἐπεσημήνατο. ἐξιόντων δὲ 3
ἐκ γῆς Αἰγύπτου ἐν τῷ δευτέρῳ ἔτει τῆς αὐτῶν ἐξόδου νομοθεσίας θεοῦ καταξιοῦνται διὰ χειρὸς αὐτοῦ τοῦ Μωυσέως. ἡ δὲ νομοθεσία 4
ἡ ἐκ θεοῦ αὐτοῖς δοθεῖσα παιδαγωγοῦ δίκην (ὡς καὶ παιδαγωγὸς ἦν ὁ νόμος σωματικῶς μὲν διαστελλόμενος, πνευματικὴν δὲ ἔχων τὴν προσδοκίαν) ἐδίδαξε περιτέμνεσθαι σαββατίζειν ἀποδεκατοῦν πάντα τὰ αὐτῶν γεννήματα καὶ ὅσαπερ παρ' αὐτοῖς ἐτίκτετο ἀπὸ ἀνθρώπου ἕως κτήνους, | ἀπαρχάς τε διδόναι καὶ πεντηκοστὴν καὶ τριακοστήν, D 299
εἰδέναι δὲ θεὸν μόνον καὶ αὐτῷ λατρεύειν. ἐν μοναρχίᾳ μὲν οὖν ⟨ἦν⟩ 5
κηρυττόμενον τὸ ὄνομα, ἐν δὲ τῇ μοναρχίᾳ ἡ τριὰς ἀεὶ κατηγγέλλετο καὶ ἐπιστεύετο παρὰ τοῖς ἐξοχωτάτοις αὐτῶν, τουτέστιν προφήταις καὶ ἡγιασμένοις. θυσίας τε καὶ λατρείας διαφόρους τῷ παμβασιλεῖ

2 ff vgl. Panarion haer. 4, 2, 2; die 5 Geschlechter sind in der Reihe Judas gezählt — **6** vgl. Exod. 6, 16. 18—20 — **14** Exod. 1, 7 — **18 f** vgl. Exod. 19, 1; *δευτέρῳ ἔτει* nach Num. 1, 1 — **21** vgl. Gal. 3, 24 — **26** vgl. Deut. 6, 4 u. 13

V M

3 /// *αὐτὰ* V corr **4** *Λευὶ*, *ι* aus *ει* hergestellt V **9** *βίβλος* hinter *νομοθεσίαν* (Z. 10) V **11** *τί* V **13** *εἰ*] *ἡ* V **14** *οἱ υἱοὶ Ἰσραὴλ* hinter *ἐν γῇ Αἰγύπτῳ* V **15** *ἐπιμιξ*///*ίας*, *ι* aus *ει* V **16 f** über diesen Gebrauch von *ἀπαγορεύειν* = verwerfen s. Index **18** vor *ἐπεσημήνατο* + ⟨*νόμος τις*⟩? * **23** *ἐδίδασκεν* V **24** *γεννήματα* V M *γενήματα* V corr **26** ⟨*ἦν*⟩ * **27** *ἀεὶ* < M

θεῷ ἐν τῇ ἐρήμῳ προσέφερον ἐν τῇ λατρείᾳ τῆς σκηνῆς τῆς ἁγίας ὑπὸ Μωυσέως διὰ τύπων δηλωθέντων αὐτῷ ὑπὸ θεοῦ κατασκευασθείσης. ἐδέξαντο γοῦν οἱ αὐτοὶ Ἰουδαῖοι καὶ προφητικὰς φωνὰς περὶ 6
τοῦ Χριστοῦ ἐρχομένου, λεγομένου μὲν προφήτου ὄντος δὲ θεοῦ καὶ
ἀγγέλου μὲν κληθέντος υἱοῦ δὲ ὄντος θεοῦ, μέλλοντος δὲ ἐνανθρωπήσειν καὶ ἐν ἀδελφοῖς αὐτοῦ ἐγκαταλέγεσθαι, ὡς ἔχουσι πᾶσαι αἱ θεῖαι γραφαί, μάλιστα ἡ τοῦ Δευτερονομίου κατὰ τὴν νομοθεσίαν πέμπτη βίβλος καὶ ⟨αἱ⟩ καθεξῆς. | Ö58

6. Ἔσχον δὲ οὗτοι οἱ Ἰουδαῖοι ἄχρι τῆς ἀπὸ | Βαβυλῶνος τῆς 6, 1 P19
αἰχμαλωσίας ἐπανόδου βίβλους τε καὶ προφήτας τούτους καὶ προφητῶν βίβλους ταύτας· πρώτην μὲν Γένεσιν δευτέραν Ἔξοδον τρίτην 2
Λευιτικὸν τετάρτην Ἀριθμοὺς πέμπτην Δευτερονόμιον ἕκτη βίβλος Ἰησοῦ τοῦ Ναυῆ ἑβδόμη τῶν Κριτῶν ὀγδόη τῆς Ῥοὺθ ἐνάτη τοῦ Ἰὼβ δεκάτη τὸ Ψαλτήριον ἑνδεκάτη Παροιμίαι Σολομῶντος δωδεκάτη
Ἐκκλησιαστὴς τρισκαιδεκάτη τὸ ᾆσμα τῶν ᾀσμάτων τεσσαρεσκαιδεκάτη Βασιλειῶν πρώτη πεντεκαιδεκάτη Βασιλειῶν δευτέρα ἑκκαιδεκάτη Βασιλειῶν τρίτη ἑπτακαιδεκάτη Βασιλειῶν τετάρτη ὀκτωκαιδεκάτη Παραλειπομένων πρώτη ἐννεακαιδεκάτη Παραλειπομένων δευτέρα εἰκοστὴ τὸ Δωδεκαπρόφητον εἰκοστὴ πρώτη Ἡσαΐας ὁ προφήτης εἰκοστὴ δευτέρα Ἱερεμίας ὁ προφήτης μετὰ τῶν Θρήνων καὶ

1f vgl. Exod. 25, 9. 40 — **4** vgl. Deut. 18, 15 — **5** vgl. Jes. 9, 6 — **6** vgl. Hebr. 2, 11 — **9ff** vgl. Zahn, Gesch. d. neutest. Kanons II 1, 220f G. Mercati, studi e testi 5 (1901) S. 17ff 243ff

V (bis Z. 12 *Ἀριθμούς*, dann wieder G U) M **9**—S. **192**, **9** Doctrina patr. c. 32; S. 237, 7ff Diekamp (= do.); vgl. de mens. ac pond. c. 4, 1ff u. 23, 1ff; S. 156, 13ff u. 178, 87ff Lagarde Joh. Damasc. de fide orth. IV 17ff; Migne 94, 1178 B ff. Doctr. patr. S. 293, 24ff Diekamp

1 *τῆς σκηνῆς τῆς ἁγίας* *] *τῆς σκηνοπηγίας* V M **2f** *κατασκευασθείση* M **6** *αὐτοῦ* *] *αὐτῶν* aus *αὐτὸν* V^{corr} *αὐτῶν* M | *ἐγκαταλέγουσιν* M **8** ⟨*αἱ*⟩ * **9** *οἱ* < M | *τῆς*^{2} < M **11ff** anstatt der Ordnungsnummern Zahlen do. **11** *μὲν* < do. **12** *Ἕκτην βίβλον* u. so durchweg im Folgenden bis S. 192, 3 Accusative G U, *Ἕκτη βίβλος* < u. gleichfalls Accusative do. **13** *τοῦ*^{2} < do. **14** *τὸ* < do. **15** *τὸ ᾆσμα τῶν ᾀσμάτων*] *τὰ ἄσματα* M | *τὸ* < do. **16** *πρώτην βασιλειῶν* G U **17** *ἑπτακαιδεκάτης* M **17f** *ὀκτωκαιδεκάτης* u. *ἐννεακαιδεκάτης* M **19** *τὸ* < do. **19f** *ὁ προφήτης* < do. **20** *ὁ προφήτης* < do. **20f** *μετὰ τῶν θρήνων — Βαρούχ* < G *Βαρὸυχ θρήνους ἐπιστολὴν* do.

ἐπιστολῶν αὐτοῦ τε καὶ ⟨τοῦ⟩ Βαρουχ εἰκοστὴ τρίτη Ἰεζεκιὴλ ὁ προφήτης εἰκοστὴ τετάρτη Δανιὴλ ὁ προφήτης εἰκοστὴ | πέμπτη D300
Ἔσδρας ᾱ, εἰκοστὴ ἕκτη Ἔσδρας β̄, εἰκοστὴ ἑβδόμη Ἐσθήρ. αὗται 3
εἰσιν αἱ εἴκοσι ἑπτὰ βίβλοι ἐκ θεοῦ δοθεῖσαι τοῖς Ἰουδαίοις· εἴκοσι
δύο δέ εἰσιν ὡς τὰ παρ᾽ αὐτοῖς στοιχεῖα τῶν Ἑβραϊκῶν γραμμάτων
ἀριθμούμεναι διὰ τὸ διπλοῦσθαι δέκα βίβλους εἰς πέντε λογιζομένας.
περὶ τούτου δὲ ἄλλῃ που σαφῶς εἰρήκαμεν. εἰσὶ δὲ καὶ ἄλλαι δύο 4
βίβλοι παρ᾽ αὐτοῖς ἐν ἀμφιλέκτῳ, ἡ Σοφία τοῦ Σιρὰχ καὶ ἡ τοῦ
Σολομῶντος, χωρὶς ἄλλων τινῶν βιβλίων ἐναποκρύφων. πᾶσαι 5
δε αὗται αἱ ἱεραὶ βίβλοι τὸν Ἰουδαϊσμὸν ἐδίδασκον καὶ τὰ τοῦ νόμου
φυλάγματα ἕως τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίας. καὶ 6
καλῶς ἐφέροντο παιδαγωγούμενοι ἐν τῷ νόμῳ, εἰ ἐδέξαντο τὸν
Χριστὸν τὸν ὑπὸ τοῦ παιδαγωγοῦ, φημὶ δὲ τοῦ νόμου, αὐτοῖς προ-
κηρυχθέντα τε καὶ προφητευθέντα, ἵνα δεξάμενοι αὐτοῦ τὴν θεότητα
καὶ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν μάθωσιν οὐ κατάλυσιν νόμου,
ἀλλὰ τὴν τοῦ νόμου πλήρωσιν, ἐπειδὴ οἱ τύποι ἐν τῷ νόμῳ ἦσαν,
ἡ δὲ ἀλήθεια ἐν τῷ εὐαγγελίῳ. ἐκεῖ γὰρ περιτομὴ σαρκική, ὑπηρε- 7
τήσασα χρόνῳ ἕως τῆς μεγάλης περιτομῆς, τουτέστι τοῦ βαπτίσματος
τοῦ περιτέμνοντος ἡμᾶς ἀπὸ ἁμαρτημάτων καὶ σφραγίσαντος ἡμᾶς
εἰς ὄνομα θεοῦ. καὶ ἦν ἐκεῖ σάββατον κατέχον ἡμᾶς εἰς τὸ μέγα 8
σάββατον, τουτέστιν εἰς ἀνάπαυσιν Χριστοῦ, ἵνα ἐν Χριστῷ σαβ|βα- P20
τίσωμεν ἀπὸ ἁμαρτημάτων. καὶ ἦν ἐκεῖ πρόβατον ἄλογον θυόμενον, 9
καθοδηγοῦν ἡμᾶς εἰς τὸ μέγα πρόβατον καὶ ἐπουράνιον ὑπὲρ ἡμῶν
καὶ »ὑπὲρ ὅλου τοῦ κόσμου« τυθέν. καὶ ἦν ἐκεῖ ἀποδεκάτωσις ἀσφα- 10
λιζομένη, ἵνα μὴ λάθῃ ἡμᾶς τὸ ἰῶτα, ἡ δεκάς, τὸ πρῶτον στοιχεῖον
τοῦ Ἰησοῦ ὀνόματος.

4—7 vgl. de mens. ac pond. c. 3, 12ff 22, 23 24, 1; S. 156, 10ff 178, 82ff 179, 21ff Lagarde — **7** die gemeinte Schrift ist nicht erhalten — **7—9** vgl. de mens. ac pond. 4, 15; S. 157, 39ff Lagarde — **13** vgl. Gal. 3, 24 — **15f** vgl. Matth. 5, 17 — **16f** vgl. Joh. 1, 17 — **24** I Joh. 2, 2

G U M do. (bis Z. 9)

1 ⟨τοῦ⟩ Dind. **1f** *ὁ προφήτης* beidemale < do. **3** *Ἔσδρας ᾱ*] *τὸ πρῶτον βιβλίον τοῦ Ἔσδρα* G U | *Ἔσδρας β̄*] *τὸ δεύτερον βιβλίον τοῦ Ἔσδρα* M < U | *Ἐσθήρ* + *Τωβὶτ Ἰουδήθ* M | vor *αὗται* + *καὶ* U do. | *αὗται* + *μὲν* do. **4** vor *ἐκ θεοῦ* + *αἱ* U **4f** *εἴκοσι*² — *εἰσιν* < do. | *εἴκοσι δὲ καὶ δύο* G **5** *ὡς* + *δὲ* do. | vor *στοιχεῖα* + *κ̄β̄* do. **6** *εἰς πέντε λογιζομένας* *] *εἰς πέντε λεγομένας* G U M *καὶ πέντε λέγεσθαι* do. **7** *περὶ τούτου δὲ*] *περὶ οὗ* do. | *ἀλλαχοῦ* do. **7f** *δύο βίβλοι* hinter *παρ᾽ αὐτοῖς* M **9** *Σαλομῶντος* G **10** *αἱ* < U **16** *ἐπειδὴ* + *γὰρ* G **18** *χρόνῳ* = eine Zeitlang **23** *καθοδηγῶν* M *καθοδηγὸν* U **25** *ἡ δεκὰς*] *ἦν δὲ καὶ* M

7. Ἐπεὶ οὖν τῷ τύπῳ ἦχθησαν καὶ οὐκ ἔφθασαν εἰς τελείωσιν **7, 1**
τὴν διὰ νόμου καὶ προφητῶν καὶ ἄλλων καὶ πάσης βίβλου κεκη|ρυγ- Ö60
μένην, ἐξεβλήθησαν ἀπὸ τῆς | γεωργίας καὶ εἰσῆλθεν τὰ ἔθνη, ἐκείνων D301
μηκέτι δυναμένων σωθῆναι, εἰ μή τι ἀνακάμψωσιν εἰς τὴν χάριν
τοῦ εὐαγγελίου. πάντα γὰρ αὐτοῖς τὰ δικαιώματα κατήργηται,
ἑκάστης μαρτυρίας τοῦτο λεγούσης, ὡς ἔχει ἐν πάσῃ γραφῇ. συν- **2**
τόμως δὲ ἀπὸ μιᾶς μαρτυρίας τὸ ἀνυπέρθετον καὶ ἀπαράβατον τῆς
κατ᾽ αὐτῶν ἀποφάσεως ἐροῦμεν, ὡς ἔστιν ἰδεῖν ἀκριβῶς τὴν κατ᾽
αὐτῶν ψῆφον, καθὼς φησιν »ἥτις ψυχὴ οὐκ ἀκούσεται τοῦ προφήτου
ἐκείνου, ἐξολοθρευθήσεται ἀπὸ τῆς φυλῆς αὐτῆς καὶ ἐξ Ἰσραὴλ καὶ
ὑποκάτωθεν τοῦ οὐρανοῦ«· ὡς τοῦ κυρίου μέλλοντος τὰ διὰ τοῦ **3**
νόμου μυστικῶς παραδοθέντα τελείως καὶ σωτηριωδῶς ἐπασφαλί-
ζεσθαι, τὸν δὲ μὴ ἀκούοντα αὐτοῦ καὶ μὴ ἀνεχόμενον μὴ ἔχειν
σωτηρίαν, κἂν τε τὸν νόμον ποιήσῃ, τοῦ νόμου μὴ δυναμένου τελειοῦν
τὸν ἄνθρωπον διὰ τὸ σωματικῶς τὰ ἐν αὐτῷ δικαιώματα γεγράφθαι
καὶ ἐν Χριστῷ ἀληθινῶς πληροῦσθαι.

Ἕως τούτου μοι λελέχθω περὶ τοῦ Ἰουδαϊσμοῦ. καὶ γὰρ ὀλίγων **4**
ἐμνημόνευσα εἰς τὸ μὴ τὸ πᾶν αὐτῶν παρασιωπῆσαι, ἀλλὰ ἐν μέρει
ὑποδεῖξαι. πᾶσι γὰρ ὡς εἰπεῖν πρόδηλός ἐστιν ἡ κατ᾽ αὐτοὺς ὑπόθεσις
καὶ ὁ πρὸς αὐτοὺς ἔλεγχος. ἐδείξαμεν δὲ καὶ τὴν ἀρχήν, πόθεν ἔσχον τὴν **5**
εἰσαγωγήν, ὅτι ἐξ ἀρχῆς ἐκ τῆς τοῦ Ἀβραὰμ τοῦ πατριάρχου θεοσεβείας
⟨Ἀβράμιοι⟩ καλοῦνται ⟨οἱ⟩ θεοσεβεῖς διὰ τὸ εἶναι αὐτοὺς ἐκ σπέρματος
αὐτοῦ, ἀπὸ δὲ τοῦ ἐκγόνου αὐτοῦ, φημὶ δὲ Ἰακὼβ τοῦ καὶ Ἰσραήλ,
Ἰσραηλῖται· ἐξ ἡμερῶν δὲ Δαυὶδ τοῦ βασιλεύσαντος ἐκ φυλῆς Ἰούδα **6**
ἐκαλοῦντο Ἰουδαῖοί τε | καὶ Ἰσραηλῖται πᾶσαι αἱ δώδεκα φυλαὶ καὶ P21
ἕως Σολομῶντος τοῦ υἱοῦ Δαυὶδ καὶ ἕως τοῦ Ῥοβοάμ, υἱοῦ Σολο-
μῶντος, ἐκγόνου δὲ τοῦ Δαυίδ. καὶ κατὰ ἐπιτίμησιν θεοῦ καὶ ἀνα- **7**
ξιότητα τοῦ Ῥοβοὰμ ἐσχίσθησαν αἱ δεκαδύο φυλαὶ καὶ γεγόνασι δύο
ἥμισυ μετὰ τοῦ Ἰούδα τουτέστι μετὰ Ῥοβοὰμ | καὶ ἐννέα ἥμισυ μετὰ D302
Ἱεροβοάμ. ἐκαλοῦντο δὲ αἱ ἐννέα ἥμισυ Ἰσραηλῖταί τε καὶ Ἰσραήλ, **8**

3 vgl. Matth. 21, 41 u. Röm. 11, 25 — **9** vgl. Deut. 18, 19 u. Exod. 12, 15. 19 — **14f** vgl. Hebr. 7, 19; 9, 9f — **20ff** vgl. S. 180, 1 181, 18 — **27** vgl. I Kön. 12 — **30**—S. **194**, **2** vgl. Hieronymus Chronik S. 72, 1ff Helm

G U M

2f *κεκηρυγμένης* G **4** *χαρὰν* M **9** *ἥτις*] *εἴ τις* M **13** *καὶ μὴ*] *μηδὲ* U | **16** vor *Χριστῷ* + *κυρίῳ* G U **17** *τούτων* M **18** *τὸ* (vor *πᾶν*) < G U **22** ⟨*Ἀβράμιοι*⟩ *, vgl. S. 180, 1 | ⟨*οἱ*⟩ * **23** *δὲ*[2] < G **24—25** *τοῦ βασιλεύσαντος — Ἰσραηλῖται πᾶσαι* < M **26** *Σολομῶνος* G U M **28** *δώδεκα* G **30** *ἥμισυ* < U

βασιλευόμεναι ὑπὸ τοῦ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ ἐν Σαμαρείᾳ· αἱ δὲ δύο ἥμισυ εἰς Ἱερουσαλὴμ Ἰουδαῖοι ἐκαλοῦντο, βασιλευόμεναι ὑπὸ Ῥοβοὰμ υἱοῦ Σολομῶντος. καὶ γεγόνασι πάλιν διαδοχαὶ βασιλέων· Ῥοβοὰμ 9 γεννᾷ τὸν Ἀβιά, Ἀβιὰ γεννᾷ τὸν Ἀσά, Ἀσὰ γεννᾷ τὸν Ἰωσαφάτ, Ἰωσαφὰτ γεννᾷ τὸν Ἰωράμ, Ἰωρὰμ γεννᾷ τὸν Ὀχοζίαν, Ὀχοζίας γεννᾷ τὸν Ἰωάς, Ἰωὰς γεννᾷ τὸν Ἀμεσσίαν, Ἀμεσσίας γεννᾷ τὸν Ἀζαρίαν τὸν καλούμενον Ὀζίαν, Ἀζαρίας ὁ καὶ Ὀζίας γεννᾷ τὸν Ἰωάθαμ, Ἰωάθαμ γεννᾷ τὸν Ἄχαζ, Ἄχαζ γεννᾷ τὸν Ἐζεκίαν | · ἐν χρόνοις δὲ Ö62 Ἐζεκίου καὶ Ἄχαζ ᾐχμαλωτεύθησαν φυλαὶ ἐκ τοῦ Ἰσραὴλ εἰς τὰ ὅρια Μήδων. μετὰ τοῦτο Ἐζεκίας γεννᾷ τὸν Μανασσῆ, Μανασσῆς γεννᾷ 10 τὸν Ἀμώς, Ἀμὼς γεννᾷ τὸν Ἰωσίαν, Ἰωσίας γεννᾷ τὸν Ἰεχονίαν, τὸν καὶ Σελοὺμ καλούμενον, ὃς καὶ Ἀμασίας ἐλέγετο. ὁ Ἰεχονίας οὗτος γεννᾷ τὸν Ἰεχονίαν τὸν καλούμενον Σεδεκίαν καὶ Ἰωακείμ.

8. Καὶ μηδεὶς περὶ τούτου ἀμφιβαλλέτω, θαυμαζέτω δὲ μᾶλλον 8, 1 τὴν ἀκριβολογίαν, ὠφελίμως ἐνταῦθα κειμένην τοῖς σπουδαίοις χρηστομαθίας ἕνεκα τὰ ἀκριβῆ τῶν γραφῶν καταλαμβάνειν ἐθέλουσιν, οἵτινες εὐθὺς μετὰ τῆς ὠφελείας εὐγνωμονεῖν ἀναγκασθήσονται, κερδήσαντες τὸ ὑπό τινων ἀμαθῶν ἐν τῷ εὐαγγελίῳ δι' ἀμφιβολίαν ὡς κατὰ διόρθωσιν ἀφανισθὲν ῥητόν. τριχῶς γὰρ ἀριθμήσαντος 2 τοῦ ἁγίου Ματθαίου τὰς γενεάς, ἀπὸ τοῦ Ἀβραὰμ μέχρι τοῦ Δαυὶδ φήσαντος γενεὰς δεκατέσσαρας καὶ ἀπὸ τοῦ Δαυὶδ ἕως τῆς αἰχμαλωσίας γενεὰς δεκατέσσαρας καὶ ἀπὸ τῆς αἰχμαλωσίας ἕως τοῦ Χριστοῦ γενεὰς δεκατέσσαρας, οἱ δύο ἀνώτεροι ἀριθμοὶ σαφεῖς εὑρίσκονται, μηδεμίαν ἔλλειψιν ἀριθμοῦ περιέχοντες· ἕως γὰρ τοῦ Ἰεχονίου περιέ- χουσι τοὺς χρόνους· | ὁ δὲ τρίτος ἀριθμὸς οὐκέτι δεκατεσσάρων 3 D303 γενεῶν εὑρίσκεται κατὰ διαδοχὴν ὀνομάτων ἔχων τὸ πλήρωμα, ἀλλὰ δεκατριῶν, ἐπειδή τινες εὑρόντες Ἰεχονίαν ἅμα Ἰεχονίᾳ ἕτερῳ ἐπὶ τὸ αὐτὸ ἐνόμισαν τὸν ἀριθμὸν δεδισσο|λογημένον. οὐκ ἦν δὲ δισσολογία, 4 P22

3—13 Matth. 1, 7—12 — **11f** vgl. Ancoratus c. 59, 4; S. 70, 13 — **19ff** vgl. Matth. 1, 17

G U M

2 ἥμισυ < U | ἐκαλοῦντο *] καλούμενοι(!) G U M | βασιλευόμενοι M **3** Σολομῶνος U | Ῥοβοὰμ + γὰρ G **4** γεννᾷ nur das erste Mal gesetzt, dann (bis Z. 8) weggelassen U | Ἀσὰ] Ἀσὰφ Ancor. 70, 9 **6** das erste Mal Ἀμμεσσίαν M **7** ὁ < U **8** Ἀχαὰζ beidemale U **11** Ἀμὼν beidemale G nur das zweite Mal U **15** κειμένης M **16** χρηστομαθείας G | γραφῶν, vgl. Ancor. c. 4, 1; S. 9, 20 καὶ ὅρα μοι τὴν τῶν γραφῶν ἀκρίβειαν κτέ.] ἀντιγράφων U **17** εὐθὺ M **18** δι' *] εἰς G U M **20** ἄχρι G U **21** ἕως + ἄχρι G **24** ἔλληψιν U | Ἰεχονία U **26** τὸ πλήρωμα ἔχων G U **27** εὑρόντες hinter τὸ αὐτὸ G U **28** δεδισσολογημένον + εἶναι U

ἀλλὰ ἀριθμὸς σαφής. εἰς ὄνομα γὰρ πατρὸς ὁ παῖς ἐπεκέκλητο Ἰεχονίας τοῦ Ἰεχονίου. ἀφελόμενοι οὖν τινες ὡς κατὰ φιλοκαλίαν τὸ ἓν ὄνομα, ἀγνοίᾳ φερόμενοι, ἐλλιπῆ ἐποιήσαντο τῆς ὑποθέσεως κατὰ τὴν ὁμάδα τοῦ ἀριθμοῦ τῶν δεκατεσσάρων ὀνομάτων τὴν ὑπόσχεσιν καὶ τὸ πολύπειρον τῆς σχέσεως ἠφάνισαν.

Γίνεται γοῦν ἐντεῦθεν ἀπὸ τοῦ χρόνου Ἰεχονίου ἡ αἰχμαλωσία ἡ εἰς Βαβυλῶνα. ἐν τούτῳ τῷ χρόνῳ τῆς αἰχμαλωσίας προσῆλθον οἱ πρεσβύτεροι τῷ Ναβουχοδονόσορ ἐν Βαβυλῶνι, παρακαλοῦντες ἀποσταλῆναί τινας τῶν ἰδίων αὐτοῦ ἐγκαθέτους εἰς τὴν Ἰσραηλῖτιν γῆν, ὅπως μὴ ἡ χώρα ὑλομανήσασα ἐρημωθείη. καὶ ἐδέξατο τὴν παρ' αὐτῶν παράκλησιν (οὐ γὰρ ἀνεβάλλετο) καὶ ἀποστέλλει μὲν τῶν ἰδίων τέσσαρα γένη, τούς τε Κουθαίους καλουμένους καὶ Κουδαίους, Σεπφαρουραίους καὶ Ἀναγωγαναίους, οἵτινες ἅμα τοῖς αὐτῶν εἰδώλοις ἀναβάντες κατῴκουν τὸ τηνικαῦτα τὴν Σαμάρειαν, ταύτην ἐπιλεξάμενοι ἑαυτοῖς τὴν γῆν διὰ τὸ εἶναι πιονά τε καὶ γονιμωτάτην. χρόνῳ δὲ οὗτοι ὑπὸ τῶν θηρίων διασπαραττόμενοι, λεόντων τε καὶ παρδάλεων καὶ ἄρκων καὶ τῶν ἄλλων πονηρῶν θηρίων, ἀποστέλλουσιν εἰς Βαβυλῶνα, παρακαλοῦντες καὶ ὑπερβολῇ θαυμάζοντες τὴν | Ö64
⟨τῶν⟩ κατοικησάντων τὸ πρὶν ἐγκαθέτων διαγωγήν, πῶς ἠδύναντο ὑποστῆναι τὴν τῶν θηρῶν ἁρπαγήν τε καὶ βίαν. ὁ δὲ βασιλεὺς μεταστειλάμενος τοὺς πρεσβυτέρους ἤρετο τὴν αὐτοῖς γενομένην ἀγωγὴν ⟨ἐπὶ⟩ τῆς ἐν τῇ Ἰουδαίᾳ καθέξεως, πῶς τε διελάνθανον τὴν τῶν θηρῶν ἁρπαγήν, τοσαύτης θηριοβολίας | καὶ λύμης κατὰ τὴν D304
γῆν ἐκείνην ὑπαρχούσης. οἱ δὲ τὴν τοῦ θεοῦ νομοθεσίαν αὐτῷ ἐδείκνυον καὶ μετὰ συνέσεως αὐτῷ ἀπεκάλυπτον τῆς εὐλόγου γνώμης

5 6 7 8 9 10 11 12 13 14 15 16 17 18 19 20 21 22 23 24 25

7—S. **196, 15** z. T. wörtlich wiederholt de duod. gemmis 92ff; CSEL 35II S. 769, 27ff Günther (Anastasius Sin. quaestio 45; Migne 89, 596 Dff) — **11ff** vgl. II Kön. 17, 24ff — **12f** vgl. auch die sog. Kirchengeschichte des Zacharias Rhetor I 3; S. * 11, 27 Ahrens-Krüger (Zacharias schöpft jedoch nicht aus dem Panarion, sondern aus de duod. gemm.)

G U (bis Z. 3 *ὄνομα*; von da an V) M **7**—S. **196, 10** verkürzt u. frei wiedergegeben bei Nicetas Chon. thes. orth. lib. I c. 23

1 *ἐκέκλητο* M **3—5** *ἐλλιπῆ ἐποιήσαντο — τῆς ὑποθέσεως . . . τὴν ὑπόσχεσιν*] *ἐλλιπὲς ἐποίησαν τὸ τῆς ὑποθέσεως ⟨καὶ⟩ . . . τὴν ὑπόσχεσιν* Dind. (Verschlechterung) **6** *οὖν* M | *ἡ* < M **9** *ἐγκαθέτους*] *habitatores* in de duod. gemmis a. a. O. 770, 3; < Nic. Chon. | *Ἰσραηλῖτ///ιν*, *ι* aus *η* hergestellt V u. M **11** *ἀνεβάλετο* V **13** *Σεπφαρουραίους*] *Seppharaeos* de duod. gemm. a. a. O. S. 770, 7 | *Ἀναγωγαναίους* V u. de duod. gemm.] *Ἀναγωγαναίοις* M **19** *⟨τῶν⟩ . . . ἐγκαθέτων* *] *ἐγκάθεστον* V *ἐγκάθετον* M **21** *εἴρετο* V M **22** *⟨ἐπὶ⟩* * | *καθέσεως*? *

τὰ καθεξῆς, φήσαντες μὴ δύνασθαι ἐκεῖσε ἔθνος καθέζεσθαι, εἰ μή τι ἂν τὸν νόμον τοῦ θεοῦ τοῦ οὐρανοῦ τὸν διὰ Μωυσέως δοθέντα ἐπιτελέσειεν· εἶναι γὰρ τὸν θεὸν ὑπερασπιστὴν τῆς γῆς, μὴ βούλεσθαι δὲ παραβάσεις ἐν αὐτῇ παρὰ ἐθνῶν ἀλλοφύλων γίνεσθαι εἰδωλολατρείας καὶ τῶν ἄλλων. ὁ δὲ ἐπιμελόμενος καὶ πειθόμενος τῇ τῶν 10
ἀναδιδαξάντων ἀληθεστάτῃ ἑρμηνείᾳ ἀντίγραφον τοῦ νόμου ἤτησεν.
οἱ δὲ ἀφθόνως δεδωκότες μετὰ καὶ τοῦ | νόμου Ἔσδραν τινὰ ἱερέα P23
ἀποστέλλουσιν παιδευτὴν τοῦ νόμου ἀπὸ Βαβυλωνίας πρὸς τὸ παιδεῦσαι τοὺς ἐν τῇ Σαμαρείᾳ καθεσθέντας Ἀσσυρίους (τοὺς προδεδηλωμένους Κουθαίους καὶ ⟨τοὺς⟩ ἄλλους) τὸν νόμον τὸν Μωυσέως.
γίνεται δὲ τοῦτο ἐν τῷ τριακοστῷ ἔτει πλείω ἐλάσσω τῆς τοῦ Ἰσραὴλ 11
καὶ Ἱερουσαλὴμ αἰχμαλωσίας. ἐπαίδευε τοίνυν Ἔσδρας καὶ οἱ μετ᾽ αὐτὸν τὸ γένος τὸ ἐν τῇ Σαμαρείᾳ καὶ ἐκλήθησαν Σαμαρεῖται οἱ τὸν νόμον διὰ τοῦ Ἔσδρα τοῦ ἀπὸ Βαβυλῶνος ἥκοντος ὑποδεξάμενοι. διῆλθεν δὲ χρόνος ἐτῶν τεσσαράκοντα ἄλλων καὶ ἡ αἰχμαλωσία ἀνέθη καὶ ἀνῆλθεν Ἰσραὴλ ἀπὸ τῆς Βαβυλῶνος.

9. Ἔπεισι δὲ θαυμάζειν πῶς συμβέβηκε κατὰ τὰ τέσσαρα ἔθνη 9, 1
καὶ τέσσαρας αἱρέσεις ἐν αὐτῷ τῷ ἔθνει γενέσθαι, φημὶ δὲ πρῶτον Ἐσσηνῶν δεύτερον Γοροθηνῶν τρίτον Σεβουαίων τέταρτον Δοσιθέων. ἐντεῦθεν ἀρχή μοι γίνεται τῆς τοῦ ἐπαγγέλματος κατὰ αἱρέσεων πραγματείας καὶ τὸ αἴτιον ὅπως * διασαφήσω ἐν βραχεῖ [ἐρῶ]. τί δέ ἐστιν ἄλλο ἢ ὅτι ⟨ὡς⟩ ἀπὸ τῆς τῶν γλωττῶν πολυφόρου 2
ἀλλοιοφωνίας φυλαὶ γεγόνασι, κατὰ δὲ ἑκάστην φυλήν τε καὶ πατριαρχίαν ἔθνη διάφορα προέστη, πᾶν δὲ ἔθνος ἑαυτῷ προεστήσατο

7 ff wie sich aus de duod. gemm. 94; CSEL 35II 770, 26 Günther ergibt, setzt Epiphanius diesen Esra gleich mit dem Esra 7, 1 genannten; er unterscheidet ihn von einem andern *qui vocabatur Salathihel, cuius erat pater Zorobabel, qui Zorobabel erat filius Jechoniae* (zu letzterem vgl. Matth. 1, 12) — Ebenda Genaueres über die Schriftform, in der Esra den Samaritanern den Pentateuch überlieferte

V M

1 ἔθνος ἐκεῖ M **3** ἐπιτελέσαιεν V | ὑπερασπίζοντα M **7** ἱερέα aus ἱερέαν V corr **8** Βαβυλῶνος M **10** Κωθαίους M | ⟨τοὺς⟩ * **13** τὸ¹ < M **14** διαδεξάμενοι V **16** ἀπῆλθεν M | τῆς < M **17** ἔπεστι V | κατὰ < V **18** τέσσαρες V **19 f** Δωσιθέων V M **21** * ⟨ἐγένετο⟩ * **22** [ἐρῶ] * | ⟨ὡς⟩ *, vgl. οὕτω S. 197, 5 | πολυφώνου? * **23 f** πατριαρχείαν V corr **24** προέστη] lies wohl κατέστη *

βασιλέα εἰς κεφαλήν, | συμβέβηκε δὲ ἀπὸ τούτου πολέμων εἶναι D305
ἔνστασιν καὶ συμπληγάδας ἐθνῶν ἔθνεσι συρρηγνυμένων, ἑκάστου
βιαζομένου τὸ ἴδιον θέλημα προτιμᾶσθαι, εἰς ἑαυτὸν δὲ τὰ τῶν πέλας
ἀποφέρεσθαι διὰ τὴν ἐν τῷ βίῳ ἐν ἡμῖν πᾶσιν ἀκόρεστον πλεονεξίαν,
— *οὕτω καὶ ἐν τούτῳ τῷ καιρῷ τῷ προδεδηλωμένῳ μεταπεσούσης τῆς* **3**
μιᾶς τοῦ Ἰσραὴλ θρησκείας καὶ τῆς κατὰ τὸν νόμον γραφῆς εἰς ἕτερα
*γένη *, | (φημὶ δὲ εἰς Ἀσσυρίους ἐξ ὧν Σαμαρεῖται οἱ ἐγκάθετοι), συμ-* Ö66
βέβηκε καὶ τὴν γνώμην διχονοηθῆναι. καὶ λοιπὸν ὥρμησεν ἡ πλάνη **4**
καὶ ἡ διχόνοια ὑποσπείρειν ἀπὸ τῆς μιᾶς θεοσεβείας εἰς πολλὰς
παραπεποιημένας γνώμας, καθὼς ἑκάστῳ ἔδοξε καὶ ᾠήθη τῷ γράμ-
ματι ἐνασκεῖσθαι καὶ φράζειν ἕκαστος κατὰ τὸ ἴδιον θέλημα. | P24

Κατὰ Σαμαρειτῶν, ἀπὸ Ἑλληνισμοῦ αἱρέσεως ξ̄, τῆς δὲ ἀκολουθίας θ̄.

1. *Σαμαρεῖται μὲν οὖν ἀρχὴ τῶν αἱρέσεων ἀπὸ γραφῆς θεϊκῆς* **1, 1**
ὁρμωμένων μετὰ τὰς προειρημένας ἄνευ γραφῆς θεϊκῆς Ἑλληνικὰς
αἱρέσεις ἀπ᾽ ἰδίων λογισμῶν ἀνθρώποις † ἐμβροντηθείσας ἀπὸ δια-
νοίας. πᾶν τοίνυν τὸ γένος Σαμαρειτῶν ἐκαλοῦντο. ἑρμηνεύονται **2**
δὲ Σαμαρεῖται φύλακες διὰ τὸ ἐν τάξει φυλάκων τετάχθαι ἐν τῇ γῇ
ἢ ἀπὸ τοῦ φύλακας αὐτοὺς εἶναι τῆς κατὰ τὸν νόμον Μωυσέως
διατάξεως. ἐκαλεῖτο δὲ καὶ τὸ ὄρος ἔνθα ἐκαθέσθησαν Σομόρων, **3**
ἅμα δὲ καὶ Σωμήρ, ἀπὸ ἀρχαίου τινὸς Σομόρων υἱοῦ Σωμήρ, οὕτω
τοῦ ἀνδρὸς καλουμένου. ἦν δὲ οὗτος ὁ Σομόρων υἱὸς ἑνὸς ἀνδρὸς **4**

16—S. **198, 8** vgl. de duod. gemmis 97 CSEL 35 II S. 771, 15ff Günther **16f** aus Eusebius, vgl. Hieronymus Chronik S. 88, 25 Helm — **19ff** I Kön. 16, 24; vgl. de duod. gemmis 91ff CSEL 35 II S. 769, 23ff Günther (Anastasius Sin. quaest. 45; Migne 89, 596 Dff)

V (bis *ἀπο* Z. 4; von da an G U) M

1 *πολέμων* aus *πόλεμον* V corr **2** vor *ἔθνεσι* + *ἐν* V **5f** *τοῦ Ἰσραὴλ τῆς μιᾶς* U **7** * etwa ⟨*μετενεχθείσης*⟩ * **12** *κατὰ Σαμαρειτῶν αἱρέσεις ε̄, τῆς δὲ ἀκολουθίας θ̄* G M *κατὰ Σαμαρειτῶν, ἑβδόμη αἵρεσις ἀπὸ τοῦ Ἑλληνισμοῦ, ἐνάτη δὲ τῇ ἀκολουθία* U **13** *ἀρχὴ*] *ἄχρι* U **14** *ὁρμωμένων* *] *ὁρμώμενοι* G U M | *ἄνευ γραφῆς θεϊκῆς* < U **15** † lies ⟨*ἐφευρεθείσας*⟩ *ἐμβροντηθείσης ἀπὸ διανοίας* * **15f** *διανοίας* + *αὐτῶν ἐξεῦρον* G **16** *ἐκαλεῖτο* G U | *ἑρμηνεύεται* G **19** hinter *τὸ ὄρος* vielleicht + ⟨*καὶ τὰ ὁμοροῦντα*⟩ *, nach Anast. Sin. = de duod. gemmis a. a. O. 771, 19 *tam mons quam omnia, quae vicina esse videbantur* | *Σωμόρων* U **20** *Σωμόρων* U **21** *Σωμὴρ* (unklar, ob *Σωμὴρ* oder *Σωμόρων* gemeint) U

τῶν ἀπὸ γένους τῶν Φερεζαίων καὶ Γεργεσαίων, οἳ κατῴκουν τὸ τηνικαῦτα τὴν γῆν, ἐκ διαδοχῆς ὄντες παῖδες τοῦ Χαναὰν τοῦ τὴν γῆν ταύτην ἁρπάξαντος τὴν νῦν Ἰουδαίαν ἢ Σαμάρειαν καλουμένην, οὖσαν τῶν υἱῶν | Σήμ, μὴ οὖσαν δὲ αὐτῶν ἰδίαν διὰ τὸ αὐτὸν τὸν D306
5 Χαναὰν εἶναι υἱὸν τοῦ Χὰμ πατραδέλφου τοῦ Σήμ. καὶ συμβέβηκε 4
τὸ ὄνομα ἐκ διαφόρων προφάσεων καλεῖσθαι Σαμαρείτας ἔκ τε τοῦ Σωμὴρ ἔκ τε τοῦ Σομόρων ἔκ τε τοῦ φυλάττειν τὴν γῆν ἔκ τε τοῦ φυλάττειν τὰ παιδεύματα τοῦ νόμου.

2. Διαφέρονται δὲ οὗτοι Ἰουδαίοις κατὰ τοῦτο πρῶτον, ὅτι 2, 1
10 οὐκ ἐδόθη αὐτοῖς προφητῶν τῶν μετὰ Μωυσέα γραφὴ ἢ μόνον ἡ πεντάτευχος ἡ διὰ Μωυσέως τῷ σπέρματι Ἰσραὴλ ἐν τῇ ἐξόδῳ τῆς ἀπ' Αἰγύπτου πορείας δοθεῖσα, φημὶ δὲ Γένεσις Ἔξοδος Λευιτικὸν Ἀριθμοὶ Δευτερονόμιον· ἐν δὲ τῇ Ἑβραΐδι διαλέκτῳ οὕτως καλοῦνται, Βρεσὶθ Ἐλλεσιμὼθ Οὐϊκρὰ Οὐιδαβὴρ Ἐλλεαδδεβαρίν. καὶ ἔσπαρ- 2
15 ται μὲν ἐν ταύταις ταῖς πέντε βίβλοις ἀναστάσεως νεκρῶν τὸ σημεῖον, Ö68
οὐ μέντοι γε τηλαυγῶς κεκήρυκται, καὶ ἔσπαρται ἐν αὐταῖς περὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ καὶ περὶ τοῦ ἁγίου πνεύματος καὶ κατὰ εἰδώλων· τὸ δὲ τηλαυγέστερον ἐν αὐταῖς ⟨τὸ⟩ περὶ μοναρχίας ἔχει τὴν εἰσαγωγήν, ἐν δὲ τῇ μοναρχίᾳ πνευματικῶς ἡ τριὰς καταγγελλομένη ἐστίν.
20 οἱ δὲ δεξάμενοι τὸν νόμον εἰς τὸ μετατεθῆναι τῆς εἰδωλολατρείας 3
καὶ τὸν ἕνα θεὸν ἐπιγνῶναι ἐσπουδάσθησαν, οἷς οὐ γέγονεν ἐπιμέλειά τις τὸ ἀκριβέστερον | ἐπιγνῶναι. σφαλέντες δὲ οἱ τοιοῦτοι καὶ μὴ P25
τηλαυγῶς τὸ πᾶν μέρος τῆς πίστεως καὶ τῆς ἡμετέρας ζωῆς τὸ ἀκρίβασμα κατειληφότες ἠγνόησαν μὲν νεκρῶν ἀνάστασιν καὶ ἀπι-

2f vgl. lib. Jub. 10, 28ff Littmann, dazu Ancoratus c. 113, 7; S. 141, 3ff u. Panarion h. 66, 83 — **6f** vgl. außer de duod. gemmis 97 auch 93; CSEL 35II S. 770, 10f Günther — **13f** vgl. de mens. ac pond. 23, 1ff; S. 178, 87ff Lagarde (Doctr. patr. S. 293, 24f Diekamp)

G U M

1 κατῴκουν τὸ] κατοικοῦντο M **2** ὄντος M | παιδὸς G M **3** ἁρπάζαντος M **4** δὲ < U M | αὐτῶν] αὐτοῦ G **7** Σομὴρ M | Σωμόρων U **7f** τὴν γῆν — φυλάττειν < G **11** ἡ¹ + δοθεῖσα U vgl. Z. 12 | ἡ² < U **12** δοθεῖσα < U | zwischen den einzelnen Namen + καὶ G U **14** βρησὶθ G βρησὶθ U | ἐλλεσημώθ G ἐλλεσιμώ M | οὐϊκρὰ *] δωικαρά G U M | ἐλλεδδαεβαρίν G U ἐλλεδδαεβαρεῖν M **16** γε < M | τοῦ (vor μονογενοῦς) < G U **18** ⟨τὸ⟩ * | περὶ < G U **18f** συναγωγήν M **19** ἔστιν καταγγελλομένη G U **22** τις < U | τὸ < G | ἀκριβὲς M

στοῦσι, πνεῦμα δὲ ἅγιον οὐ παραδέχονται· καὶ γὰρ ἠγνόησαν. καὶ 4
αὕτη ἡ αἵρεσις ἀθετοῦσα μὲν νεκρῶν ἀνάστασιν, ἀπωθουμένη δὲ
εἰδωλολατρείαν, ἐν ἑαυτῇ δὲ εἰδωλολατροῦσα κατ᾽ ἄγνοιαν διὰ τὸ
ἀποκεκρύφθαι τὰ εἴδωλα τῶν τεσσάρων ἐθνῶν ἐν τῷ ὄρει τῷ παρ᾽
αὐτοῖς Γαριζὶν σεσυκοφαντημένως καλουμένῳ. τῷ γὰρ βουλομένῳ 5
ἀκριβῶς περὶ τοῦ ὄρους Γαριζὶν ἐρευνᾶσθαι | ἰστέον ὅτι πρὸς τῇ D307
Ἰεριχῷ κεῖνται τὰ δύο ὄρη, τό τε τοῦ Γαριζὶν καὶ τὸ τοῦ Γεβάλ,
πέραν τοῦ Ἰορδάνου πρὸς τῇ ἀνατολῇ τῆς Ἰεριχώ, ὡς ἔχει τὸ Δευ-
τερονόμιον καὶ Ἰησοῦ τοῦ Ναυῆ ἡ βίβλος. εἰδωλολατροῦσιν οὖν 6
ἀγνοοῦντες ἐκ τοῦ πανταχόθεν προσέχειν πρὸς τὸ ὄρος ἐν τῷ αὐτοὺς
εὔχεσθαι * δῆθεν ὅτι ἡγίασται. ἀδύνατον γὰρ τὴν γραφὴν ψεύσασθαι
φάσκουσαν »ἔμειναν ποιοῦντες τὸν νόμον καὶ προσκυνοῦντες τὰ
αὐτῶν εἴδωλα ἕως τῆς σήμερον ἡμέρας«, ὡς ἐμφέρεται ἐν τῇ τετάρτῃ
τῶν Βασιλειῶν.

3. Ἐλέγχονται δὲ οὗτοι πανταχόθεν περὶ νεκρῶν ἀναστάσεως· 3, 1
πρῶτον ἀπὸ τοῦ Ἄβελ, ὅτι μετὰ τὸ ἀποθανεῖν τὸ αἷμα προσδιαλέ-
γεται τῷ δεσπότῃ. αἷμα δὲ οὐ ψυχὴ τυγχάνει, ἀλλ᾽ ἐν αἵματι ἡ
ψυχή, καὶ οὐκ εἶπεν »ἡ ψυχὴ βοᾷ πρός με«, ἀλλὰ »τὸ αἷμα βοᾷ πρός
με« δεικνὺς ὅτι ἔστιν ἐλπὶς ἀναστάσεως τῶν σωμάτων· ἀλλὰ καὶ 2
Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον καὶ οὐχ ηὑρίσκετο· ἀλλὰ καὶ
Σάρρα μετὰ τὸ νεκρωθῆναι αὐτῆς τὴν μήτραν καὶ τὴν πηγὴν τὴν
κατ᾽ ἐθισμὸν ξηρανθῆναι αὖθις ἀναζωογονουμένη εἰς καταβολὴν
σπέρματος καὶ ἡ πρεσβῦτις κυΐσκουσα τέκνον κατ᾽ ἐπαγγελίαν διὰ
τὴν ἐλπίδα τῆς ἀναστάσεως· οὐ μὴν δὲ ἀλλὰ καὶ Ἰακὼβ ἐπιμελόμενος 3
τῶν ἰδίων ὀστέων ὡς οὐ περὶ ἀπολλυμένων ἐνετέλλετο· οὐ μόνον

4 zu *ἀποκεκρύφθαι* vgl. de duod. gemmis 99f; CSEL 35II S. 772, 3ff Günther (Anast. Sin. quaest. 45; Migne 89, 597 A/B) — **5** zu *σεσυκοφαντημένως* u. dem Folgenden vgl. Eusebius *Onomasticon* S. 64, 18ff Klostermann u. de duod. gemmis 89. 90. 101. 104; CSEL 35II S. 769, 3ff. 14ff 772, 23ff 773, 19ff Günther — **8** vgl. Deut. 11, 29f — **9** vgl. Jos. 9, 6 — zu *εἰδωλολατροῦσι* vgl. de duod. gemmis 100; CSEL 35II S. 772, 8ff Günther — **12** vgl. II Kön. 17, 32—34 — **15**—S. **200, 12** vgl. Ancoratus c. 94, 3—c. 97; S. 115, 17ff — **16** vgl. Gen. 4, 10 — **19f** vgl. Gen. 5, 24 Hebr. 11, 5 — **20f** vgl. Gen. 18, 11 Röm. 4, 19 — **24** vgl. Gen. 49, 29 Hebr. 11, 22

G U M

3 *αὐτῇ* U | *εἰδωλολατροῦσα* + ⟨*διατελεῖ*⟩? * **4f** *παρ᾽ αὐτῆς* M *παρὰ τοῖς* U **5** *Γαριζεὶν* U **6** *Χαριζεὶν* U **7** *Χαριζεὶν* U | *τὸ*² < G **11** * ⟨*οἰόμενοι*⟩ * **15** *αὐτοὶ* U **17** *ἀλλὰ* G **18f** *ἀλλὰ τὸ — πρός με* < U M **22** *ἀναζωογουμένη* G *ἀναζωογονουμένην* M **23** *πρεσβύτης* U

δὲ ἀλλὰ καὶ Ἰωσὴφ τῇ αὐτῇ ἀκολουθίᾳ ἐντελλόμενος τῆς ἀναστάσεως ὑπέφαινε τὸ εἶδος. οὐ μὴν δὲ ἀλλὰ καὶ ἡ ῥάβδος τοῦ Ἀαρὼν ἡ **4** βλαστήσασα ξηρὰ οὖσα αὖθις καρπὸν ἤνεγκεν εἰς ἐλπίδα ζωῆς, τὰ νεκρὰ ἡμῶν σώματα ἀναστήσεσθαι σημαίνουσα καὶ εἰς ἀνάστασιν φέρουσα· καὶ τοῦ Μωυσέως ἡ ῥάβδος | ὁμοίως ἡ ξυλίνη κατὰ θεοῦ Ö70
βούλημα ἐμψυχουμένη καὶ ὄφις γινομένη ἀνάστασιν ἐδήλου. | ἀλλὰ καὶ **5** P26
Μωυσῆς εὐλογῶν τοὺς περὶ Ῥουβὴν λέγει »ζήτω Ῥουβὴν καὶ μὴ ἀποθανέτω«, τὸν ἀπὸ πάλαι τελευτήσαντα *, ἵνα δείξῃ ζωὴν | εἶναι D30S
μετὰ θάνατον, κρίσιν δὲ δευτέρου θανάτου εἰς καταδίκην. διὸ δύο εὐλογίας αὐτῷ ἐπιτίθησι, τὸ »ζήτω« λέγων ἐν τῇ ἀναστάσει καὶ »μὴ ἀποθανέτω« ἐν τῇ κρίσει, οὐ θάνατον τὸν διὰ σώματος ἀπαλλαγῆς λέγων, ἀλλὰ τὸν διὰ καταδίκης. ἀρκέσει γοῦν τὰ ὀλίγα πρὸς ἀντί- **6**
θεσιν τούτων. ἔχουσι δὲ καὶ ἄλλα τινὰ ἀνοίας ἔμπλεα, οὕρῳ κλυζόμενοι, ἐπὰν ἀπὸ ξένης ἔλθωσι ⟨ὡς⟩ μεμιασμένοι δῆθεν· ὕδατι σὺν ἱματίοις βαπτιζόμενοι, ἐπὰν ἅψωνται ἑτέρου τῶν ἀλλοεθνῶν. μιασμὸν γὰρ ἡγοῦνται τό τινος ἅψασθαι ἤτοι θιγεῖν ἄλλου τινὸς ἀνθρώπου ἀπὸ ἄλλου δόγματος. πολλὴ δὲ ἡ τούτων φρενοβλάβεια.

4. Πῶς δὲ εὐθυέλεγκτος ἡ αὐτῶν ἄνοια γίνεται, ἐπίστησον τὸν **4, 1**
νοῦν, ὦ θαυμασιώτατε, καὶ εἴσῃ. νεκρὸν μὲν γὰρ εὐθέως βδελύττονται, αὐτοὶ νεκροὶ ὄντες τοῖς ἔργοις. μαρτυροῦσι γὰρ οὐ μία μαρτυρία, ἀλλὰ πολλαὶ τῷ μὴ εἶναι τὸν νεκρὸν ἐβδελυγμένον, ἀλλ' ὅτι αἰνιγματωδῶς ὁ νόμος ἔλεγεν. οὐκέτι γὰρ δύο ἢ τρεῖς μαρτυρίαι εἰς **2**
τοῦτο ἡμῖν ἐπιμαρτυροῦσιν, ἀλλὰ μυριάδες ἑξήκοντα δύο αἱ ἠριθμημέναι ἐν τῇ ἐρήμῳ * καὶ ἄλλαι τοσαῦται καὶ ἐπέκεινα καὶ ἔτι πολὺ πλείους αἱ τῇ σορῷ τοῦ Ἰωσὴφ ἐπακολουθοῦσαι τῇ διὰ τεσσαράκοντα

1 vgl. Gen. 50, 25 Hebr. 11, 22 — **2** vgl. Num. 17, 8 — **5** vgl. Exod. 4, 3 — **7** Deut. 32, 6 — **8** ἀπὸ πάλαι Ancor. c. 97, 5; S. 118, 12 genauer: vor 126 Jahren — **14 f** zu σὺν ἱματίοις vgl. Hippolyt refut. IX 15, 3; S. 253, 26 Wendland u. Panarion h. 30, 2, 4 — zu der Reinigung nach der Berührung mit Fremden Montgomery, the Samaritans S. 319 — **20** vgl. Hebr. 6, 1 — **23 f** vgl. Num. 1, 46 — **24 f** vgl. Exod. 13, 19 Jos. 24, 32

G U M

2 δὲ] δὴ M | τοῦ < M **4** σώματα ἡμῶν G U | καὶ < U M | ἀνάστασιν + δὲ U **5** ἡ τοῦ Μωυσέως ῥάβδος U **6** ἐψυχουμένη G ἐψυχοῦτο U **7** Ῥουβὴμ[1] U **8** * ⟨σημαίνων⟩ * **10** ἑαυτῷ G **11** τῇ (vor κρίσει) < U **12** ὀλίγα + ⟨ταῦτα⟩? * **13** ἔμπλεα] ἔθη παλαιὰ U **14** ⟨ὡς⟩ * | μεμιαμμένοι U **16** ἤτοι] ἢ τοῦ M | θίγειν G U M **18** δὲ < G M | εὐθὺς ἔλεγκτος M **19** ἴση M | γὰρ < M **21** τῷ] τὸ U M **22** μαρτυρίαι] μάρτυρες? * **23 f** αἱ ἠριθμημέναι] τὸν ἀριθμὸν U **24** * ergänze etwa ⟨καὶ θάψασαι τὸν λαὸν τὸν ἐπιθυμητὴν ἐν τῇ ἐρήμῳ * | ἔτι] ἐπὶ M **25** αἱ] ἐν M | τῇ[1]] τῶ U | ἐπακολουθοῦσαι *] ἐπιμαρτυροῦσαι G U M | τῇ[2]] < M

ἐτῶν βασταζομένη ἐν ὅλῃ τῇ παρεμβολῇ καὶ μὴ βδελυττομένη μήτε μολυνούσῃ. ἔλεγε δὲ τὰ ἀληθῆ ὁ νόμος, ὅτι »ἐάν τις ἅψηται τοῦ 3
νεκροῦ, μένει βέβηλος ἕως ἑσπέρας καὶ λούσεται ὕδατι καὶ καθαρισθήσεται«. ἦν δὲ τοῦτο αἰνιττόμενος εἰς τὴν τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ νέκρωσιν κατὰ τὸ ἔνσαρκον αὐτοῦ πάθος. ἀπὸ γὰρ 4
τοῦ »τοῦ« ἄρθρου τοὔνομα τῆς διακρίσεως ἔστιν σημᾶναι. ὅπου γὰρ τὸ ἄρθρον κεῖται, ἐπὶ ἑνί τινι ὡρισμένῳ καὶ διαφανεστάτῳ ἐστὶν ἡ βεβαίωσις διὰ τὸ ἄρθρον· ἄνευ δὲ τοῦ ἄρθρου ἐπὶ ἑνός του τυχόντος ἀορίστως ἐστὶ λεπτέον· ὡς οἷον εἰπεῖν ἐὰν εἴπωμεν βασιλεύς, 5
ὄνομα μὲν ἐσημάναμεν, ἀλλ᾽ οὐ | τηλαυγῶς τὸν ὁριζόμενον ἐδείξαμεν· D309
βασιλέα γὰρ λέγομεν καὶ Περσῶν | καὶ Μήδων καὶ Ἐλαμιτῶν. ἐὰν P27
δὲ μετὰ προσθήκης τοῦ ἄρθρου εἴπωμεν ὁ βασιλεύς, ἀναμφίβολόν ἐστι τὸ σημαινόμενον· ὁ γὰρ βασιλεὺς ὁ ζητούμενος ἢ ὁ λεγόμενος ἢ ὁ γινωσκόμενος ἢ ὁ τοῦ τινος βασιλεύων διὰ τοῦ ἄρθρου ὑποδείκνυται. καὶ ἐὰν εἴπωμεν θεὸς ἄνευ τοῦ ἄρ|θρου, τὸν τυχόντα εἴπαμεν 6 Ö72
θεὸν τῶν ἐθνῶν ἢ θεὸν τὸν ὄντα. ἐὰν δὲ εἴπωμεν ὁ θεός, δῆλον ὡς ἀπὸ τοῦ »ὁ« ἄρθρου τὸν ὄντα σημαίνομεν, ἀληθῆ τε καὶ γινωσκόμενον, ὡς καὶ ἄνθρωπος καὶ ὁ ἄνθρωπος. καὶ εἰ μὲν ἔλεγεν ὁ 7
νόμος »ἐὰν ἅψησθε νεκροῦ«, κατὰ πάντων ἐξεφέρετο ἡ ψῆφος καὶ ἁπλῶς ⟨ἐπὶ⟩ παντὸς νεκροῦ ἦν ἐπικειμένη ἡ τοῦ ζητήματος λέξις· ὁπότε δὲ λέγει »ἐὰν ἅψηταί τις τοῦ νεκροῦ«, ἐπὶ ἕνα τινὰ φέρει τὴν ἀγωγήν, φημὶ δὲ ἐπὶ τὸν κύριον, ὡς ἄνω μοι προδεδήλωται. ἔλεγε 8
δὲ τοῦτο αἰνιγματωδῶς ἄρα ὁ νόμος διὰ τοὺς μέλλοντας χεῖρας ἐπιβάλλειν ἐπὶ τὸν Χριστὸν καὶ σταυρῷ παραδιδόναι, ὅτι χρείαν εἶχον οὗτοι καθαρισμοῦ, ἕως δύνῃ αὐτοῖς ἡ ἡμέρα καὶ ἀνατείλῃ αὐτοῖς ἄλλο φῶς διὰ τοῦ βαπτίσματος τοῦ ὕδατος, τοῦ »λουτροῦ τῆς παλιγγενεσίας«· ὡς καὶ ἐπιμαρτυρεῖ μοι ἐνταῦθα Πέτρος λέγων τοῖς 9
Ἰσραηλίταις τοῖς ἐν Ἱεροσολύμοις τοῖς λέγουσιν αὐτῷ »τί ποιήσωμεν,

2 vgl. Lev. 11, 24f — **26** Tit. 3, 5 — **28** Act. 2, 37

G U M

2 *τἀληθῆ* U | *τοῦ* < U **3** *μένη* G *μείνη* M **4** *ἦν*] lies wohl *ἔλεγε* * **6** ein *τοῦ* < G | *τοὔνομα τῆς διακρίσεως*] *τὴν διάκρισιν τοῦ ὀνόματος* U | vor *ἔστι* + ⟨*ἔθος*⟩? * **7** *ἄρθρον κεῖται*] *ἄρθρον πρόσκειται* U *τοῦ καὶ* M | vor *ἐστὶν* + *πάντως* U **9** *ἀόριστος* G **10** *ἀλλὰ* G **12** *εἴπομεν* M **15** *εἴπαμεν* + *ἢ* M **17** *ὁ ἄρθρου*] *ō* < *ἄρθρου* G *ἑβδομηκοστοῦ ψαλμοῦ* M **18** *ἄνθρωπος καὶ ὁ ἄνθρωπος*] *ὁ ἄνθρωπος καὶ ὁ νεανίσκος* M **19** *ἐφέρετο* U **20** ⟨*ἐπὶ*⟩ * | *ἐπικειμένη ἡ* *] *ἡ ἐπικειμένη* G U M **21** vor *ὁπότε* + *ἢ* M **25** *οὗτοι*] *αὐτοὶ* M | *ἀνατείλει* M **26** *τοῦ ὕδατος* < M **28** *τοῖς* beidemal < G im zweiten Fall < U

ἄνδρες ἀδελφοί;«, διὰ τὸ εἰρηκέναι αὐτὸν αὐτοῖς ὅτι »τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε«· καὶ κατανυγεῖσι τὴν καρδίαν εἶπε »μετανοήσατε, ἄνδρες ἀδελφοί, καὶ βαπτισθήτω ἕκαστος ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν καὶ ἀφεθήσονται ὑμῖν αἱ ἁμαρτίαι καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος«. οὐ περὶ **10** νεκροῦ τοίνυν λέγει ὁ νόμος· εἰ δὲ καὶ περὶ νεκροῦ, ἀλλὰ περὶ ὁριζομένου λέγει ὁ νόμος. ⟨περὶ γὰρ οὐχ ὁριζομένου⟩ ἄλλως ἐκδίδοται· λέγει γὰρ ὅτι »ἐὰν παρέλθῃ νεκρός, κλείσατε τὰς θύρας καὶ τὰς θυρίδας ὑμῶν, ἵνα μὴ μολυνθῇ ὁ οἶκος«, | ὡσεὶ ἔλεγεν περὶ ἀκοῆς D310 ἁμαρτίας ὅτι ἐὰν ἀκούσῃς φωνὴν τῆς ἁμαρτίας ἢ εἶδος παραπτώματος, κλεῖσον τὸν ὀφθαλμόν σου ἀπὸ ἐπιθυμίας καὶ στόμα ἀπὸ κακολογίας καὶ οὖς ἀπὸ ἐνηχήσεως πονηρᾶς, ἵνα μὴ νεκρωθῇ ὅλος ὁ οἶκος τουτέστιν ψυχὴ καὶ σῶμα. διὸ καὶ ὁ προφήτης λέγει »ἀνέβη **11** θάνατος διὰ τῶν θυρίδων«, καὶ οὐ πάντως περὶ τῶν θυρίδων τούτων λέγει· ἢ γὰρ κλείσαντες τὰς θυρίδας οὐδέποτε ἀποθανεῖν εἴχομεν. θυρίδες δὲ ἡμῖν ὑπάρχουσι τὰ τοῦ σώματος αἰσθητήρια, βλέμμα ἀκοὴ καὶ τὰ ἄλλα δι' ὧν θάνατος εἰς ἡμᾶς εἰσπορεύεται, | P28 εἰ δι' αὐτῶν ἁμαρτήσαιμεν. ἐνεταφίασε γοῦν ὁ Ἰωσὴφ τὸν Ἰσραὴλ **12** καὶ οὐκ ἐβδελύξατο, καὶ μετὰ θάνατον ἐπιπεσὼν ἐπὶ πρόσωπον κατεφίλησε. καὶ οὐ γέγραπται ὅτι ἐλούσατο, ἵνα καθαρισθῇ. ἐνετα- **13** φίασαν οἱ ἄγγελοι, ὡς ἡ εἰς ἡμᾶς ἐλθοῦσα παράδοσις ἔχει, τὸ σῶμα Μωυσέως τοῦ ἁγίου καὶ οὐκ ἐλούσαντο, ἀλλ' οὔτε ἐκοινώθησαν οἱ ἄγγελοι ἀπὸ τοῦ ἁγίου σώματος. 5. καὶ δέδια πάλιν μὴ εἰς μῆκος ἐλάσω **5, 1** τὴν τοῦ ζητήματος ἐπίλυσιν. ἀφ' ἑνὸς δὲ ἢ δευτέρου λόγου δοθήσεται τῷ σοφῷ τὸ σοφισθῆναι ἐν κυρίῳ κατὰ τῶν δι' ἐναντίας. εἰ δὲ καὶ **2** περὶ τοῦ | πνεύματος ἔσται μοι ἐν ἐπιτομῇ τὸ λέγειν, οὐκ ὀκνήσαιμι ἄν. Ö74

1 Act. 2, 36 — **3** Act. 2, 38 — **8** wo? Epiph. denkt wohl an die Bestimmungen des Mischnatraktats Ohaloth (Strack, Einl. in d. Talmud[4] S. 58f) — **13** Jerem. 9, 21 — **18** vgl. Gen. 50, 7 — **19** Gen. 50, 1 — **20f** gemeint ist wohl die assumptio Mosis, vgl. Evodii ep. ad Augustinum c. 6 = August. ep. 158; CSEL 44 S. 492, 21 ff Goldbacher *cum ascenderet* (sc. Moyses) *in montem, ut moreretur ... efficitur, ut aliud esset, quod terrae mandaretur, aliud quod angelo comitanti sociaretur.* — Unsere Stelle ist angeführt bei Mich. Glykas ann. II; Migne 158, 305 A

G U (von *ἐκοινώθησαν* Z. 22 an V) M

1 *ἄνδρες ἀδελφοί* < U **3** *ἄνδρες ἀδελφοί* < U **4** *ὑμῶν* G U M **6** *νόμος*] *λόγος* G | *ἀλλὰ περὶ* *] *ἀλλ' οὐχ* G *ἄλλου* U M **7** ⟨*περὶ γὰρ οὐχ ὁριζομένου*⟩ * **9** *ἀκοῆς* < G **11** vor *στόμα* + *τὸ* U **12** vor *οὖς* + *τὸ* U **13** vor *ψυχὴ* + *ἡ* G U | vor *σῶμα* + *τὸ* U | *ἔλεγεν* U | *ἀνέβη*] *ἐὰν ἀναβῇ* U **14** *περὶ*] *διὰ* G U **15** *ἢ*] *εἰ* M | *θύρας* M **16** *δὲ* < M **18** *ἐὰν* M *ἁμαρτήσωμεν* U **22** vor *Μωυσέως* + *τοῦ* M **25** *τὸ*] *τοῦ* M

διαρρήδην τοίνυν εὐθὺς ὁ κύριος λέγει τῷ Μωυσῇ »ἀνάγαγέ μοι εἰς τὸ ὄρος ἑβδομήκοντα πρεσβυτέρους, καὶ λήψομαι ἀπὸ τοῦ ἐπὶ σοὶ πνεύματος καὶ ἐκχεῶ ἐπ' αὐτοὺς καὶ ἀντιλήψονταί σου«. περὶ δὲ τοῦ 3
υἱοῦ ὅπως γνῶμεν, ⟨ὁ⟩ πατὴρ λέγει »ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν«· τὸ δὲ »ποιήσωμεν« οὐχ ἑνός ἐστι σημαντικόν, καί »ἔβρεξε κύριος ἐπὶ Σόδομα καὶ Γόμορρα πῦρ καὶ θεῖον παρὰ κυρίου ἀπ' οὐρανοῦ«. περὶ δὲ προφητῶν *, ἐπειδὴ ἔφθη 4
αὐτοῖς δοθῆναι ⟨μόνη⟩ ἡ πεντάτευχος καὶ οὐκέτι ἄλλαι γραφαί, ἐστοί- D311
χησάν ⟨τε⟩ μόνῃ τῇ πεντατεύχῳ καὶ οὐχὶ τῇ ἀκολουθίᾳ. κἄν τε δή
αὐτοῖς εἴπῃ τις νυνὶ περὶ τῶν ἄλλων, φημὶ δὲ περὶ Δαυὶδ καὶ Ἡσαΐα καὶ τῶν καθεξῆς, οὐ παραδέχονται, κατεχόμενοι παραδόσει τῇ προαχθείσῃ παρ' αὐτοῖς ἀπὸ τῶν ἰδίων πατέρων. καὶ ἕως ὧδε ἔστω 5
μοι ἡ περὶ Σαμαρειτῶν ὑφήγησις, ἐν βραχεῖ μὲν τῷ λόγῳ εἰρημένη, δι' ὃν προορῶμεν φόβον μὴ ἐκτεῖναι εἰς πλάτος τὴν ὑπόσχεσιν τῆς συντάξεως.

Κατὰ Ἐσσηνῶν, ἀπὸ Σαμαρειτῶν αἱρέσεως ᾱ, τῆς δὲ ἀκολουθίας ῑ.

Εἰς τέσσαρας μὲν οὗτοι αἱρέσεις ἐτμήθησαν, τὰ ἴσα φρονοῦντες 1
ἀλλήλοις ⟨περὶ⟩ περιτομῆς καὶ σαββάτου καὶ τῶν ⟨ἄλλων τῶν⟩ ἐν τῷ νόμῳ, ἐν βραχεῖ δὲ καὶ ἐν τινὶ ποσῷ ἕκαστος τῶν τριῶν πρὸς τοὺς πέλας διαφέρεται, πλὴν τῶν Δοσιθέων μόνον. ἐνέμειναν γὰρ οἱ Ἐσσηνοὶ 2
τῇ πρώτῃ ἀγωγῇ μηδὲν ὑπερβαλλόμενοι· | *μετὰ τούτους Γοροθηνοὶ* P29
διεφώνησαν πρὸς ἀλλήλους διὰ σμικρόν τι, ἐπειδήπερ ἀντιλογία τις

1 Num. 11, 16f — **4** Gen. 1, 26 — **6** Gen. 19, 24 — **16ff** das im Folgenden Berichtete ist Epiphanius eigentümlich

V M

2 *σὲ* V M **3** *ἀντιλή///ψονται, μ* ausradiert V corr **4** ⟨*ὁ*⟩ * **7** * etwa ⟨*οὐ χρὴ αὐτοῖς συζητεῖν*⟩ * **8** ⟨*μόνη*⟩ * **9** ⟨*τε*⟩ * | vor *ἀκολουθίᾳ* + *λοιπῇ* U, wohl richtige Verbesserung **10** *τις* < M | *νῦν* M **11** *κατεχόμενοι*] *οἳ* M **11f** *προαχθείσῃ παρ' αὐτοῖς*] *φθασάσῃ αὐτοὺς* V corr **14** *προορῶμαι* V; lies *προείπομεν*? * **16** *κατὰ Ἐσσηνῶν, πρώτης αἱρέσεως ἀπὸ Σαμαρειτῶν, δεκάτης δὲ τῆς ἀκολουθίας* V *κατὰ Ἐσσηνῶν, ἀπὸ Σαμαρειτῶν αἱρέσεις ᾱ, τῆς δὲ ἀκολουθίας ῑ* M **17** *οὗτοι* sc. *οἱ Σαμαρεῖται* | *αἱρέσεις οὗτοι* V **18** *ἀλλήλοις* U] *τοῖς ἄλλοις* V M | ⟨*περὶ*⟩ *περιτομῆς καὶ σαββάτου* *] *περιτομῇ καὶ σαββάτῳ* (aber nachher *τῶν*) V M | ⟨*ἄλλων τῶν*⟩ * **19** *δὲ*] *τε* M **20** *Δοσιθέων* M | *ἔμειναν* M **21** *τῇ πρώτῃ — ὑπερβαλλόμενοι* < M | *μετὰ τοὺς Γοροθηνούς* M

ἀνὰ μέσον αὐτῶν γεγένηται, φημὶ δὲ μέσον Σεβουαίων καὶ Ἐσσηνῶν καὶ Γοροθηνῶν. ἡ δὲ ἀντιλογία τοῦτον ἔχει τὸν τρόπον· ὁ νόμος 3
ἐκέλευεν ἐκ πανταχόθεν τοὺς Ἰουδαίους συναθροίζεσθαι εἰς τὰ Ἱεροσόλυμα, πολλάκις μὲν οὖν ⟨καὶ⟩ κατὰ τρεῖς καιροὺς τοῦ ἔτους, κατά
τε τὸν τῶν Ἀζύμων καὶ κατὰ Πεντηκοστὴν καὶ κατὰ Σκηνοπηγίαν. ᾤκουν δὲ Ἰουδαῖοι διεσπαρμένοι καὶ ἐν τοῖς τέρμασι τῆς Ἰουδαίας 4
καὶ Σαμαρείας. συνέβαινε δὲ | αὐτοῖς διὰ τῶν Σαμαρειτῶν τὴν Ö76
ὁδοιπορίαν ποιεῖσθαι διερχομένοις εἰς τὴν Ἱερουσαλήμ. ἐπεὶ οὖν 5
συνετύγχανον ἐν ἑνὶ καιρῷ τὸ ἄθροισμα ἔχοντες τοῦ ἑορτάζειν, ἐντεῦθεν συμπληγάδες ἐγίνοντο· ἀλλὰ καὶ ὅτε ᾠκοδόμει Ἔσδρας τὴν Ἱερουσαλὴμ μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον, ἀξιωσάντων τῶν Σαμα|ρειτῶν συνεπιδοῦναι βοήθειαν Ἰουδαίοις καὶ συνοικοδομῆσαι καὶ D312
ἀποτραπέντων παρ᾽ αὐτοῦ τοῦ Ἔσδρα καὶ τοῦ Νεεμία·

Κατὰ Σεβουαίων, ἀπὸ Σαμαρειτῶν αἱρέσεως β̄, τῆς δὲ ἀκολουθίας ιᾱ.

τότε οἱ Σεβουαῖοι διὰ μῆνιν καὶ ὀργὴν μετέθηκαν τοὺς καιροὺς 1
τῶν ἑορτῶν τῶν προειρημένων, τὸ πρῶτον μὲν κατὰ ὀργὴν τοῦ Ἔσδρα, δεύτερον δὲ διὰ τὴν προειρημένην πρόφασιν τὴν εἰς μάχην προκαλουμένην αὐτοὺς διὰ τῶν παριόντων. τάττουσι δὲ οὗτοι τὸν 2
νέον μῆνα τῶν Ἀζύμων μετὰ τὸ νέον ἔτος, ὅπερ γίνεται ἐν τῷ μετοπώρῳ, τουτέστι μετὰ τὸν Θεσρὶ μῆνα, ὃς Αὔγουστος παρὰ Ῥωμαίοις καλεῖται Μεσορὶ δὲ παρ᾽ Αἰγυπτίοις Γορπιαῖος δὲ παρὰ Μακεδόσι παρ᾽ Ἕλλησι δὲ Ἀπελλαῖος. ἀπεντεῦθεν οὗτοι ἀρχὴν τοῦ 3
ἔτους ποιοῦνται καὶ εὐθὺς τὰ Ἄζυμα ἐπιτελοῦσιν, ἐν δὲ τῷ μετο-

2f vgl. Deut. 16, 16 — **10ff** vgl. Esra 4, 1f Neh. 5, 63ff — **14ff** die Sebuäer sind Epiphanius eigentümlich; über den Namen = Täufer vgl. Brandt, mandäisches Religionssystem S. 180 Bousset, Hauptprobleme der Gnosis S. 283 — **18ff** über die (unter dem Einfluß des seleucidischen Reichs erfolgte) Verlegung des Jahresanfangs in Samarien vgl. Ideler, Handbuch der Chronologie I 397ff Lagarde, Mitteilungen IV 134

V (bis *Νεεμία* Z. 13; das anschließende Blatt D u. das folgende E fast unleserlich; an deren Stelle G U) M

1 *Σεβουαίων* aus *Σεβουέων* Vcorr **4** *⟨καὶ⟩* *, aber viell. ist *πολλάκις μὲν οὖν* verderbt u. dafür zu lesen *ἔμπροσθεν κυρίου* * **5** *τὸν* < M **6** vor *Ἰουδαῖοι* + *οἱ* M | *Ἰουδαίας*] *Γαλιλαίας*? * **8** *τὴν* < M **13** *παρ᾽*] *ὑπ᾽* auf Rasur Vcorr **14** *αἱρέσεως* < GM *κατὰ σεβουαίων, δευτέρα αἵρεσις ἀπὸ Σαμαρειτῶν, ἐνδεκάτη δὲ τῇ ἀκολουθίᾳ* U **15** vor *τότε* + *καὶ* U **16** *κατ᾽* U | *τοῦ* < M **17** vor *δεύτερον* + *τὸ* U **21** *Μεσόρη* M | *παρὰ*[1] M | *Γόρπαιος* M **22** *ἐντεῦθεν* G **23** *ποιοῦνται*] *ἡγοῦνται* G U **23f** *μεθοπόρῳ* U

πώρῳ τὴν Πεντηκοστὴν ποιοῦσι, τὴν δὲ Σκηνοπηγίαν αὐτῶν ἐπιτελοῦσιν ὅτε παρὰ τοῖς Ἰουδαίοις τὰ Ἄζυμα καὶ τὸ Πάσχα.
οὐ μὴν ἐπείσθησαν τοῖς Σεβουαίοις | P30

Κατὰ Γοροθηνῶν, ἀπὸ Σαμαρειτῶν αἱρέσεως γ̄, τῆς δὲ ἀκολουθίας ιβ̄.

Γοροθηνοί τε καὶ οἱ ἄλλοι. Ἐσσηνοὶ δὲ ἐγγὺς τῶν ἄλλων γινό- 1
μενοι τὰ ἴσα ἐκείνοις πράττουσι· μόνοι δὲ Γοροθηνοὶ καὶ Δοσίθεοι τὴν φι|λονεικίαν εἰσὶ πρὸς Σεβουαίους κεκτημένοι. καὶ ποιοῦσιν 2 Ö78
αὐτοὶ τὰς ἑορτάς, φημὶ δὲ Γοροθηνοὶ καὶ Δοσίθεοι, ὅταν οἱ Ἰουδαῖοι ἐπιτελῶσι, τῶν τε Ἀζύμων καὶ Πάσχων, Πεντηκοστῆς τε καὶ Σκη-
νοπηγιῶν καὶ νηστείας τῆς παρ᾽ αὐτοῖς νομιτευομέ|νης ἡμέραν μίαν. D313
οἱ δὲ ἄλλοι οὐχ οὕτως ποιοῦσιν, ἀλλὰ ἰδιαζόντως ἐν μησὶν οἷς προείπαμεν.

Κατὰ Δοσιθέων, ἀπὸ Σαμαρειτῶν αἱρέσεως δ̄, τῆς δὲ ἀκολουθίας ιγ̄.

Δοσίθεοι δὲ τούτοις διαφέρονται κατὰ πολλοὺς τρόπους. ἀνά- 1, 1
στασιν γὰρ ὁμολογοῦσι καὶ πολιτεῖαι παρ᾽ αὐτοῖς εἰσιν· ἐμψύχων

4 die Gorothener genannt bei Hegesipp bei Eus. IV 22, 5; S. 370, 16 Schwartz **5** *τῶν ἄλλων*, gemeint ist *τῶν Σεβουαίων*; oben Anaceph. 12; S. 166, 23 hat sich Epiph. etwas anders ausgedrückt — **13** über Dositheus vgl. mit Epiph. namentlich Hegesipp bei Eus. IV 22, 5; S. 370, 16 Schwartz Hippolyt Syntagma bei Phot. bibl. 121 clement. Hom. II 24; S. 28, 16ff Lagarde Recogn. I 54 II 8—11 Ps. Tert. adv. omn. haer. 1 Const. apost. VI 8, 1; S. 319, 3 Funk (weitere Zeugnisse, insbesondere die samaritanischen Quellen bei Montgomery, the Samaritans p. 252ff, die rabbinischen in Revue des études juives t. 42 p. 27ff 220ff t. 43 p. 50ff, die arabischen bei de Sacy, Chrestomathie arabe[2]) — **14f** anders Eulogius bei Photius bibl. cod. 230 p. 285b Bekker *ἀπεκήρυττε δὲ* (sc. *Δοσίθεος*) *καὶ τὴν ἀνάστασιν*

(V) G U M

1 *δὲ* hinter *Σκηνοπηγίαν* G U **2** *τὸ*] *τὰ* M **4** *κατὰ Γοροθηνῶν, ἀπὸ Σαμαρειτῶν τρίτη, τῆς δὲ ἀκολουθίας δωδεκάτη* G *κατὰ Γορθηνῶν, τρίτη αἵρεσις ἀπὸ Σαμαρειτῶν, δωδεκάτη δὲ τῇ ἀκολουθίᾳ* U *κατὰ Γοροθηνῶν, ἀπὸ Σαμαρειτῶν γ̄, τῆς δὲ ἀκολουθίας ιβ̄* M; G hat die Überschrift erst zwischen *πράττουσι* u. *μόνοι* Z. 6 **5** *Γορθηνοὶ* U | *τε* < U | *δὲ* < U **6** *Δωσίθεοι* G M **9** *πάσχα* G **10** *ἡμέραν μίαν* *] *ἡμέρας μιᾶς* G U M **13** *κατὰ Δοσιθέων ἀπὸ Σαμαρειτῶν τετάρτης* (*τετάρτη* V), *τῆς δὲ ἀκολουθίας ιγ̄* (*η* M) V G M *κατὰ Δοσιθέων, τετάρτη αἵρεσις ἀπὸ Σαμαρειτῶν, τρισκαιδεκάτη δὲ τῇ ἀκολουθίᾳ* U **14** *Δωσίθεοι* V G M | *πολλοὺς* + *τοὺς* U **15** *πολιτείαις* M

ἀπέχονται, ἀλλὰ καί τινες αὐτῶν ἐγκρατεύονται ἀπὸ γάμου μετὰ τὸ
† βιῶσαι, ἄλλοι δὲ καὶ παρθενεύουσιν· ὡσαύτως τε περιτομὴν καὶ 2
σάββατον καὶ τὸ μὴ θιγγάνειν τινὸς διὰ τὸ βδελύττεσθαι πάντα
ἄνθρωπον ὁμοίως ἔχουσι. νηστείας δὲ τοὺς αὐτοὺς φυλάττειν καὶ
ἐξασκεῖσθαι εἰσάγει ὁ λόγος. ἡ δὲ πρόφασις τοῦ τὸν Δοσίθεον 3
φρονῆσαι ταῦτα αὕτη· οὗτος συνεμίγη ἀπὸ Ἰουδαίων ὁρμώμενος εἰς
τὰ τῶν Σαμαρειτῶν ἔθνη, ἐν παιδεύσει δὲ ⟨τῇ⟩ κατὰ τὸν νόμον
προήκων δευτερώσεσί τε ταῖς παρ' αὐτοῖς, θηρώμενος δὲ τὰ πρωτεῖα
καὶ ἀποτυχὼν καὶ μὴ ἀξιωθείς τι παρὰ Ἰουδαίοις νομισθῆναι, ἐξέ-
κλινέν εἰς τὸ Σαμαρειτικὸν γένος καὶ ταύτην τὴν αἵρεσιν προεστή-
σατο. ἐν σπηλαίῳ δέ που ἀναχωρῶν δι' ὑπερβολὴν ἐθελοσοφίας, 4
ματαίως καὶ ὑποκριτικῶς ἐν νηστείᾳ καρτερῶν ὡς λόγος ἔχει οὕτως
ἀπέθανεν ἐν ἐνδείᾳ ἄρτου καὶ ὕδατος, ἑκουσίᾳ δῆθεν τῇ γνώμῃ. μετὰ
ἡμέρας δὲ τινὰς ἐλθόντας ἐπὶ τὴν τούτου ἐπίσκεψιν εὑρηκέναι τὸ
σῶμα ὀδωδὸς ἐξέρψαν τε σκώληκας καὶ νέφος μυιῶν ἐπ' αὐτὸ
ἐσμηνευκέναι. | οὕτος τοίνυν οὕτως ματαίως τὸν ἑαυτοῦ βίον κατα- P31
στρέψας αἴτιος γέγονεν αὐτοῖς τῆς αἱρέσεως, ἐξ οὗπερ οἱ αὐτὸν
μιμούμενοι Δοσίθεοι εἴτουν Δοσιθηνοὶ καλοῦνται.

Καὶ αὗται μὲν αἱ ἐλθοῦσαι εἰς ἡμῶν τὴν γνῶσιν [περὶ] τῶν 2, 1
προειρημένων τεσσάρων αἱρέσεων διαφοραί, αἵτινες ἀνατραπήσονται

6 *ἀπὸ Ἰουδαίων ὁρμώμενος*: ebenso, wohl aus Epiphanius Filaster h. 4; S. 3, 11 Marx — **7** strenge Gesetzlichkeit des Dositheus Origenes de princ. IV 3, 2; S. 326, 12 Kötschau — **11 ff** die Geschichte soll wohl eine Widerlegung des Glaubens der Dositheer sein vgl. Origenes in Johannem XIII 27; S. 251, 17 ff Preuschen *μύθους τινὰς περὶ αὐτοῦ διηγούμενοι ὡς μὴ γευσαμένου θανάτου ἀλλ' ἐν τῷ βίῳ που τυγχάνοντος*. Die Erzählung des Epiph. berührt sich sehr nahe mit dem bei Abu'l Fatch (Montgomery, the Samaritans p. 256) Berichteten; dadurch wird es vollends unwahrscheinlich, daß Epiph. unsern Dositheus mit dem bei Macarius Magnes III 43; S. 151, 26 ff Blondel genannten Enkratiten vermengt haben sollte (so Zahn ZKG II 458)

(V) G U M

1 *ἀπέχεσθαι* V G **2** † *βιῶσαι*] *τεκνῶσαι* Nicet. Chon.; wohl nicht aufzunehmen, da Epiphanius das Wort nicht kennt (er würde *τεκνοποιῆσαι* sagen); lies vielleicht ⟨*οὕτως*⟩ — sc. *ἐν γάμῳ* — *βιῶσαι* * | *τε*] *μὲν* V G M | *περιτομὴν* + *τε* V G U **3** *διὰ τὸ* + *μὴ* V G **5** *Δοσίθεον* M **7** vor *ἐν παιδεύσει* + *καὶ*, dafür *δὲ* < V G U | ⟨*τῇ*⟩ * **8** *δευτερώσει*, aber doch *ταῖς* M | *δὲ* < U **10** *τὴν* < V G M **12** *ματαίως* + ⟨*τε*⟩? * **14** *δὲ* hinter *μετὰ* Z. 13 V G U **16—18** *οὕτος τοίνυν — καλοῦνται* < U M **19** *εἰς ἡμῶν τὴν γνῶσιν* *] *εἰς ἡμᾶς τῆς γνώσεως* G U M | [*περὶ*] *

διὰ τῶν κατ᾽ αὐτῶν εἰρημένων. ἐπάνειμι δὲ αὖθις τὰς κατὰ διαδοχὴν τῶν χρόνων παρενδύσεις καὶ τῆς πλάνης τὰ βοσκήματα συνείρων καὶ | ποιούμενος τὴν πρὸς αὐτοὺς ἀντιλογίαν, ἐν τῷ τὰ σχέτλια D 314
αὐτῶν | ἀποκαλύπτειν ἐπιτηδεύματα καὶ διὰ συντόμου λόγου ποι- Ö 80
εῖσθαι τὸν ἔλεγχον τῆς τῶν κακῶν καὶ ὀλετηρίων ἑρπετῶν ἰοβολίας. 2

Πεπλήρωνται αἱ τῶν Σαμαρειτῶν αἱρέσεις δ̄.
Ἰουδαϊσμὸς λοιπόν. ὁ δὲ Ἰουδαϊσμὸς ἐμερίσθη εἰς αἱρέσεις ἑπτά·

Κατὰ Σαδδουκαίων, ἀπὸ Ἰουδαϊσμοῦ αἱρέσεως ᾱ, τῆς δὲ ἀκολουθίας ιδ̄.

1. *Αἱρέσεις πάλιν μετὰ ταύτας τὰς προειρημένας τῶν Σαμαρει-* 1, 1
τῶν καὶ ⟨τὰς⟩ ἄνω που τῶν Ἑλλήνων προδηλωθείσας γεγόνασιν ἑπτὰ τὸν ἀριθμὸν παρὰ Ἰουδαίοις πρὸ τῆς τοῦ Χριστοῦ ἐνσάρκου παρουσίας ἐν τῇ Ἰουδαίᾳ τε καὶ Ἱεροσολύμοις.

2. *Πρῶτοι Σαδδουκαῖοι, ἀπόσπασμα ὄντες ἀπὸ Δοσιθέου τοῦ* 2, 1
προλελεγμένου. ἐπονομάζουσι δὲ οὗτοι ἑαυτοὺς Σαδδουκαίους, δῆθεν ἀπὸ δικαιοσύνης τῆς ἐπικλήσεως ὁρμωμένης· Σεδὲκ γὰρ ἑρμηνεύεται δικαιοσύνη. ἦν δὲ καὶ Σαδδούκ τις τοὔνομα κατὰ τὸ παλαιὸν τῶν ἱερέων. ἀλλ᾽ οὐκ ἐνέμειναν οὗτοι ἐν τῇ τοῦ ἐπιστάτου αὐτῶν 2

13 die Sadduzäer als Häresie genannt bei Hegesipp Eus. IV 22, 5; S. 370, 16 Schwartz Justin. dial. 80 Hippol. refut. IX 29 Ps. Tert. adv. omn. haer. 1 clement. Recogn. I 54 Const. apost. VI 6, 2; S. 313, 30 Funk; zur Ableitung von Dositheus vgl. Clem. Recogn. I 54 *auctor vero sententiae huius primus Dositheus, secundus Simon fuit* Ps. Tert. adv. omn. haer. 1 *Sadducaeos . . . ex huius erroris* (sc. des Dositheus) *radice surgentes* Hippolyt refut. IX 29 *αὕτη ἡ αἵρεσις περὶ τὴν Σαμάρειαν μᾶλλον ἐκρατύνθη* (Filaster h. 5; S. 3, 17 ff Marx schöpft aus Epiphanius) — **14 f** clement. Recogn. I 54 *ut ceteris iustiores* — **16** vgl. Ezech. 40, 46; 43, 19; 44, 15; 48, 11 u. Matth. 1, 14

(V) G U M

5 *ὀλετήρων* G M **6** δ̄ < M **7** *Ἰουδαϊσμὸς λοιπὸν ὁ αὐτὸς μερισθεὶς (μερισθεὶς καὶ αὐτὸς* U) *εἰς αἱρέσεις ἑπτά* G U **8** *κατὰ Σαδδουκαίων πρώτη ἀπὸ Ἰουδαϊσμοῦ, τῆς δὲ ἀκολουθίας ιδ̄* G *κατὰ Σαδδουκαίων, πρώτη αἵρεσις ἀπὸ Ἰουδαϊσμοῦ, τεσσαρεκαιδεκάτη τῇ ἀκολουθίᾳ* U *κατὰ Σαδδουκαίων ἀπὸ Ἰουδαϊσμοῦ ᾱ, τῆς δὲ ἀκολουθίας ιδ̄* M **10** ⟨*τὰς*⟩ * | *ἄνω που*] *ἀνήπου* M **12** *τῇ* < U | *Ἱεροσολύμοις* + ⟨*ἀναφανεῖσαι*⟩? * **13** *καὶ πρῶτοι μὲν* G | *Δωσιθέου* M **14** *ἑαυτοὺς*] *αὐτοῖς* M **15** *τῆς* < G M | *ὁρμώμενοι* G *ὁρωμένους* M **16** *Σαδοὺκ* U M **17** *ἀλλὰ* G

διδασκαλίᾳ. ἠθέτησαν μὲν γὰρ οὗτοι νεκρῶν τὴν ἀνάστασιν, ὅμοια Σαμαρείταις φρονοῦντες· οὐ παραδέχονται δὲ ἀγγέλους, ὅπερ Σαμαρεῖται οὐκ ἀθετοῦσι· πνεῦμα δὲ ἅγιον οὐκ ἴσασιν, οὐ γάρ εἰσι τούτου ἠξιωμένοι· τὰ πάντα δὲ ἴσα Σαμαρείταις φυλάττουσιν. οὐκ ἦσαν δὲ **3** οὗτοι Σαμαρεῖται, ἀλλὰ Ἰουδαῖοι. ἐν Ἱεροσολύμοις γὰρ ἐθυσίαζον τά τε ἄλλα πάντα Ἰουδαίοις συνέπραττον.

3. καὶ αὐτοὶ δὲ ἀνατραπήσονται ἀπὸ τῆς ἀξιοπίστου τοῦ κυρίου **3, 1** φωνῆς, ἣν αὐτοὶ καθ' ἑαυτῶν ἐπεσπάσαντο διὰ τῆς τοῦ ζητήματος ἐπιλύσεως, ὅτε προσῆλθον αὐτῷ | λέγοντες, εἰ δύναται εἶναι νεκρῶν D315 ἀνάστασις· καὶ ὅτι ἑπτὰ ἀδελφοὶ ἐγένοντο, καὶ ὁ πρῶτος γυναῖκα ἔγημεν καὶ ἄπαις ἐτελεύτα, καὶ ὁ δεύτερος ἔλαβεν αὐτήν, Μωυσέως παρακελευομένου ἐπιγαμβρεῦσαι τὴν γυ|ναῖκα τοῦ ἀδελφοῦ ἄπαιδος P32 τελευτήσαντος καὶ ἄγεσθαι αὐτὴν τῷ ἀδελφῷ αὐτοῦ πρὸς τὸ ἐξαναστῆσαι σπέρμα εἰς ὄνομα τοῦ κατοιχομένου. ἔλαβε γοῦν, φησί, ταύτην ὁ πρῶτος καὶ ὁ δεύτερος καὶ ἐτελεύτησαν, ὁμοίως καὶ οἱ ἑπτά. ἐν δὲ τῇ ἀναστάσει τῶν νεκρῶν τίνος ἔσται αὕτη γυνή, ἐπειδὴ καὶ οἱ ἑπτὰ αὐτὴν ἐγνώκασιν; ὁ δὲ κύριος ἔφη »πλανᾶσθε, μὴ εἰδότες τὰς **2** γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ. ἐν γὰρ τῇ ἀναστάσει τῶν νεκρῶν οὔτε γαμοῦσιν οὔτε γαμίσκονται, ἀλλὰ ἰσάγγελοί εἰσιν. ὅτι δὲ ἀναστήσονται οἱ νεκροὶ Μωυσῆς ὑμᾶς διδάξει, ὡς ὁ θεὸς αὐτῷ ἐχρημάτισε λέγων, ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ· θεὸς δέ ἐστι ζώντων καὶ οὐχὶ νεκρῶν«. καί »ἐφίμωσεν αὐτῶν τὸ στόμα«. εὐάλωτοι γὰρ οὗτοι καὶ μὴ δυνάμενοι ἀντιστῆναι μὴ μίαν ὥραν πρὸς τὴν ἀλήθειαν. | Ö82

Κατὰ Γραμματέων, ἀπὸ Ἰουδαϊσμοῦ ⟨αἱρέσεως⟩ β̄, τῆς δὲ ἀκολουθίας ῑε.

Μετὰ τούτους τοὺς Σαδδουκαίους Γραμματεῖς γεγόνασιν, ἀνὰ **1, 1** *μέσον τοῦ χρόνου ἤ καὶ σὺν αὐτοῖς τὴν ἡλικίαν κατάγοντες· οἵτινες*

1 vgl. Matth. 22, 23 — **2f** vgl. Act. 23, 8 — **7f** Luk. 20, 27ff u. Par. — **17** Luk. 20, 33 (Matth. 22, 29) — **22** Matth. 22, 34

G U (bis *Μωυσῆς* Z. 20, von da an V) M

2 *δὲ* < M **5** *γὰρ*] *δὲ* M **6** *τε* *] *δὲ* G U M **8** *ἦν*] *ἀφ' ἧς* G M **9** *ὅτι* M **11** *ἄπαις* < G M | *ταύτην* G **12** *ἐπιγαμβρεύεσθαι* G U | *ἄπαιδος* < G M **13** *τὴν αὐτὴν* G U | *αὐτοῦ ἀδελφῷ* G | *αὐτοῦ* < U **14** *γοῦν* < M **16** *δὲ* < G U **17** *αὐτὴν ἐγνώκασιν*] *ἔσχον αὐτήν* U **18** *μήτε* G **22** *δέ ἐστι* < V | *οὐ* M **22f** *ἐφήμωσεν* V M *ἐφίμωσεν* V corr **24** *μὴ*] *μηδὲ*? * **25** ⟨*αἱρέσεως*⟩ * | *δευτέρα* V

ἦσαν δευτερωταὶ τοῦ νόμου ὡς γραμματικήν τινα ἐπιστήμην ὑφηγούμενοι, τὰ μὲν ἄλλα πράττοντες τῶν Ἰουδαίων περιττὴν δέ τινα δῆθεν σοφιστικὴν ὑφήγησιν εἰσηγούμενοι, οὐ κατὰ νόμον μόνον **2** βιοῦντες, ἀλλὰ περισσότερον »ξεστῶν βαπτισμοὺς« φυλάσσοντες »καὶ ποτηρίων καὶ πινακίων« καὶ τῶν ἄλλων σκευῶν τῆς ὑπηρεσίας, ὡς δῆθεν ἐπὶ τὸ ἀκραιφνὲς καὶ ὅσιον διακείμενοι, »πυγμῇ μὲν τὰς χεῖρας νιπτόμενοι«, | πυγμῇ δὲ καὶ μολυσμούς τινας δι' ὑδάτων καὶ λου- D316 τρῶν ἀποσμηχόμενοι, ἔχοντες δέ τινα »κράσπεδα« σημαντικὰ τῆς αὐτῶν **3** πολιτείας εἰς ἐπίδειξιν κόμπου καὶ ἔπαινον τῶν θεωμένων· καὶ »φυλακτήρια« παρ' ἑαυτοῖς ἐπὶ τὰ ἱμάτια ἐπετίθεντο τουτέστι πλατέα σήματα πορφύρας. · νομίσῃ δ' ἄν τις, ἐπειδήπερ καὶ ἐν τῷ εὐαγ- **4** γελίῳ τοῦτο ἐμφέρεται, μὴ ἄρα περὶ περιάπτων λέγει, ἐπειδὴ καὶ εἴωθόν τινες τὰ περίαπτα φυλακτήρια ὀνομάζειν. οὐκ ἔχει δὲ ὁ **5** λόγος τὸ παράπαν περὶ τούτου. ἀλλ' ἐπειδὴ στολὰς εἴτ' οὖν ἀμπε- χόνας οἱ τοιοῦτοι ἀνεβάλλοντο καὶ δαλματικὰς εἴτ' οὖν κολοβίωνας ἐκ πλατυσήμων διὰ πορφύρας ἀλουργοϋφεῖς | κατεσκευασμένας, τὰ δὲ P33 σήματα τῆς πορφύρας φυλακτήρια εἴωθον οἱ ἠκριβωμένοι μετονομάζειν, τούτου ἕνεκεν φυλακτήρια αὐτὰ καὶ ὁ κύριος κατ' ἐκείνους εἴρηκε. δηλοῖ δὲ καὶ ἡ ἀκολουθία τὴν φράσιν τῆς ὀνομασίας, ⟨τὸ⟩ »καὶ τὰ κρά- **6** σπεδα τῶν ἱματίων«· τὰ γὰρ κράσπεδά ⟨φησιν⟩, ἵνα εἴπῃ κροσσούς, καὶ τὰ φυλακτήρια, ἵνα εἴπῃ τῆς πορφύρας τὰ σήματα. φησὶ γὰρ ὅτι »πλατύνετε τὰ φυλακτήρια καὶ τὰ κράσπεδα τῶν ἱματίων ὑμῶν μεγαλύνετε«. ροΐσκους δέ τινας ἐπὶ τὰ τέσσαρα πτερύγια τοῦ τρίβωνος **7** ἕκαστος εἶχεν ἐξ αὐτοῦ τοῦ στήμονος καταδεδεμένους, ἐν ᾧ χρόνῳ ἐνεκρατεύετο ἢ παρθενίαν ἤσκει· ἐπειδὴ γὰρ ἕκαστος ταξάμενος ὥριζε καιρὸν ἁγνείας ἢ ἐγκρατείας καὶ ταῦτα αὐτῶν τὰ πρωτότυπα ἦν εἰς τὸ ἐμφαίνειν τοῖς ἀνθρώποις τὰ παρ' αὐτῶν ἐπαγγελλόμενα, ἵνα μηδεὶς ἅψηται δῆθεν τῶν ἡγιασμένων.

Δευτερώσεις δὲ παρ' αὐτοῖς τέσσαρες ἦσαν· μία μὲν εἰς ὄνομα **2, 1**

4 Mark. 7, 4 — **6** Mark. 7, 3 — **8** u. **10** Matth. 23, 5 — **14f** vgl. Aristeae ep. § 158 Wendland Justin dial. 46; S. 150 Otto (dazu Schürer, Gesch. d. jüd. Volkes II⁴ 566) — **21f** Matth. 23, 5 — **27f** vgl. Origenes in Matth. 23, 23f; IV 219 Lommatzsch *noli mihi appropiare, quoniam mundus sum* — **29**—S. **210, 3** vgl. haer. 33, 9, 4 u. haer. 42, 11 ἔλεγχ. κς; dazu Schürer, Gesch. d. jüd. Volkes I⁴ 122 A. 24 Strack, Einl. in den Talmud⁴ S. 19f

V M

2 μὲν V corr < V M **7** μολυσμοὺς *] καθαρισμοὺς V M **11** πορφύρας + ἃς M | νομίσῃ * (Conj. potent., vgl. Index)] νομίσει V M **12** περὶ < M **16** κατασκευασμένας M **17** εἰώθασιν aus εἴωθαν hergestellt V corr **18** ἕνεκα M **19** ⟨τὸ⟩ * **20** γὰρ *] δὲ V M | ⟨φησιν⟩ * **23** δὲ *] γὰρ V M **27** αὐτοῖς V **28** δῆθεν < M | τῶν] ὡς? *

Μωυσέως τοῦ προφήτου ⟨φερομένη⟩, δευτέρα δὲ εἰς τὸν διδάσκαλον αὐτῶν Ἀκίβαν οὕτω καλούμενον ἢ Βαρακίβαν· ἄλλη δὲ εἰς τὸν Ἀδδᾶν ἢ Ἄνναν τὸν καὶ Ἰούδαν· ἑτέρα δὲ εἰς τοὺς υἱοὺς Ἀσαμωναίου. ἐκ τούτων τῶν τεσσάρων δευτερώσεων ὅσα παρ' αὐτοῖς νε|νόμισται 2 D317
οἰήσει σοφίας (ἀσοφίας δὲ τὰ πλεῖστα), αὐχεῖται καὶ ᾄδεται καὶ ἐν Ö84
τάξει προκριτέας διδασκαλίας βοᾶταί τε καὶ φημίζεται.

Κατὰ Φαρισαίων, ἀπὸ Ἰουδαϊσμοῦ ⟨αἱρέσεως⟩ γ̄, τῆς δὲ ἀκολουθίας ις̄.

1. *Ταύταις ταῖς δυσὶν αἱρέσεσιν κατ' ἀκολουθίαν συνῆπται ἡ τῶν* **1, 1**
Φαρισαίων αἵρεσις ἄλλη τις· οἵτινες τὰ αὐτὰ τούτοις ἐφρόνουν,
Γραμματεῦσι δέ φημι τοῖς ἑρμηνευομένοις νομοδιδασκάλοις· συνῆσαν γὰρ αὐτοῖς καὶ οἱ Νομικοί. ἄλλα δὲ καὶ παρὰ τούτους πάλιν οἱ 2
Φαρισαῖοι ἐφρόνουν, πολιτείας μείζους ἔχοντες. τινὲς μὲν γὰρ αὐτῶν, ὅτε ἤσκουν καὶ ὥριζον δεκαετίαν ἢ ὀκταετίαν ἢ τετραετίαν ὁμοίως παρθενίας ἢ ἐγκρατείας, συνεχῶς εὐχόμενοι πυκνότερον ἀγῶνα τοῦτον ἐνίσταντο διὰ τὸ δῆθεν μὴ σωματικόν τι παθεῖν ἢ κλαπῆναι δι' ὀνειρά|των ἀηδῆ ῥύσιν σώματος ἀπεργαζομένων. καὶ οἱ μὲν σανίδα 3 P34
ἑαυτοῖς ἐφιλοκάλουν σπιθαμῆς μόνης τὸ πλάτος καὶ ἐπὶ ταύτην ἑαυτοὺς ἐτίθεσαν κατὰ τὴν ἑσπέραν, ἵν' εἰ ὑπνώσειέν τις καὶ καταπέσοι εἰς τοὔδαφος αὖθις ἐγείρηται εἰς εὐχήν, διὰ τὸ ἄγρυπνον ἔχειν τὸν βίον κατὰ τὸ δυνατόν. ἄλλοι δὲ κόχλακας συλλέγοντες ἑαυτοῖς 4
ὑπεστρώννυον εἰς τὸ νυττομένους μὴ ὕπνῳ βαθεῖ φέρεσθαι, ἀλλὰ βιάζεσθαι γρηγόρησιν ἑαυτοῖς προσπορίζεσθαι· ἄλλοι δὲ καὶ ἀκάνθας

7 ff *Φαρισαῖοι* vgl. Hegesipp bei Eus. IV 22, 7; S. 372, 11 Schwartz Justin dial. 80; S. 280 Otto clement. Recogn. I 54 Hippolyt refut. IX 28 Ps. Tert. *adv. omn. haer.* 1. Const. apost. VI 6, 3; S. 313, 31 Funk — **10 f** wohl gefolgert aus Luk. 11, 45

V M

1 *Μωυσέως* < M | *⟨φερομένη⟩* * **3** *Ἀδδᾶν* nach haer. 33, 9, 4 *] *Ανδὶν* V M | *Ἀσσαμωναίου* V **4** *παρ'*] *περ* V vgl. S. 211, 9 **5** *οἰήσις* M | *ἀσοφίας*] *σοφίας* M | *αὐχεῖται*] *αὐχεῖ τε* M **6** *τε* < M | nach *φημίζεται* Unterschrift *κατὰ γραμματέων* V **7** *⟨αἱρέσεως⟩* * **8** *κατὰ* V **11** *καὶ*[2] < M **13** *ἢ τετραετίαν ἢ ὀκταετίαν* M **14** *πυκνότερον* ausradiert V **16** hinter *ὀνειράτων* hineingeflickt *κλοπὴν* V corr | *ἀηδῆ* + *τε* V M *τε* ausradiert V corr | *σώματος*] *σπέρματος* Jül. | *ἀπεργαζομένων* Ausgg.] *ἀπεργαζομένην* V M | *σανίδα* *] *σανίδας* V M **17** *ἑαυτοὺς* M **18** *εἰ* < M **19** *ἔδαφος* M | *ἐγείρεται* V M **20** *ἐκλέγοντες* M **22** *γρηγορεῖν* M

στρωμνὴν εἶχον διὰ τὴν αὐτὴν ὑπόθεσιν. ἐνήστευον δὲ δὶς τοῦ σαββάτου, δευτέραν καὶ πέμπτην· ἀπεδεκάτουν δὲ τὴν δεκάτωσιν, τὰς ἀπαρχὰς ἐδίδουν, τριακοντάδας τε καὶ πεντηκοντάδας, τάς τε θυσίας καὶ τὰς εὐχὰς ἀσφαλέστατα ἀπετίννυον. τῷ δὲ προειρημένῳ 6 σχήματι τῶν Γραμματέων προήρχοντο, διά τοι τῆς ἀμπεχόνης καὶ διὰ τῶν ἄλλων σχημάτων καὶ γυναικικῶν ἱματίων ἐν | πλατείαις D318 ταῖς κρηπῖσιν καὶ γλώτταις τῶν ὑποδημάτων προϊόντες. ἐλέγοντο 7 δὲ Φαρισαῖοι διὰ τὸ ἀφωρισμένους εἶναι αὐτοὺς ἀπὸ τῶν ἄλλων διὰ τὴν ἐθελοπερισσοθρησκείαν τὴν παρ' αὐτοῖς νενομισμένην· Φάρες γὰρ κατὰ τὴν Ἑβραΐδα ἑρμηνεύεται ἀφορισμός.

2. Ὁμολόγουν δὲ οὗτοι ἀνάστασιν νεκρῶν, ἐπίστευόν τε ἀγγέλους 2, 1 εἶναι καὶ πνεῦμα, ἠγνόησαν δὲ υἱὸν θεοῦ ὡς οἱ ἄλλοι. ἀλλὰ | καὶ 2 Ö86 εἱμαρμένη καὶ ἀστρονομία παρ' αὐτοῖς σφόδρα ἐχρημάτιζεν. αὐτίκα γοῦν τὰ Ἑλληνικὰ ὀνόματα τὰ ἐκ τῆς τῶν πεπλανημένων ἀστρονομίας κατὰ τὴν Ἑβραϊκὴν διάλεκτον ἑτέροις ὀνόμασι παρ' αὐτοῖς μετωνόμασται· οἷον Ἥλιος ἡμὰ καὶ σέμες, Σελήνη ἱέρεε καὶ ἀλβανά, 3 ὅθεν καὶ μήνη καλεῖται (ἱέρεε γὰρ ὁ μὴν λέγεται, μήνη δὲ ἡ σελήνη, ὡς καὶ παρ' Ἕλλησι διὰ τὸν μῆνα), Ἄρης χωχὲβ ὀκβόλ, Ἑρμῆς χωχὲβ ὀχομόδ, Ζεὺς χωχὲβ βάαλ, Ἀφροδίτη ζερούα ἤτοι λουήθ, Κρόνος χωχὲβ σαβήθ (λέγεται δὲ παρ' αὐτοῖς καὶ ἄλλοις ὀνόμασιν, οὐκ ἠδυνήθην δὲ ἀκριβῶς τὴν τούτων ἐπωνυμίαν ἐκθεῖναι). ἀλλὰ καὶ τὰ 4 ματαίως νομιζόμενα εἰς ἀριθμὸν στοιχείων παρὰ τοῖς πεπλανημένοις ὀνόματα, ἃ ζῳ|δια καλοῦσι * καὶ ἀθεμίτως τὸν κόσμον εἰς ἀσέβειαν P35 ἐπλάνησαν, οὕτω πάλιν Ἑβραϊκῶς [αὐτὰ] καλοῦσι· τελὰ σὼρ θωμὶμ

1 f vgl. Luk. 18, 12; zu *δευτέρα καὶ πέμπτη* vgl. Did. 8, 1 Const. apost. VII 23, 1; S. 408, 1 f Funk — **4 ff** vgl. haer. 15, 5; S. 209, 16 ff — **7 ff** vgl. clement. Hom. XI 28; S. 117, 33 Lagarde Ps. Tert. *adv. omn. haer.* 1 Origenes in Matth. 23, 23; IV 220 Lommatzsch — **11 f** vgl. Act. 23, 8 — **13** *εἱμαρμένη* (Josephus bell. Jud. II 8, 14 antiquitt. XIII 5, 9) Hippolyt refut. IX 28 Const. apost. VI 6, 3; S. 313, 31 Funk — **13—20** vgl. Schürer, Zeitschr. f. neutest. Wissenschaft 1905 S. 5 f

V M

1 *δὲ* < M **4** *ἀσφαλεστάτας* V **6** *γυναικείων* M **10** *ἀφωρισμὸς* M **11** *δὲ* Ausgg.] *τε* V M **13** *σφόδρα* < M **16** *μετωνόμασταιον*, *ω* aus *ο* u. darübergesetztes *οι* V corr, *οἷον* < M **18** *Ἄρης χωχὲβ ὀκβόλ* < M | *χωχὲβ*²] *χωκὲβ* M **19** *ὀχομόδ*, zweites *ο* aus *α* hergestellt V *ὀχμόδ* M | *χωχὲβ*] *χωκὲμ* M | *λουη///θ*, ein Buchstabe ausradiert V *λουηδό* M **22** *κομιζόμενα* M **23** *ἃ*] *ἢ* M | * etwa ⟨*οἱ Ἕλληνες, οἵ*⟩ * **24** [*αὐτὰ*] * | *θωμὶν* M

σαρατὰν ἀρὶ βεθουλὰ μωζανὴ⟨μ⟩ ἀκρὰβ κέσετ γαδὶ δαλλὶ δεγγὶμ· οἵτινες τοῖς Ἕλλησι μάτην, λέγω δὴ οἱ Φαρισαῖοι, ἀκολουθήσαντες 5 μετωνόμασαν εἰς τὴν Ἑβραΐδα τὰ αὐτὰ ὀνόματα οὕτω· Κριὸν δὴ τὸν παρ' ἐκείνοις λεγόμενον τελά, Ταῦρον σώρ, Διδύμους θωμίμ, Καρκίνον σαρατάν, Λέοντα ἀρί, Παρθένον βεθουλά, Ζυγὸν μωζανή⟨μ⟩, Σκορπίον ἀκράβ, Τοξότην κέσετ, Αἰγόκερων γαδί, Ὑδρηχόον δαλλί, Ἰχθύας δεγγίμ.

3. Ταῦτα δέ μοι οὐκ εἰς στρόβησιν τῶν ἐντυγχανόντων κατατέ- 3, 1 τακται οὐδὲ ἵνα τὴν χυδαιολογίαν τῶν | τὴν ἀσύστατον καὶ φρενο- D319 βλαβῆ μωρολογίαν τῆς ἀστρονομίας τῷ βίῳ παρεισαξάντων συστήσω· ἐλήλεγκται γὰρ αὕτη ὑπὸ τῆς ἀληθείας ἀσύστατος οὖσα καὶ ἐσφαλμένη. εἴρηται δὲ ἡμῖν ἐν ἄλλοις λόγοις πολλὰ πρὸς ἀνατροπὴν τῶν 2 γένεσιν καὶ εἱμαρμένην νομιζόντων, ἀλλὰ καὶ ἐν τῷ προοιμίῳ τούτου τοῦ συντάγματος ἐν ὀλίγῳ ἡμῖν κατὰ τῶν αὐτῶν πεπραγμάτευται· διὰ δὲ τὸ μή τινα νομίσαι κατὰ συκοφαντίαν ἡμᾶς κατά τινων φέρεσθαι καὶ μὴ τὰ ἀληθῆ ἐκ παραδόσεων ἀκριβώσαντας ἐκθέσθαι ταῦτα ἡμῖν καὶ ὀνομαστὶ εἴρηται. ἐσχάτη δὲ αὐτοῖς ἀπορία καὶ 3 ἠλιθιότης οὐχ ἡ τυχοῦσα, τοῖς καὶ ἀνάστασιν ὁμολογοῦσιν καὶ κρίσιν δικαίαν ὁριζομένοις. πῶς γὰρ δύναται κρίσις εἶναι | καὶ εἱμαρμένη; 4 Ö88 δυοῖν γὰρ ἀνάγκη θάτερον, ἢ γενέσεως ὑπαρχούσης μὴ εἶναι κρίσιν διὰ τὸ τὸν πράττοντα οὐκ ἀφ' ἑαυτοῦ πράττειν, ἀλλὰ κατὰ ἀνάγκην ἐπικρατείας τῆς πεπρωμένης, ἢ [ὅτι] κρίσεως ὑπαρχούσης καὶ ἐν ἀλη- 5 θείᾳ ἐπαπειλουμένης καὶ νόμων δικαζόντων καὶ τῶν τὸ πονηρὸν δρώντων δίκην ὑπεχόντων — νόμου τε ὁμολογουμένου δικαίου καὶ κρίσεως θεοῦ ἀληθεστάτης — ἀργεῖν τὴν πεπρωμένην καὶ μὴ ἔχειν ὅλως σύστασιν τὸ παράπαν· 4. ὁπότε διὰ τὸ δύνασθαι ἁμαρτεῖν καὶ 4, 1 μὴ ἁμαρτεῖν τὸν μὲν διὰ τὰ ἁμαρτήματα δίκην ἀπαιτεῖσθαι, τὸν δὲ ἔπαινον ἀπεκδέχεσθαι διὰ τὸ εὖ πεπραχέναι ὥρισται καθ' ἑκατέρων τὸ διάφορον. ὡς καὶ μιᾷ φωνῇ † δικαίᾳ λέγειν | συντόμῳ ἀληθείᾳ 2 P36

12 Hinweis auf eine verlorene Schrift des Epiph. — **13f** vgl. haer. 5, 3, 1f; S. 184, 27

V M

1 σαρατάμ V | θεβουλά M | μωζανή⟨μ⟩ Greßmann] μωμοζάνη V μωμαζανὴ M (Archetypus μωζάνη) | ἀκραὰβ M | καὶ σὲτ M | δαδλί V | διγγίμ M **4** τελαα V τέλλα M | σήρ M **5** σαράτιν M | ἀρί] ἄρτι V ἀρί V corr **6** ἀκρο V ἀκραάβ M | κεσὲ M | αἰγουκέρων M | ὑδριχόον M | δαλι V **7** διγγίμ M **8** εἰς] εἰ M **9f** φρενοβλαβῆ////, ν wegradiert V **11** ἀσυστατοῦσα M **19** δύναται + ⟨ἅμα⟩? * **21** κατὰ < V **22** [ὅτι] * **25** ἔχων M **29** ὡς καὶ] καὶ ὡς M | μιᾷ φωνῇ, zum Sinn vgl. S. 213, 9 | † δικαίᾳ λέγειν] lies etwa ἀποδεικτέον *

⟨τῇ⟩ διὰ Ἡσαΐου τοῦ προφήτου ἐκ προσώπου κυρίου εἰρημένῃ ὅτι »ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. τὸ γὰρ 3
στόμα κυρίου ἐλάλησε ταῦτα«. ὥστε παντί τῳ δῆλόν ἐστι καὶ σαφὲς καὶ
ἀναμφίβολον, ὡς τὸ αὐτεξούσιον παρέσχετο ὁ θεὸς ⟨ὁ⟩ δι' αὐτοῦ φήσας
τό | »ἐὰν θέλητε καὶ ἐὰν μὴ θέλητε«, ὡς περὶ τὸν ἄνθρωπον εἶναι D320
τὸ ἀγαθοεργεῖν ἢ τὸ φαύλων ἐφίεσθαι πραγμάτων. ἄρα τοίνυν 4
ἔσφαλται ἡ διάνοια τῶν γένεσιν εἶναι νομισάντων καὶ μάλιστα Φαρισαίων· οἷς ἐπιφωνητέον ἐστὶ πυκνότερον καὶ πολλαχῶς, οὐ διὰ μιᾶς
φωνῆς ἀλλὰ πολλάκις τὰ παρὰ τοῦ σωτῆρος πρὸς αὐτοὺς εἰρημένα
»οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι καταλελοίπατε
τὰ βαρέα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον, καὶ ἀποδεκατοῦτε τὸ
ἄνηθον καὶ τὸ ἡδύοσμον καὶ τὸ πήγανον, καὶ καθαρίζετε τὸ ἐκτὸς
τοῦ ποτηρίου καὶ τοῦ πίνακος, τὸ δὲ ἐντός ἐστι μεστὸν ἀκαθαρσίας
καὶ ἀκρασίας. καὶ δοκιμάζετε δίκαιον εἶναι ὀμνύναι ἐν τῷ ἐπάνω 5
τοῦ θυσιαστηρίου, τὸ δὲ ἐν αὐτῷ τῷ θυσιαστηρίῳ παρ' ὑμῖν τοῦ
ὅρκου λέλυται, καὶ τὸ ἐν τῷ οὐρανῷ ὀμνύναι οὐδὲν εἶναί φατε, ἐὰν
δέ τις ὀμόσῃ ὑπεράνω τοῦ οὐρανοῦ, τοῦτο δεδικαίωται. οὐχὶ τὸ
θυσιαστήριον βαστάζει τὸ ἐπικείμενον καὶ ὁ οὐρανὸς θρόνος ἐστὶ
τοῦ ἐπ' αὐτῷ ἐπικαθεζομένου; ἢ ὅτι λέγετε, ἐάν τις εἴπῃ πατρὶ καὶ 6
μητρὶ κορβάν, ὅ ἐστι δῶρον ὃ ἐξ ἐμοῦ ὠφεληθήσῃ, οὐκέτι μὴ τιμήσῃ
τὸν πατέρα, καὶ ἠθετήσατε τὴν ἐντολὴν τοῦ θεοῦ διὰ τῆς τῶν
πρεσβυτέρων ὑμῶν παραδόσεως. καὶ κυκλεύετε θάλασσαν καὶ ξηρὰν 7
ποιῆσαι ἕνα προσήλυτον, καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης
διπλότερον ὑμῶν«.

Τί τοίνυν περιττότερον τῶν ἁγίων ῥήσεων προβάλοιτό τις πρὸς 8
ἀντίθεσιν τῶν προειρημένων; ἀλλὰ καὶ ἀρκεῖσθαι μᾶλλον ἡγοῦμαι

2 Jes. 1, 19f — **11** Matth. 23, 15 — **11f** Matth. 23, 23 — **13** Matth. 23, 25 — **14** Matth. 23, 18 — **17** Matth. 23, 22 — **20** Mark. 7, 11 — **23** Matth. 23, 15

V (bis *οὐρανῷ* Z. 17; von da an G U) M

1 ⟨τῇ⟩ * | ὅτι *] τὸ V M **5** ὁ < M | ⟨ὁ⟩ * **6** ἐὰν²] ἂν u. hinter *μὴ* gestellt M **7f** ἄρα τοίνυν — Φαρισαίων V corr] < V M **9** vor οὐ + ὡς V **10** παρὰ] διὰ M **11** καταλελοίπατε aus καταλελύπαται V corr **12** τὸν] τὸ M **15** καὶ ἀκρασίας < M **16** τὸ δέ] τῶ δὲ M **16f** τοῦ ὅρκου Pet.] τῶ ὅρκω V M **18** ὑπεράνω αὐτοῦ U ἐπάνω τοῦ οὐρανοῦ M **20** ἢ] καὶ G U **21** ὃ² + ἂν U | ὠφεληθῆς U | vor οὐκέτι + καὶ U | τιμήσει U **25** διπλότερον hinter αὐτὸν (Z. 24) G U **26** προβάλοιτο *] ὑπερβάλοιτο G U M **27** μάλα G U

ταῖς τοῦ σωτῆρος σοφαῖς καὶ ἀληθιναῖς λέξεσι, πρὸς ἃς οὐκ ἠδυνήθησαν ἀντωπῆσαι οὔτε πρὸς τὸ βραχύτατον. | D 321 Ö 90

Κατὰ Ἡμεροβαπτιστῶν, ἀπὸ Ἰουδαϊσμοῦ αἱρέσεως δ̄, τῆς δὲ ἀκολουθίας ιζ̄.

1. *Ταύταις δὲ συνέπεταί τις αἵρεσις Ἡμεροβαπτιστῶν οὕτω κα-* **1, 1**
λουμένων, μηδὲν μὲν παραλλάττουσα | *τῶν ἄλλων, ἀλλ' ἴσα τῶν Γραμ-* P 37
ματέων καὶ Φαρισαίων φρονοῦσα, οὐ μὴν ἐξισουμένη τοῖς Σαδδουκαίοις ἐν τῇ τῶν νεκρῶν ἀναστάσεως ἀρνήσει, ἀλλὰ τῇ ἀπιστίᾳ τῇ ἐν τοῖς ἄλλοις. τοῦτο δὲ περιττὸν ἦν αὕτη κεκτημένη ἡ αἵρεσις, **2**
ὥστε ἐν ἔαρί τε καὶ μετοπώρῳ χειμῶνί τε καὶ θέρει πάντοτε καθ' ἡμέραν βαπτίζεσθαι, ὅθεν καὶ Ἡμεροβαπτιστῶν εἴληφε τὴν ἐπωνυμίαν. ἔφασκε γὰρ αὕτη ἡ αἵρεσις ἄλλως μὴ εἶναι ζῆν ἀνθρώπῳ, εἰ **3**
μή τι ἄρα καθ' ἑκάστην ἡμέραν βαπτίζοιτό τις ἐν ὕδατι, ἀπολουόμενός τε καὶ ἁγνιζόμενος ἀπὸ πάσης αἰτίας.

2. *Πρὸς ταύτην δὲ καὶ αὐτὴν ἐξ ἑνὸς λόγου ἡμῖν ἀνατροπὴ* **2, 1**
γενήσεται, ὅτι ἀπιστίας παρ' αὐτοῖς μᾶλλον ἢ πίστεως οἱ λόγοι. ἐλέγχει γὰρ αὐτοὺς ἡ συνείδησις αὐτῶν καθ' ἑκάστην ἡμέραν βαπτιζομένων, ὡς ὅτι ἡ ἐλπὶς τῆς χθὲς ἡμέρας παρ' αὐτοῖς τέθνηκεν, ἡ πίστις τε καὶ ὁ ἁγνισμός. εἰ μὲν γὰρ ἑνὶ βαπτίσματι ἐστοίχουν, ἄρα **2**
ἐθάρρουν τούτῳ ὡς ζῶντι καὶ ἀθανάτῳ ὄντι εἰς τὸν αἰῶνα· ὁπότε δὲ σήμερον μὲν ἐλούσαντο, οὐχ ἕνεκεν πλύσεως σώματος ἢ ῥύπου. ἀλλ' ἕνεκεν ἁμαρτημάτων, ἄρα κατ' αὐτοὺς ἐκαθαρίσθη· αὖθις δὲ τῇ ἑξῆς πάλιν λουόμενοι ἀπεφήναντο τὸ παρελθὸν ἐν τῇ χθὲς τεθνάναι

3 ff *Ἡμεροβαπτισταὶ* Hegesipp bei Eusebius h. c. IV 22, 7; S. 372, 11 Schwartz clement. Hom. II 23; S. 28, 6 Lagarde (Justin dial. 80; S. 280 Otto Const. apost. VI 5; S. 315, 3 ff Funk); vgl. W. Brandt, Die jüdischen Baptismen (Beihefte zur ZAW 18) 1910 S. 50 f

G U M

1 *σοφαῖς*] *φωναῖς* U **2** *ἀντοπῆσαι* M | Unterschrift *κατὰ φαρισαίων* G **3 f** *κατὰ ἡμεροβαπτιστῶν, ἀπὸ τοῦ* (*τοῦ* < M) *Ἰουδαϊσμοῦ τετάρτη* (*δ̄* M), *τῆς δὲ ἀκολουθίας ἑπτακαιδεκάτη* (*ιζ̄* M) G M *κατὰ ἡμεροβαπτιστῶν, τετάρτη αἵρεσις ἀπὸ τοῦ Ἰουδαϊσμοῦ, ἑπτακαιδεκάτη δὲ τῇ ἀκολουθία* U **5 f** *καλουμένων* *] *καλουμένη* G U M **8** *τῶν*] *τῆς*? * | *ἀναστάσεως ἀρνήσει* *] *ἀναστάσει μόνον* G U M **8 f** *τῇ ἐν* *] *καὶ* G U M **9** *ἦν* < U **10** *ὥστε*] *ὡς* U **11** *Ἡμεροβαπτιστὴν* G U **12** *ἡ αἵρεσις* < G U | *ἄλλως* < G + *πῶς* U | *ζωὴν* G **13** *βαπτίσοιτο* G *βαπτίσοι* M **15** *αὐτῆς* G **18** *τέθνηκεν παρ' αὐτοῖς* G **18 f** vor *ἡ πίστις* + *καὶ* U **19** vor *ἑνὶ* + *ἐν* U **21** *οὐκ* M | *ἢ ῥύπου* < U **22** *καθ' αὐτοὺς* G | *ἐκαθαρίσθη* M **23** *παρελθόν* + *τι* M | *τεθνήκει* G

βάπτισμα. εἰ μὴ γὰρ τὸ πρὸ μιᾶς ἐτεθνήκει, οὐκ ἂν εἰς τὴν ἑξῆς
ἑτέρου ἐπεδέοντο πρὸς καθαρισμὸν ἁμαρτημάτων. καὶ εἰ ὅλως 3
οὐκ ἀπέχονται τοῦ ἁμαρτάνειν, νομίζοντες ὅτι τὸ ὕδωρ καθαρίσει
τοὺς ἐνδελεχῶς καθ' ἑκάστην ἁμαρτάνοντας, μάταιος αὐτῶν ἡ ὑπό-
νοια καὶ τὸ ἐπιτήδευμα φροῦδον καὶ ἕωλον. οὔτε γὰρ Ὠκεανὸς | οὔτε 4 D322
πάντα τὰ ῥεῖθρα καὶ πελάγη, ποταμοί τε ἀέννααοι καὶ πηγαὶ πᾶσά τε
ἡ ὀμβροτόκος φύσις συνελθοῦσαι δύνανται ἁμαρτήματα ἀφανίσαι,
ἐπειδήπερ οὐ κατὰ λόγον οὐδὲ ἐκ προστάγματος θεοῦ γίνεται· μετά-
νοια γὰρ καθαρίζει καὶ τὸ ἓν βάπτισμα διὰ τῆς τῶν μυστηρίων ὀνο-
μασίας. παρελεύσομαι δὲ καὶ ταύτην, αὐτάρκως ἡγησάμενος τὸ ἐν 5
ὀλίγῳ [τὸ] ἀλέξημα τῆς αὐτῶν φρενοβλαβείας ὑποδείξας, ὡς ἐνταῦθα
τοῖς ἐντυγχάνουσι συντέτακται. | Ö92 P38

Κατὰ Ναζαραίων, ἀπὸ Ἰουδαϊσμοῦ αἱρέσεως ε̄, τῆς δὲ ἀκολουθίας ιη̄.

1. *Ἑξῆς δὲ ἐπιβαλοῦμαι διηγεῖσθαι τὰ κατὰ τὴν αἵρεσιν τὴν μετὰ* **1, 1**
τοὺς Ἡμεροβαπτιστὰς καλουμένην τῶν Ναζαραίων, οἵτινες Ἰουδαῖοί
εἰσι τὸ γένος, ἀπὸ τῆς Γαλααδίτιδος καὶ Βασανίτιδος καὶ τῶν ἐπέ-
κεινα τοῦ Ἰορδάνου ὁρμώμενοι, ὡς ὁ εἰς ἡμᾶς ἐλθὼν περιέχει λόγος,
ἐξ αὐτοῦ δὲ τοῦ Ἰσραὴλ οὖσα, ἥτις τὰ πάντα ἰουδάϊζεν, μηδὲν περαι-
τέρω φρονοῦσα σχεδὸν τῶν προειρημένων. περιτομὴν γὰρ ὡσαύτως **2**
ἐκέκτητο, σάββατον τὸ αὐτὸ ἐφύλαττεν, ἑορταῖς ταῖς αὐταῖς προσαν-
εῖχεν, οὐ μὴν εἱμαρμένην παρεισῆγεν οὔτε ἀστρονομίαν. καὶ πατέρας **3**
μὲν ἐδέχετο τοὺς ἐν τῇ πεντατεύχῳ ἀπὸ τοῦ Ἀδὰμ μέχρι Μωυσέως,
τοὺς ἐν ἀριστείᾳ θεοσεβείας διαφανεῖς ὑπάρξαντας, φημὶ δὲ Ἀδὰμ
καὶ Σὴθ καὶ Ἐνὼχ καὶ Μαθουσάλα καὶ Νῶε καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ
καὶ Ἰακώβ, Λευί τε καὶ Ἀαρὼν καὶ Μωυσέα καὶ Ἰησοῦν τὸν τοῦ

13 ff die *Nασαραῖοι* dem Epiph. eigentümlich. Wenn er (vgl. oben Anaceph. S. 168, 4) den Namen mit *ἀφηνιαστὴς* übersetzt, so scheint er ihn von נסר (נשר) = abfallen (allerdings im übertragenen Sinn nicht nachweisbar) herzuleiten. (*Ναζωραῖοι* führt Epiph. wie andere auf *Ναζαρὲτ* zurück, vgl. haer. 29, 7, 1)

G U (bis Z. 12 *συντέτακται*; dann ein Blatt in U ausgefallen, als Ersatz dient R) M

3 *κατέχονται* G **5** *ὠκεανοῦ* G | *οὔτε*² < G **6** *ἀέναοι* G U **7** *δύνατα* U **10** *αὐτάρκη* G **10 f** *τὸ ἐν ὀλίγῳ [τὸ *] ἀλέξημα] τὸν δι' ὀλίγων ἔλεγχον* G **11** *ὑποδεῖξαι* G U | *ὡς *] ἕως* G U M | *ἐνταυθοῖ* G U **12** Unterschrift *κατὰ ἡμεροβαπτιστῶν* G **13** *κατὰ Νασαραίων, ἀπὸ Ἰουδαϊσμοῦ πέμπτη (ε̄* M), *τῆς δὲ ἀκολουθίας ὀκτωκαιδεκάτη (ιη̄* M) G M **17** *ὁρμώμενοι* < M **20** *ἐκέκτηντο* M **25** *Λευὶν* G | *καὶ Μωυσέα* < G *Μωυσέαν* M

Ναυῆ, αὐτὴν δὲ οὐ παρεδέχετο τὴν πεντάτευχον, ἀλλὰ ὡμολόγει μὲν τὸν Μωυσέα καὶ ὅτι ἐδέξατο νομοθεσίαν ἐπίστευεν, οὐ ταύτην δέ, φησίν, ἀλλ᾽ ἑτέραν· ὅθεν τὰ μὲν πάντα φυλάττουσι τῶν Ἰουδαίων 4
Ἰουδαῖοι ὄντες, θυσίαν δὲ οὐκ ἔθυον οὐδὲ ἐμψύχων | μετεῖχον, ἀλλὰ D323
ἀθέμιτον ἦν παρ᾽ αὐτοῖς τὸ κρεῶν μεταλαμβάνειν ἢ θυσιάζειν αὐτοῖς. ἔφασκον γὰρ πεπλάσθαι ταῦτα τὰ βιβλία καὶ μηδὲν τούτων ὑπὸ τῶν πατέρων γεγενῆσθαι. αὕτη ἦν ἡ τῶν Ναασαραίων διαφορὰ πρὸς 5
τὰς ἄλλας, ὡς καὶ πρὸς αὐτοὺς ὁ ἔλεγχος οὐκ ἐν ἑνὶ τόπῳ, ἀλλὰ ἐν πολλοῖς ἐστι φανερός.

2. *Πρῶτον μὲν ⟨ἐν⟩ τῷ ὁμολογεῖν αὐτοὺς τοὺς πατέρας καὶ* 2, 1
πατριάρχας καὶ Μωυσέα· ἄλλης γραφῆς γὰρ περὶ τούτων μὴ λεγούσης, πόθεν αὐτοῖς ἡ γνῶσις τῆς τῶν πατέρων ὀνομασίας καὶ ἀριστείας, εἰ μὴ ἐξ αὐτῶν τῶν γραφῶν τῆς πεντατεύχου; καὶ πῶς οἷόν 2
τε ἐν ταὐτῷ εἶναι ἀληθὲς καὶ ψεῦδος καὶ ἐν μέρει τὴν γραφὴν ἀληθεύειν, ἐν μέρει δὲ ψεύδεσθαι, τοῦ σωτῆρος λέγοντος »ἢ ποιήσατε 3
τὸ δένδρον ἀγαθὸν καὶ τοὺς καρποὺς ἀγαθοὺς ἢ τὸ δένδρον σαπρὸν καὶ τοὺς καρποὺς σαπρούς«· »οὐ δύναται γὰρ δένδρον ἀγαθὸν καρποὺς σαπροὺς ποιῆσαι, οὐδὲ δένδρον σαπρὸν καρποὺς ἀγαθοὺς ποιῆσαι«. | μάταιος τοίνυν αὐτῶν ἡ διάνοια καὶ ἡ εἰσήγησις, ἐκ πολλῶν 4 P39
ἔχουσα τὴν ἀνατροπήν, ὡς ἄχρι τῆς δεῦρο οὐ μόνον τὰ ἐν ταῖς γραφαῖς ᾄδεται, ἀλλὰ καὶ οἱ τόποι τῶν παραδοξοποιιῶν σῴζονται· πρῶτον ὅπου τὸ πρόβατον Ἀβραὰμ προσέφερε τῷ θεῷ, ὄρος Σιὼν 5
ἄχρι τῆς δεῦρο οὕτω καλούμενον, ἀλλὰ καὶ ὅπου ἡ δρῦς τῆς Μαμβρῆ, ἔνθα τοῖς ἀγγέλοις παρετέθη ὁ μόσχος. εἰ δὲ Ἀβραὰμ ἀγγέλοις Ö94
παρέθετο κρεῶν τὴν ἑτοιμασίαν, ἀποδέων οὐκ ἦν αὐτὸς τῆς τούτων μετοχῆς.

3. *Ἀλλὰ καὶ τοῦ προβάτου ⟨τοῦ⟩ τυθέντος ἐν τῇ τῶν Αἰγυπτίων* 3, 1
χώρᾳ ἔτι παρ᾽ Αἰγυπτίοις τυγχάνει ᾀδομένη ἡ παράδοσις καὶ παρὰ τοῖς εἰδωλολάτραις. ἐν γὰρ τῷ καιρῷ, ὅτε τὸ πάσχα ἐγίνετο ἐκεῖσε 2
(ἀρχὴ δὲ αὕτη γίνεται τοῦ ἔαρος ὅτε ἡ πρώτη ἰσημερία) ἐκ μίλτεως

1 vgl. Panarion haer. 19, 5, 1; S. 222, 17 — **15 ff** Matth. 12, 33 u. Matth. 7, 18 — **29 ff** über Sinn u. Verbreitung dieser Sitte vgl. Dalman, Palästinajahrbuch B. 8 (1912) S. 136

G U (beginnt wieder mit *μόνον* Z. 20) M

1 *ὁμολόγει* M **4** *οὔτε* M **5** *αὐτοῖς*²] *αὐτοὺς* G R **7** *τῶν ἀσαραίων* M **10** *⟨ἐν⟩ τῷ* *] *τὸ* G R M **14** *εἶναι* < M **18 f** *οὐδὲ δένδρον — ποιῆσαι* < M **19** *ἢ*² < M **20** *οὐ μόνον* hinter *γραφαῖς* M **21** *σῴζονται*] *σωματοποιοῦνται* G U **22** vor *Ἀβραὰμ* + *ὁ* U **23** *τῆς*¹ Dind.] *τοῦ* G U M **24** *εἰ* *] *ὅπου* G U M | *δὲ* < M **27** *⟨τοῦ⟩* * **29** *ἐγένετο* U

λαμβάνουσι πάντες οἱ Αἰγύπτιοι κατὰ ἀγνωσίαν καὶ χρίουσι μὲν τὰ πρόβατα, χρίουσι δὲ καὶ τὰ | δένδρα, τὰς συκᾶς καὶ τὰ ἄλλα, φημί- D324
ζοντες καὶ λέγοντες ὅτι, φησί, τὸ πῦρ ἐν ταύτῃ τῇ ἡμέρᾳ κατέφλεξέ ποτε τὴν οἰκουμένην· τὸ δὲ σχῆμα τοῦ αἵματος τὸ πυρωπὸν ἀλε-
ξητήριόν ἐστι τῆς τοσαύτης πληγῆς καὶ τοιαύτης. πόθεν δὲ οὐκ **3**
ἔχομεν δεῖξαι περὶ τῆς ἀκολουθίας, ὡς ἔτι καὶ δεῦρο τὰ λείψανα τῆς τοῦ Νῶε λάρνακος δείκνυται ἐν τῇ τῶν Καρδυαίων χώρᾳ. καὶ **4**
πάντως δὲ εἰ ἐπιζητήσειέ τις καὶ ἀνερευνήσειε, καὶ τὰ λείψανα τοῦ θυσιαστηρίου (ἐπείπερ ἀκόλουθόν ἐστιν) εὕροι ἂν ἐν τῇ ὑπωρείᾳ τοῦ ὄρους, ὅπου ἔμεινε Νῶε ἐξελθὼν ἀπὸ τῆς κιβωτοῦ καὶ προσενέγκας ἀπὸ τῶν ζῴων τῶν καθαρῶν καὶ τῶν στεάτων κυρίῳ τῷ θεῷ [ὅτε] ἤκουσεν »ἰδοὺ δέδωκά σοι τὰ πάντα ὡς λάχανα ἀγροῦ, θῦσον καὶ φάγε«. παρελεύσομαι δὲ καὶ ταύτης πάλιν τὸ ἐπείσακτον καὶ ἠλί- **5**
θιον τῆς αἱρέσεως, ἀρκεσθεὶς ταῖς προειρημέναις ὀλίγαις λέξεσιν, ἐνσπαρείσαις ὑπὸ τῆς ἡμῶν βραχύτητος ἐνταῦθα πρὸς ἀντίθεσιν τῆς πλάνης τῆς προειρημένης αἱρέσεως.

Κατὰ Ὀσσαίων, ἀπὸ Ἰουδαϊσμοῦ αἱρέσεως ξ̄, τῆς δὲ ἀκολουθίας ι̅θ̅.

1. *Μετὰ ταύτην πάλιν ἄλλη τις αἵρεσις ταύταις παραπεπλεγμένη,* **1, 1**
ἡ τῶν Ὀσσαί|ων καλουμένη. Ἰουδαῖοι δὲ οὗτοι ὡς καὶ αἱ προειρη- P40
μέναι, ὑποκριταὶ τὸν τρόπον δεινοὶ τὴν ἐπίνοιαν. ὡρμῶντο δὲ **2**
οὗτοι, ὡς ἡ εἰς ἡμᾶς ἐλθοῦσα περιέχει παράδοσις, ἀπὸ τῆς Ναβατικῆς χώρας καὶ Ἰτουραίας, Μωαβίτιδός τε καὶ Ἀριηλίτιδος, τῶν ἐπέκεινα τῆς κοιλάδος τῆς ἁλυκῆς οὕτως ἐν τῇ θείᾳ γραφῇ κληθείσης ὑπερκειμένων χωρῶν· ἔστι δὲ αὕτη ἡ νεκρὰ καλουμένη θάλασσα. τοῦτο **3**

6 f Theophilus ad Autol. III 129 D; S. 234 Otto Hippolyt refut. X 30 Eusebius *Onomasticon* 2, 21 ff Klostermann — **12** Gen. 9, 3 Act. 10, 13 — **17 ff** die *Ὀσσαῖοι* dem Epiphanius eigentümlich

G U M

5 *δὲ* < M **7** *Καρδυέων* U M **11** *τῶν* (vor *στεάτων*) < G | [*ὅτε*] * **12** *τὰ* < G U | *ἀγροῦ*] *χόρτου* U **15** *ἐνσπαρείσαις*] *ἐν ταῖς γραφείσαις* G **16** Unterschrift *κατὰ Νασαραίων* G **17** *κατὰ Ὀσσαίων ἀπὸ Ἰουδαϊσμοῦ μὲν ἕκτης* (*μὲν* < u. ξ̄ M), *τῆς δὲ ἀκολουθίας ι̅θ̅* (*ι̅β̅* M) G M *κατὰ Ὀσσηνῶν ἐκ τῆς αἱρέσεως ἀπὸ Ἰουδαϊσμοῦ, ἐννέα καὶ δεκάτη τῇ ἀκολουθίᾳ* U **19** *Ὀσσηνῶν* U | *δὲ*] *τε* U **20** *δεινοὶ*] *δῆλοι* M | *ὥρμηνται* U **22** *Ἀριηλίτιδος* ist nicht zu beanstanden; der Name der Landschaft ist von *Ἀριηλ* = *Ἀρεόπολις* vgl. Eusebius *Onomasticon* S. 36, 24 ff (10, 17; 124, 16) Klostermann gebildet **23 f** *ὑπερκειμένων χωρῶν* *] *ὑπερκειμένης χώρας* G U M **24** *ἡ* < G U | *καλουμένης* U

δὲ τὸ γένος τῶν Ὀσσαίων ἑρμηνεύεται διὰ τῆς ἐκδόσεως τοῦ ὀνό-
ματος στιβαρὸν γένος. συνήφθη δὲ τούτοις μετέπειτα | ὁ καλού- 4 D325
μενος Ἠλξαΐ ἐν χρόνοις βασιλέως Τραιανοῦ μετὰ τὴν τοῦ σωτῆρος
παρουσίαν, ὃς ἐγένετο ψευδοπροφήτης· συνεγράψατο δὲ οὗτος βιβλίον
δῆθεν κατὰ προφητείαν ἢ ὡς κατὰ ἔνθεον σοφίαν· φασὶ δὲ καὶ ἄλλον
τινὰ Ἰεξαῖον εἶναι ἀδελφὸν | τούτου. γέγονε δὲ οὗτος ὁ ἄνθρωπος 5 Ö96
πεπλανημένος τὸν τρόπον ἀπατηλὸς τὴν γνώμην, ἀπὸ Ἰουδαίων
ὁρμώμενος καὶ τὰ Ἰουδαίων φρονῶν, κατὰ νόμον δὲ μὴ πολιτευόμε-
νος, ἕτερα ἀνθ' ἑτέρων παρεισφέρων καὶ [τὴν] ἰδίαν αὐτῷ αἵρεσιν
πλάσας, ἅλας καὶ ὕδωρ καὶ γῆν καὶ ἄρτον καὶ οὐρανὸν καὶ αἰθέρα 6
καὶ ἄνεμον ὅρκον αὐτοῖς εἰς λατρείαν ὁρισάμενος· ποτὲ δὲ πάλιν
ἄλλους μάρτυρας ἑπτὰ ὁρισάμενος, τὸν οὐρανόν φημι καὶ τὸ ὕδωρ
καὶ πνεύματα, ⟨ὥς⟩ φησιν, ἅγια καὶ τοὺς ἀγγέλους τῆς προσευχῆς καὶ
τὸ ἔλαιον καὶ τὸ ἅλας καὶ τὴν γῆν. ἀπεχθάνεται δὲ τῇ παρθενίᾳ, 7
μισεῖ δὲ τὴν ἐγκράτειαν, ἀναγκάζει δὲ γαμεῖν· φαντασιώδη δέ τινα
ὡς δῆθεν ⟨ἐξ⟩ ἀποκαλύψεως παρεισφέρει, ὑπόκρισιν δὲ διδάσκει, 8
φήσας μὴ εἶναι ἁμαρτίαν, εἰ καί ⟨τις⟩ παρατύχοι εἰδωλα προσκυνήσας
καιρῷ ἐνστάντος διωγμοῦ, ἐὰν μόνον ἐν τῇ συνειδήσει μὴ προσκυνήσῃ,
καὶ ὅ τι δ᾽ἂν ὁμολογήσῃ στόματι, ἐν δὲ τῇ καρδίᾳ μή. 2. μάρτυρα 9
δέ τινα παρεισφέρων οὐκ αἰσχύνεται ὁ ἀπατεών, λέγων Φινεές τινα

1 f oben Anaceph. S. 168, 1 war der Name mit *ἰταμώτατοι* erklärt; hier scheint Epiph. die Herleitung von אית vorzuschweben — **2 ff** zu Elxai vgl. Panarion h. 30, 3, 2 u. c. 17, 4 ff h. 53, 1; dazu Hippolyt refut. IX 13, 2 ff — **3** genauer bei Hippolyt refut. IX 13, 4; S. 251, 22 Wendland *ἐπὶ Τραϊανοῦ βασιλείας τρίτῳ* — **4 f** Origenes in ps. 82 bei Eusebius h. e. VI 38; S. 592, 24 Schwartz *καὶ βίβλον τινὰ φέρουσιν, ἣν λέγουσιν ἐξ οὐρανοῦ πεπτωκέναι* — **5 f** etwas anders Panarion h. 53, 3 *φασὶ δὲ καὶ ἄλλο βιβλίον ἔχειν Ἰεξαὶ λεγόμενον ἀδελφοῦ τοῦ Ἠλξαΐ* — **10 ff** zu diesen Schwurformeln vgl. unten c. 6, 4 u. h. 30, 17, 4 Hippolyt refut. IX 15, 2; S. 253, 16 ff Wendland; dazu Bousset, Hauptprobleme der Gnosis S. 228 W. Brandt, Elchasai S. 15 — **16 ff** vgl. Origenes in ps. 82 bei Eusebius h. e. VI, 38; S. 592, 22 f Schwartz *φησὶν δὲ ὅτι τὸ ἀρνήσασθαι ἀδιάφορόν ἐστιν καὶ ὁ μὲν νοήσας τῷ μὲν στόματι ἐν ἀνάγκαις ἀρνήσεται, τῇ δὲ καρδίᾳ οὐχί*

G U M

1 Ὀσσηνῶν U **2** *στιβαρὸν*] *ὅτι βάρβαρον* M **3** *Τραιανοῦ βασιλέως* U **6** Ἰεξέον U M | *εἶναι* < U **8** *καὶ τὰ Ἰουδαίων*] *κατὰ Ἰουδαίων δὲ* M **9** *ἕτερα* + *δὲ* G U **9 f** [*τὴν*] *ἰδίαν αὐτῷ αἵρεσιν πλάσας* *] *τὴν ἰδίαν αὐτοῦ αἵρεσιν πλανήσας* U M *τοὺς αὐτῷ πεισθέντας πλανήσας* G **11** vor *ὅρκον* + *εἰς*, vor *εἰς λατρείαν* + *καὶ* G; lies ⟨*καθ'*⟩ *ὅρκον*? * | *ὁρισάμενος* + *παρέδωκε* U **13** ⟨*ὥς*⟩ * **15** *γαμεῖν* *] *γάμον* G U M **16** ⟨*ἐξ*⟩ * | *ὑπόκρισιν* * vgl. S. 219, 25] *ὑποκριτὰς* G U M **17** ⟨*τις*⟩ * | *παρατύχοιεν* U; lies vielleicht *παρ' ἀ*⟨*νάγκην*⟩ *τύχοι* * | *προσκυνήσας* *| *προσκυνῆσαι* G U M **18** *καιρῷ* *] *καιροῦ* G U M **19** *καὶ* + ⟨*ἀδιάφορον εἶναι*⟩? * | *εἴ τι δ᾽ἂν* U | vor *στόματι* + *ἐν* G U

ἱερέα τῶν ἀπὸ γένους Λευί τε καὶ Ἀαρὼν καὶ τοῦ ἀρχαίου Φινεὲς ἐν τῇ Βαβυλῶνι ἐπὶ τῆς αἰχμαλωσίας προσκυνήσαντα τὴν Ἄρτεμιν ἐν Σούσοις διαπεφευγέναι ὄλεθρον θανάτου ἐπὶ Λαρείου τοῦ βασιλέως· ὥστε εἶναι αὐτοῦ τὰ πάντα ψευδῆ καὶ μάταια.

Οὗτος μὲν οὖν ⟨ὡς⟩ ἄνω ⟨εἴρηται⟩ συνῆπται τῇ προειρημένῃ 10
αἱρέσει τῇ τῶν Ὀσσαίων καλουμένῃ, ἧς ἔτι λείψανα καὶ δεῦρο ὑπάρχει ἐν τῇ αὐτῇ Ναβατίτιδι γῇ τῇ καὶ Περαίᾳ πρὸς τῇ Μωαβίτιδι· ὅπερ γένος νυνὶ Σαμψαίων καλεῖται. | φαντάζονται δὲ δῆθεν καλεῖν | τοῦ- P41 D326
τον δύναμιν ἀποκεκαλυμμένην, διὰ τὸ ἦλ καλεῖσθαι δύναμιν, ξαὶ δὲ
κεκαλυμμένον. ἠλέγχθη δὲ τὸ πᾶν τοῦ ἐπιτηδεύματος φρύαγμα 11
*καὶ εἰς μεγάλην αἰσχύνην ὑπέπεσε παρὰ τοῖς δυναμένοις τὰ ἀληθῆ κατανοεῖν τε καὶ ἀκριβοῦν *. ἔτι γὰρ καὶ δεῦρο ἐπὶ τῶν ἡμερῶν Κωνσταντίου τε καὶ τῶν νῦν βασιλέων *. ἕως μὲν γὰρ Κων-* 12
σταντίου ἐκ τοῦ γένους αὐτοῦ τοῦ Ἠλξαΐ Μαρθοῦς τις καὶ Μαρ-
θάνα δύο ἀδελφαὶ ἐν τῇ αὐτῶν χώρᾳ ἀντὶ θεῶν προσεκυνοῦντο, ὅτι δῆθεν ἐκ τοῦ σπέρματος τοῦ προειρημένου Ἠλξαΐ ὑπῆρχον. τέθνηκεν δὲ ἡ Μαρθοῦς πρὸ ὀλίγου τοῦ χρόνου, Μαρθάνα δὲ εἰς ἔτι δεῦρο ὑπῆρχεν. ὧν καὶ τὰ πτύσματα καὶ τὰ ἄλλα τοῦ σώματος ῥύπη 13
ἀπεφέροντο οἱ πεπλανημένοι αἱρετικοὶ ἐν ἐκείνῃ τῇ χώρᾳ, δῆθεν πρὸς ἁλέξησιν νοσημάτων. οὐ μὴν ἐνήργουν· ἀλλὰ τὸ πεπλανημένον σοβα|ρὸν ἀεὶ καὶ πρὸς ἀπάτην ἕτοιμον· τυφλὸν γὰρ ἡ κακία καὶ Ö98
ἀσύνετον ἡ πλάνη.

3. Καὶ ἕως ποῦ κατατρίβομαι τὰ περὶ τοῦ γόητος τούτου φθεγ- 3, 1
γόμενος ὅσα τε κατὰ τῆς ἀληθείας κατεψεύσατο, πρῶτον μὲν διδάσκων 2
ἀπαρνησιθεΐαν καὶ ὑπόκρισιν, βδελυρῶν θυσιῶν τῆς εἰδωλολατρείας

1 *τοῦ ἀρχαίου Φινεὲς* vgl. Num. 25, 7 Jes. Sir. 45, 23 (daraus ist die Geschichte wohl durch Umdrehung entstanden) — **7f** über die *Σαμψαῖοι* u. ihr Verhältnis zu den Ossäern vgl. Panarion h. 53 — **9** zur Deutung des Namens vgl. Brandt, Elchasai S. 5ff — **12ff** vgl. Panarion h. 53, 1, 5

G U M

5 ⟨ὡς⟩ * | ⟨εἴρηται⟩ * **6** *Ὀσσηνῶν* U **7** *Ναβατίδι* M | *τῇ* (hinter *γῇ*) < M **9** *ἦλ*] *ιηλ* U M **9** u. **10** *κεκρυμμένην* u. *κεκρυμμένη* Nic. Chon. Thes. I c. 43 (Vat. 680 f. 10ᵛ) **10** *ἐλεγχθήσεται* M **11** *καὶ* + *ὡς* G *ὡς* statt *καὶ* M | *ἐπέπεσε* M **12** * etwa ⟨*ἐν τοῖς ἡμετέροις χρόνοις*⟩ * | *ἐπὶ**] *ἀπὸ* G U M **13** * etwa ⟨*ἡ αἵρεσις περιῆν*⟩ *; *βασιλέων* + *σαφῶς ἐλέγχονται* U (verunglückte Vermutung) | *γὰρ* < G M **14** *τοῦ Ἠλξαΐ* < G U **14f** am Rand von erster Hand *μάρθω καὶ μάρθαινα* M *Μαρθὼ καὶ Μαρθάνην* Nic. Chon. **16** *τοῦ*[1] < M | *τέθνηκον* G M **24** *κατεψεύσατο*] *ἐφθέγξατο* M **25** *καὶ*] *καθ'* U | *βδελυρῶν* M

μετέχειν ἀπατᾶν τε τοὺς ἀκούοντας καὶ ἀρνεῖσθαι τὴν ἰδίαν πίστιν στόματι καὶ μὴ ἔχειν ἁμαρτίαν φάσκων· ὡς εἶναι ἀθεράπευτον τὸ αὐτῶν πάθος καὶ μὴ δυνάμενον διορθωθῆναι. εἰ γὰρ τὸ στόμα τὸ **3**
ὁμολογοῦν τὴν ἀλήθειαν προετοιμάζεται εἰς ψεῦδος, ἆρά γέ τις αὐτοῖς
ἂν πιστεύσειε τὴν καρδίαν μὴ ἔχειν ἠπατημένην; ὁπότε διαρρήδην
ἐκφωνεῖ ὁ θεῖος λόγος διδάσκων ἐν πνεύματι ἁγίῳ ὅτι »καρδία
πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν«. ἀλλὰ καὶ πάλιν δῆθεν μὲν Χριστὸν ὀνόματι ὁμολογεῖ, λέγων **4**
ὅτι Χριστὸς ὁ μέγας βασιλεύς· οὐ μὴν πάνυ γε κατείληφα ἐκ τῆς
αὐτοῦ δολερᾶς καὶ παραπεποιημένης συντάξεως τῆς βίβλου τῆς αὐτοῦ
ληρῳδίας εἰ περὶ τοῦ | κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὑφηγήσατο· οὔτε D327
γὰρ τοῦτο ὁρίζει, Χριστὸν δὲ ἁπλῶς λέγει, ὡς ἐξ ὧν κατειλήφαμεν
τινὰ ἕτερον σημαίνων ἢ προσδοκῶν. κωλύει γὰρ εἰς ἀνατολὰς **5** P42
εὔξασθαι, φάσκων μὴ δεῖν προσέχειν οὕτως, ἐπὶ τὰ Ἱεροσόλυμα δὲ
ἔχειν τὸ πρόσωπον ἐκ πάντων τῶν μερῶν, τοὺς μὲν ἀπὸ ἀνατολῶν
εἰς δύσιν προσέχειν τῇ Ἱερουσαλήμ, τοὺς δὲ ἀπὸ δύσεως εἰς ἀνατολὴν
τῇ αὐτῇ, τοὺς δὲ ἀπὸ ἄρκτου εἰς μεσημβρίαν καὶ ἀπὸ μεσημβρίας εἰς
ἄρκτον, ὡς πανταχόθεν τὸ πρόσωπον ἄντικρυς εἶναι τῆς Ἱερουσαλήμ.
καὶ ὅρα τὴν τοῦ ἀπατεῶνος φρενοβλάβειαν. ἀναθεματίζει μὲν γὰρ **6**
θυσίας καὶ ἱερουργίας ὡς ἀλλοτρίας οὔσας θεοῦ καὶ μήτε ὅλως θεῷ
ἐκ τῶν πατέρων καὶ τοῦ νόμου ποτὲ προσενεχθείσας καὶ λέγει ἐκεῖ
δεῖν εὔχεσθαι εἰς Ἱερουσαλήμ, ὅπου ἦν τὸ θυσιαστήριον καὶ αἱ θυσίαι,
⟨ὁ⟩ ἀρνούμενος τὴν παρὰ τοῖς Ἰουδαίοις σαρκοφαγίαν καὶ τὰ ἄλλα
καὶ τὸ θυσιαστήριον τό τε πῦρ ὡς θεοῦ ἀλλότριον, τὸ δὲ ὕδωρ **7**

6 Röm. 10, 10 — **9** zu *Χριστὸς ὁ μέγας βασιλεὺς* vgl. Hippolyt refut. IX 15, 1; S. 253, 14 Wendland als Gebot des Elxai *βαπτισάσθω ἐκ δευτέρου ἐν ὀνόματι τοῦ μεγάλου καὶ ὑψίστου θεοῦ καὶ ἐν ὀνόματι υἱοῦ αὐτοῦ, ⟨τοῦ⟩ μεγάλου βασιλέως* — **14** vgl. Daniel 6, 11 Ezechiel 8, 16 ff u. bes. Berakot IV 5 wer gegen Morgen steht, wende sein Antlitz gegen Abend, wer gegen Abend steht, gen Morgen, wer gegen Mittag steht, gen Mitternacht, u. wer gegen Mitternacht steht, gen Mittag (W. Brandt, Elchasai S. 12)

G U M

1 *μετέχειν* + *λέγων, ἔπειτα δὲ* U | *ἀπατῶν* und < *τε* U | *καὶ* (vor *ἀρνεῖσθαι*) < U **3** *διορθοθῆναι* M **5** *ἂν πιστεύσειε* *] *ἐμπιστεύσειε* G U M **6** *ἐκφωνεῖ*] *ἐκφάσκων* U | *ἐν πνεύματι ἁγίῳ διδάσκων* U **9** vor *Χριστὸς* + *ὁ* G **13** *γὰρ*] *δὲ*? * **17 f** *ἀπὸ ἄρκτου — εἰς ἄρκτον*] *ἀπὸ νότου καὶ μεσημβρίας εἰς ἄρκτον, τοὺς δὲ ἀπ' ἄρκτου εἰς μεσημβρίαν* U **17** *ἄρκτου* *] *νότου* G M **23** *⟨ὁ⟩* * | *ἀρνούμενος* + *δὲ* M

εἶναι δεξιὸν πῦρ δὲ ἀλλότριον εἶναι φάσκων διὰ τούτων τῶν λέξεων· »τέκνα, μὴ πρὸς τὸ εἶδος τοῦ πυρὸς πορεύεσθε, ὅτι πλανᾶσθε· πλάνη γάρ ἐστι τὸ τοιοῦτον. ὁρᾷς γάρ, φησίν, αὐτὸ ἐγγυτάτω καὶ ἔστιν ἀπὸ πόρρωθεν· μὴ πορεύεσθε πρὸς τὸ εἶδος αὐτοῦ, πορεύεσθε δὲ μᾶλλον ἐπὶ τὴν φωνὴν τοῦ ὕδατος.« *καὶ πολλά ἐστι τὰ αὐτοῦ μυθολογήματα.*

4. *Εἶτα δὲ διαγράφει Χριστὸν τινὰ εἶναι δύναμιν, οὗ καὶ τὰ* **4, 1**
μέτρα σημαίνει, εἰκοσιτεσσάρων μὲν σχοίνων τὸ μῆκος ὡς μιλίων ἐνενηκονταὲξ τὸ δὲ πλάτος σχοίνων ἓξ μιλίων εἰκοσιτεσσάρων, καὶ τὸ | πάχος ὁμοίως τερατευόμενος καὶ τοὺς πόδας καὶ τὰ ἄλλα μυθο- Ö100
λογήματα. εἶναι δὲ καὶ τὸ ἅγιον πνεῦμα καὶ αὐτὸ θήλειαν, ὅμοιον **2**
τῷ Χριστῷ, ἀνδριάντος δίκην ὑπὲρ νεφέλην καὶ ἀνὰ μέσον δύο ὀρέων ἑστός. καὶ τὰ ἄλλα σιωπήσω, ἵνα μὴ εἰς μυθολογίαν φαντασιάσω τὴν ἀκοὴν | τῶν ἐντυγχανόντων. τίσι δὲ λόγοις καὶ κενοφωνίαις **3** D328
ὕστερον ἐν τῇ βίβλῳ ἀπατᾷ λέγων »μηδεὶς ζητήσῃ τὴν ἑρμηνείαν, ἀλλ' ἢ μόνον ἐν τῇ εὐχῇ τάδε λεγέτω«, *καὶ αὐτὰ δῆθεν ἀπὸ Ἑβραϊκῆς διαλέκτου μετενέγκας, ὡς ἀπὸ μέρους κατειλήφαμεν, οὐδὲν ὄντα τὰ παρ' αὐτῷ φανταζόμενα. φάσκει γὰρ λέγειν* »ἀβὰρ ἀνὶδ μωῖβ νωχιλὲ δασὶμ ἀνὴ δασὶμ νωχιλὲ μωῖβ ἀνὶδ ἀβὰρ σελάμ«, | *ἅτινα ἑρμηνευόμενα ἔχει* P43
τὴν σαφήνειαν ταύτην· »παρελθέτω ταπείνωσις ⟨ἡ⟩ ἐκ τῶν πατέρων **4**

2 ff vgl. Panarion h. 53, 1, 7 *τετίμηται δὲ τὸ ὕδωρ καὶ τοῦτο ὡς θεὸν ἡγοῦνται σχεδὸν φάσκοντες εἶναι τὴν ζωὴν ἐκ τούτου* (dazu Bousset, Hauptprobleme der Gnosis S. 157) — **6 ff** vgl. Panarion h. 30, 17, 6ff h. 53, 1, 8f u. Hippolyt refut. IX 13, 2f; S. 251, 14ff Wendland *ὑπὸ ἀγγέλου, οὗ τὸ ὕψος σχοινίων κδ̄, ὃ γίνεται μίλια ζ̄, τὸ δὲ πλάτος αὐτοῦ σχοινίων δ̄, καὶ ἀπὸ ὤμου εἰς ὦμον σχοινίων ξ̄, τὰ δὲ ἴχνη τῶν ποδῶν αὐτοῦ ἐπὶ μῆκος σχοινίων γ̄ ἡμίσους, ἃ γίνεται μίλια δεκατέσσαρα, τὸ δὲ πλάτος σχοίνου ἑνὸς ἡμίσους, τὸ δὲ ὕψος ἡμισχοινίου. εἶναι δὲ σὺν αὐτῷ καὶ θήλειαν, ἧς τὰ μέτρα κατὰ τὰ προειρημένα εἶναι λέγει· καὶ τὸν μὲν ἄρσενα υἱὸν εἶναι τοῦ θεοῦ, τὴν δὲ θήλειαν καλεῖσθαι ἅγιον πνεῦμα* — **13 ff** vgl. M. A. Levy, Zeitschr. d. deutsch. morg. Gesellschaft 1858 S. 712. Nach seiner Entdeckung ist die Formel (abgesehen von dem Wort *σελάμ*) vielmehr von hintenherein zu lesen = *ἠνὰ μισαὰδ ἐλιχὼν βιὼμ δίνα ῥάβ⟨β⟩α* = ich zeuge für (über) euch am Tag des großen Gerichts. Demgemäß ist die Übersetzung des Epiphanius nur Dichtung

G U M

3 *τοιοῦτο* G **7** *σχοινίων* M **8** *μιλίων* < M **11** *ὑπὲρ*] *ὑπὸ* Brandt, Elchasai S. 60 **15** *τάδε*] *ταῦτα* M **16** *οὐδὲν* + ⟨*δὲ*⟩? * **17** *γὰρ* < M | *δασὶμ*] *δάσημ* G *δασιμ* M U **18** *δασὶμ* < G | *μωὴβ* G | *μωὴβ* + *νωχιλὲ δασὶμ μωὶβ* G | *ἄβερ* G U M **19** ⟨*ἡ*⟩ * nach S. 222, 9 | *τῶν* < U

μου τῆς κατακρίσεως αὐτῶν καὶ καταπατήματος αὐτῶν καὶ πόνου αὐτῶν, καταπατήματι ἐν κατακρίσει διὰ τῶν πατέρων μου, ἀπὸ ταπεινώσεως παρελθούσης ἐν ἀποστολῇ τελειώσεως.« ἐπ᾽ αὐτῷ δὲ πάντα πληροῦται ταῦτα. κεκένωται γὰρ αὐτοῦ ἡ δύναμις καὶ ἡ πλάνη. εἰ δὲ ἓν ῥῆμα πρὸς ἓν θελήσει τις κατὰ λεπτολογίαν ἀκοῦσαι ἑρμηνευόμενον, καὶ τοῦτο οὐκ ἂν ὀκνήσαιμεν ποιῆσαι, ἀλλ᾽ εἰς καθῆκον κατὰ πάντα τῶν βουλομένων λεπτολόγως ἀκούειν αὐτὰ δὴ τὰ ῥήματα αὐτοῦ καὶ τὰς αὐτῶν ἑρμηνείας ἄντικρυς παραθησόμεθα, καὶ ἔστιν οὕτως· ἀβάρ, παρελθέτω· ἀνίδ, ταπείνωσις· μωΐβ, ἡ ἐκ ⟨τῶν⟩ πατέρων μου· νωχιλέ, τῆς κατακρίσεως αὐτῶν· δασίμ, καὶ καταπατήματος αὐτῶν· ἀνή, καὶ πόνου αὐτῶν· δασίμ, καταπατήματι· νωχιλέ, ἐν κατακρίσει· μωΐβ, διὰ τῶν πατέρων μου· ἀνίδ, ἀπὸ ταπεινώσεως· ἀβάρ, παρελθούσης· σελάμ, ἐν ἀποστολῇ τελειώσεως. 6

5. Αὕτη γοῦν ἡ αἵρεσις ἡ τῶν Ὀσσηνῶν ἄνωθεν προειρημένη, ἡ πολιτευομένη μὲν τὴν τῶν Ἰουδαίων πολιτείαν κατὰ τὸ σαββατίζειν τε καὶ περιτέμνεσθαι καὶ τοῦ νόμου ποιεῖν τὰ πάντα· μόνον δὲ ⟨τῷ⟩ ἀπαγορεύειν τὰς βίβλους ⟨Μωυσέως⟩ ὁμοίως τοῖς Ναζαραίοις σχίσμα [δὲ] ἐργάζεται αὕτη, διαφερομένη πρὸς τὰς ἄλλας ἓξ τούτων τῶν ἑπτὰ αἱρέσεων. 5, 1

ἀρκέσει γοῦν εἰς ἀνατροπὴν ταύτης τὸ εἶναι αὐτὴν ἀλλοτρίαν θεοῦ *, τοῦ κυρίου σαφῶς λέγοντος ὅτι | »οἱ ἱερεῖς ἐν τῷ ἱερῷ βεβηλοῦσι τὸ σάββατον«. ἡ δὲ βεβήλωσις τοῦ σαββάτου τίς αὕτη ἀλλ᾽ ὅτι ἔργον οὐδεὶς εἰργάζετο ἐν τῷ σαββάτῳ, ἐν δὲ τῷ ἱερῷ οἱ ἱερεῖς θυσίαν ἐπιτελοῦντες ἔλυον τὸ σάββατον, βεβηλοῦντες διὰ τὴν ἐνδελεχῆ τῶν ζῴων θυσίαν; 2 D329 3

Καὶ παρελεύσομαι καὶ ταύτην τὴν αἵρεσιν. συνῆπται γὰρ οὗτος πάλιν ὁ Ἠλξαΐ τοῖς μετὰ τὸν Χριστὸν Ἐβιωναίοις, ἀλλὰ καὶ τοῖς Ναζωραίοις | τοῖς μετέπειτα γεγονόσι. καὶ κέχρηνται αὐτῷ τέσσαρες 4 Ö102

20 Matth. 12, 5 — **25**—S. **223**, **3** vgl. Panarion h. 30, 3, 2 u. 30, 17, 5ff — **27** *τοῖς μετέπειτα γεγονόσιν*] gegenüber Hilgenfelds (Ketzergesch. des Urchrist. S. 426 A. 726) vielfach nachgesprochener Behauptung, Epiph. habe hier im Widerspruch mit seiner späteren Schilderung die Nazoräer für jünger als die Ebionäer erklärt, ist festzustellen, daß *μετέπειτα* soviel heißt wie »nach Elxai« (bez. nach den Ossäern), vgl. den Gegensatz in S. 223, 1f *τῶν μετέπειτα* u. *τῶν πρὸ αὐτοῦ καὶ σὺν αὐτῷ*. Die Reihenfolge soll ausdrücken, daß bei den Nazoräern eine derartige Beeinflussung weniger zu erwarten war, als bei den Ebionäern

G U M

4 *πληροῦται πάντα* M **6** ἂν < M **10** ⟨*τῶν*⟩ *, nach S. 221, 19 | *νωχελὲ* M **11** *δασὶμ* M **14** *Ὀσσηνῶν*] *Ἐσσηνῶν* M **16** ⟨*τῷ*⟩ * **17** ⟨*Μωυσέως*⟩ * | [*δὲ*] * **18** ἑπτὰ < U **19** * etwa ⟨*ἓν ῥῆμα*⟩ * **22** *θυσίαν οἱ ἱερεῖς* GU **23** *τὸ*] *τῷ* U **25** *καὶ*[1] < U | *καὶ*[2] < G | *συνάπτεται* M

αἱρέσεις, ἐπειδὴ θέλγονται τῇ αὐτοῦ πλάνῃ· ⟨ἡ⟩ Ἐβιωναίων τε τῶν μετέπειτα ⟨γεγονότων καὶ⟩ Ναζωραίων, Ὀσσαίων τε τῶν πρὸ αὐτοῦ καὶ σὺν αὐτῷ καὶ Νασαραίων τῶν ἄνω μοι προδεδηλωμένων.

Αὕτη δὲ ἡ ⟨ἕκτη⟩ αἵρεσις τῶν ἑπτὰ τῶν ἐν Ἱεροσολύμοις, αἵτινες 6
ἐνέμειναν ἄχρι τῆς τοῦ | Χριστοῦ παρουσίας καὶ μετὰ τὴν τοῦ Χρι- P44
στοῦ ἔνσαρκον παρουσίαν ἄχρι τῆς τῶν Ἱεροσολύμων ἁλώσεως, ἥτις γέγονεν ὑπὸ Τίτου βασιλέως, ἀδελφοῦ Δομετιανοῦ υἱοῦ δὲ Οὐεσπασιανοῦ, ἐν τῷ δευτέρῳ ἔτει τῆς τοῦ πατρὸς αὐτοῦ Οὐεσπασιανοῦ βασιλείας. μετὰ δὲ τὴν τῶν Ἱεροσολύμων ἅλωσιν ἐπέμεινεν ἥ τε 7
αὐτὴ καὶ αἱ ἄλλαι ὀλίγῳ τῷ χρόνῳ φημιζόμεναι αἱρέσεις, Σαδδουκαίων φημὶ καὶ Γραμματέων, Φαρισαίων τε καὶ Ἡμεροβαπτιστῶν Ὀσσαίων τε καὶ Νασαραίων καὶ Ἡρῳδιανῶν, ἄχρις οὗ κατὰ καιρὸν καὶ κατὰ χρόνον ἑκάστη αὐτῶν διασκορπισθεῖσα διελύθη.

6. Ἀρκετῶς δὲ ἔχει ἀπ' αὐτῆς τῆς αὐτῶν φρενοβλαβείας καὶ τῶν 6, 1
ῥημάτων τοῦ κηρύγματος τοῦ δηλητηρίου ἰοῦ ἀλεξητήριον ἑαυτῷ πάντα νουνεχῶ κατασκευάσαι, καταγνόντα τῆς συρφετώδους αὐτῶν διδασκαλίας τε καὶ λαλιᾶς, καὶ μάλιστα τοῦ κυρίου εὐθὺς λέγοντος 2
ἔν τε τῷ νόμῳ καὶ ἐν τῷ εὐαγγελίῳ »οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι« »οὐ λήψῃ ὄνομά τινος ἑτέρου ἐπὶ ὅρκῳ«, καὶ πάλιν ἐν τῷ εὐαγγελίῳ λέγοντος »μὴ ὀμνύναι μήτε τὸν οὐρανὸν μήτε τὴν γῆν μήτε ἕτερόν τινα ὅρκον, ἀλλ' ἤτω ὑμῶν τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὔ· | τὸ περισσότερον D330
γὰρ τούτων ἐκ τοῦ πονηροῦ ὑπάρχει«. ἐγὼ δὲ περὶ τούτου νομίζω 3
θεσπίσαι τὸν κύριον διὰ τὸ μέλλειν τινὰς λέγειν ἐν ἄλλοις ὀνόμασιν ὅρκον προβάλλεσθαι· πρῶτον μὲν οὖν ὅτι οὐ δεῖ ὀμνύναι οὔτε αὐτὸν τὸν κύριον οὔτε ἄλλον τινὰ ὅρκον· ⟨ἐκ⟩ τοῦ γὰρ πονηροῦ ἐστι τὸ ὀμνύναι. πονηρὸς δὲ ἄρα καὶ ὁ ἐν τῷ Ἡλξαΐ λαλήσας, ὁ καταναγκάσας 4
οὐ μόνον ἐν θεῷ ὀμνύναι, ἀλλὰ καὶ ἐν ἁλὶ καὶ ἐν ὕδατι καὶ ⟨ἐν ἄρτῳ

7 vgl. de mens. ac pond. 14; S. 166, 39 Lagarde — **18** Exod. 20, 3 — **19** vgl. Exod. 23, 13 — **20** Matth. 5, 34ff Jak. 5, 12 — **27** vgl. zu S. 218, 10

G U M

1 ⟨ἡ⟩ * **2** ⟨γεγονότων καὶ⟩ * | Ὀσσηνῶν U **2f** αὐτόῦ] ἑαυτοῦ M **4** ⟨ἕκτη⟩ * | τῶν (vor ἐν Ἱεροσολύμοις) < M **5** τοῦ² < U **8** ἐν τῷ δευτέρῳ — Οὐεσπασιανοῦ < U M **9** βασιλέως U | ἔμειναν M **9f** ἥτε αὕτη U ἡ αὐτὴ M **10** vor φημιζόμεναι + αἱ G U **12** Ὀσσαίων τε < G καὶ Νασαραίων καὶ Ὀσσηνῶν U **14** ἔχειν U **18** τε < M | ἐν² < G | ἕτεροι + πλὴν ἐμοῦ U **19** ἐπ' U **21f** γὰρ περισσὸν M **22** ὑπάρχει] ἐστίν M **25** τινὰ ἄλλον G U | ⟨ἐκ⟩ *, nach Z. 22 **26** δὲ] δὴ M **27** οὐ < G **27f** ⟨ἐν ἄρτῳ καὶ⟩ *, nach S. 218, 10

καὶ⟩ ἐν αἰθέρι καὶ ἐν ἀνέμῳ καὶ ἐν τῇ γῇ καὶ ἐν οὐρανῷ. ἀρκετὸν δὲ ὡς ἐν παρόδῳ διὰ τῶν δύο λόγων πρὸς ἀντίθεσιν τῆς αὐτοῦ πλάνης ἀντιδότῳ χρήσασθαι τὸν βουλόμενον ἰατρευθῆναι. παρελθὼν δὲ τούτου τὴν ἐρεσχελίαν καὶ τὸ ὕπουλον ταύτης τῆς αἱρέσεως ἐφεξῆς ποιήσομαι τῆς ἑβδόμης αἱρέσεως τὸν ἔλεγχον, τῆς παρὰ τοῖς αὐτοῖς τότε νομιτευομένης. καὶ ἔστιν αὕτη· | P45

Κατὰ Ἡρῳδιανῶν, ἀπὸ Ἰουδαϊσμοῦ αἱρέσεως ζ̄, τῆς δὲ ἀκολουθίας κ̄.

1. *Μετὰ ταύτην δὲ καὶ μετὰ ταύτας πάλιν ἑβδόμη ἦν Ἡρῳδιανῶν* **1, 1**
καλουμένη. οὐδὲν δὲ ἔσχον τι παρηλλαγμένον οὗτοι, ἀλλὰ ὅλοι
Ἰουδαῖοι ⟨ἦσαν⟩ *ἀργοί τε καὶ ὑποκριταί. Ἡρῴδην δὲ οὗτοι ἡγοῦντο*
Χριστόν, Χριστὸν τὸν ἐν πάσαις γραφαῖς νόμου τε καὶ προφη|τῶν Ö104
προσδοκώμενον νομίσαντες αὐτὸν εἶναι τὸν Ἡρῴδην, καὶ ἐπ' αὐτῷ **2**
ἀπατώμενοι ἐσεμνύνοντο τῷ Ἡρῴδῃ, ἐκ τοῦ ῥητοῦ συναρπασθέντες
(μετὰ τοῦ καὶ εἰς χάριν τοῦ τότε βασιλέως κενοδοξῆσαι) τοῦ εἰρημέ-
νου »οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα οὔτε ἡγούμενος ἐκ τῶν μηρῶν
αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται« ἢ ὡς ἔχει τὰ ἄλλα ἀντίγραφα
»ἕως ἔλθῃ ᾧ τὰ ἀποκείμενα«· ἐπειδήπερ ὁ Ἡρῴδης υἱὸς Ἀντι- **3**
πάτρου ἐτύγχανεν Ἀσκαλωνίτου τινὸς ἱεροδούλου Ἀπόλλωνος τοῦ
εἰδώλου· οὗ ὁ | πατὴρ τοῦ αὐτοῦ Ἀντιπάτρου Ἡρῴδης μὲν ἦν τοῦ- D331

7 ff die Ἡρῳδιανοί sonst nur noch bei Ps. Tert. *adv. omn. haer.* 1 (aus ihm schöpft Hieronymus *adv. Luciferianos* c. 23; Migne 23, 178 B) u. Filaster h. 28; ein kurzer Auszug bei Nicetas Chon. Thes. I c. 44 — **15** Gen. 49, 10 — **17**—S. **225**, **13** in der Hauptsache nach Jul. Africanus ep. ad Arist. bei Eusebius h. e. I 7, 11 f; S. 58, 17 ff Schwartz vgl. Eusebius h. e. I 6, 2 ff; S. 48, 14 ff Schwartz Hieronymus Chronik S. 160, 1 Helm

G U M

2 *δύο* + ⟨*τούτων*⟩? * **3** *χρῆσθαι* U **4** *αἱρεσχελίαν* M | vor *ταύτης* + *καὶ* M **5** *τῆς*²] *τοῖς* M **6** *νομιστευομένης* U am Rand von späterer Hand ☞ *τυγχανούσης* G | Unterschrift *κατὰ Ὀσσηνῶν* G **7** *κατὰ Ἡρωδιανῶν, ἀπὸ Ἰουδαϊσμοῦ ἑβδόμη, τῆς δὲ ἀκολουθίας ϛ̄* G M *κατὰ Ἡρωδιανῶν, ἑβδόμη αἵρεσις ἀπὸ Ἰουδαϊσμοῦ, εἰκοστὴ δὲ τῇ ἀκολουθία* U **8** *ἑβδόμη* + *αἵρεσις* U | vor *Ἡρῳδιανῶν* + *ἡ τῶν* U **9 f** *ὅλοι* + *εἰσὶν* U (nur Vermutung); anstatt dessen Z. 10 + ⟨*ἦσαν*⟩ * **10** *δὲ*] *τε* M **11** *Χριστὸν*²] *κύριον* G U **12** *Ἡρῴδην* + *Χριστὸν* U **13** *τῷ* (vor *Ἡρῴδῃ*) < M **14** *μετὰ τοῦ*] *μετ' αὐτοῦ* M **15** *οὐδὲ* U **16** *ἢ* < G U | *ὡς* + *δὲ* U **19** *τὸ ὄνομα* G

νομα, υἱὸς δὲ ἦν καὶ αὐτὸς Ἀντιπάτρου. αἰχμάλωτος δὲ ἤχθη ὑπὸ Ἰδουμαίων ὁ αὐτὸς Ἀντίπατρος κἀκεῖσε ἐν τῇ Ἰδουμαίᾳ διατρίβων ἐγέννησε τὸν Ἡρῴδην. τοῦ δὲ πατρὸς πένητος ὄντος καὶ μὴ δυνα- 4
μένου λύτροις ῥύσασθαι τὸν υἱόν, λέγω δὴ τὸν Ἀντίπατρον, ἔμεινε
πολλῷ τῷ χρόνῳ δουλεύων· ὕστερον δὲ ἐλυτρώθη ἐξ ἐράνου τῶν πολιτῶν σὺν τῷ παιδίῳ Ἡρῴδῃ καὶ μετῆλθεν εἰς τὰ οἰκεῖα. διόπερ τινὲς αὐτὸν λέγουσιν Ἰδουμαῖον, ἄλλοι δὲ Ἀσκαλωνίτην ἴσασιν. ὕστερον δὲ ἐφιλιώθη † Δημητρίῳ καὶ ἐπίτροπος κατέστη ἐπὶ τῆς 5
Ἰουδαίας, ἐν γνώσει τε γέγονεν Αὐγούστῳ βασιλεῖ καὶ ἀπὸ τοῦ ἐπι-
τροπεύειν προσηλυτεύει, περιτέμνεταί τε αὐτὸς καὶ περιτέμνει Ἡρῴ-
δην τὸν υἱόν, εἰς ὃν ἦλθεν ὁ κλῆρος τῆς τῶν Ἰουδαίων βασιλείας·
ἦν δὲ βασιλεὺς ἐν τῇ Ἰουδαίᾳ ὑπὸ βασιλέα Αὔγουστον ὑπόσπονδος
ὑπάρχων. ἐπεὶ οὖν ἐξ ἀλλοφύλων οὗτος βασιλεύει, κατὰ διαδοχὴν 6
δὲ διήρκεσεν ἀπὸ τοῦ Ἰούδα καὶ ἀπὸ τοῦ Δαυὶδ τὸ βασίλειον καὶ οἱ
ἐκ τοῦ Ἰούδα ἄρχοντες καὶ πατριάρχαι ⟨ἐξέλιπον⟩, μετέστη δὲ τὸ
βασίλειον εἰς ἀλλόφυλον, πιθανὸν ἔδοξεν [ἐν] τῇ ὑπολήψει τῶν πεπλα-
νημένων τὸ ἀπατηθῆναι καὶ νομίσαι αὐτὸν Χριστὸν εἶναι, ἀπὸ τῆς 7
ἀκολουθίας τοῦ προειρημένου | ῥητοῦ τοῦ »οὐκ ἐκλείψει ἄρχων ἐξ P46
Ἰούδα, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται«, ὡς εἶναι τοῦτο ⟨οὕτως⟩ παρ᾽
αὐτοῖς νοητέον, ὅτι τούτῳ ἀπέκειτο, φησίν· ἐξέλιπον γὰρ ἐκεῖνοι καὶ
οὗτος οὐκ ἀπὸ γένους τοῦ Ἰούδα, ἀλλ᾽ οὔτε ὅλως τοῦ Ἰσραὴλ ὑπάρ-
χει· τ⟨οι⟩ούτῳ δὲ ἀπέκειτο ⟨τὸ⟩ εἶναι Χριστόν.

1 daß der Urgroßvater des Herodes wieder Antipatros geheißen habe, ist eigene Behauptung des Epiphanius; wohl entstanden durch Vermengung der Angaben des Josephus u. des Africanus über den Großvater des Herodes. Nach ersterem (vgl. antt. XIV 10) hieß dieser Antipatros, nach letzterem Herodes — **12ff** vgl. haer. 51, 22, 20ff u. Eusebius Chronik aus dem Armenischen S. 59, 13ff Karst S. 61, 25ff. Hieronymus Chronik S. 160, 1ff Helm — **18** Gen. 49, 10

G U M

1 *καὶ αὐτὸς* *, nach Cryptoferrat. *Ba* f. 156r *καὶ αὐτὸς δὲ υἱὸς ἀντιπάτρου ἐτύγχανεν*] *οὗτος τοῦ* G U M | *Ἀντίπα* G U | *ἤχθη*] *ἐλήφθη* G U **2** *Ἰουδαίων* G **4** *ἔμεινεν* + *ἐν* G U **6** *παιδὶ* U **7** *αὐτῶν* U **8** *ἐφιλώθη* U | † *Δημητρίῳ*] nach Jul. Africanus (Eus. h. e. I 7, 11; S. 58, 22 Schwartz) u. Eusebius (h. e. I 6, 3; S. 48, 19) müßte es *Ὑρκανῷ* heißen; aber auch Nic. Chon. u. der Cryptoferrat. haben *Δημητρίῳ* | *ἐπὶ* < M **9** *Ἰουδαίας* G U, vgl. Jul. Afric. bei Eusebius h. e. I 7, 12; S. 58, 25 Schwartz *ἐπιμελητὴς τῆς Παλαιστίνης χρηματίσας*] *Ἰδουμαίας* M **10** vor *αὐτὸς* + *καὶ* U **12** *βασιλέα* + *δὲ* M **14** *τοῦ*2 < M **15** ⟨*ἐξέλιπον*⟩ * **16** [*ἐν*] * **17** *νομῆσαι* U **19** *ἂν* < G | ⟨*οὕτως*⟩ * **22** *τ⟨οι⟩ούτῳ* * | *ἀπέκειτο*] *κεῖται* M | ⟨*τὸ*⟩ *

2. ἀλλ᾽ ἐλέγχει αὐτοὺς ἡ ἀκολουθία φάσκουσα ὅτι »αὐτὸς προσ- 2, 1
δοκία ἐθνῶν καὶ ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσιν«. ποῖον δὲ τῶν ἐθνῶν
ἐπὶ Ἡρῴδῃ ἤλπισεν; ποία δὲ προσδοκία ἐθνῶν Ἡρῴδην καραδοκεῖ;
πῶς δὲ παρ᾽ αὐτοῖς ἐπληροῦτο τό »ἐκοιμήθη ὡς λέων καὶ ὡς σκύμ-
5 νος | λέοντος, τίς ἐξεγερεῖ αὐτόν«; ποῦ δὲ »ἔπλυνεν ἐν αἵματι τὴν 2 D332
στολὴν αὐτοῦ« ὁ Ἡρῴδης ἢ »ἐν αἵματι σταφυλῆς τὸ περιβόλαιον
αὐτοῦ«, ὡς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὸ σῶμα αὐτοῦ ῥαντίσας
αἵματι τῷ ἰδίῳ καὶ ἐν αἵματι σταφυλῆς τὸ περιβόλαιον αὐτοῦ; ἀλλὰ 3
»νόει ὃ λέγω. δώσει γάρ σοι ὁ κύριος σύνεσιν ἐν πᾶσιν.« ἵνα γὰρ
10 δείξῃ τὸ καθάρσιον τῆς τοῦ λαοῦ τοῦ κυρίου καταστάσεως, ἦλθεν
διὰ τοῦ ἰδίου αἵματος τῆς διδασκαλίας καθᾶραι τοὺς ὀδόντας τῶν
ἀνθρώπων τοὺς εἰς αἷμα κνίσης | καὶ ἀθεμίτου θυσίας μεμολυσμέ- Ö106
νους. καὶ τί μοι τὰ πλήθη λέγειν; πολλὰ γάρ ἐστι καὶ οὐκ ἐνδέ- 4
χεται ὁ χρόνος πρὸς ἀντίθεσιν τῶν προειρημένων αἱρέσεων ἐπι-
15 μηκύνειν τὸν λόγον.

3. Ἀλλ᾽ αὗται μὲν αἱ ἑπτὰ ἦσαν ἐν Ἰσραήλ, ἐν τῇ Ἱερουσαλὴμ 3, 1
καὶ ἐν τῇ Ἰουδαίᾳ, αἱ δὲ τέσσαρες αἱ προειρημέναι παρὰ Σαμαρείταις
ἐν τῇ Σαμαρείᾳ· αἱ πλείους δὲ καθηρέθησαν. οὐκέτι γὰρ Γραμματεῖς,
οὐκέτι Φαρισαῖοι, οὐκέτι Σαδδουκαῖοι, οὐκέτι Ἡμεροβαπτισταί, οὐκέτι
20 Ἡρῳδιανοί· μόνοι δέ τινες ἐν σπάνει εὑρίσκονται εἴπου εἷς ἢ δύο 2
Ναζαρηνοὶ ὑπὲρ τὴν ἄνω Θηβαΐδα καὶ ἐπέκεινα τῆς Ἀραβίας καὶ
Ὀσσαίων τὸ λεῖμμα, οὐκέτι Ἰουδαΐζον ἀλλὰ συναφθὲν Σαμψίταις
τοῖς κατὰ διαδοχὴν ἐν τοῖς πέραν τῆς νεκρᾶς θαλάσσης ὑπερκειμέ-
νοις *· νυνὶ δὲ τῇ τῶν Ἐβιωναίων αἱρέσει συνήφθησαν. καὶ 3
25 γέγονε λῆξαι μὲν αὐτοὺς ἀπὸ Ἰουδαϊσμοῦ, ὥσπερ δὲ ῥίζαν τμηθῆναι
ἢ σῶμα ἑρπετοῦ καὶ ἐξ αὐτοῦ φῦναι δικέφαλον καὶ ἄριζον ὄφιν ἐν
ἑνὶ σώματι ἡμιτόμῳ ἐκπεφυκότα καὶ ἐξηρτημένον. | P47

1 Gen. 49, 10 — **4** Gen. 49, 9 — **5** Gen. 49, 11 — **9** II Tim. 2, 7 — **11** vgl. Gen. 49, 12 — **22** vgl. oben S. 219, 7 u. haer. 30, 17, 5ff

G U M

1 ἀλλὰ G **2f** καὶ ἐπ᾽ — προσδοκία ἐθνῶν < M **2** αὐτὸ G **3** Ἡρώδην G | καραδοκεῖν M; lies ἐκαραδόκει? * **4** τὸ ἐκοιμήθη vor παρ᾽ αὐτοῖς G U **9** ἃ U | δῴη G U | γὰρ[1] < G | ὁ < G **11** αἵματος] βρώματος M **12** κνίσης καὶ] καὶ κρέας, aber θυσίας + μετὰ κνίσης G | κνίσης + τε U **12f** μεμολυμμένους G **16** αὐταὶ U | ἐν[2] + τε U **18** γὰρ < U **20** σπανία M | ἤπου U M **22** Ὀσσηνῶν U | λῆμμα M **23** τοῖς[2] *] τῶ G U M **23f** ὑπερκειμένης U **24** * etwa ⟨τόποις οἰκοῦσιν⟩ * **25** λῆξαί M | αὐτοῖς u. + ὁ μάγος M | δὲ < M **26** ἄριζον M U **27** ἐκπεφυκότα *] ἐκπεφυκὸς G U M

Ἕως ὧδε ἡ περὶ τῶν τεσσάρων αἱρέσεων τῶν Σαμαρειτῶν διαλογὴ καὶ τῶν ἑπτὰ τῶν Ἰουδαίων, ἐξ ὧν οὐκέτι φέρονται ⟨ἀλλ'⟩ ἢ τρεῖς μόναι τῶν Σαμαρειτῶν, λέγω δὴ ⟨ἡ⟩ Γοροθηνῶν τε καὶ Δοσιθέων καὶ Σεβουαίων, Ἐσσηνῶν δὲ οὐ πάνυ, ἀλλ' ὡς ἐν σκότῳ τεθαμμένων· παρὰ δὲ τοῖς | Ἰουδαίοις οὐκέτι ἀλλ' ἢ Ὀσσαίων καὶ Ναζαραίων ὀλίγοι ἀφωρισμένοι. Ὀσσαῖοι δὲ μετέστησαν ἀπὸ Ἰουδαϊσμοῦ εἰς τὴν τῶν Σαμψαίων αἵρεσιν, οἵτινες οὐκέτι οὔτε Ἰουδαῖοι ὑπάρχουσιν οὔτε Χριστιανοί. ταῦτά μοι περὶ τῶν προειρημένων ἕως ὧδε ἐχέτω. 4 D333

Ἐνδημία Χριστοῦ καὶ ἐνσάρκου παρουσίας καὶ ἀληθείας πρόσωπον· ἡ μία καὶ μόνη οὖσα τοῦ θεοῦ πίστις.

1. Εὐθὺς δὲ ἐπεδήμησεν κατὰ πόδας ἡ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔνσαρκος παρουσία, ἥτις κατέλαβε τὰς προειρημένας ἑπτὰ αἱρέσεις ἐν Ἱεροσολύμοις. ἔσβεσε δὲ ταύτας ἡ αὐτοῦ δύναμις καὶ διεσκέδασε. λοιπὸν δὲ μετὰ τὴν αὐτοῦ ἐπιδημίαν αἱ μετέπειτα πᾶσαι γεγόνασιν αἱρέσεις, λέγω δὴ μετὰ τὸ εὐαγγελισθῆναι Μαριὰμ ἐν Ναζαρὲτ διὰ τοῦ Γαβριὴλ καὶ μετὰ πᾶσαν ἁπλῶς τὴν ἔνσαρκον τοῦ κυρίου παρουσίαν εἴτουν ἀνάληψιν. ἡυδόκησε γὰρ ὁ θεὸς πρὸς σωτηρίαν τῶν | ἀνθρώπων τὸν ἴδιον υἱὸν κατελθόντα ἐν μήτρᾳ παρθενικῇ συλληφθῆναι, Λόγον ὄντα ἀπ' οὐρανοῦ, ἐκ κόλπων πατρῴων γεγεννημένον ἀχρόνως καὶ ἀνάρχως, ἐλθόντα δὲ ἐπ' ἐσχάτων τῶν ἡμερῶν, θεὸν Λόγον ὄντα ἐκ θεοῦ πατρὸς ἀληθινῶς γεγεννημένον, ὁμοούσιον ὄντα τῷ πατρὶ καὶ οὐδὲν παρὰ τὸν πατέρα ἠλλοιωμένον, ἀλλὰ ἄτρεπτον ὄντα καὶ ἀναλλοίωτον, ἀπαθῆ τε καὶ ὅλως μὴ πάσχοντα, συμπάσχοντα δὲ τῷ ἡμετέρῳ γένει, κατελθόντα 1, 1 Ö108 2 3

16 vgl. Luk. 1, 26ff — **21f** vgl. Hebr. 1, 2

G U M **10**—S. **233**, **12** Anacephalaeosis (= anaceph.)

2 ἐμφέρονται U | ⟨ἀλλ'⟩ * **3** ἢ] αἱ M | μόναι] μὲν αἱ U M | λέγω δὴ < U M | ⟨ἡ⟩ * | Γορθηνῶν U **4** Δωσιθέων G M | δὲ] τε G M | ἀλλὰ G **5** ἢ] ἡ U M | Ὀσσαίων *] Ἰουδαίων G U M **6** ὀλίγοι ἀφωρισμένοι < U M **7** Σαμψέων U | οἵτινες] καὶ U M **9** Unterschrift κατὰ Ἡρωδιανῶν G **10** ἔνσαρκος παρουσία καὶ ἀλήθεια U **12** δὲ < anaceph. **13** vor τὰς + πρὸς anaceph. **14** ἐν + δὲ anaceph. **15f** μετὰ τὴν — λέγω δὴ] ἀπὸ τῆς αὐτοῦ ἐπιδημίας anaceph. **17—20** διὰ τοῦ Γαβριὴλ — συλληφθῆναι] καὶ συνειλῆφθαι anaceph. **18** εἴτουν *] εἴτε G M εἶτα U **20** τὸν Λόγον τὸν ὄντα anaceph. **24** ἀλλ' U **25** κατελθόντα] καὶ ἐλθόντα anaceph.

ἀπ᾽ οὐρανοῦ, ἐγκυμονηθέντα οὐκ ἀπὸ σπέρματος ἀνδρός, ἀλλὰ διὰ πνεύματος ἁγίου, ἀληθινῶς σῶμα ἀπὸ Μαρίας ἐσχηκότα, ἀναπλάσαντα ἑαυτῷ τὴν σάρκα ἀπὸ τῆς μήτρας τῆς ἁγίας παρθένου καὶ ψυχὴν τὴν ἀνθρωπείαν εἰληφότα καὶ νοῦν καὶ πᾶν εἴ τί ἐστιν ἄνθρωπος χωρὶς ἁμαρτίας εἰς ἑαυτὸν τῇ ἑαυτοῦ θεότητι συνενώσαντα, | D334
γεγεννημένον τε ἐν Βηθλεέμ, περιτμηθέντα ἐν τῷ σπηλαίῳ, προσ- 4
ενεχθέντα ἐν Ἱεροσολύμοις, ἐναγκαλισθέντα ὑπὸ Συμεῶνος, ἀνθο|- P48
μολογηθέντα ὑπὸ Ἄννης τῆς τοῦ Φανουὴλ προφήτιδος, ἀπενεχθέντα εἰς Ναζαρέτ, ἐλθόντα τῷ ἐξῆς ἐνιαυτῷ ὀφθῆναι ἐνώπιον κυρίου εἰς Ἱερουσαλήμ, γενόμενόν τε ἐν Βηθλεὲμ διὰ τὴν συγγένειαν ὑπὸ τῆς 5
μητρὸς βασταζόμενον, αὖθις πάλιν εἰς Ναζαρὲτ ἀπενεχθέντα καὶ κατὰ δευτέραν περίοδον ἐνιαυτοῦ εἰς τὰ Ἱεροσόλυμα καὶ Βηθλεὲμ ἐληλυθότα, βασταζόμενον ὡσαύτως ὑπὸ τῆς ἰδίας μητρός, ἐν Βηθλεὲμ δὲ ἐν οἰκίᾳ κατελθόντα σὺν τῇ ἰδίᾳ μητρὶ καὶ Ἰωσὴφ γέροντι ὄντι σὺν τῇ Μαρίᾳ δὲ ὄντι, κἀκεῖσε τῷ δευτέρῳ ἔτει τῆς αὐτοῦ γεννήσεως κατοπτευθέντα ὑπὸ τῶν μάγων προσκυνηθέντα δῶρα λαβόντα καὶ 6
ἐν αὐτῇ τῇ νυκτὶ [ὑπὸ] ἀγγέλου τῷ Ἰωσὴφ χρηματίσαντος εἰς Αἴγυπτον παραληφθέντα, ἐκεῖθεν πάλιν διὰ δύο ἐτῶν ἐπανεληλυθότα, τελευτήσαντος τοῦ Ἡρῴδου, Ἀρχελάου τε διαδεξαμένου.

2. Τῷ γὰρ τριακοστῷ τρίτῳ Ἡρῴδου, τεσσαρακοστῷ δὲ δευτέρῳ 2, 1
Αὐγούστου τοῦ βασιλέως, γεννᾶται ὁ σωτὴρ ἐν Βηθλεὲμ τῆς Ἰου-

6—S. **229, 19** die hier vorgetragene Chronologie des Lebens Jesu wird wiederholt u. eingehend begründet Panarion haer. 51, 8ff; vgl. z. d. St. u. Index unter Christologie (Chronologie des Lebens Jesu) — **14 f** angeführt bei Michael Glykas ann. III; Migne 158, 396 B

G U M anaceph.

1 *διὰ*] *ἀπὸ* anaceph. **3** *παρθένου* < G U anaceph. | *καὶ* < anaceph. **4** *ἀνθρωπίνην* anaceph. **5** *χωρὶς ἁμαρτίας* < anaceph. **6** *ἐμβηθλεὲμ* U | *ἐν τῷ σπηλαίῳ* < anaceph. **7** vor *Συμεῶνος* + *τοῦ* U | *Συμεὼν* anaceph. **8** *Ἄννας* M | *ἀπενεχθέντα*] *ληφθέντα* anaceph. **9 f** *εἰς Ἱερουσαλὴμ* < anaceph. **11** *ἀπενεχθέντα*] *ἀπαρθέντα* anaceph. **12** *δευτέραν* < M | *ἐνιαυτῶν* anaceph. | *καὶ Βηθλεὲμ* < anaceph. **13** vor *βασταζόμενον* + *καὶ* M | *ὡσαύτως* < anaceph. **14** *δὲ* < anaceph. | *κατελθόντα*] *καταχθέντα* u. vor *ἐν οἰκίᾳ* M **15** *σὺν τῇ — ὄντι* < G | *δὲ Μαρίᾳ* M **16** *ὑπὸ τῶν μάγων προσκυνηθέντα* < anaceph. | *προσκυνηθῆναι* U | *προσκυνηθέντα* + *τε καὶ* G **17** [*ὑπὸ*] ***] *ὑπ᾽* U **18** *παραλειφθέντα* U | *παραληφθέντα* + *καὶ κατελήλυθότα* anaceph. | *ἐκεῖθεν*] *ἀποκριθέντα* M *ἀπ᾽ ἐκεῖθέν τε* U | *ἀνεληλυθότα* anaceph. *τρίτῳ* + *ἔτει* U **21** *τοῦ* < G U

δαίας. κάτεισι δὲ εἰς Αἴγυπτον τῷ τριακοστῷ πέμπτῳ Ἡρῴδου,
ἄνεισι δὲ ἀπὸ τῆς Αἰγύπτου μετὰ τὴν Ἡρῴδου τελευτήν. διὸ ἐπὶ 2
τριάκοντα καὶ ἑπτὰ ἔτεσι τῆς αὐτῆς τοῦ Ἡρῴδου ἀρχῆς ἦν ὁ παῖς
τεσσάρων ἐτῶν, ὅτε Ἡρῴδης τριάκοντα ἑπτὰ πληρώσας κατέστρεψε
τὸν βίον. Ἀρχέλαος δὲ ἐννέα ἔτη βασιλεύει, οὗ ἐν ἀρχῇ τῆς βασιλείας 3
ἐξιὼν Ἰωσὴφ ἀπ᾽ Αἰγύπτου ἅμα τῇ Μαρίᾳ καὶ τῷ παιδί, ἀκούσας
τὸν Ἀρχέλαον βασιλεύειν ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας καὶ
κατῴκησεν τότε εἰς Ναζαρέτ. Ἀρχέλαος δὲ γεννᾷ τὸν Ἡρῴδην τὸν 4
νεώτερον, καὶ βασιλεύει Ἡρῴδης οὗτος τῷ ἑνάτῳ ἔτει τῆς τοῦ
πατρὸς βασιλείας Ἀρχελάου κατὰ διαδοχήν. καὶ γέγονε λογιζόμενα
δεκατρία ἔτη τῇ | ἐνσάρκῳ Χριστοῦ παρουσίᾳ. ὀκτωκαιδεκάτῳ δὲ 5 D335
ἔτει Ἡρῴδου τοῦ καὶ Ἀγρίππα ἐπικληθέντος ἤρξατο ὁ Ἰησοῦς τοῦ
κηρύγματος καὶ τὸ βάπτισμα τὸ ἀπὸ Ἰωάννου τότε λαμβάνει καὶ
κηρύσσει ἐνιαυτὸν | δεκτόν, ὑπ᾽ οὐδενὸς ἀντιλεγόμενος, οὔτε ὑπὸ Ö110
Ἰουδαίων οὔτε ὑπὸ Ἑλλήνων οὔτε ὑπὸ Σαμαρειτῶν οὔτε ὑπό τινος
ἑτέρου. ἔπειτα ἀντιλεγόμενος ἐκήρυξεν ἐνιαυτὸν δεύτερον καὶ γέγονεν 6
ἐννεακαίδεκα ἔτη τῷ αὐτῷ Ἡρῴδῃ, τῷ δὲ σωτῆρι τριακοστὸν δεύ-
τερον. ἐν δὲ τῷ εἰκοστῷ ἔτει τοῦ Ἡρῴδου τοῦ τετράρχου καλου- 7
μένου γίνεται τὸ σωτήριον πάθος καὶ ἡ ἀπάθεια, ἡ θανάτου γεῦσις | P49
γεῦσίς τε θανάτου ἄχρι σταυροῦ, πάσχοντος ἐν ἀληθείᾳ, ἀπαθοῦς δὲ

2—12 die Angaben über die Regierungsjahre des Herodes d. Gr., des Archelaus u. Herodes d. J. stammen aus Eusebius; vgl. Hieronymus Chronik S. 160, 1 170, 5 171, 11 Helm. Daß Herodes d. J. Z. 8 zum Sohn des Archelaus gemacht u. Z. 12 mit Herodes Agrippa verwechselt wird, kommt auf Rechnung des Epiphanius — **6f** vgl. Matth. 2, 22f — **12** *Ἀγρίππα* ist nicht mit Scaliger in *Ἀντίπα* zu ändern; denn derselbe Irrtum wird von Epiph. Panarion haer. 78, 10, 3 noch unzweideutiger wiederholt *τοῦ δὲ Ἀγρίππα ἐπικληθέντος μεγάλου, Ἡρῴδου δὲ νεωτέρου, υἱοῦ δὲ Ἀρχελάου* — **14** vgl. Luk. 4, 9 — **19f** vgl. Phil. 2, 8

G U M anaceph.

1 *τριακοστῷ* + *ἔτει καὶ* U **2** *ἀπ᾽ Αἰγύπτου* anaceph. | *διὸ*] *δι᾽ ὧν* anaceph. **3** *καὶ* < anaceph. | *αὐτῆς τοῦ* < M **4** *τριακοστὸν ἕβδομον* anaceph. | *ἑπτὰ* + *ἔτη* U **5** *οὗ*] *ὡς* anaceph. | *ἐν ἀρχῇ τῆς βασιλείας* < anaceph. **6** *ἀπ᾽ Αἰγύπτου* < anaceph. | *παιδίῳ* anaceph. **7** *τῆς* < anaceph. **8** *τότε* < anaceph. **9** *οὗτος* < G U anaceph. **10** *Ἀρχελάου βασιλείας* U | *γέγονε* + *τῷ αὐτῷ* U | *λογιζόμενα* hinter *ἔτη* (Z. 11) U **12** *τοῦ ἐπικληθέντος Ἀγρίππου* G U | vor *ἤρξατο* + *τότε* U **15** *ἀπὸ* im 2. u. 3. Fall M im 3. Fall U **17** *Ἡρώδου* M **18** *τοῦ Ἡρῴδου* < M **19** *ἡ θανάτου γεῦσις* < anaceph. | *γεῦσις*] *κρείσσων* G

μένοντος ἐν θεότητι (»Χριστοῦ γὰρ παθόντος ὑπὲρ ἡμῶν σαρκί« φησὶν ἡ θεία γραφὴ καὶ πάλιν »θανατωθεὶς σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι« καὶ τὰ ἑξῆς). σταυροῦται θάπτεται κατέρχεται εἰς τὰ 8
καταχθόνια ἐν θεότητι καὶ ἐν ψυχῇ, αἰχμαλωτεύει τὴν αἰχμαλωσίαν
καὶ ἀνίσταται τῇ τρίτῃ ἡμέρᾳ σὺν αὐτῷ τῷ ἁγίῳ σώματι, συνενώσας
τὸ σῶμα τῇ θεότητι, μηκέτι λυόμενον μηκέτι πάσχον μηκέτι ὑπὸ
θανάτου κυριευόμενον (ὡς φησιν ὁ ἀπόστολος »θάνατος αὐτοῦ οὐκ-
έτι κυριεύει«). 3. αὐτὸ τὸ σῶμα ἀληθινῶς αὐτὴν τὴν σάρκα αὐτὴν 3, 1
τὴν ψυχὴν αὐτὰ τὰ πάντα· οὐκ ἄλλο τι παρὰ τὸ ὂν σῶμα, ἀλλ'
αὐτὸ τὸ ὂν ἐνδυναμώσας καὶ ἑνώσας εἰς μίαν ἑνότητα εἰς μίαν θεό-
τητα, τὸ σαρκικὸν ἄφθαρτον τὸ σωματικὸν πνευματικὸν τὸ παχυ-
μερὲς λεπτομερὲς τὸ θνητὸν ἀθάνατον, μὴ ἑωρακὸς ὅλως διαφθοράν,
μὴ καταλειφθείσης τῆς ψυχῆς ἐν Ἅιδῃ, μὴ μερισθέντος τοῦ ὀργάνου 2
πρὸς ἁμαρτίαν, μὴ χρανθέντος τοῦ νοῦ τροπῇ, ἀλλὰ τὰ ὅλα μὲν
ἀνθρώπου λαβών, φυλάξας δὲ ὅλα τέλεια, ἐπιδεδωκυίας τῆς θεότητος
τῇ ἀληθινῇ ἐνανθρωπήσει πρὸς τὰς εὐλόγους χρείας, λέγω δὴ τὰς
*ἐκ σώ|ματός τε καὶ ψυχῆς καὶ ἐκ νοῦ ἀνθρωπίνου * πιστουμένας* D336
τὴν πληροφορίαν, τουτέστιν πείνῃ καὶ δίψῃ, κλαυθμῷ τε καὶ ἀθυμίᾳ,
δάκρυσί τε καὶ ὕπνῳ, καμάτῳ καὶ ἀναπαύσει. ταῦτα γὰρ οὐχ ἁμαρ- 3
τίας εἶδος, ἀλλ' ἐνανθρωπήσεως ἀληθεστάτης γνώρισμα, ἀληθείᾳ τῆς
θεότητος συνούσης τῇ ἐνανθρωπήσει, οὐ τὰ ἀνθρώπινα πασχούσης,
ἀλλὰ τῆς θεότητος συνευδοκούσης εἰς τὰ εὔλογα καὶ τὰ ἐκτὸς ἁμαρ-
τίας καὶ τροπῆς ἀπηγορευμένης ὑπάρχοντα. ἀλλὰ καὶ ἀνέστη καὶ 4

1 I Petr. 4, 1 — **2** I Petr. 3, 18 — **4** vgl. Ephes. 4, 8 — **7** Röm. 6, 9 — **12f** vgl. Psal. 15, 10

G U **M** anaceph.

1 *σαρκί* < M **2** *θεία* < G U | *θανατωθεὶς* + *μὲν* anaceph. | *ζωογονηθεὶς* G U **5** *τῇ τρίτῃ ἡμέρᾳ*] *τριήμερος* anaceph. | *σώματι*] *πνεύματι* anaceph. **6** *τὸ σῶμα*] *τῶ σῶμα* G *τῶ σώματι* M **10** *τὸ* < anaceph. | *ὂν*] *ἴδιον* M | *καὶ ἑνώσας* < G U M | *εἰς μίαν ἑνότητα* < M | vor *εἰς μίαν*[2] + *καὶ* anaceph. **12** *ἀθάνατον* + ⟨*ἀποδείξας*⟩? * | *ἑωρακὼς* G M **13** *καταληφθείσης* M | *εἰς Ἅιδην* < anaceph. **14** *πρὸς*] *εἰς* anaceph. | *εἰς τροπὴν* anaceph. | *τροπῇ* + *τὸ παράπαν* G | *μὲν* < anaceph. **15** vor *τέλεια* + *τὰ* anaceph. **16f** *πρὸς τὰς — ψυχῆς*] *ταῖς χρείαις, ταῖς εὐλογίαις κατὰ τὰς σωματικάς τε καὶ ψυχικὰς* anaceph. **17** * etwa ⟨*φυομένας, τῆς ἀληθινῆς ἐνανθρωπήσεως*⟩ * | *πιστουμένας*] *κεκτημένας* anaceph. **18** *τουτέστιν*] *τὰ τῇ* anaceph. | vor *κλαυθμῷ* + *καὶ* anaceph. **19** *δακρύσει* U | *καμάτῳ* < U M | *οὐκ* M **20** *ἀνθρωπισμοῦ ἀληθεστάτου* anaceph. | *ἀληθείας* M **21** *τῇ ἐνανθρωπήσει* < anaceph. | *ἐνανθρωπήσει*] *ἀνθρωπότητι* U **22** *τὰ* < anaceph. **23** *ὑπάρχοντα* *] *ὑπαρχούσης* anaceph. < G U M | *ἀλλὰ καὶ* < G U M

θυρῶν κεκλεισμένων εἰσῆλθεν, ἵνα τὸ παχυμερὲς λεπτομερὲς ἀποδείξῃ, αὐτὸ τὸ ὂν σὺν σαρκὶ καὶ ὀστέοις. μετὰ γὰρ τὸ εἰσελθεῖν ἔδειξε χεῖρας καὶ πόδας καὶ πλευρὰν νενυγμένην, ὀστέα τε καὶ νεῦρα καὶ τὰ ἄλλα, ὡς μὴ εἶναι φαντασίαν τὸ ὁρώμενον· πίστεώς τε καὶ ἐλπί-
5 *δος τῆς ἡμετέρας | τὴν ὑπόσχεσιν ἐποιεῖτο, δι' ἑαυτοῦ τὰ ὅλα τελει-* P50
ώσας. | καὶ συναλίζεται οὐ δοκήσει ἀλλὰ ἀληθείᾳ, παιδεύων τε 5 Ö112
ἐδίδαξε βασιλείαν οὐρανῶν κηρύσσειν ἐν ἀληθείᾳ, τὸ μέγα καὶ κορυ-
*φαιότατον * σημαίνων τοῖς μαθηταῖς καὶ λέγων »μαθητεύσατε τὰ*
ἔθνη«, τουτέστιν μεταβάλετε τὰ ἔθνη ἀπὸ κακίας εἰς ἀλήθειαν, ἀπὸ
10 *αἱρέσεων εἰς μίαν ἑνότητα, »βαπτίζοντες αὐτοὺς εἰς ὄνομα πατρὸς* 6
καὶ υἱοῦ καὶ ἁγίου πνεύματος«, εἰς τὴν κυριακὴν ὀνομασίαν τῆς
τριάδος, τὴν ἁγίαν καὶ βασιλικὴν σφραγῖδα, ἵνα δείξῃ ἐκ τοῦ ὀνόμα-
τος μηδεμίαν ἀλλοίωσιν εἶναι τῆς μιᾶς ἑνότητος. ὅπου γὰρ οἱ βαπτι- 7
ζόμενοι κελεύονται ὑπ' αὐτοῦ ⟨σφραγίζεσθαι⟩ εἰς ὄνομα πατρός,
15 *ἀσφαλὴς ἡ δοξολογία· »εἰς ὄνομα υἱοῦ« οὐκ ἀποδεόντως ἡ ἐπίκλησις· »εἰς ὄνομα ἁγίου πνεύματος« οὐ διῃρημένος ὁ σύνδεσμος οὐδὲ ἀπηλ-*
λοτριωμένος, τῆς μιᾶς θεότητος ἔχων τὴν σφραγῖδα.

4. Καὶ ἀνελήφθη εἰς οὐρανὸν ἐν αὐτῷ τῷ σώματι καὶ τῇ ψυχῇ 4, 1
καὶ τῷ νῷ, συνενώσας εἰς μίαν ἑνότητα καὶ μίαν πνευματικὴν ὑπό-
20 *στασιν καὶ ἔνθεον ἀποτελέσας, ἐκάθισεν ἐν δεξιᾷ τοῦ πατρός, πέμψας*
κήρυκας εἰς | ὅλην τὴν οἰκουμένην, Σίμωνα Πέτρον, Ἀνδρέαν τὸν 2 D337
ἀδελφὸν αὐτοῦ, Ἰάκωβον καὶ Ἰωάννην τοὺς υἱοὺς Ζεβεδαίου οὓς
πάλαι ἐξελέξατο, Φίλιππον καὶ Βαρθολομαῖον, Ματθαῖον Θωμᾶν τε

1 vgl. Joh. 20, 19 — **2f** vgl. Joh. 20, 20 — **4** vgl. Luk. 24, 39 — **8** Matth. 28, 19 — **10** Matth. 28, 19 — **21**—S. **232**, **1** vgl. dazu das Apostelverzeichnis Panarion haer. 79, 3, 3. Die beiden Listen decken sich nicht vollständig; der in der unsrigen stehende Matthäus ist dort durch Jacobus Alphaei ersetzt

G U (von Z. 8 ⟨*μαθητεύ*⟩*σατε* an V) M anaceph.

1 vor *θυρῶν* + *τῶν* M **2** *τὸ*[1] < G **4** *τἆλλα* U | *τὰ ὁρώμενα* U **5f** *τελείως* U **6** *καὶ συναλίζεται*] *καὶ συνεσθίων καὶ συναυλιζόμενος* anaceph. | *ἀλλ'* G **8** * ⟨*μυστήριον*⟩ * **9** *τουτέστιν — ἔθνη* < M | vor *ἀλήθειαν* + *τὴν* M anaceph. **10** *αἱρέσεως* V | *βαπτίσατε* V M | vor *ὄνομα* + *τὸ* M **12** *τὴν* < anaceph. **13** *ἑνώτητος* M **14** *ὑπ' αὐτοῦ* < anaceph. | ⟨*σφραγίζεσθαι*⟩ * **15** *ἀσφαλὴς*] *καὶ ἀσφαλῶς* anaceph. **16** vor *ἁγίου* + *τοῦ* M | *διῃρημένος ὁ σύνδεσμος*] *διῃρημένη ἡ ἕνωσις* anaceph. | *οὔτε* M **16f** *ἀπηλλοτριωμένη* anaceph. **17** *ἔχων τὴν σφραγῖδα* < anaceph. **18** *καὶ*[1] < anaceph. | *οὐρανοὺς* anaceph. **19** *ἑνώτητα* M **21** *Σί////μωνα* V *Συμεῶνα* M **23** *καὶ* (vor *Βαρθολομαῖον*) < V | *Θωμᾶν τε*] *καὶ Θωμᾶν* anaceph.

καὶ Ἰούδαν καὶ Θαδδαῖον, Σίμωνα τὸν ζηλωτήν· Ἰούδας γὰρ ὁ Ἰσκαριώτης, εἰ καὶ πρώην ἐν τοῖς δώδεκα ἐψηφίζετο, προδότης γενόμενος ἀπετμήθη τοῦ ἁγίου τῶν ἀποστόλων καταλόγου. ἀπέστειλεν δὲ 3
καὶ ἄλλους ἑβδομήκοντα δύο κηρύττειν, ἐξ ὧν ἦσαν οἱ ἑπτὰ οἱ ἐπὶ
5 τῶν χηρῶν τεταγμένοι, Στέφανος Φίλιππος Πρόχορος Νικάνωρ Τίμων Παρμενᾶς καὶ Νικόλαος, πρὸ τούτων δὲ Ματθίας ὁ ἀντὶ 4
Ἰούδα συμψηφισθεὶς μετὰ τῶν ἀποστόλων· μετὰ τούτους δὲ τοὺς ἑπτὰ καὶ Ματθίαν τὸν πρὸ αὐτῶν Μάρκον καὶ Λουκᾶν, Ἰοῦστον, Βαρνάβαν καὶ Ἀπελλῆν, Ῥοῦφον, Νίγερα καὶ ⟨τοὺς⟩ λοιποὺς τῶν
10 ἑβδομήκοντα δύο. μετ' αὐτοὺς δὲ πάντας καὶ σὺν αὐτοῖς Παῦλον 5
τὸν ἅγιον ἀπόστολον διὰ φωνῆς ἰδίας ἀπ' οὐρανοῦ ἀπόστολον ὁμοῦ καὶ κήρυκα ἐθνῶν καὶ πληρωτὴν ἀποστολικῆς διδασκαλίας ἐξελέξατο· ὃς εὑρίσκει τὸν ἅγιον Λουκᾶν, ὄντα τῶν ἑβδομήκοντα δύο τῶν 6
διεσκορπισμένων, ⟨ὃν⟩ | ἐπιστρέψας καὶ ἀκόλουθον ἑαυτῷ ποιήσας P51
15 συνεργὸν τοῦ εὐαγγελίου ὁμοῦ καὶ ἀπόστολον ⟨ἀπέδειξεν⟩. καὶ οὕτως ἐτελέσθη ἡ πᾶσα εὐαγγελικὴ πραγματεία ἕως τούτου τοῦ χρόνου.

4 f vgl. Act. 6, 5f — **6 f** vgl. Act. 1, 23ff — **13 f** über Lukas vgl. Panarion haer. 51, 11, 6

V M anaceph.

1 *Σί////μωνα* V **1—3** *Ἰούδας γὰρ ὁ — ἀπέστειλεν δὲ*] *Ἰούδαν τε τὸν Ἰσκαριώτην καὶ προδότην αὐτοῦ γενόμενον* anaceph. **3** *ἀποστείλας* M **4** *οἱ*[1] < anaceph. | *οἱ*[2] < M **5** *χῆρῶν*, *η* von späterer Hand V | *τεταγμένοι* < anaceph. **6** *πρὸς τούτοις* u. < *δὲ* anaceph. **7** *Ἰούδα* + *ἔσχατον* anaceph. | *τῶν* + *δώδεκα* anaceph. **7 f** *μετὰ τούτους — πρὸ αὐτῶν*] *μετὰ δὲ τούτων πάντων* anaceph. **8** *Μάρκον κτέ.*] überall bis *τοὺς λοιποὺς* (Z. 9) Nominative anaceph. | *καὶ*[2] < M anaceph. **9** ⟨*τοὺς*⟩ * **10** *μετὰ τούτους* anaceph. **11** *ἁγιώτατον* anaceph. | *ἀπόστολον* + *ἐξελέξατο* anaceph. **12** *ἐξελέξατο*] *ἀπέστειλε* anaceph. **13** *ὃς*] *καὶ* anaceph. | *εὑρίσκει*] *εὑρίσκει τε*, *ει* u. *τε* aus etwas anderem hergestellt V corr *εὑρίσκεται* M | *τὸν ἅγιον* < anaceph. | *τῶν ἑβδομήκοντα δύο ὄντα* anaceph. **14** *διεσκορπισμένων*] *ἐσκορπισμένων* V anaceph. Zum Sinn vgl. Pan. h. 51, 11, 6 *τῶν ἑβδομήκοντα δύο τῶν διασκορπισθέντων ἐπὶ τῷ τοῦ σωτῆρος λόγῳ*; es ist also auf Joh. 6, 66 (Matth. 26, 31) angespielt | ⟨*ὃν*⟩ * | *ἐπιστρέψας* < anaceph. | *ἑαυτῷ ποιήσας*] *αὐτὸν ἔλαβε* anaceph. **15** *συνεργὸν . . . καὶ ἀπόστολον* ⟨*ἀπέδειξε*⟩ *]] *συνεργὸς* (*ὃς* aus *ὃν* V) *ὢν . . καὶ ἀπόστολος* V M *καὶ συνεργὸν τοῦ εὐαγγελίου* anaceph. **15 f** *καὶ οὕτως*] *οὕτως γοῦν* anaceph.

Ἔσται δέ μοι ὁ λόγος ἕως ὧδε περὶ τῶν εἴκοσι αἱρέσεων καὶ τῆς 7
κατὰ δύναμιν ἀκολουθίας ἐν συντόμῳ μοι εἰρημένης εὐαγγελικῆς | Ö 114
φωταγωγίας τῆς ἐν κόσμῳ διὰ τοῦ Χριστοῦ καὶ τῶν μαθητῶν αὐτοῦ
γεγενημένης, οἷς τὰ ὅμοια συλλέξαι καὶ παραθέσθαι τὰ προθεσπίσματά 8
τε καὶ τὰς προφητείας ἀπὸ νόμου τε καὶ ψαλμῶν καὶ τῶν ἄλλων
τὰς ἀκολουθίας καὶ ἀγωγὰς ἔνεστιν ἰδεῖν καὶ τὴν ἀκρίβειαν κατα-
λαβέσθαι, ὡς οὐ νόθος ἀλλὰ ἀληθὴς καὶ προκαταγγελθεῖσα ἀπὸ
τῆς παλαιᾶς διαθήκης καὶ ἀναμφίβολός ἐστιν ἡ ἔνσαρκος τοῦ Χριστοῦ
παρουσία | καὶ εὐαγγελικὴ διδασκαλία. ἵνα δὲ μὴ εἰς ὄγκον παρεκτείνω D 338
τὴν τῆς συντάξεως πραγματείαν, τούτοις ἀρκεσθήσομαι.
Προϊὼν δὲ ἐφεξῆς τὰς μετέπειτα τῷ βίῳ ἐπιφυείσας ἐπὶ κακῇ 9
προφάσει δόξας ὁμοίως διαγορεύσω, ἤδη τὰς ἕνδεκα τὰς ἀπὸ Ἰουδαίων
καὶ Σαμαρειτῶν καὶ τὰς πρὸ αὐτῶν ἐννέα ἐξ Ἑλλήνων καὶ βαρβάρων
καὶ τῶν ἄλλων γενομένας πρὸ τῆς τοῦ κυρίου παρουσίας καὶ ἕως
αὐτοῦ τοῦ χρόνου μετρίως ἀπαριθμησάμενος. | D 339 Ö 116 P 52

V M anaceph. (bis Z. 12 *διαγορεύσω*)

1 lies ἔστω? * | *ἕως*] *ὡς* M | *εἴκοσι*] *ἕνδεκα* V M **2** *κατὰ δύναμιν ἀκολουθίας*] *κατὰ ἀκολουθίαν* anaceph. | *μοι εἰρημένης* < anaceph. **2f** *εὐαγγελικῆς — ἐν κόσμῳ*] *εὐαγγελικῆς τοῦ κόσμου φωταγωγίας* anaceph. **3** *τῆς*] *τὴν* M | *διὰ τοῦ Χριστοῦ*] *δι' αὐτοῦ* V M **4** *οἷς*] *οὓς* V | *τὰ*[1]] *καὶ* anaceph. | *παραθέσθαι* + ⟨*βουλομένῳ*⟩ * **6** vor *ἀγωγὰς* + *τὰς* V **7** *ἀλλ'* M | *προκαταγγελθεὶς* V **8** *καὶ* < V M | *ἔνσαρκος* < anaceph. | *τοῦ* < V **12** *διαγράψω* anaceph. **15** hinter *ἀπαριθμησάμενος* haben V M einen unechten (vgl. TU XXXVI H. 2 S. 16ff) Anhang, der in V durch eine dünne Leiste (vor *Ναζωραίων*), in M nur durch herausgesetzten Buchstaben (*ταῦ Τα*) von dem Vorhergehenden geschieden ist: (. . . *ἀπαριθμησάμενος*): *ταῦτα ἔν τισιν οὐκ ἔγκειται. Ναζωραίων ὅ ἐστι Χριστιανισμὸς ἐν ὀλίγῳ χρόνῳ οὕτω* (< *οὕτω* V) *κληθεὶς ὑπὸ τῶν Ἰουδαίων καὶ ὑπ' αὐτῶν τῶν ἀποστόλων, λέγοντος Πέτρου »Ἰησοῦν τὸν Ναζωραῖον* (*Ναζωραίων* V) *ἄνδρα ἀποδεδειγμένον« καὶ τὰ ἑξῆς, ὕστερον δὲ ἀπὸ Ἀντιοχείας ἀρξάμενος καλεῖσθαι Χριστιανισμός. ἔστιν δὲ φύσει αἵρεσις Ναζωραίων, περὶ ἧς* (*ὧν* V) *καθεξῆς λέξωμεν κατὰ τὸν καιρὸν τῆς ἀκολουθίας*

Τάδε ἔνεστι καὶ ἐν τούτῳ τῷ δευτέρῳ τόμῳ τοῦ πρώτου βιβλίου, ἐν ᾧ εἰσιν αἱρέσεις δεκατρεῖς οὕτως· D3 Ö116 P52

κᾱ. *Σιμωνιανοί, οἱ ἀπὸ Σίμωνος τοῦ μάγου τοῦ ἐπὶ Πέτρου* **21, 1**
τοῦ ἀποστόλου, κώμης Γιτθῶν τῆς Σαμαρείας. οὗτος ἀπὸ Σαμαρειτῶν
ὡρμᾶτο. Χριστοῦ δὲ ὑπέδυ ὄνομα μόνον. ἐδίδαξε δὲ αἰσχροποιίαν, **2**
τὴν μίξιν μολυσμοῦ γυναικῶν ἀδιάφορον· σωμάτων δὲ ἀποβάλλεται
τὴν ἀνάστασιν καὶ τὸν κόσμον μὴ εἶναι θεοῦ φάσκει. εἰκόνα δὲ **3**
ἑαυτοῦ ὡς Διὸς καὶ τῆς σὺν αὐτῷ πόρνης, ὀνόματι Ἑλένης, Ἀθηνᾶς
*τύπον * τοῖς ἑαυτοῦ μαθηταῖς παρεδίδου εἰς προσκύνησιν. ἔλεγεν*
δὲ ἑαυτὸν Σαμαρείταις μὲν τὸν πατέρα, Ἰουδαίοις δὲ τὸν Χριστόν.

κβ. *Μενανδριανοί, οἱ ἀπὸ τούτου τοῦ Σίμωνος διὰ Μενάνδρου* **22**
τινὸς ἐναρξάμενοι, διαφερόμενοι δὲ πρὸς τοὺς Σιμωνιανοὺς κατά τι·
ὃς ἀπὸ ἀγγέλων ἔλεγε τὸν κόσμον γεγενῆσθαι.

κγ. *Σατορνιλιανοί, οἱ κατὰ τὴν Συρίαν τὴν τῶν Σιμωνιανῶν* **23, 1**
κρατύναντες αἰσχρολογίαν, ἕτερα δὲ παρὰ τοὺς Σιμωνιανοὺς εἰς ἕκ-

V M anaceph. (die Nebenzeugen Joh. Dam. de haeres. Migne 94, 689 A ff Doctr. patr. c. 34; S. 267 Diekamp sind nur ausnahmsweise berücksichtigt)

2 *ἐν ᾧ εἰσιν — οὕτως*] *διαλαμβάνοντα περὶ δεκατριῶν αἱρέσεων* anaceph. **3 f** *Σιμωνιανοὶ — ἀποστόλου*] *ὧν πρώτη ἡ τοῦ Σίμωνος τοῦ μάγου ὃς εὐθὺς μετὰ Χριστὸν ἔτι κηρυσσόντων τῶν ἀποστόλων ἐφάνη, ἀφ' οὗ καὶ Σιμωνιανοὶ ἐκλήθησαν οἱ τῇ αὐτοῦ αἱρέσει προσκείμενοι* anaceph. **3** vor *Πέτρου* + *τοῦ* V **4 f** *κώμης Γιτθῶν — ὡρμᾶτο*] *οὗτος ἐκ Σαμαρείας ὡρμᾶτο, κώμης Γιτθῶν* anaceph. **4** vor *κώμης* + ⟨*ἐκ*⟩? * | *Γιτθῶν, τ* auf Rasur V *Γιθῶν* M **5** *ὥρμᾶτο, ω* von erster Hand M | *ὑπέδυεν* anaceph. | *ἔδειξε* anaceph. | *αἰσχροποι|ίαν* V **6** *ἀπέβαλε* anaceph. **7** *ἔλεγε* anaceph. **8** *αὐτοῦ* M | *ὡς Διὸς* < anaceph. **8 f** *Ἀθηνᾶς τύπον*] *ὡσεὶ Διὸς καὶ Ἀθηνᾶς* anaceph. **9** * etwa ⟨*ἐπέχουσαν*⟩ * **9** *παρεδίδου* vor *τοῖς ἑαυτοῦ* anaceph. **11 f** *οἱ ἀπὸ — ἐναρξάμενοι*] *οἱ ἀπὸ Μενάνδρου τινὸς* anaceph. **11** *τούτου* < M **12** *διαφερόμενοι — κατά τι*] *ὃς διέφερε μὲν κατά τι πρὸς τοὺς Σιμωνιανοὺς* anaceph. | *δὲ* < V **13** *ὅς*] < anaceph. *οὗ, ι* auf Rasur V corr | *ὑπὸ, υ* auf Rasur V corr | *ἀγγέλων* + *δὲ* anaceph. *ἔλεγον, ο* auf Rasur V corr **14** *Σατορνηλιανοὶ* M **15** *κρατύνοντες* V

πληξιν περισσοτέραν κηρύσσοντες, | ἀπὸ δὲ Σατορνίλου τὴν ἀρχὴν D4
ἐσχηκότες, ὃς καὶ αὐτὸς κατὰ Μένανδρον ὑπὸ ἀγγέλων τὸν κόσμον 2
γεγενῆσθαι ἔφασκεν, μόνων δὲ ἑπτά, παρὰ τὴν τοῦ ἄνω πατρὸς
γνώμην.

κδ. Βασιλειδιανοί, τῆς αὐτῆς αἰσχρουργίας τελεσταί, ἀπὸ Βασι- 24, 1
λείδου τοῦ ἅμα Σατορνίλῳ τοῖς Σιμωνιανοῖς καὶ Μενανδριανοῖς με-
μαθητευμένου, τὰ ὅμοια μὲν φρονοῦντος, κατά τι δὲ διαφερομένου.
λέγει δὲ τριακοσίους ἑξήκοντα πέντε οὐρανοὺς εἶναι καὶ τούτοις 2
ὀνόματα ἀγγελικὰ ἐκτίθησιν. διὸ καὶ τὸν ἐνιαυτὸν τοσούτων ἡμερῶν
εἶναι, καὶ τὸ Ἀβρασὰξ ὄνομα τῆς αὐτῆς ψήφου εἶναι καὶ εἶναι τξε.
καὶ εἶναι τοῦτο τὸ ἅγιον ὄνομά φησιν.

κε. Νικολαΐται, ἀπὸ Νικολάου τοῦ ἐπὶ ταῖς χήραις ὑπὸ τῶν 25, 1
ἀποστόλων ταχθέντος, ὃς διὰ ζῆλον τῆς ἰδίας γαμετῆς τὴν αἰσχρουρ-
γίαν ἅμα | τοῖς ἄλλοις ἐπιτελεῖν τοὺς αὐτοῦ μαθητὰς ἐδίδαξεν, καὶ Ö118 2
περὶ τοῦ Καυλακαῦ καὶ Προυνίκου καὶ ἄλλων βαρβαρικῶν ὀνομά-
των εἰσηγησάμενος. | P53

κς. Γνωστικοί, τὰς αὐτὰς αἱρέσεις διαδεξάμενοι, πλέον δὲ αὐτῶν 26, 1
πάντων τὴν αἰσχρότητα ἐμμανῶς ἐργαζόμενοι, ἐν Αἰγύπτῳ δὲ Στρα-
τιωτικοὶ καλούμενοι καὶ Φιβιωνῖται, ἐν δὲ τοῖς ἀνωτερικοῖς μέρεσι
Σεκουνδιανοί, ἐν ἄλλοις μέρεσι Σωκρατῖται, παρὰ δὲ ἑτέροις Ζακχαῖοι·
ἄλλοι δὲ Κοδδιανοὺς αὐτοὺς λέγουσιν, ἄλλοι δὲ Βορβορίτας αὐτοὺς 2
καλοῦσιν. οὗτοι ⟨τὴν⟩ Βαρβηλὼ τὴν καὶ Βαρβηρὼ αὐχοῦσιν.

κζ. Καρποκρατιανοί, ἀπὸ Καρποκράτους τινὸς τῶν ἐν τῇ Ἀσίᾳ, 27, 1
ὃς ἐδίδασκε πᾶσαν αἰσχρουργίαν ἐκτελεῖν καὶ πᾶν ἐπιτήδευμα ἁμαρ-
τίας. καὶ εἰ μή τις διὰ πάντων, φησί, παρέλθοι καὶ τὸ θέλημα
πάντων δαιμόνων καὶ ἀγγέλων ἐκτελέσῃ, οὐ δύναται ὑπερβῆναι εἰς
τὸν ἀνώτατον οὐρανὸν οὐδὲ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας παρελθεῖν.
ἔλεγε δὲ τὸν Ἰησοῦν ψυχὴν νοερὰν εἰληφέ|ναι, εἰδότα δὲ τὰ ἄνω 2 D5

V M anaceph.

3 *μόνον* anaceph. **6f** *μεμαθητευμένους* M **7** *μὲν* + *οὖν* V **9** *ἐκτίθησαν* M *ἐπιτίθησι* Joh. Dam. (scheinbar besser, aber vgl. S. 243, 7 258, 6) **10** *τῆς αὐτῆς ψήφου εἶναι καὶ* < V M **13** *ἀποταχθέντος* M | *ὃς* < anaceph. **14** *ἑαυτοῦ* anaceph. | *διδάξας* anaceph. **15** *Καυλακαῦ* *] *καυλα//καὐκ*, 1 Buchstabe ausradiert V *καυλαυκαὐκ* M **17** *Γνωστικοὶ* + *οἱ* V M | *δὲ αὐτῶν*] *καὶ αὐτοὶ* anaceph. **19** *Φοβιανίται* M **20** *ἄλλοις* + *δὲ* anaceph. **21** *Βορβυρίτας* M **22** *οὗτοι — αὐχοῦσιν* < anaceph. | ⟨*τὴν*⟩ *Βαρβηλὼ τὴν καὶ Βαρβηρὼ* Ausgg., nach gew. Schreibung] *τὴν Βαρβελὼ τὴν καὶ Βαρβερὼ* M *τὴν Βαρβελώτην καὶ Βαρβαιρὼ* Vcorr **25** *παρέλθῃ* anaceph. **26** *ἐκτελέσει* anaceph. **27** *ἀνώτατον* < anaceph. **28** *εἰδό//τα*, *ο* aus *ω* Vcorr

ἐνταῦθα καταγγέλλειν, καὶ ὡς εἴ τις πράξειεν ὅμοια τῷ Ἰησοῦ, κατ' αὐτὸν εἶναι. τὸν δὲ νόμον σὺν τῇ τῶν νεκρῶν ἀναστάσει ἀπαγορεύει, 3 ὡς αἱ ἀπὸ Σίμωνος καὶ δεῦρο αἱρέσεις. τούτου γέγονεν ἡ ἐν Ῥώμῃ 4 Μαρκελλίνα. εἰκόνας δὲ ποιήσας ἐν κρυφῇ Ἰησοῦ καὶ Παύλου καὶ Ὁμήρου καὶ Πυθαγόρου ταύταις ἐθυμία καὶ προσεκύνει.

κη. Κηρινθιανοί, οἱ καὶ Μηρινθιανοί. οὗτοι οἱ ἀπὸ Κηρίνθου 28 καὶ Μηρίνθου Ἰουδαῖοί τινες περιτομὴν αὐχοῦντες, τὸν δὲ κόσμον ὑπὸ ἀγγέλων γεγενῆσθαι, Ἰησοῦν δὲ κατὰ προκοπὴν Χριστὸν καλεῖσθαι λέγοντες.

κθ. Ναζωραῖοι, Χριστὸν ὁμολογοῦντες Ἰησοῦν υἱὸν τοῦ θεοῦ, 29 πάντα δὲ κατὰ νόμον πολιτευόμενοι.

λ. Ἐβιωναῖοι, παραπλήσιοι τῶν προειρημένων Κηρινθιανῶν καὶ 30, 1 Ναζωραίων, οἷς συνήφθη κατά τι ἡ τῶν Σαμψαίων τε καὶ Ἐλκεσαίων αἵρεσις, οἳ Χριστόν φασιν ἐκτίσθαι ἐν τῷ οὐρανῷ καὶ τὸ ἅγιον 2 πνεῦμα, ἐνδημήσαντα δὲ τὸν Χριστὸν ἐν τῷ Ἀδὰμ πρῶτον καὶ κατὰ καιρὸν ἐκδυόμενον αὐτὸν τὸν Ἀδὰμ καὶ πάλιν ἐνδυόμενον· τοῦτο γάρ φασιν ἐπιτετελεκέναι αὐτὸν ἐν τῇ ἐνσάρκῳ αὐτοῦ παρουσίᾳ. Ἰουδαῖοι δὲ ὄντες εὐαγγελίοις κέχρηνται, σαρκοφαγίαν βδελύττονται, 3 τὸ ὕδωρ δὲ ἀντὶ θεοῦ ἔχουσι, τὸν δὲ Χριστὸν ἄνθρωπον ἐν τῇ ἐνσάρκῳ παρουσίᾳ ἐνδεδύσθαι, ὡς ἔφην. συνεχῶς δὲ βαπτίζονται ἐν 4 τοῖς ὕδασι θέρους τε καὶ χειμῶνος , εἰς ἁγνισμὸν δῆθεν ὥσπερ οἱ P54 Σαμαρεῖται. | Ö120

λα. Οὐαλεντῖνοι, οἳ σαρκὸς μὲν ἀπαγορεύουσιν ἀνάστασιν, παλαιὰν 31, 1 δὲ ἀθετοῦσι διαθήκην καὶ προφήτας ἀναγινώσκοντες μὲν καὶ ὅσα εἰς ὁμοίωσιν δύναται τροπολογεῖσθαι τῆς αὐτῶν αἱρέσεως δεχόμενοι, ἑτέρας δέ τινας μυθολογίας παρεισφέροντες, τριάκοντα αἰώνων ὀνο- 2 μασίας λέγοντες ἀρρενοθηλείων, ὁμοῦ τε ἐκ | τοῦ πατρὸς τῶν ὅλων D6

V M anaceph.

1 vor *ἐνταῦθα* + *καὶ τὰ* anaceph. **2** *δὲ*] *τε* V M **3** *καὶ δεῦρο* < anaceph. **5** *ταύτας* anaceph. **6** *οἱ*[1] < anaceph. | *οὗτοι* < anaceph. **7** *τινες . . . αὐχοῦντες*] *οἵτινες . . . αὐχοῦσιν* anaceph. | *τὸν δὲ*] *καὶ* anaceph. **8** *ὑπ'* M | *Ἰησοῦν δὲ*] *τὸν δὲ Ἰησοῦν* anaceph. **9** *λέγοντες* < anaceph. **10** *Ναζωραῖοι* + *οἱ* V M | *Χριστὸν ὁμολογοῦντες Ἰησοῦν*] *Ἰησοῦν μὲν ὁμολογοῦντες* anaceph. | *τοῦ* < anaceph. **12** *παραπλησίως* anaceph. **14** vor *Χριστὸν* + *τὸν* anaceph. **15** *τὸν Χριστὸν* < anaceph. **16** *ἐκδυόμενον* u. *ἐνδυόμενον* vertauscht anaceph. **17** *φησὶν* M **18** *δὲ*] *τε* V M **19** *δὲ*] *τε* V M **23** *σαρκὸς*] *σάρκα* u. vor *ἀνάστασιν* + *εἰς* anaceph. **25** *δύνανται* anaceph. **26** *αἰώνων*] *ἐναυτῶν* anaceph. **27** *λέγοντες*] *φέροντες* V M

γεγεννημένων, οὓς καὶ θεοὺς ἡγοῦνται καὶ αἰῶνας. τὸν δὲ Χριστὸν 3
ἀπ᾽ οὐρανοῦ σῶμα ἐνηνοχέναι καὶ ὡς διὰ σωλῆνος τὴν Μαρίαν δια-
πεπερακέναι.

λβ. Σεκουνδιανοί, οἷς συνάπτονται Ἐπιφάνης καὶ Ἰσίδωρος, ταῖς 32, 1
αὐταῖς κεχρημένοι καὶ οὗτοι συζυγίαις, τὰ ὅμοια Οὐαλεντίνῳ πε-
φρονηκότες, ἕτερα δὲ παρ᾽ αὐτὸν ποσῶς διηγούμενοι. προστιθέασι 2
δὲ τὴν αἰσχρουργίαν διδάσκοντες· ἀπαγορεύουσι δὲ καὶ οὗτοι τὴν
σάρκα.

λγ. Πτολεμαῖοι, μαθηταὶ ὄντες καὶ αὐτοὶ Οὐαλεντίνου, οἷς συν- 33
άπτεται ἡ Φλώρα. τὰ αὐτὰ δὲ περὶ τῶν συζυγιῶν καὶ αὐτοὶ
λέγουσι καθάπερ Οὐαλεντῖνος καὶ Σεκουνδιανοί· κατά τι δὲ καὶ οὗτοι
διαφέρονται.

Αὕτη καὶ ἡ τοῦ δευτέρου τόμου τοῦ πρώτου βιβλίου τῶν δεκα-
τριῶν αἱρέσεων ἀνακεφαλαίωσις. | P55 Ö122

V M anaceph.

1 *γεγεννημένων* *] *γεγενημένους* V *γεγεννημένους* M anaceph. **2** *ἐνηνο|||χέναι, ο* aus *ω* V^{corr} **2f** *πεπερακέναι* anaceph. **4** *συνάπτεται* V | *Ἐπιφάνιος* anaceph. **5** *συ|||ζυγίαις* V^{corr} *συζυγίαις* M anaceph. | *τὰ* < anaceph. **6** *διηγούμενος* M *διηγοῦνται* anaceph. **7** *τὴν*^{1} < anaceph. **9** *Πτολεμαῖοι* + *οἱ* anaceph. | *Οὐαλεντίνου καὶ αὐτοὶ ὄντες μαθηταὶ* V **10** *δὲ περὶ* < anaceph. | *συ|||ζυγιῶν* V *συζυγιῶν* M | *οὗτοι* anaceph. **11** *καθάπερ*] *καθὰ καὶ* anaceph.

Κατὰ Σιμωνιανῶν πρώτη μετὰ τὴν εἰς Χριστὸν πίστιν τὴν μόνην οὖσαν, τῆς δὲ ἀκολουθίας κα.

1. *Σίμωνος γίνεται τοῦ μάγου πρώτη αἵρεσις ἀπὸ Χριστοῦ καὶ* 1, 1
δεῦρο ἀρξαμένη, οὖσα αὕτη τῶν εἰς ὄνομα Χριστοῦ οὐκ ὀρθῶς οὐδὲ
εὐαγῶς ⟨πιστευόντων⟩, ἀλλὰ κατὰ τὴν παραπεποιημένην ἐν αὐτοῖς
φθορὰν τὰ δεινὰ ἐργαζομένων. οὗτος ὁ Σίμων γόης ἦν, ἀπὸ 2
Γιτθῶν δὲ ὡρμᾶτο τῆς πόλεως τῆς ἐν τῇ Σαμαρείᾳ, νυνὶ κώμης
ὑπαρχούσης. ἐφαντασίαζε δὲ τὸ γένος τῶν Σαμαρειτῶν ταῖς μαγείαις
ἐξαπατῶν τε καὶ δελεάζων, ἔλεγεν δὲ ἑαυτὸν εἶναι τὴν μεγάλην δύ- 3
ναμιν τοῦ θεοῦ καὶ ἄνωθεν καταβεβηκέναι. τὸν πατέρα δὲ ἔλεγεν
ἑαυτὸν τοῖς Σαμαρείταις, Ἰουδαίοις δὲ ἔλεγεν ἑαυτὸν εἶναι τὸν υἱόν,
παθόντα δὲ μὴ πεπονθέναι, ἀλλὰ δοκήσει μόνον. ὑπεκορίσθη δὲ 4
οὗτος | τοὺς ἀποστόλους καὶ αὐτὸς δὲ [ὁμοίως] ἴσα τοῖς ἄλλοις ὑπὸ D7

1 ff zur Darstellung des Epiphanius vgl. insbesondere Hegesipp bei Eusebius h. e. IV 22, 5; S. 370, 15 Schwartz Justin apol. I 26, 2f 56, 1f dial. 120 Irenaeus adv. haer. I 23, 1ff Hippolyt refut. VI 7ff Ps. Tert. adv. omn. haer. 1 Filastrius haer. 29 Const. apost. VI 7ff clement. Hom. u. Recogn. allerwärts **6 f** zu *ἀπὸ Γιτθῶν* vgl. Justin apol. I 26, 2 (*ἀπὸ κώμης λεγομένης Γιττῶν*) Hippolyt refut. VI 7, 1; S. 134, 25 Wendland VI 20, 3; S. 148, 13 clement. Hom. I 15; S. 18, 34 Lagarde II 22; S. 27, 26 clement. Recogn. II 7 — **8** vgl. Act. 8, 9 — **9 ff** vgl. Act. 8, 10 u. Irenaeus adv. haer. I 23, 1; I 191 Harvey *docuit semetipsum esse qui inter Judaeos quidem quasi filius apparuerit, in Samaria autem quasi pater descenderit, in reliquis vero gentibus quasi spiritus sanctus adventaverit. esse autem se sublimissimam virtutem, hoc est eum qui sit super omnia pater* Hippolyt refut. VI 19, 4; S. 146, 7 Wendland *ἑαυτὸν δὲ λέγων τὴν ὑπὲρ πάντα δύναμιν εἶναι* ebenda 6; S. 147, 5 ff *καὶ παθεῖν δὲ ἐν τῇ Ἰουδαίᾳ [καὶ] δεδοκηκέναι μὴ πεπονθότα, ἀλλὰ φανέντα Ἰουδαίοις μὲν ὡς υἱόν, ἐν δὲ τῇ Σαμαρείᾳ ὡς πατέρα, ἐν δὲ τοῖς λοιποῖς ἔθνεσιν ὡς πνεῦμα ἅγιον* Tertullian de anima 34 Ps. Tert. adv. omn. haer. 1 *ausus est summam se dicere virtutem, .. se .. descendisse ..... apud Iudaeos se in phantasmate dei non passum, sed esse quasi passum* — **12 ff** vgl. Act. 8, 12ff

V M

1 *κατὰ Σιμωνιανῶν πρώτη*: *ἀπὸ δὲ τῆς ἀκολουθίας καὶ μετὰ τὴν εἰς Χριστὸν πίστιν τὴν μόνην οὖσαν κᾱ* V M **3** *Σιμωνιανοὶ* M **5** *⟨πιστευόντων* * **6** *ἐργαζομένων* *] *ἐργαζομένη* V *ἐργασαμένη* M **7** *Γἰθῶν, τ* V corr *Γἰθων* M | *κωμικῆς* M **8** *δὲ* ≺ M **9** *δὲ* ≺ V **12** *ὑπεκορίσθη* M **13** *[ὁμοίως]* * | *ἀπὸ* M

Φιλίππου ἐβαπτίσθη μετὰ πολλῶν. οἱ πάντες δὲ χωρὶς αὐτοῦ ἐξε-
δέξαντο τὴν τῶν μεγάλων ἀποστόλων παρουσίαν καὶ διὰ τῆς αὐτῶν
χειροθεσίας ἔλαβον πνεῦμα ἅγιον, ἐπειδήπερ Φίλιππος διάκονος ὢν
οὐκ εἶχεν ἐξουσίαν τῆς χειροθεσίας τοῦ δι' αὐτῆς διδόναι πνεῦμα
ἅγιον. οὐκ ὀρθὴν δὲ ὁ Σίμων ἔχων τὴν καρδίαν οὔτε τὸν λογισμόν, 5
αἰσχροκερδίᾳ δέ τινι καὶ φιλοχρημοσύνῃ προσανέχων καὶ τῆς μοχθη-
ρᾶς αὐτοῦ ἐπιτηδεύσεως ἐκτὸς βαίνων οὐδαμῶς, προσέφερε χρήματα P56
Πέτρῳ τῷ ἀποστόλῳ, ὅπως δῴη αὐτῷ ἐξουσίαν ἐν τῇ ἐπιθέσει τῶν
χειρῶν πνεῦμα ἅγιον παρέχειν, λογισάμενος ὀλίγον δώσειν πολλὴν
δὲ ἀντὶ ὀλίγου διὰ τοῦ ἄλλοις παρέχειν πνεῦμα ἐπισωρεῦσαι χρημά-
των πληθὺν καὶ ἐπικερδῆσαι. | Ö124

2. Οὗτος μὲν οὖν ἔχων τὴν διάνοιαν πεπονηρευμένην ἀπὸ τῆς **2, 1**
ἐν τῇ μαγείᾳ δαιμονιώδους πλάνης καὶ πεφαντασιωμένην, πρόχειρος
ὢν ἀεὶ τῆς ἑαυτοῦ κακίας τὰ βαρβαρικὰ καὶ δαιμονίων πράγματα διὰ
τῆς ἑαυτοῦ μαγγανείας ἐπιδείκνυσθαι, παρελθὼν εἰς μέσον καὶ προ-
σχήματι ὀνόματος Χριστοῦ, ὡς ἑλλέβορον μέλιτι παραπλέκων, δηλη-
τήριον τοῖς ὑπ' αὐτοῦ ἀγρευθεῖσιν εἰς τὴν κακομήχανον αὐτοῦ πλάνην
παρενθεὶς τῷ τοῦ ὀνόματος ἀξιώματι Χριστοῦ θάνατον ἐνεποίησεν
τοῖς πεισθεῖσιν. λάγνος δὲ ὢν κατὰ τὴν φύσιν καὶ αἰδοῖ τῇ τῶν **2**
ἑαυτοῦ ὑποσχέσεων ὑπονυττόμενος, παραπεφθαρμένην ὑπόνοιαν τοῖς
ὑπ' αὐτοῦ ἀπατωμένοις ὁ ἀγύρτης παρεποιήσατο. γυναῖκα γάρ τινα
ἑαυτῷ εὑράμενος ῥεμβάδα Ἑλένην τοὔνομα ἀπὸ τῆς Τυρίων ὁρμω-
μένην ἄγεται, μὴ ὑποφαίνων συνάφειαν ἔχειν πρὸς ταύτην· ἐν πορα- **3**
βύστῳ δὲ αἰσχρότητι συμπεριπλεκόμενος τῷ γυναίῳ ὁ γόης τινὰ
μυθῴδη ψυχαγωγίαν τοῖς ἑαυτοῦ μαθηταῖς ὑφηγεῖτο, δῆθεν ἑαυτὸν

5 ff vgl. Act. 8, 18 ff — **21 ff** vgl. Justin apol. I 26, 3 clement. Hom. II 23; S. 28, 10 ff Lagarde (clement. Recogn. II 8 ff) — Tyrus genannt bei Irenaeus adv. haer. I 23, 2; I 191 Harvey Hippolyt refut. VI 19, 3; S. 146, 3 ff Wendland Tertullian de anima 34 — **25 ff** vgl. Justin apol. I 26, 3 *Ἑλένην τινὰ ... τὴν ὑπ' αὐτοῦ ἔννοιαν πρώτην γενομένην λέγουσι* Irenaeus adv. haer. I 23, 1. 2; I 191 Harvey *esse autem se sublimissimam virtutem ... Helenam ... primam mentis eius conceptionem, matrem omnium* Tertullian de anima 34 *se quidem fingit summum patrem, illam vero iniectionem suam primam* Hippolyt refut. VI 18, 3; S. 144, 13 aus der *Ἀπόφασις μεγάλη: ἡ μία φαίνεται ἄνωθεν, ἥτις ἐστὶ μεγάλη δύναμις, νοῦς τῶν ὅλων ... ἄρσην, ἡ δὲ ἑτέρα κάτωθεν, ἐπίνοια μεγάλη, θήλεια* dazu 19, 2; S. 145, 13 *ἐν γὰρ τῇ κατ' ἐκεῖνον καιρὸν γενομένῃ Ἑλένῃ ἐνῴκησεν ... ἡ ἐπίνοια*, vgl. auch Ps. Tert. adv. omn. haer. 1

V M

1 *οἱ δὲ πάντες* V **8** *Πέτρῳ* < M **13** *πρόχειρο///ς, ο* aus *ω* V corr **15** *ἐπιδείκνυσθαι* U] *ἐπιδεικνύμενος* V M **17** *ἀγρ///ευθεῖσιν*, ein Buchstabe getilgt V corr **18** *Χριστὸν* M **20** *παρ////εφθαρμένην*, wohl *απ* ausradiert V corr **21** *ἀπατομένοις* M **22** *εὑρό///μενος, ο* aus *α* V corr **25** *ὑφηγήτο, εῖ* V corr

εἶναι δύναμιν θεοῦ λέγων τὴν μεγάλην, τὴν δὲ σύζυγον πορνάδα πνεῦμα | ἅγιον εἶναι τετόλμηκεν λέγειν καὶ διὰ ταύτην κατεληλυθέναι D8
φησίν. »ἐν ἑκάστῳ δὲ οὐρανῷ μετεμορφούμην, φησίν, κατὰ τὴν μορ- 4
φὴν τῶν ἐν ἑκάστῳ οὐρανῷ, ἵνα λάθω τὰς ἀγγελικάς μου δυνάμεις καὶ
5 κατέλθω ἐπὶ τὴν Ἔννοιαν, ἥτις ἐστὶν αὕτη ἡ καὶ Προύνικος καὶ πνεῦμα
ἅγιον καλουμένη, δι' ἧς τοὺς ἀγγέλους ἔκτισα, οἱ δὲ ἄγγελοι τὸν κόσμον
ἔκτισαν καὶ τοὺς ἀνθρώπους«. *εἶναι δὲ ταύτην τὴν Ἑλένην ἐκείνην*
τὴν πάλαι, δι' ἣν οἱ Τρῶες καὶ Ἕλληνες εἰς μάχην ἦλθον. ἔλεγε 5
δὲ μῦθόν τινα εἰς ταῦτα, ὅτι ἄνωθεν ἡ δύναμις κατιοῦσα ἑαυτὴν
10 *μετεμόρφου, ἀλληγορικῶς δὲ οἱ ποιηταὶ περὶ τούτου ἔφασαν. διὰ*
γὰρ τὴν ἄνωθεν δύναμιν (ἣν Προύνικόν φασιν, ἥτις παρ' ἄλλαις
αἱρέσεσι Βαρβηρὼ ἤτοι Βαρβηλὼ καλεῖται), τὸ κάλλος αὐτῆς ἐμφαί-
νουσαν εἰς οἶστρόν ⟨τε⟩ ἄξασαν αὐτοὺς καὶ διὰ τοῦτο πεμφθεῖσαν
εἰς συλαγω|γίαν τῶν ἀρχόντων τῶν τὸν κόσμον τοῦτον κτισάντων, P57

2 vgl. Irenaeus adv. haer. I 23, 3; I 192 f Harvey *quapropter et ipsum venisse* Hippolyt refut. VI 19, 4; S. 146, 4f Wendland Ps. Tert. adv. omn. haer. 1 *ad daemonem se errantem, qui esset sapientia, descendisse quaerendum* — **3ff** ob aus der *Ἀπόφασις μεγάλη* entnommen? — **3** Irenaeus adv. haer. I 23, 3; I 193 Harvey = Hippolyt refut. VI 19, 6; S. 147, 2f *ἐληλυθέναι αὐτὸν ἔφη μεταμορφούμενον καὶ ἐξομοιούμενον ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις καὶ τοῖς ἀγγέλοις* Tertullian de anima 34 *quibus fallendis et ipse configuratus aeque*; dazu Bousset, Hauptprobleme S. 239ff vgl. die ähnliche Vorstellung bei Apelles Ps. Tert. adv. omn. haer. 6 *Christum . . . ipso descensu sidereum sibi carnem et aëream contexuisse*; *hunc in resurrectione singulis quibusque elementis quae in descensu suo mutuata fuissent, in ascensu reddidisse* — **5** vgl. clement. Hom. II 25; S. 29, 1ff Lagarde clement. Recogn. II 12 u. Irenaeus adv. haer. I 29, 4; I 225 Harvey (von den Barbelognostikern) *ἐκ δὲ τοῦ πρώτου ἀγγέλου προβληθῆναι λέγουσι πνεῦμα ἅγιον, ὃ Σοφίαν καὶ Προύνικον προσηγόρευσαν* — **6f** vgl. Irenaeus adv. haer. I 23, 2; I 191 Harvey *per quam in initio mente concepit angelos facere et archangelos. hanc enim Ennoiam . . . generare angelos et potestates, a quibus et mundum hunc factum dixit* — **7ff** vgl. Irenaeus adv. haer. I 23, 2; I 192 Harvey Hippolyt refut. VI 19, 1ff; S. 145, 8ff Wendland Tertullian de anima 34 — **10ff** vgl. Hippolyt refut. VI 19, 2; S. 145, 10 *ἥτις ἀεὶ καταγινομένη ἐν γυναιξὶν ἐτάρασσε τὰς ἐν κόσμῳ δυνάμεις διὰ τὸ ἀνυπέρβλητον αὐτῆς κάλλος* clement. Recogn. II 12 *pro qua* (sc. die Luna), *inquit, Graeci et Barbari confligentes imaginem quidem eius aliqua ex parte videre potuerunt, ipsam vero ut est penitus ignorarunt, quippe quae apud illum primum omnium et solum habitaret deum* — Derselbe Mythus bei den Nikolaiten (Panarion haer. 25, 2, 4), bei den »Gnostikern« (haer. 26, 1, 9) u. im Manichäismus (haer. 26, 27, 1), vgl. Bousset, Hauptprobleme der Gnosis S. 73 Cumont, cosmogonie manich. S. 67

V M

4 *λαθὼν* u. dafür nachher < *καὶ* M **8** *παλαιὰν* M **13** ⟨*τε*⟩ *

[καὶ] τοὺς αὐτοὺς ἀγγέλους εἰς πόλεμον δι᾽ αὐτὴν ἥκειν, αὐτὴν δὲ μηδὲν πεπονθέναι, ἀλληλοκτονίας δὲ αὐτοὺς εἰς ἑαυτοὺς ἐργάσασθαι παρασκευάσαι δι᾽ ἣν ἐνέβαλεν εἰς αὐτοὺς πρὸς ἑαυτὴν ἐπιθυμίαν. καὶ συνέχοντες αὐτὴν τοῦ μὴ ἄνω δύνασθαι ἀνιέναι συνεγίνοντο **6** αὐτῇ, ἕκαστος ἐν ἑκάστῳ σώματι γυναικείας καὶ θηλυκῆς σχέσεως, μεταγγιζομένης αὐτῆς ἀπὸ σωμάτων θηλυκῶν εἰς σώματα διάφορα ἀνθρωπίνης φύσεώς τε καὶ κτηνῶν καὶ τῶν ἄλλων, ἵνα δι᾽ ὧν αὐτοὶ ἐργάζονται, κτείνοντές τε καὶ κτεινόμενοι, μείωσιν ἑαυτῶν διὰ τῆς τοῦ αἵματος προχύσεως ἐργάζωνται, εἶτα ἐκείνη τὴν δύναμιν συλλεγομένη πάλιν αὖθις εἰς οὐρανὸν ἀναβῆναι δυνηθῇ. | Ö126

3. »Ἦν δὲ αὕτη τότε ἡ ἐπὶ τοῖς Ἕλλησί τε καὶ Τρωσὶ καὶ ἀνωτάτω **3, 1** πρὶν ἢ τὸν κόσμον γενέσθαι καὶ μετὰ τὸν κόσμον διὰ τῶν ἀοράτων δυνάμεων τὰ ἰσότυπα πεποιηκυῖα. αὐτὴ δέ ἐστιν ἡ νῦν σὺν ἐμοὶ καὶ διὰ ταύτην **2** κατελήλυθα. καὶ αὕτη δὲ προσεδόκα τὴν | ἐμὴν παρουσίαν· αὕτη γάρ D9 ἐστιν ἡ Ἔννοια, ἡ παρὰ Ὁμήρῳ Ἑλένη καλουμένη. καὶ τούτου ἕνεκεν ἀναγκάζεται αὐτὴν διαγράφειν Ὅμηρος ἐπὶ πύργου ἑστηκέναι καὶ διὰ λαμπάδος ὑποφαίνειν τοῖς Ἕλλησι τὴν κατὰ τῶν Φρυγῶν ἐπιβουλήν. ἐχαρακτήριζε δὲ διὰ τῆς λαμπηδόνος, ὡς ἔφην, τὴν τοῦ ἄνωθεν φωτὸς ἔνδειξιν.« διὸ καὶ τὸν παρὰ τῷ Ὁμήρῳ δούρειον ἵππον μεμηχανημέ- **3** νον, ὃν νομίζουσιν Ἕλληνες ἐπίτηδες γεγενῆσθαι, ἔλεγε πάλιν ὁ γόης ὅτι ἄγνοιά ἐστι τῶν ἐθνῶν· καί »ὡς οἱ Φρύγες ἕλκοντες αὐτὸν ἀγνοίᾳ τὸν ἴδιον ὄλεθρον ἐπεσπάσαντο, οὕτω [γὰρ] καὶ τὰ ἔθνη τουτέστιν οἱ ἄνθρωποι

6 Irenaeus adv. haer. I 23, 2; I 192 Harvey *et per saecula veluti de vase in vas transmigraret in altera muliebria corpora* Tertullian de anima 34 *ita multis aevis per alios atque alios habitus femininos volutatam* — **12** etwas anders bei Irenaeus adv. haer. I 23, 2; I 191 Harvey *hanc enim Ennoiam exsilientem ex eo, cognoscentem quae vult pater eius degredi ad inferiora et generare angelos et potestates, a quibus et mundum hunc factum dixit* — **14f** vgl. Irenaeus adv. haer. I 23, 2; I 192 Harvey Hippolyt refut. VI 19, 1ff; S. 145, 12f Wendland — **15ff** vgl. Hippolyt refut. VI 19, 1; S. 145, 8 Wendland *καὶ γὰρ τὸν δούρειον ἵππον ἀλληγορεῖ καὶ τὴν Ἑλένην ἅμα τῇ λαμπάδι* (auch clement. Recogn. II 12) — **22f** vgl. Irenaeus adv. haer. I 23, 3; I 193 Harvey = Hippolyt refut. VI 19, 5; S. 146, 16 Wendland *οὕτως τοῖς ἀνθρώποις σωτηρίαν παρέσχε διὰ τῆς ἰδίας ἐπιγνώσεως*

V M

1 [καὶ] * **2** αὐτοὺς] ///αὐτοὺς V^{corr} ἑαυτοὺς M **3** ///αὐτοὺς V ἑαυτοὺς M **4** συνεγίνετο V **5f** θηλυκῆς — θηλυκῶν εἰς < M **7** τῶν < V **8** ἐργάζωνται, ω V^{corr} **9** προχύσεως, σ V^{corr} **10** ἀναβῆναι εἰς οὐρανὸν V **13** vor ἰσότυπα + ἴσα M ausradiert V^{corr}; τὰ ἰσότυπα sc. zu dem κόσμος der oberen Welt **14** κατελήλυθα] καταβέβηκα S. 242, 15 **15** παρ᾽ M **17** λαμπηδόνος V | τὴν < V **19** δούρειον, ει aus ι V^{corr} δώριον M **20** ἔλεγε + δὲ M **22** [γὰρ] Ausgg.

οἱ ἐκτὸς τῆς ἐμῆς γνώσεως διὰ τῆς ἀγνοίας ἔλκουσιν ἑαυτοῖς τὴν ἀπώλειαν«. *ἀλλὰ καὶ Ἀθηνᾶν πάλιν τὴν αὐτὴν ἔλεγε τὴν παρ᾽ αὐτῷ* 4
Ἔννοιαν καλουμένην, χρώμενος δῆθεν ὁ πλάνος ταῖς τοῦ ἁγίου ἀποστόλου Παύλου φωναῖς μεταποιῶν τε τὴν ἀλήθειαν εἰς τὸ αὐτοῦ
ψεῦδος, τό »ἐνδύσασθε τὸν θώρακα τῆς πίστεως καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου καὶ κνημῖδας καὶ μάχαιραν καὶ θυρεόν«, πάντα
ταῦτα ἐπὶ τῆς τοῦ Φιλιστίωνος μιμολογίας ὁ ἀπατεὼν τὰ ὑπὸ τοῦ
ἀποστόλου εἰρημένα διὰ στερεὸν λογισμὸν καὶ πίστιν ἄγνῆς ἀναστροφῆς καὶ δύναμιν θείου λόγου καὶ ἐπουρανίου εἰς χλεύην λοιπὸν καὶ
οὐδὲν ἕτερον μεταστρέφων. | *»τί γάρ;« φησί, »ταῦτα πάντα εἰς Ἀθηνᾶς* P58
τύπους μυστηριωδῶς ἐσχημάτιζε«. διὸ πάλιν ἔλεγεν, ὡς προεῖπον, 5
ὑποφαίνων ἐκείνην τὴν μετ᾽ αὐτοῦ γυναῖκα τὴν ἀπὸ Τύρου ληφθεῖσαν αὐτῷ, τὴν ὁμώνυμον τῆς παλαιᾶς Ἑλένης, τὰ πάντα ταύτην καλῶν καὶ Ἔννοιαν καὶ Ἀθηνᾶν καὶ Ἑλένην καὶ τὰ ἄλλα, »καὶ διὰ ταύτην,
φησί, καταβέβηκα· τοῦτο γάρ ἐστι τὸ γεγραμμένον ἐν τῷ εὐαγγελίῳ τὸ
πρόβατον τὸ πεπλανημένον«. ἀλλὰ καὶ εἰκόνα τινὰ παραδέδωκε τοῖς 6
αὐτοῦ ὡς δῆθεν αὐτοῦ οὖσαν καὶ προσκυνοῦσι ταύτην ἐν εἴδει Διός·
ἄλλην δὲ ὡσαύτως Ἑλένης | εἰκόνα παραδέδωκεν αὐτοῖς ἐν σχήματι D10
Ἀθηνᾶς, καὶ προσκυνοῦσι ταύτας οἱ παρ᾽ αὐτοῦ ἠπατημένοι.

4. *Μυστήρια δὲ ὑπέθετο αἰσχρότητος ῥύσεώς τε σωμάτων, ὅπως* 4, 1
σεμνότερον ὑφηγήσωμαι, ἀνδρῶν μὲν διὰ τῆς ἀπορροίας, γυναικῶν

2 vgl. zu Z. 16 — **5** Ephes. 6, 14 — **15** vgl. Luk. 15, 4 u. Irenaeus adv. haer. I 23, 2; I 192 Harvey *et hanc esse perditam ovem* Hippolyt refut. VI 19, 2; S. 145, 10 Wendland Tertullian de anima 34 — **16** vgl. Irenaeus adv. haer. I 23, 4; I 194 Harvey = Hippolyt refut. VI 20, 1; S. 148, 4ff Wendland *εἰκόνα τε τοῦ Σίμωνος ἔχουσιν εἰς Διὸς μορφὴν καὶ τῆς Ἑλένης ἐν μορφῇ Ἀθηνᾶς καὶ ταύτας προσκυνοῦσιν*; Hippolyt fährt noch fort *τὸν μὲν καλοῦντες κύριον, τὴν δὲ κυρίαν. εἰ δέ τις ὀνόματι καλέσει παρ᾽ αὐτοῖς ἰδὼν τὰς εἰκόνας ἢ Σίμωνος ἢ Ἑλένης, ἀπόβλητος γίνεται ὡς ἀγνοῶν τὰ μυστήρια* — **20** vgl. ähnliches bei den »Gnostikern« Panarion h. 26, 4, 5ff. Etwas anders Hippolyt refut. VI 19, 5; S. 146, 9ff Wendland *οἱ δὲ αὖθις μιμηταὶ τοῦ πλάνου καὶ Σίμωνος μάγου γενόμενοι τὰ ὅμοια δρῶσιν, ἀλογίστως φάσκοντες δεῖν μίγνυσθαι, λέγοντες· πᾶσα γῆ γῆ καὶ οὐ διαφέρει ποῦ τις σπείρει, πλὴν ἵνα σπείρῃ, ἀλλὰ καὶ μακαρίζουσιν ἑαυτοὺς ἐπὶ τῇ (ξένῃ) μίξει, ταύτην εἶναι λέγοντες τὴν τελείαν ἀγάπην*

V M

1 οἱ < V **2** αὐτῷ *] αὐτῶν V M **10** μεταστρέφων . τί] μεταστρέφο||ντι, ο aus ω V corr **11** lies τύπον? * | lies ἐχρημάτιζε? * **12** λη||φθεῖσαν, μ ausradiert V corr **15** καταβέβηκα] κατελήλυθα S. 241, 14 | vor τοῦτο + καὶ M **19** παρ᾽] πρὸς V **21** ὑφηγήσωμαι, ω aus ο V corr ὑφηγήσομαι M

δὲ διὰ τῶν κατ᾽ ἐθισμὸν [τῶν] ἐμμηνίων συλλογῇ τινι αἰσχροτάτῃ
εἰς μυστήρια συναγομένων. καὶ ταῦτα εἶναι μυστήρια ζωῆς γνώσεώς 2
⟨τε⟩ τῆς τελειοτάτης· ὅπερ μάλιστα ὑπάρχει τῷ τὴν σύνεσιν ἐκ θεοῦ
κεκτημένῳ βδελυρίαν μᾶλλον ἡγεῖσθαι καὶ θάνατον ἤπερ ζωήν.
ὀνόματα | δέ τινα ὁ αὐτὸς ὑποτίθεται ἀρχῶν τε καὶ ἐξουσιῶν, οὐρα- 3 Ö128
νούς τε διαφόρους φησί, καθ᾽ ἕκαστον δὲ στερέωμα καὶ οὐρανὸν δυ-
νάμεις τινὰς ὑφηγεῖται καὶ ὀνόματα βαρβαρικὰ τούτοις ἐκτίθεται· μὴ
ἄλλως δὲ δύνασθαι σῴζεσθαί τινα, εἰ μή τι ἂν μάθοι ταύτην τὴν
μυσταγωγίαν καὶ τὰς τοιαύτας θυσίας τῷ πατρὶ τῶν ὅλων διὰ τῶν
ἀρχῶν τούτων καὶ ἐξουσιῶν προσφέρειν. εἶναι δὲ τὸν αἰῶνα τοῦ- 4
τον ἀπὸ ἀρχῶν καὶ ἐξουσιῶν, φησί, τῆς κακίας ἐν ἐλαττώματι κατε-
σκευασμένον. φθορὰν δὲ ὑφηγεῖται· σαρκὸς καὶ ἀπώλειαν, μόνον
ψυχῶν δὲ κάθαρσιν καὶ τούτων εἰ διὰ τῆς αὐτοῦ πεπλανημένης
γνώσεως ἐν μυσταγωγίᾳ κατασταῖεν. καὶ οὕτως ἄρχεται τῶν Γνω-
στικῶν καλουμένων ἡ † ἀρχή. μὴ εἶναι δὲ τὸν νόμον θεοῦ, ἀλλὰ ἀρι- 5
στερᾶς δυνάμεως ἔφασκε, μήτε προφήτας ἐξ ἀγαθοῦ θεοῦ ὑπάρχειν,
ἀλλὰ ἑτέρας καὶ ἑτέρας δυνάμεως. καὶ ὡς βούλεται ἑκάστῳ ὁρίζεται·
τὸν μὲν νόμον τινός, Δαυὶδ δὲ ἄλλης, Ἡσαΐαν ἑτέρας, Ἰεζεκιὴλ πάλιν
ἑτέρας, καὶ ἕκαστόν τινα τῶν προφητῶν μιᾷ ἀρχῇ ἀνατίθεται. εἶναι
δὲ τούτους ἅπαντας ἐκ | τῆς ἀριστερᾶς δυνάμεως καὶ ἔξω τοῦ πληρώ- P59
ματος, πάντα δὲ πιστεύοντα τῇ παλαιᾷ διαθήκῃ θάνατον ὑπέχειν.
5. Ἀνατρέπεται δὲ τοῦτο τὸ δόγμα ἀπ᾽ αὐτῆς τῆς ἀληθείας. εἰ 5, 1
γὰρ αὐτὸς εἷς ἡ δύναμις τοῦ θεοῦ ἡ μεγάλη καὶ τὸ σὺν αὐτῷ πορ- D11

12 vgl. clement. Recogn. I 58 — **15ff** vgl. clement. Hom. III 2; S. 36, 35 Lagarde ὃς (der höchste Gott) *δύο ἔπεμψε θεούς, ἀφ᾽ ὧν ὁ μὲν εἷς ἐστιν ὁ τὸν κόσμον κτίσας, ὁ δὲ ἕτερος ὁ τὸν νόμον δούς* XVIII 12; S. 173, 2ff u. Irenaeus adv. haer. I 23, 3; I 193 Harvey = Hippolyt refut. VI 19, 7; S. 147, 9f Wendland *τοὺς δὲ προφήτας ἀπὸ τῶν κοσμοποιῶν ἀγγέλων ἐμπνευσθέντας εἰρηκέναι τὰς προφητείας*

V M

1 [τῶν] * **2** *συναγομένων* *] *συνάγεσθαι* V M **3** ⟨τε⟩ U | *τελειωτάτης* M **4** *ἤπερ, η* aus *υ* V^{corr} *ὑπὲρ* M **5** *ὁ αὐτὸς*] *οὗτος* M **7** *ἐκτίθεται, ἐκ* auf Rasur V^{corr}; vgl. zu S. 235, 9 **7** *μὴ*] *μηδὲ*, aber nachher *δεδύνησθαι*(!) statt *δὲ δύνασθαι* M **9** *τῷ* < M **10** *δὲ*] *τε* V **13** *πεπλανημένης*] *πλάνης* M **14** *γνώσεως ἐν μυσταγωγίᾳ*] lies *μυσταγωγίας ἐν γνώσει*? * | *οὕτως* U] *οὗτος* V M | *τῶν* + ⟨*ψευδωνύμως*⟩? vgl. Irenaeus adv. haer. I 23, 4; I 195 Harvey *a quibus falsi nominis scientia accepit initia* **15** *ἡ* < M | † *ἀρχή*] lies etwa *πλάνη* * **19** *τινὰ* < M **21** *ὑπάρχειν* M

νίδιον τὸ πνεῦμα τὸ ἅγιον ὡς αὐτός φησι, φησάτω τί τὸ ὄνομα τῆς
δυνάμεως ἢ τίνι τῷ λόγῳ τὸ ἐπίθετον τῇ μὲν γυναικὶ ἐφηύρατο,
ἑαυτῷ δὲ οὐδὲν τὸ παράπαν· πῶς δὲ ἐν χρόνῳ τινὶ εὑρίσκεται κατὰ 2
διαδοχὴν τὸ χρεὼν ἐπὶ τῆς Ῥωμαίων ἀποδούς, ὅτε ἐν μέσῃ τῶν
Ῥωμαίων πόλει ὁ τάλας καταπεσὼν τέθνηκεν· τίνι ⟨δὲ⟩ τῷ λόγῳ ὁ 3
Πέτρος ἀπεφήνατο, αὐτὸν μὴ κλῆρον μὴ μερίδα ἔχειν ἐν τῷ μέρει
τῆς θεοσεβείας· πῶς δὲ δύναται ὁ κόσμος θεοῦ ἀγαθοῦ μὴ ὑπάρχειν, 4
ὁπότε ἐξ αὐτοῦ πάντες οἱ ἀγαθοὶ ἐξελέγησαν· πῶς δὲ ἀριστερὰ εἴη 5
δύναμις ἡ ἐν νόμῳ καὶ ἐν προφήταις λαλήσασα, ἥτις περὶ τῆς ἐλεύ-
σεως τοῦ Χριστοῦ ⟨ἀπὸ τοῦ⟩ ἀγαθοῦ θεοῦ προκεκήρυχεν καὶ τὰ
φαῦλα πάντα ἀπαγορεύει· πῶς δὲ οὐκ ἂν εἴη μία θεότης καὶ τὸ αὐτὸ 6
πνεῦμα καινῆς καὶ παλαιᾶς διαθήκης, ὁπότε ὁ κύριος εἶπεν »οὐκ
ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι«; καὶ ἵνα δείξῃ ὅτι ὁ
νόμος ὑπ᾽ αὐτοῦ κατηγγέλη καὶ διὰ Μωυσέως ἐδωρήθη, ἡ δὲ εὐαγγε-
λικὴ χάρις δι᾽ ἑαυτοῦ καὶ τῆς ἐνσάρκου παρουσίας κεκήρυκται, ἔλεγε
τοῖς Ἰουδαίοις »εἰ ἐπιστεύετε Μωυσῇ, καὶ ἐμοὶ ἂν ἐπιστεύετε· ἐκεῖνος
γὰρ περὶ ἐμοῦ ἔγραψεν«. καὶ ἄλλα | πολλὰ ἔστιν * πρὸς ἀντίθεσιν 7 Ö130
τῆς τοῦ γόητος ληρολογίας· πῶς δὲ ἔσται τὰ αἰσχρὰ ζωτικά, εἰ μή
τι ἂν δαιμόνων εἴη τὸ φρόνημα, ὁπότε αὐτὸς ὁ κύριος λέγει ἐν τῷ
εὐαγγελίῳ πρὸς τοὺς λέγοντας αὐτῷ »εἰ οὕτως ἡ αἰτία τοῦ ἀνδρὸς
καὶ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι«· ὁ δὲ πρὸς αὐτοὺς ἔφη »οὐ
πάντες τοῦτο χωροῦσι· εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς
διὰ τὴν βασιλείαν τῶν οὐρανῶν« καὶ ἔδειξεν ὡς τὸ φύσει ἀπέχεσθαι
συζυγίας βασιλείας οὐρανῶν ἐστι τὸ δῶρον. πάλιν δὲ ἐν ἄλλῳ τόπῳ 8
λέγει κατὰ τὸν σεμνὸν γάμον, ὃν αὐτὸς ὁ Σίμων παραφθείρων αἰσχρῶς
μεθοδεύει τὴν ἑαυτοῦ ἐπιθυμίαν, ὅτι »οὓς ὁ θεὸς συνέζευξεν, ἄνθρω-
πος μὴ χωριζέτω«. | D12

3ff vgl. Didaskalia S. 101, 6ff Lagarde (S. 121, 6ff Flemming-Achelis) Filastrius haer. 29; S. 15, 20ff Marx (Constit. apost. VI 9, 3f; S. 321, 4ff Funk actus Petri c. 32; I 83 Lipsius-Bonnet) — **5f** vgl. Act. 8, 21 — **12f** Matth. 5, 17 — **13ff** vgl. Joh. 1, 17 — **16f** Joh. 5, 46 — **20** Matth. 19, 10 — **21** Matth. 19, 11 — **26** Matth. 19, 6

V M

1 *φησάτω* < M | *τὸ*³ < M **2** *ἐφεύρε*///*το*, *ε* aus *α* V **3** *οὐδὲ* V **4** *χρέος* M **5** *πόλει* < M | ⟨*δὲ*⟩ U **8** *ἐπελάγισαν* V **9** *ἐν*² < M **10** ⟨*ἀπὸ τοῦ*⟩ * **14** *κατηγγέλ*///*η*, *λ* ausradiert V **16** *ἄν* < V **17** * etwa ⟨*εὑρεῖν*⟩ * **18** *ληρολογίας* *] *ἀντιλογίας* V M **22** *χωροῦσι τοῦτο* M **25** *ὃν* < M **26** *οὕς* < M

6. *Πῶς δὲ πάλιν ὁ πλάνος ἐπιλαθόμενος τῆς ἰδίας ληρῳδίας* 6, 1
ἑαυτὸν ἐλέγχει, ὥσπερ | ἀγνοῶν ἃ προλέγει; φήσας γὰρ ὅτι ὑπ' αὐτοῦ P60
γεγόνασιν οἱ ἄγγελοι διὰ τῆς αὐτοῦ Ἐννοίας, πάλιν ἔλεγεν μεταμορ-
φοῦσθαι καθ' ἕκαστον οὐρανόν, ὅπως λάθοι τοὺς αὐτοὺς ἐν τῷ
κατιέναι. ἄρα δεδιὼς ἐλάνθανε, καὶ πῶς δέδιεν ὁ ληρολόγος οὓς
αὐτὸς ἐποίησεν ἀγγέλους; πῶς δὲ οὐ πάντῃ εὐθυέλεγκτος αὐτοῦ 2
τοῖς συνετοῖς ἡ ὑποσπορὰ τῆς πλάνης εὑρεθήσεται, ὁπότε »ἐν ἀρχῇ
ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν« φησὶν ἡ γραφή; καὶ συνα-
δόντως τούτῳ τῷ λόγῳ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ φησὶν ὡς πρὸς
τὸν θεὸν καὶ πατέρα τὸν ἴδιον »πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς
γῆς«. εἰ τοίνυν ποιητὴς οὐρανοῦ καὶ γῆς ὑπάρχει ὁ θεὸς ὁ πατὴρ 3
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μάτην τὰ πάντα τῷ συκοφάντῃ
Σίμωνι εἴρηται, τὸ ὑπὸ ἀγγέλων τὸν κόσμον ἐν ἐλαττώματι γεγενῆ-
σθαι καὶ τὰ ἄλλα πάντα, ὅσα δαιμονῶν ὁ πλάνος τῷ κόσμῳ παρα-
λαλῶν εἰσηγήσατο καὶ ἀπάτην τισὶν ἐνεποίησεν τοῖς ὑπ' αὐτοῦ ἠπα-
τημένοις.

7. *Καὶ ταῦτά μοι ἐν ἐπιτομῇ πρὸς τὴν τούτου αἵρεσιν εἰρημένα* 7, 1
ἀρκέσει τοῖς ἐντυγχάνουσιν εἰς πρόφασιν ἀληθείας τε καὶ ἰάσεως καὶ
εἰς ἔλεγχον τῶν διὰ τῆς τοιαύτης θηριώδους φθορᾶς πειρωμένων
ἀδικεῖν τοὺς ἀγνοοῦντας. ὑπερβήσομαι δὲ καὶ ἐφ' ἑτέρας πάλιν 2
βαδιοῦμαι αἱρέσεως ἔλεγχον, τούτου τὴν ἰοβολίαν ἱκανῶς συντρίψας.
ἔστιν γὰρ ἐν αὐτῷ μεταβολὴ καὶ ἐνδοιασμός, πλάνου μὲν ὄντος αὐτοῦ
μορφὴν δὲ ὀνόματος Χριστοῦ ἐνδυσαμένου, ὡς ἡ τῶν ἐκτρωμάτων
ἑρπετώδης ἐξ οὐρίων ᾠῶν ἀσπίδων κυϊσκομένη φθορὰ καὶ ἄλλων
ἐχιδνῶν, ὥς φησιν ὁ προφήτης »ᾠὰ ἀσπίδων ἔρρηξαν, καὶ ὁ μέλλων 3
τῶν ᾠῶν αὐτῶν φαγεῖν ηὗρεν οὔριον καὶ ἐν αὐτῷ βασιλίσκον«.
ἀλλὰ τῇ δυνάμει ὡς ἔφην τοῦ Χριστοῦ τοῦτον παίσαντες διὰ τῶν
τῆς ἀληθείας λόγων καὶ τὴν αὐτοῦ λύμην ἀφανίσαντες ἐπὶ τὰς ἑξῆς
ἴωμεν, ἀγαπητοί. | D13 Ö13

2f vgl. oben S. 240, 3ff u. beachte *τὰς ἀγγελικάς μου δυνάμεις* — **7** Gen. 1, 1 — **10** Matth. 11, 25 Luk. 10, 21 — **13** vgl. S. 243, 10f — **25** Jes. 59, 5

V M

6 *πάντῃ* *] *παντὶ* V M | *εὐθὺς ἐλεγκτὸς* M **8** vor *φησὶν* + ⟨*ὡς*⟩? * **10** *θεὸν καὶ* < M **11—13** *καὶ γῆς — Σίμωνι* < M **14f** *παραλαλῶν*] *παράλλων* M **15** *εἰσηγήσατο* *, nach gewöhnlicher Wendung] *ἐξηγήσατο* V M **15—17** *ἐνεποίησε — εἰρημένα* < M **20** *ὑπερβήσο///μαι, o* aus *ω* V corr **21** *τούτου — συντρίψας* nachgetragen V corr < M **22** *ἐ///αυτῷ* aus *ἐν αὐτῷ* V corr | *ἐνδυασμὸς* V **23** *ἐνδυσάμενος* M | *ὡς ἡ*] *ὡσεὶ* M **29** Unterschrift *κατὰ Σίμωνος* V

Κατὰ Μενάνδρου, β̄ ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας, τῆς δὲ ἀκολουθίας κβ̄.

1. *Ταύτῃ καθεξῆς συνέπεται Μένανδρός τις, ὃς ἀπὸ Σαμαρειτῶν* **1, 1**
ὁρμώμενος ἐγένετο μαθητεύων τούτῳ τῷ Σίμωνι ἐν χρόνῳ τινί. | P61
ὁμοίως δὲ ἔλεγεν καὶ αὐτὸς τὸν κόσμον γεγονέναι ὑπὸ ἀγγέλων,
ἑαυτὸν δὲ ἔλεγεν ἄνωθεν δύναμιν θεοῦ καταπεπέμφθαι. μείζονα **2**
δὲ κυβείαν οὗτος ὑπὲρ τὸν πρότερον ἐργασάμενος πρὸς ἀπάτην τῶν
ἀνθρώπων ἔλεγεν ἑαυτὸν πεπέμφθαι εἰς σωτηρίαν, δῆθεν εἰς τὸ συνα-
γαγεῖν τινὰς εἰς τὸ ἑαυτοῦ μυστήριον διὰ τὸ μὴ ὑπὸ τῶν τὸν κόσμον
πεποιηκότων ἀγγέλων καὶ ἀρχῶν καὶ ἐξουσιῶν κατακυριευθῆναι.
ὅμοια δὲ τῷ ἑαυτοῦ διδασκάλῳ τὰ πάντα συνυφαίνων καὶ γοητείαις **3**
*καὶ ταῖς ἄλλαις μαγγανείαις * οὐ διέλειπεν, οὐδὲν δὲ διήλλαττε τῇ*
διδασκαλίᾳ ἀλλ' ἢ μόνον ὅτι ἑαυτὸν ἔλεγε μείζονα μᾶλλον ἢ τὸν
πρὸ αὐτοῦ ὄντα αὐτοῦ διδάσκαλον.

2. *Τῷ δὲ αὐτῷ ἐλαττώματι ᾧ καὶ ὁ αὐτοῦ διδάσκαλος περιέπεσε* **2, 1**
καὶ αὐτὸς ἄλους διὰ τῶν αὐτῶν τοῦ ἐλέγχου τῆς ἀληθείας λόγων
ἀνατραπήσεται. † ἀνετράπη γὰρ οὗτος καὶ ἔληξεν ἡ αὐτοῦ αἵρεσις ὡς
ἐπὶ τὸ πλεῖστον. ὑπερβήσομαι δὲ καὶ ἐφ' ἑτέραν πάλιν προκόπτων **2**
τῇ ὑφηγήσει ἐλεύσομαι. τῷ γὰρ ὄντι οἱ παλαιοὶ ἱστοροῦσι μῦθον,
ὡς ἐκ πολλῶν ἀσπίδων συνηγμένων ἐν ἄγγει ἑνὶ ὀστρακίνῳ καὶ

1 ff vgl. mit Epiph. insbesondere Justin apol. I 26, 4 Irenaeus adv. haer. I 23, 5; I 195 Harvey Tertullian de anima 50 Ps. Tert. adv. omn. haer. 1 — **3** *ἀπὸ Σαμαρειτῶν*] bei Justin apol. I 26, 4 genauer *ἀπὸ κώμης Καππαρεταίας* — **5** vgl. Irenaeus adv. haer. I 23, 5; I 195 Harvey = Hippolyt refut. VII 4; S. 190, 2 Wendland *ἐπεβάλετο εἰπεῖν ὑπὸ ἀγγέλων τὸν κόσμον γεγονέναι* — **6** etwas anders Irenaeus adv. haer. I 23, 5; I 195 Harvey *primam quidem virtutem incognitam ait omnibus; se autem eum esse qui missus sit ab invisibilibus Salvatorem* Tert. de anima 50 *se a superna et arcana potestate legatum* — **7—10** vgl. Irenaeus adv. haer. I 23, 5; I 195 Harvey *dare quoque per eam quae a se doceatur magicam scientiam addidit, ut et ipsos qui mundum fecerunt vincat angelos . resurrectionem enim per id quod est in eum baptisma accipere eius discipulos* — **19 ff** vgl. haer. 30, 26, 5 ff

V M

5 vor *ὁμοίως* + *ὡς* M ausradiert V corr **8 f** *συνάγειν* V **12** *μαγκανίαις* M | * ⟨*προσανέχων*⟩ * | *διέλ//ιπεν*, ε ausradiert V corr *διέλιπεν* M | *διήλλακται* M **15** *ὦ* von erster Hand oben hineingeflickt V | *ἑαυτοῦ* M **16** *ἀληθείας*] *ἀκολουθίας* M **17** † *ἀνετράπη*] lies wohl *ἀπέθανεν* * | *ἔληξεν*] *ἤλεγξεν* M **20** *ἀγγείῳ* M

κατατεθεισῶν ἐν τοῖς θεμελίοις τῶν τεσσάρων γωνιῶν ἑκάστου τε-
μένους τῶν ἐν Αἰγύπτῳ οἰκοδομηθέντων εἰδώλων, [καὶ] εἴ τις τού-
των ἰσχυροτέρα ηὕρηται παρὰ τὰς ἄλλας, ἐπελθοῦσα ταῖς ἑτέραις
κατέφαγε· μείνασα δὲ καθ᾽ ἑαυτὴν καὶ τροφῆς μὴ εὐποροῦσα, στρα- 3
φεῖσα αὕτη καὶ ἀπὸ τῆς κέρκου αὐτῆς ἐσθίειν ἀρξαμένη ἕως μέρους
τινὸς * τοῦ | σώματος κατέφαγε· καὶ οὕτως ἔμεινεν οὐκέτι τελεία, D14
ἀλλὰ ἥμισυ ὑπάρχουσα ἑρπετοῦ. διὸ καὶ ἀσπιδογοργόνα ταύτην ἐκά- 4
λεσαν, ὥστε νοεῖν ἡμᾶς τὸ παλαιὸν μὲν εἶναι τοῦτο, νῦν δὲ μηκέτι
τοῦτο εὑρισκόμενον, ἀλλὰ ἠφανίσθαι· ὡς καὶ αὕτη παντελῶς ἀπολο-
μένη ἔχει μὲν παρ᾽ ἡμῶν τὴν ἀντιλογίαν, αὐτὴ δὲ διὰ τῆς δυνάμεως
Χριστοῦ ἠφάνισται. καὶ ταύτην δε ὑπερβάντες ἐπὶ τὰς ἑξῆς ἴωμεν,
ἀγαπητοί. | P62

Κατὰ Σατορνίλου, γ̄ ἀπὸ τῆς τοῦ κυρίου παρουσίας, τῆς δὲ ἀκολουθίας κγ̄.

1. *Μετὰ τοῦτον Σατορνῖλός τις ἀνέστη, καὶ αὐτὸς ἐκεῖθεν τὰς* **1, 1**
ἀφορμάς, ἀπὸ Μενάνδρου φημὶ καὶ τῶν πρώην λαβών. οὗτος πρὸς
τῇ | Συρίᾳ κατοικήσας, τουτέστιν Ἀντιοχείᾳ τῇ πρὸς Δάφνην, πολλὴν Ö134
τινα τέχνην καὶ ἐμπειρίαν πλάνης τῷ κόσμῳ παρεισήνεγκεν. δύο **2**
γὰρ οὗτοι ἐγένοντο συσχολασταί, Βασιλείδης τε καὶ Σατορνῖλος·
καὶ ὁ μὲν Βασιλείδης πρὸς τῇ Αἰγύπτῳ χωρήσας ἐκεῖσε τὰ σκοτεινὰ
αὐτοῦ τοῦ βάθους τῆς πλάνης κεκήρυχεν, ὁ δὲ Σατορνῖλος ἐν τῷ

13ff vgl. mit Epiph. insbesondere (Hegesipp bei Eusebius h. e. IV 22, 5; S. 372, 2 Schwartz Justin dial. c. 35 Const. apost. VI 8, 1; S. 319, 6 Funk) Irenaeus adv. haer. I 24; I 196ff Harvey Tertullian de anima c. 23 Hippolyt refut. VII 3. 28 Ps. Tertullian adv. omn. haer. 1 Filastrius haer. 31 — **15**—S. **248**, **1** vgl. Irenaeus adv. haer. I 24, 1; I 196 Harvey *ex iis* (Simon u. Menander) *Saturninus qui fuit ab Antiochia ea quae est apud Daphnem et Basilides occasiones accipientes distantes doctrinas ostenderunt; alter quidem in Syria, alter vero in Alexandria*

V M

1 *γονιῶν* M **2** *[καὶ]* * **3** *τὰς ἑτέρας* V **5** *ἑαυτῆς* V **6** * *⟨τὸ πᾶν⟩* *, der Widerspruch zwischen *τὸ πᾶν* u. *ἕως μέρους* darf bei Epiph. nicht auffallen **7** *ἀλλ᾽* M **9** *ἀλλ᾽* M | *αὕτη* U] *αὐτὴ* V M **9f** *ἀπελαυνομένη* V **10** *αὕτη* M **11** *δὲ* < M **12** Unterschrift *κατὰ Μενάνδρου* V **13** *ἀπὸ τῆς τοῦ κυρίου παρουσίας* < M **19** *συ///σχολασταί, ν* ausradiert V corr **20** *χωρήσας]* *χώρα* M

προειρημένῳ τόπῳ διατρίβων ὁμοίως τῷ Μενάνδρῳ τὸν κόσμον ὑπὸ ἀγγέλων γεγενῆσθαι κατήγγελλεν. ἕνα δὲ εἶναι πατέρα ἄγνωστον, 3 *τὸν αὐτόν τε πεποιηκέναι δυνάμεις καὶ ἀρχὰς καὶ ἐξουσίας· τοὺς δὲ ἀγγέλους διεστάναι τῆς ἄνω δυνάμεως, ἑπτὰ δέ τινας τὸν κόσμον πεποιηκέναι καὶ τὰ ἐν αὐτῷ· τὸν κόσμον δὲ κατὰ μεριτείαν ἑκάστῳ ἀγγέλῳ κεκληρῶσθαι. ὁμοῦ δὲ συνελθόντας τοὺς αὐτοὺς ἀγγέλους* 4 *ἐντεθυμῆσθαι καὶ κοινῇ τὸν ἄνθρωπον πεποιηκέναι κατὰ τὴν μορφὴν τῆς ἄνωθεν παρακυψάσης φωτεινῆς εἰκόνος, ἣν μὴ δυνηθέντες παρακύψασαν κατασχεῖν διὰ τὸ παραχρῆμα ἀναδραμεῖν, μιμήσασθαι ἠθέλησαν. καὶ πεπλάσθαι μὲν τὸν ἄνθρωπον ὑπ᾽ αὐτῶν* | *οὐδενὸς* 5 D15 *ἕνεκα ἀλλ᾽ ἢ διὰ τοιαύτην πρόφασιν. ἐπειδὴ γάρ, φησίν, ἄνωθεν τὸ αὐτὸ φῶς παρακῦψαν ἐρεθισμόν τινα ἐνεποίησε τοῖς αὐτοῖς ἀγγέλοις, τούτους πρὸς πόθον τοῦ ἄνω ὁμοιώματος ἐπιχειρῆσαι τοῦ ἀνθρώπου τὸ πλάσμα ποιῆσαι. ἐπειδὴ γὰρ ἠράσθησαν τοῦ ἄνω φωτὸς* 6 *πόθῳ τῷ πρὸς αὐτὸ καὶ ἡδονῇ κατασχεθέντες, φανέντος καὶ ἀφαντωθέντος ἀπ᾽ αὐτῶν, ἐρασθέντας τε αὐτοῦ καὶ μὴ δυνηθέντας ἐμπλησθῆναι τῆς αὐτοῦ ἐρασμιότητος διὰ τὸ ὑπὸ θῆξιν ἀναπτῆναι τὸ αὐτὸ φῶς, τούτου χάριν εἰρηκέναι τοὺς ἀγγέλους [φησὶ] δραματουργεῖ*

1—5 vgl. Irenaeus adv. haer. I 24, 1; I 196 Harvey *Saturninus quidem similiter ut Menander unum patrem incognitum omnibus ostendit, qui fecit angelos archangelos virtutes potestates. a septem autem quibusdam angelis mundum factum et omnia quae in eo* Hippolyt refut. VII 28, 1; S. 208, 9 ff Wendland *ἐδογμάτισε τοιαῦτα ὁποῖα καὶ Μένανδρος. λέγει δὲ ἕνα πατέρα ἄγνωστον τοῖς πᾶσιν ὑπάρχειν, [τοῦ]τὸν ποιήσαντα ἀγγέλους ἀρχαγγέλους δυνάμεις ἐξουσίας. ἀπὸ δὲ ἑπτά τινων ἀγγέλων τὸν κόσμον γεγενῆσθαι καὶ πάντα τὰ ἐν αὐτῷ* — **5 f** vgl. Filastrius haer. 31, 1; S. 16, 4 Marx *et mundum esse divisum per ordinem angelis* (aus Epiph. entnommen) — **6—10** vgl. Irenaeus adv. haer. I 24, 1; I 196 Harvey = Hippolyt refut. VII 28, 2; S. 208, 13 ff *καὶ τὸν ἄνθρωπον δὲ ἀγγέλων εἶναι ποίημα, ἄνωθεν ἀπὸ τῆς αὐθεντίας φωτεινῆς εἰκόνος ἐπιφανείσης, ἣν κατασχεῖν μὴ δυνηθέντες διὰ τὸ παραχρῆμα, φησίν, ἀναδραμεῖν ἄνω[θεν], ἐκέλευσαν ἑαυτοῖς λέγοντες· ποιήσωμεν ἄνθρωπον κτὲ* — **7 ff** ein ähnlicher Mythus haer. 21, 2, 5; S. 240, 10 ff; dazu die weiteren dort angeführten Stellen — **11—18** vgl. Filastrius haer. 31, 3; S. 15, 9 ff Marx *at illi cupidi luminis ipsius facti virtutem eius videre cupiebant; non praevalentes autem adinvicem dixerunt: faciamus hominem* etc.

V M

2 *δὲ*] *τε* M **3** *τε* < M **5** *μεριτείαν*] *μέρη τι ἂν* M **7** *τῶν ἄνο///ν*, *ο* aus *ω* M **10** *πεπλάσθαι* aus *πλασθέντα* V corr *πλασθέντα* M **11** *γὰρ* oben hineingeflickt V corr < M **12** *αὐτοῖς* < M **15** *αὐτὸ'''*, *ν* wegradiert V corr **15 f** *ἀφαντοθέντος* M **17** *θίξιν* M **18** [*φησὶ*] *; hinter *εἰρηκέναι* gestellt V | *δραματουργῶν* aus *δραματουργεῖ* V corr

ὁ αὐτὸς γόης ὅτι »ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν«· παρακόψας τὸ εἰρημένον ἐν τῇ Γενέσει ὑπὸ τοῦ ἁγίου θεοῦ τὸ 7
»[καθ᾽] ἡμετέραν«, ἐάσας ⟨δὲ⟩ τὸ »κατ᾽ εἰκόνα«, ἵνα δὴ ἔχῃ ἡ αὐτοῦ
πλάνη τὴν πιθανότητα· ὡς δῆθεν ἄλλων μὲν ποιούντων εἰκόνα δὲ P63
ἑτέρου † λέγειν ἐν τῷ »ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν«. γενομένου δέ, φησί, τοῦ ἀνθρώπου διὰ τὸ αὐτῶν 8
ἀδρανὲς μὴ δύνασθαι αὐτὸν τελεσφορῆσαι, κεῖσθαι δὲ καὶ σκαρίζειν χαμαὶ κείμενον δίκην σκώληκος ἕρποντος, μὴ δύνασθαι δὲ μήτε ἀνορθοῦσθαι μήτε τι ἕτερον πράττειν, ἕως ἡ ἄνω δύναμις παρακύψασα καὶ σπλαγχνισθεῖσα διὰ τὴν ἰδίαν αὐτῆς εἰκόνα τε καὶ ἰδέαν κατ᾽ οἶκτον ἀπέστειλε σπινθῆρα τῆς αὐτῆς δυνάμεως καὶ δι᾽ αὐτοῦ ἀνώρθωσε τὸν ἄνθρωπον καὶ οὕτως ἐζωογόνησε, δῆθεν τὸν σπινθῆρα ψυχὴν τὴν ἀνθρωπείαν φάσκων. καὶ τούτου ἕνεκα πάντως δὴ τὸν 9
σπινθῆρα σωθῆναι, τὸ δὲ πᾶν τοῦ ἀνθρώπου ἀπολέσθαι· ἐν τῷ ἄνω
μὲν τὸ ἄνωθεν κατελθὸν ἀνακομισθῆναι | χρόνοις τισί, τὸ δὲ κάτωθεν Ö136
πᾶν τὸ ὑπὸ τῶν ἀγγέλων πλασθὲν ἐνταῦθα αὐτοῖς καταλιμπάνεσθαι. Χριστὸν δὲ καὶ αὐτὸν φάσκει ὁ γόης ἐν σχήματι ἀνθρώπου 10
ἐληλυθέναι καὶ ἰδέᾳ μόνῃ, τὰ πάντα δὲ [ἐν] τῷ δοκεῖν πεποιηκέναι.

1 Gen. 1, 26. — Das Fehlen von *ἡμετέραν* ist auch durch Irenaeus adv. haer. I 24, 1; I 197 Harvey = Hippolyt refut. VII 28, 2; S. 208, 16 Wendland bezeugt; Filastrius haer. 31, 3; S. 16, 12 Marx setzt es irrigerweise hinzu — **6—17** vgl. Irenaeus adv. haer. I 24, 1; I 197 Harvey = Hippolyt refut. VII 28, 3; S. 208, 17 Wendland *οὗ γενομένου, φησίν, καὶ ⟨μὴ⟩ δυναμένου ἀνορθοῦσθαι τοῦ πλάσματος διὰ τὸ ἀδρανὲς τῶν ἀγγέλων, ἀλλὰ ὡς σκώληκος σκαρίζοντος οἰκτείρασα αὐτὸν ἡ ἄνω δύναμις διὰ τὸ ἐν ὁμοιώματι αὐτῆς γεγονέναι, ἔπεμψε σπινθῆρα ζωῆς, ὃς διήγειρε τὸν ἄνθρωπον καὶ ζῆν ἐποίησε. τοῦτον οὖν τὸν σπινθῆρα τῆς ζωῆς μετὰ τὴν τελευτὴν ἀνατρέχειν πρὸς τὰ ὁμόφυλα λέγει καὶ τὰ λοιπά, ἐξ ὧν ἐγένετο, εἰς ἐκεῖνα ἀναλύεσθαι.* Ziemlich wörtlich ebenso Tertullian de anima c. 23 — **17—S. 250, 2** vgl. Irenaeus adv. haer. I 24, 2; I 197 Harvey = Hippolyt refut. VII 28, 4; S. 209, 4 Wendland *τὸν δὲ σωτῆρα ἀγέννητον ὑπέθετο καὶ ἀσώματον καὶ ἀνείδεον, δοκήσει δὲ ἐπιπεφηνέναι ἄνθρωπον*

V M

1 *εἰκόνα* + *ἡμετέραν*, von späterer Hand durchgestrichen V **3** *[καθ᾽]* * | *⟨δὲ⟩* * | *κατ᾽ εἰκόνα* *, vgl. auch S. 253, 10] *ἡμετέραν* V M | *δὴ] δὲ* M **4** *πιθανό///τητα, o* aus *ω* V^{corr} **5** † *λέγειν ἐν τῷ·] lies wohl ⟨σημαινόντων⟩ ἐν τῷ λέγειν* * **6** *γενόμενον . . . τὸν ἄνθρωπον* V **10** *ἑαυτῆς* aus *αὐτῆς* V^{corr} *ἑαυτῆς* M **12** *ἐζωοποίησε* M **13** vor *ψυχὴν* + *τὴν* V | *δὴ] δεῖ* M **16f** *πᾶν τὸ ὑπὸ — Χριστὸν δὲ*, am Rand nachgetragen V^{corr} **17** *καὶ αὐτὸς* V **18** *[ἐν]* *

τουτέστι τὸ γεγεννῆσθαι | τὸ περιπατεῖν τὸ ὀπτάνεσθαι τὸ πε- D16
πονθέναι.

2. *Ἀπὸ τούτου δὲ ἡ ψευδωνύμως καλουμένη γνῶσις ἄρχεται* **2, 1**
πάλιν προστίθεσθαι τῷ βυθῷ τῆς αὐτῆς πονηρίας, ἀπὸ Σίμωνος μὲν
λαβοῦσα τὴν ἀρχὴν καὶ τὴν πρόφασιν, προστιθεμένη δὲ ἄλλῃ περισ-
σοτέρᾳ φλυαρίᾳ, ὡς τὸν ταύτης ἔλεγχον ὕστερον ἐροῦμεν. φάσκει **2**
γὰρ οὗτος, τοὺς ἀγγέλους λέγων, καὶ τὸν θεὸν τῶν Ἰουδαίων ἕνα
ἐξ αὐτῶν εἶναι, διεστάναι δὲ τὸν αὐτὸν καὶ τοὺς αὐτοὺς ἀπὸ τῆς
ἄνω δυνάμεως, τὸν δὲ σωτῆρα ἀπεστάλθαι ἀπὸ πατρὸς παρὰ γνώ-
μην τῶν δυνάμεων ἐπὶ καταλύσει τοῦ θεοῦ τῶν Ἰουδαίων καὶ ἐπὶ
σωτηρίᾳ τῶν πειθομένων ⟨αὐτῷ⟩· εἶναι δὲ αὐτοὺς τοὺς ταύτης τῆς
αἱρέσεως τοὺς ἔχοντας τὸν σπινθῆρα τοῦ ἄνωθεν πατρός. δύο γὰρ **3**
πεπλάσθαι ἀπ᾽ ἀρχῆς ἀνθρώπους φάσκει, ἕνα ἀγαθὸν καὶ ἕνα φαῦλον·
ἐξ ὧν δύο εἶναι τὰ γένη τῶν ἀνθρώπων ἐν κόσμῳ, ἀγαθῶν τε καὶ
πονηρῶν. ἐπειδὴ δὲ οἱ δαίμονες τοῖς πονηροῖς ἐβοήθουν, τούτου **4**
ἕνεκα ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν ὡς προεῖπον ἦλθεν ὁ σωτὴρ ἐπὶ
βοηθείᾳ τῶν ἀγαθῶν ἀνθρώπων καὶ ἐπὶ καταλύσει τῶν πονηρῶν
καὶ τῶν δαιμόνων. τὸ γαμεῖν δὲ καὶ τὸ γεννᾶν ὁ αὐτὸς ἀγύρτης **5**
ἐκ τοῦ Σατανᾶ ὑπάρχειν λέγει, ὅθεν καὶ οἱ πλείους αὐτῶν ἐμψύχων

6—11 vgl. Irenaeus adv. haer. I 24, 2; I 197 Harvey = Hippolyt refut. VII 28, 5; S. 209, 5 Wendland *καὶ τὸν τῶν Ἰουδαίων θεὸν ἕνα τῶν ἀγγέλων εἶναί φησι καὶ διὰ [τοῦ] τὸ βούλεσθαι τὸν πατέρα καταλῦσαι πάντας τοὺς ἄρχοντας παραγενέσθαι τὸν Χριστὸν ἐπὶ καταλύσει τοῦ τῶν Ἰουδαίων θεοῦ καὶ ἐπὶ σωτηρίᾳ τῶν πειθομένων αὐτῷ* — **11—18** vgl. Irenaeus adv. haer. I 24, 2; I 198 Harvey = Hippolyt refut. VII 28, 5f; S. 209, 9 Wendland *εἶναι δὲ τούτους ⟨τοὺς⟩ ἔχοντας τὸν σπινθῆρα τῆς ζωῆς ἐν αὐτοῖς. δύο γὰρ γένη τῶν ἀνθρώπων ὑπὸ τῶν ἀγγέλων πεπλάσθαι ἔφη, τὸ μὲν πονηρόν, τὸ δὲ ἀγαθόν, καὶ ἐπειδὴ οἱ δαίμονες τοῖς πονηροῖς ἐβοήθουν, ἐληλυθέναι τὸν σωτῆρα ἐπὶ καταλύσει τῶν φαύλων ἀνθρώπων καὶ δαιμόνων, ἐπὶ σωτηρίᾳ δὲ τῶν ἀγαθῶν* — **18**—S. **251, 2** vgl. Irenaeus adv. haer. I 24, 2; I 198 Harvey = Hippolyt refut. VII 28, 7; S. 209, 14 *τὸ δὲ γαμεῖν καὶ γεννᾶν ἀπὸ τοῦ σατανᾶ φησιν εἶναι· οἱ πλείους τε τῶν ἀπ᾽ ἐκείνου καὶ ἐμψύχων ἀπέχονται, διὰ τῆς προσποιήτου ταύτης ἐγκρατείας ⟨πλανῶντες πολλούς⟩*

V M

1 *γεγεννῆσθαι* + *δοκεῖν ἀλλὰ τὸ μὴ γεγεννῆσθαι* M **3** *ἡ ψευδωνύμως* *] *ψευδωνύμως ἡ* V M **4** *προστίθεσθαι, σ* von *προς* zugesetzt V corr **5 f** *περισσοτέρα ἄλλη* V **9** *ἄνω*] *αὐτοῦ* V | *παρὰ* *] *κατὰ* V M **10** *τῶν*[1] + *⟨κάτω⟩*? * **11** *⟨αὐτῷ⟩* *, vgl. Iren. Hipp. | *τοὺς* < M **13** vor *ἀγαθὸν* u. *φαῦλον* + *τὸν* M **14 f** *ἀγαθόν τε καὶ πονηρόν* V **16** *ἐσχάτου*, *ου* auf Rasur V corr | *ὡς προεῖπον*] *φησίν* auf Rasur V corr **18** *δὲ* aus *τε* V corr

ἀπέχονται, ὅπως διὰ τῆς προσποιητῆς δῆθεν πολιτείας τινὰς ἐπαγάγωνται εἰς τὴν αὐτῶν ἀπάτην. | τὰς δὲ προφητείας φάσκει ὁ **6** P64
αὐτὸς πάλιν γόης τὰς μὲν ὑπὸ τῶν κοσμοποιῶν ἀγγέλων πεπροφητεῦσθαι, τὰς δὲ ὑπὸ τοῦ Σατανᾶ. καὶ αὐτὸν γὰρ τὸν Σατανᾶν ἄγγελον φάσκει, ἀντιπράττοντα τοῖς κοσμοποιοῖς ἀγγέλοις, μάλιστα δὲ τῷ θεῷ τῶν Ἰουδαίων.

3. Ὅταν δὲ ταῦτα φάσκῃ ὁ κτηνώδης, πάντως που καὶ αὐτὸς **3, 1**
δειχθήσεται ἕνα θεὸν ὁμολογῶν καὶ ἐπὶ μίαν ἑνότητα μοναρχίας ἀνάγων τὸ πᾶν. εἰ γὰρ οἱ ἄγγελοι ⟨τὸν ἄνθρωπον⟩ | πεποιήκασιν, ἄγγελοι δὲ D17
πάλιν ἀπὸ τῆς ἄνωθεν δυνάμεως τὸ αἴτιον ἐσχήκασι τοῦ εἶναι, ἆρα οὐκ αὐτοὶ αἴτιοι τοῦ πλάσματος τοῦ ἀνθρώπου, ἀλλὰ ἡ ἄνωθεν δύναμις ἡ τοὺς ἀγγέλους ποιήσασα, ἐξ ὧν καὶ ἡ πλάσις τοῦ ἀνθρώπου συνέστηκε. καὶ γὰρ οὐκ αἴτιον τὸ ἐργαλεῖον τῶν ὑπ᾽ αὐτοῦ γινομένων, **2**
ἀλλὰ ὁ ἐνεργῶν | τὸ ἐνέργημα διὰ τοῦ ἐργαλείου δι᾽ οὗ τὸ ἔργον Ö138
γίνεται, ὡς καὶ γέγραπται »μὴ δοξασθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν« καὶ τὰ ἑξῆς. οὕτω δὲ ὁρῶμεν ὅτι οὔτε ἡ μάχαιρα αἰτία **3**
τοῦ φόνου, ἀλλὰ ὁ τῇ μαχαίρᾳ τὸν φόνον ἐπιχειρήσας καὶ οὐ τὸ κηροπλαστεῖον δύναται δι᾽ ἑαυτοῦ ποιεῖν τὰ πλασσόμενα, ἀλλὰ ὁ τὸ κηροπλαστεῖον καὶ τὸ πλάσμα ἐργασάμενος. οὐκοῦν οὐδὲ οἱ ἄγγελοι **4**
αἴτιοι, ἀλλ᾽ ὁ τοὺς ἀγγέλους ποιήσας, εἰ καὶ ⟨μὴ⟩ ἦν παραγγείλας αὐτοῖς τοῦ [μὴ] ποιῆσαι ἄνθρωπον. ἢ γὰρ καταψηφίζεται τῆς ἄνω **5**
δυνάμεως ἄγνοιαν καὶ ἀγνωσίαν τῶν μελλόντων ἔσεσθαι, παρὰ τὸ αὐτῆς θέλημα ἐπιτελουμένων, ἢ εὐδοκίᾳ τῇ ἑαυτῆς * τοὺς ἀγγέλους πεποιηκέναι πρὸς τὸ χρήσιμον τὴν κατασκευὴν τοῦ ἀνθρώπου, οὗ ἤθελε κατασκευάζειν ποιήσασα τοὺς ἀγγέλους, καὶ μὴ ἐντειλαμένη τοῦ [μὴ] ἐπιτελέσαι τὸ ἐπιχείρημα τουτέστι τοῦ ἀνθρώπου τὸ πλαστεῖον, ὡς ἡ αὐτοῦ μυθώδης τεχνουργία περιέχει.

2—6 vgl. Irenaeus adv. haer. I 24, 2; I 198 Harvey = Hippolyt refut. VII 28, 7; S. 209, 16 Wendland *τὰς δὲ προφητείας ἃς μὲν ἀπὸ τῶν κοσμοποιῶν ἀγγέλων λελαλῆσθαι, ἃς δὲ ἀπὸ τοῦ σατανᾶ, ὃν καὶ αὐτὸν ἄγγελον ἀντιπράττοντα τοῖς κοσμοποιοῖς ὑπέθετο, μάλιστα δὲ τῷ τῶν Ἰουδαίων θεῷ* — **15** Jes. 10, 15

V M

1 ἀπέχο///νται, *o* aus *ω* V corr | ὅπως] ἵνα M **1f** ἐπαγάγωσιν, ωσιν auf Rasur V corr **2** ἑαυτῶν M **3f** προπεφητεῦσθαι V **4** ἀπὸ M | γὰρ] δὲ M **5** ἀντιπράττοντα + τε M **9** ⟨τὸν ἄνθρωπον⟩ * **14** ἐργασίου M **18** u. **19** κηροπλάστιον V **19** οὔτε V **20f** εἰ καὶ ⟨μὴ⟩ ἦν . . . τοῦ [μὴ] ποιῆσαι *, vgl. Z. 25 **23** τῇ] τῆς M | * ⟨λέγει⟩ * **24** τὴν κατασκευὴν *] τῆς κατασκευῆς V M **26** [μὴ] * | πλάστιον V **27** αὐτοῦ *, vgl. S. 252, 1 u. 17] αὐτῶν V M

4. Ἦ οὐκοῦν πάλιν τὸν μυθολόγον ἐρωτητέον· ἤδει ἡ ἄνω δύ- 4, 1
ναμις ὅ τι μέλλουσι πράττειν; ναί, φησίν. ἄρα γοῦν εἰ ἤδει, αὐτὴ
πεποίηκε καὶ οὐκ αὐτοί· εἰ δὲ ἤδει μὲν οὐκ ἤθελε δέ, παρὰ δὲ τὴν
αὐτῆς γνώμην ἐπεχείρησαν τὸ ἐπιχείρημα αὐτοί, τίνι τῷ λόγῳ οὐ
κεκώλυκεν; εἰ δὲ ἀδυνάτως ἔσχεν τοῦ κωλῦσαι, πρώτη φαυλότης, ὅτι 2
καθ' ἑαυτῆς τοὺς ὑπ' αὐτῆς γεγονότας ἀγγέλους εἰς ἀντίθεσιν ἑαυτῆς
καὶ παροξυσμὸν κατεσκεύασε, δεύτερον δέ, ὅτι | δυναμένη οὐ κεκώ- P65
λυκεν, ἀλλὰ συνήργησεν εἰς τὸ πονηρὸν ἔργον τὸ ὑπὸ τῶν ἀγγέλων | D18
γεγενημένον. εἰ δὲ οὐ συνήργησε καὶ βουληθεῖσα οὐκ ἠδυνήθη κωλῦ- 3
σαι, πολλή τις ἀσθένεια ἐν τῇ θελησάσῃ καὶ μὴ δυνηθείσῃ, καὶ μᾶλλον
ἰσχυρότερον εἴη τὸ ὑπ' αὐτῆς γενόμενον τῶν ἀγγέλων στῖφος ἢ αὐτὴ
ἡ αἰτία οὖσα τῶν ὑπ' αὐτῆς γεγονότων ἀγγέλων. ἐξ ἅπαντος τοίνυν
ἁλίσκεται ἡ τῆς αἱρέσεως ὑπόθεσις ἀσυστασίᾳ μᾶλλον περιπίπτουσα
καὶ οὐκ ἀληθείᾳ. εἰ δὲ ἐγίνωσκε μέν, ἀνάγκῃ δὲ ἐποίει τούτους ὃ 4
μὴ θέμις ἐστὶ ⟨μέλλοντας⟩ πράττειν παρὰ τὸ αὐτῆς βούλημα, ἐλαττώσει ἑτέρᾳ περιπεσεῖται πάλιν καὶ οὐδὲ ἓν πλήρωμα εὑρεθήσεται ἐν
τῇ ἄνω δυνάμει κατὰ τὸν αὐτοῦ λόγον. ἔτι δὲ προσθείημεν αὐτὸν 5
ἐρωτῶντες· λέγε ἡμῖν, ὦ οὗτος, ὁ διὰ θυρίδων παρακύψας (ἵνα οὕτως
χλευάσω τὴν σοῦ ληρῳδίαν) καὶ ἐν τῷ παρακύπτειν σκοπήσας ὡς
ἐκτίσθησαν οἱ ἄγγελοι καὶ τὴν ὑπ' αὐτῶν περὶ τὸ ἀνθρώπινον πλάσμα
* τεχνουργίαν τότε κατοπτεύσας καὶ τῆς ἄνωθεν δυνάμεως ἐξιχνεύσας
τὴν μηχανοποιίαν, ἤδεισαν οὗτοι τί πλάσσουσιν ἢ ἠγνόουν; ἀγνοοῦντες
δὲ ὑπὸ τίνος ἠναγκάζοντο τὸ ἐν | ἀγνωσίᾳ * ἐπιτελεῖν; οὐχί, φησίν. Ö140
οὐκ ἠγνόουν· ἤδεισαν γὰρ ὃ ἔμελλον πράττειν. ἡ τοίνυν ἄνωθεν δύ- 6
ναμις ἤδει τούτους τοῦτο μέλλοντας ἐπιχειρεῖν ἢ ἠγνόει; οὐκ ἠγνόει.
ἐποίησέν οὖν αὐτοὺς ἵνα τοῦτο πράξωσιν ἢ μή; οὐχί, φησίν· ἐποίησε
γὰρ αὐτοὺς μόνον, οὗτοι δὲ παρὰ τὴν ἄνω δύναμιν ἐπεχείρησαν πρὸς
τὸ ποιῆσαι πλάσμα. οὐκοῦν οὗτοι μὲν ἤδεισαν, ἐκείνη δὲ ἡ ἄνω δύ- 7
ναμις ἠγνόει κατὰ τὸν σοῦ λόγον, ὦ πάντων ἀνθρώπων ἀβέλτερε.
καὶ ἔσται μὲν ἡ τῶν ἀνθρώπων κατασκευὴ σύστασις καὶ οἱ αἴτιοι
ταύτης ἄγγελοι ἐν γνώσει, ἡ δὲ τοὺς ἀγγέλους ποιήσασα δύναμις ἐν

16 das Stichwort *πλήρωμα* kam in der vorausgehenden Darstellung nicht vor

V M

1 ἦ < M 2 αὕτη M 6 ἑαυτῆς²] αὐτῆς M 11f ἡ αὐτὴ ἡ *] ἦ ἡ αὐτὴ V ἦν αὕτη M 15 ⟨μέλλοντας⟩ *, vgl. Z. 24 u. 25 18 ἐρωτοῦντες M | λέγειν M | παρακύ//ψας, ein Buchstabe ausradiert V 21 * etwa ⟨ἐπιχειρηθεῖσαν⟩ *, vgl. Z. 27 | τεχνουργία//, ν wegradiert V corr | τότε < M 23 * etwa ⟨πραχθὲν⟩ * 25 οὐκ von erster Hand aus οὐχ V 29 ἀβελτερώτατε aus ἀβέλτερε V corr ἀβέλτερε M

ἀγνωσίᾳ. λῃρῶδες δ' ἂν εἴη τοῦτο καὶ ἠλίθιον, ὅτι μᾶλλον ἐν- 8
τελέστερον τὸ ἔργον τοῦ τεχνίτου καὶ ὁ τεχνίτης ἀδρανέστερος τῶν
ὑπ' αὐτοῦ γενομένων ἀγγέλων, αἰτίων ὄντων τῆς ἀνθρωπείας συ-
στάσεως. ὥστε οὖν ἐξ ἅπαν|τος ἀνάγκη ὁμολογήσειας ἂν ἐπὶ τὸν D19
αὐτὸν ποιητὴν τὸν ἕνα καὶ ἐπὶ τὴν μίαν μοναρχίαν ⟨δεῖν⟩ τὸ πᾶν
ἄγειν.

5. Καὶ γὰρ ὁ θεὸς ὁ πατὴρ ἐποίησε τὸν ἄνθρωπον καὶ πάντα 5, 1
κατὰ τὴν ἰδίαν εὐδοκίαν καὶ οὐχ | οἱ ἄγγελοι, οὐδὲ κατὰ τὴν τῶν P66
ἀγγέλων συμβουλίαν τι γέγονεν. ἐν τῷ γὰρ εἰπεῖν τὸν θεόν »ποιή-
σωμεν ἄνθρωπον«, »κατ' εἰκόνα ἡμετέραν« εἶπεν, καὶ οὐ »κατ' εἰκόνα«
μόνον. συνεκάλει γὰρ εἰς τὴν ἑαυτοῦ δημιουργίαν συνδημιουργὸν τὸν 2
αὐτοῦ Λόγον καὶ μονογενῆ, ὡς ἔχει καὶ ἡ ἐξ ἀληθείας ὁρμωμένη
πιστῶν ἔννοια καὶ αὐτὸ τὸ τῆς ἀληθείας ἀκρίβασμα, ὡς καὶ ἐν ἑτέροις
πλείοσι περὶ τούτου σαφῶς καὶ διὰ μήκους ἐποιησάμεθα τὴν ὁμο-
λογίαν, ὡς ὁ πατὴρ συγκαλεῖται τὸν υἱὸν συνδημιουργεῖν τὸν ἄν-
θρωπον, δι' οὗ καὶ τὰ ἄλλα πάντα ἐποίησεν. οὐ μόνον δὲ συγκαλεῖν 3
εἴποιμι τὸν υἱόν, ἀλλὰ καὶ τὸ ἅγιον πνεῦμα. »τῷ γὰρ λόγῳ κυρίου
οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα
ἡ δύναμις αὐτῶν«. εἴτε δὲ βουληθείη εἴτε καὶ μὴ βουληθείη (φημὶ 4
δὲ ὁ Σατορνῖλος ὁ τῆς αἱρέσεως ταύτης ἀρχηγός), ἀναγκασθήσεται ἐξ
ἅπαντος ἕνα τὸν θεὸν ὁμολογεῖν, θεὸν καὶ κύριον, τοῦ σύμπαντος
ὄντα κτιστήν τε καὶ δημιουργόν, ἅμα τε καὶ τοῦ ἀνθρώπου. αἰσχυν- 5
θήσεται δὲ κατὰ πάντα τρόπον ὡς συκοφάντης καὶ εἰς τὸν περὶ
προφητῶν λόγον καὶ εἰς τὴν κατὰ τοῦ σεμνοῦ γάμου φαύλην κατη-
γορίαν. αὐτὸς γὰρ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διαρρήδην ἐκφωνεῖ
ἐν τῷ εὐαγγελίῳ καὶ λέγει συνῳδὰ τῷ προφήτῃ ὅτι »ὁ λαλῶν ἐν τοῖς
προφήταις, ἰδοὺ πάρειμι« καὶ πάλιν »ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται,
κἀγὼ ἐργάζομαι«. ἵνα δὲ δείξῃ τί ἐργάζεται ὁ αὐτοῦ πατὴρ καὶ αὐτός, 6

9f Gen. 1, 26 — **13** vgl. Ancoratus c. 15, 7; S. 24, 4ff u. c. 27, 4; S. 37, 11ff — **17** Psal. 32, 6 — **26** Agraphon, vgl. Resch² S. 207; bei *τῷ προφήτῃ* ist Jes. 52, 6 gemeint — **27** Joh. 5, 17

V M

1f *τὸ ἔργον ἐντελέστερον* M **4** *ὥστ' οὖν* V **5** ⟨*δεῖν*⟩ * **8** *οὐχ*, von erster Hand aus *οὐκ* V **9** *τι γέγονεν* hineingeflickt V^{corr} < M **11** *μόνον* hineingeflickt V^{corr} **12** *ἑαυτοῦ* V **13** *αὐτὸ τὸ* U] *τὸ αὐτὸ* VM **14f** *ὁμολογίαν*] *ἀπολογίαν* M **16** *δὲ* < M **20** *ὁ*[1]] *ὅσα* M **21** *τὸν* < M | *θεὸν*[2] < M **22f** *αἰσχυνθήσεται*] *ἐλεγχθήσεται*? * **23** *ὡς*] *ὁ* M **26** *συνῳδὰ* + *καὶ* M ausradiert V^{corr} **27** *μου* < V **28** //// *αὐτοῦ ὁ πατὴρ, ὁ* ausradiert V^{corr} | vor *αὐτός* + *ὁ* M

ἀπεφήνατο λέγων τοῖς ἐρωτήσασιν αὐτὸν εἰ χρὴ ἀπολύειν τὴν γυναῖκα κατὰ πᾶσαν αἰτίαν »πῶς γέγραπται; ὅτε ἐποίη|σεν ὁ θεὸς τὸν ἄνθρωπον, ἄρσεν καὶ θῆλυ ἐποίησεν | αὐτούς«, καὶ πάλιν μεθ' ἕτερα ὅτι »ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν«, καὶ εὐθὺς προσέθηκε λέγων »ὃ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω«· ὡς ἐξ ἅπαντος τὸν σωτῆρα διδάσκειν τὸν ποιητὴν τῶν ἀνθρώπων θεὸν εἶναι τῶν πάντων, αὐτοῦ δὲ πατέρα. Ö142 D20

καὶ ὅτι ὁ γάμος οὐκ ἐκ τοῦ Σατανᾶ, ἀλλ' ἐκ τοῦ θεοῦ τυγχάνει, πρῶτον μὲν ὁ κύριος λέγει· »ὃ ὁ θεός« φησίν »συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω«· εἶτα ὁ ἅγιος ἀπόστολος »τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος«. ταῖς δὲ φύσει χηρευσάσαις | ὡσαύτως παραγγέλλει, λέγων διὰ Τιμοθέου »νεωτέρας χήρας παραιτοῦ· μετὰ γὰρ τὸ καταστρηνιάσαι τοῦ Χριστοῦ γαμεῖν θέλουσι«, καὶ μεθ' ἕτερα »γαμείτωσαν τεκνογονείτωσαν οἰκοδεσποτείτωσαν«, ἀνυπέρβατον νόμον τιθέμενος, ἐκ θεοῦ ὄντα καὶ κατὰ σεμνότητα ἀνθρώποις κεχαρισμένον. 7 P67

6. Περὶ δὲ τῶν κατὰ τῶν θεοῦ προφητειῶν ὑπ' αὐτοῦ σεσυκοφαντημένων ὑπονοιῶν, ὡς μὴ εἶναι αὐτὰς ἐκ θεοῦ, μυρία ἔστιν εἰπεῖν, ὡς αὐτὸς λέγει ὁ μονογενής, † ἐξ ὧν τὸν κόσμον ἑαυτοῦ εὐαγγελιζόμενος λέγει, πρῶτον μὲν ὅτι »Ἀβραὰμ ὁ πατὴρ ἡμῶν ἐπεθύμησεν ἰδεῖν τὴν ἡμέραν μου, καὶ εἶδεν καὶ ἐχάρη«, καὶ πάλιν φησίν »εἰ ἐπιστεύετε Μωυσῇ, ἐπιστεύετε ἂν ἐμοί· ἐκεῖνος γὰρ περὶ ἐμοῦ ἔγραψεν«. **6, 1**

τίς δὲ τῶν εὖ φρονούντων καὶ σύνεσιν ἀπὸ θεοῦ κεκτημένων οὐκ ἐλέγξειε τὸν ἀπατεῶνα Σατορνῖλον, γινώσκων ἐν δόξῃ ἀποκαλυφθέντα τὸν σωτῆρα εἰς παράστασιν ἀληθείας ἄλλως τὴν ἑαυτοῦ δόξαν μὴ ὑποδείξαντα ἀλλὰ ἢ ἀνὰ μέσον Ἰλίου καὶ Μωυσέως τῶν καὶ αὐτῶν ἐν δόξῃ ἰδίᾳ μετ' αὐτοῦ ὀφθέντων; ἄλλα δὲ ὅσα τοιαῦτά ἐστιν ἃ ὑπ' αὐτοῦ τοῦ κυρίου καὶ ἐν πάσῃ τῇ καινῇ διαθήκῃ | D21 **2** **3**

1 ff Matth. 19, 3 f — **4** Matth. 19, 5 — **6** Matth. 19, 6 — **11** Hebr. 13, 4 — **13** I Tim. 5, 11 — **14** I Tim. 5, 14 — **20** Joh. 8, 56 — **21** Joh. 5, 46 — **24 f** vgl. Matth. 17, 3

V M

1 *τὴν* < M | *γυναῖκα* + *αὐτοῦ* M **2** *ὅτε* *] *ὅτι* V M **4** *πατέρα* + *αὐτοῦ* M **6** *δ* + *οὖν* M **10** *φησίν* < M **11** *εἶτα*] *καὶ πάλιν* V | *ὁ γάμος* + *ἐν πᾶσι* M **13** *νεωτέρας* + *δὲ* M **14** *τοῦ* nachgetragen V corr **15** *ἀνυπέρβατον*] *ὑπὲρ τοῦ γάμου* aus *ἀνυπέρβατον* V corr **17** *κατὰ τῶν θεοῦ προφητειῶν* *] *κατὰ τὰς θεοῦ προφητείας* V M **19** † *ἐξ ὧν*] lies wohl *ὅπου* * **20** *πρῶτον μὲν* gehört wohl vor † *ἐξ ὧν* * | *ἐπεθύμησεν*] auf Rasur *ἠγαλλιάσατο* V corr **22** *Μωυσεῖ* M **23** *ὑπὸ* M **26** *Ἠλία* V

λεγόμενα τὴν σύστασιν ποιεῖται νόμου τε καὶ προφητῶν καὶ πάσης παλαιᾶς διαθήκης πρὸς τὴν καινὴν διαθήκην, ὅτι ἑνὸς θεοῦ εἰσιν ἀμφότεραι, ὡς λέγει »ἐλεύσονται καὶ ἀνακλιθήσονται ἐν κόλποις Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν καὶ ἀνα-
5 *παύσονται ἀπὸ ἀνατολῶν καὶ δυσμῶν« καὶ τὰ ἑξῆς, πάλιν δὲ τὸ ἐκ* **4**
προσώπου Δαυὶδ περὶ αὐτοῦ προφητευόμενον, τό »εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου« καὶ πάλιν ⟨τὸ⟩ παρ' αὐτοῦ λεγό-
μενον τοῖς Φαρισαίοις »οὐδέποτε ἀνέγνωτε, λίθον ὃν ἀπεδοκίμασαν
10 *οἱ οἰκοδομοῦντες;« καὶ ὡς ὁ Λουκᾶς διαβεβαιοῦται αὐτὸν τὸν σωτῆρα* **5**
μετὰ τὸ ἀναστῆναι ἐκ τῶν νεκρῶν ὤφθαι κατὰ τὴν ὁδὸν τοῖς περὶ τὸν Ναθαναὴλ καὶ τὸν Κλεόπαν καὶ τούτους νενουθετηκέναι ἀπὸ τῶν ψαλμῶν καὶ ἀπὸ τῶν προφητῶν »ὅτι οὕτως ἔδει παθεῖν τὸν Χριστὸν καὶ | ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ«. καὶ οὐδὲν ἔστιν Ö144
ὅλως διαφωνοῦν ἀνὰ μέσον τῆς τοῦ Χριστοῦ ἐνσάρκου παρουσίας
15 *πρὸς τὰς τῶν προφητῶν προφητείας.*

7. Ἀλλ' ἕως τούτου περὶ τῆς Σατορνίλου αἱρέσεως εἰρήσθω, ἵνα **7, 1**
μὴ ἀναλίσκω χρόνους περὶ | τὰς μωρὰς αὐτοῦ ζητήσεις καὶ τὰς τού- P68
των ἀνατροπὰς ἐνειλούμενος. ἐκ ταύτης δὲ παρελθὼν ἑξῆς τὴν **2**
Βασιλείδου τοῦ συσχολαστοῦ τούτου, τοῦ καὶ συνηπατημένου δηλώσω.
20 *μετέχουσι γὰρ οὗτοι ⟨τῶν αὐτῶν⟩, ὡς ἀπ' ἀλλήλων τὸν ἰὸν δανεισά-*
μενοι κατὰ τὴν ἐναργῆ παροιμίαν, [ὡς] ἀσπὶς παρ' ἐχίδνης ἰὸν δανει-
ζομένη. ὁμοῦ γάρ εἰσι τῆς σχολῆς καὶ συνεδρίου ἀλλήλων, καθ' ἑαυτὸν δὲ ἕστηκεν ἑκάτερος τὴν αἵρεσιν προστησάμενος, καὶ τὴν μὲν κακίαν παρ' ἀλλήλων ἠρανίσαντο, τὴν δὲ διαφωνίαν ἐν αὐτοῖς ἐνε-

3 Matth. 8, 11 — **6** Psal. 109, 1 — **8** Matth. 21, 42 — **9 ff** vgl. Luk. 24, 13 ff — **11** daß Nathanael der zweite der Emmausjünger gewesen sei, ist nur hier überliefert; Origenes (vgl. z. B. c. Cels. II 62 u. 68; I 184, 18 u. 190, 1 Kötschau) u. andere nennen dafür Simon, s. Zahn, Forschungen VI 350 W. Bauer, Leben Jesu im Zeit. d. Apokr. S. 420. Aus Epiphanius schöpft die Catena in Lucam et Johannem S. 430, 7 Cramer *μετὰ Κλεόπα ὁ Ναθαναὴλ ἦν· ὁ δὲ Κλεόπας ἀνεψιὸς ἦν τοῦ σωτῆρος, δεύτερος ἐπίσκοπος Ἱεροσολύμων· οὗτος Ἐπιφάνιος ὁ Κύπρου ἐν τοῖς Παναρίοις ἐμνημόνευσεν* — **17** vgl. II Tim. 2, 23 — **21** vgl. Tertullian adv. Marc. III 8 *aspis quod aiunt a vipera mutuari venenum*

V M

1 *σύ///στασιν* V **3** *καὶ ἀνακλιθήσονται* < V **4 f** *ἀναπαύσονται, υ* statt *η* V corr *ἀναπαήσονται* M **7** *⟨τὸ⟩* * **10** *τῶν* < M **11** *τὸν*[2] < M **12 f** *τὸν Χριστὸν παθεῖν* V **13** *ἐκ νεκρῶν ἀναστῆναι* V **16** *ἕως περὶ τούτου* M **17 f** *τούτων* *] *τούτου* V M **18** *ταύτην* aus *ἐκ ταύτης* V corr **19** *συ///σχολαστικοῦ* V | *τούτου* < M **20** *⟨τῶν αὐτῶν⟩* * | *ἀπὸ* M **21** *[ὡς]* * **23** *τὴν* + *⟨ἰδίαν⟩*? *

στήσαντο. εἴτε οὖν οὗτος δίκην ἐχίδνης παρὰ τῶν ἀνωτάτω μετασχὼν 3
τῷ Βασιλείδῃ μεταδέδωκεν ἢ ἐκεῖνος τούτῳ, ὅμως ὀλέθριος ὢν ὁ
τούτων ἰὸς καὶ ἀπὸ τοιούτων ἑρπετῶν ὁρμώμενος διὰ τῆς τοῦ
κυρίου διδασκαλίας | ἀντιδότου δίκην ἀμαυρωθείς τε καὶ ἀφανισθεὶς D22
ὑφ᾽ ἡμῶν καταλελείφθω. ἡμεῖς δὲ θεὸν ἐπικαλούμενοι ἐπὶ τὰς ἑξῆς
ἴωμεν, ὦ ἀγαπητοί.

Κατὰ Βασιλείδου δ̄, τῆς δὲ ἀκολουθίας κδ̄.

1. Βασιλείδης μὲν οὖν, καθὰ ἄνω προδεδήλωται, ἐν τῇ τῶν Αἰ- 1, 1
γυπτίων χώρᾳ στειλάμενος τὴν πορείαν ἐκεῖσε τὰς διατριβὰς ἐποιεῖτο,
εἶτα ἔρχεται εἰς τὰ μέρη τοῦ Προσωπίτου καὶ Ἀθριβίτου, οὐ μὴν
ἀλλὰ καὶ περὶ τὸν Σαΐτην [καὶ Ἀλεξάνδρειαν] καὶ Ἀλεξανδρειοπολίτην
χῶρον ἤτοι νομόν. (νομὸν γὰρ οἱ Αἰγύπτιοι φασι τὴν ἑκάστης 2
πόλεως περιοικίδα ἤτοι περίχωρον. εὕροις δ᾽ ἄν, ὦ φιλολόγε, καὶ
τοῦτο εἰς σαυτοῦ ὠφέλειαν πρὸς φιλομάθειαν καὶ σαφήνειαν, εἰς
εὐσεβῆ σύστασιν καὶ φράσιν τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων, τῶν
εἰς ἀπορίαν τινὰς ἐμβαλλόντων δι᾽ ἀπειρίαν. ὅπου γὰρ ἐν τῷ ἁγίῳ 3
προφήτῃ Ἡσαΐᾳ εὕροις γεγραμμένον περὶ νομῶν πόλεων Αἰγυπτιακῶν
οἷον Τάνεως ἢ Μέμφεως ἢ νομοῦ τῆς Βουβάστου, τὴν περίμετρον
τῆς τυχούσης πόλεως σημαίνει. καὶ τοῦτο φιλομαθείας ἕνεκεν ἑρμη-
νευέσθω). ἦν γοῦν ἐν τούτοις τοῖς τόποις ὁ προειρημένος ἀγύρτης 4
τὴν διαβίωσιν ἔχων, ἐξ ὧν φαίνεται ἡ καὶ εἰς δεῦρο ἀκμάζουσα αὐτοῦ
αἵρεσις ἐκ τῆς αὐτοῦ διδασκαλίας λαβοῦσα τὴν πρό|φασιν. καὶ ἄρ- Ö146 5
χεται μὲν κηρύττειν ὑπερβολὴν ὑπὲρ τὸν συσχολαστὴν αὐτοῦ γόητα
τὸν καταλειφθέντα ἐπὶ τῆς Συρίας, ἵνα | δῆθεν τὰ ὑπὲρ ἐκεῖνον P69

7 ff vgl. mit Epiph. insbesondere Irenaeus adv. haer. I 24, 3 ff; I 198 ff Harvey Ps. Tert. adv. omn. haer. 1 Filastrius haer. 32 (Hippolyt refut. VII 2. 20 ff steht abseits) — **8** vgl. haer. 23, 1, 2; S. 247, 20 f — **16 ff** vgl. Jes. 19, 11 Hos. 9, 6 Ezech. 30, 17 — **22 ff** vgl. Irenaeus adv. haer. I 24, 3; I 198 Harvey *Basilides autem, ut altius aliquid et verisimilius invenisse videatur, in immensum extendit sententiam doctrinae suae* — **24** vgl. haer. 23, 1, 2; S. 247, 20

V M

1 εἴτε] ἤτοι V **3** vor τοιούτων + τούτων τῶν M **5** τὰς] τὰ M **6** Unterschrift κατὰ Σατορνίλου V κατὰ Σατορνίλου ᾱ M **7** κατὰ Βασιλείδου τετάρτη ἡ καὶ εἰκοστὴ τετάρτη V κατὰ βασιλείδου δ εἰ καὶ κδ̄ M **8** ἐν < M **10** Ἀθριβίτου, λ auf Rasur V corr **11** [καὶ Ἀλεξάνδρειαν] * **11 f** ἀλεξανδρειοπολίχωρον M **13** φιλόσοφε M **13 f** καὶ τοῦτο hinter ἄν (Z. 13) M **14** εἰς αὐτοῦ V **16** ἀπορίας V **17** πόλεως V **20** ἦν γοῦν] ἤγουν M **21 f** ἡ καὶ u. vor αἵρεσις (Z. 22) + ἡ M **23** σχολαστὴν V **24** καταληφθέντα V

διηγούμενος δόξῃ φαντασιάζειν πλέον τοὺς ἀκούοντας, ἀρέσκεσθαί τε καὶ συναγείρειν πλῆθος ὑπὲρ τὸν ἑταῖρον αὐτοῦ Σατορνῖλον. καί 6
τινας λοιπὸν φαντασιώδεις μυθοποιίας ὑποβαλλόμενος ἄρχεται μὲν
οὕτως (τὰ ἀληθῆ δὲ ⟨εἰπεῖν⟩ οὐκ ἀπὸ τῆς ἑαυτοῦ ἐννοίας | ἐναρξά- D23
μενος ἡμῖν τὰ δεινά τε καὶ ὀλετήρια, ἀλλὰ προφάσεις λαβὼν ἐκ τοῦ
Σατορνίλου καὶ Σίμωνος τοῦ προεληλεγμένου· βούλεται δὲ ἑτέρως
αὐτὰ μεταχειρίζειν καὶ εἰς ὄγκον μείζονα διηγεῖσθαι τὰ μυθολογή-
ματα)· ὅτι, φησίν, ἦν ἓν τὸ Ἀγέννητον, ὃ μόνος ἐστὶ πάντων 7
πατήρ· ἐκ τούτου προβέβληται, φησίν, Νοῦς, ἐκ δὲ τοῦ Νοῦ Λόγος,
ἐκ δὲ τοῦ Λόγου Φρόνησις, ἐκ δὲ τῆς Φρονήσεως Δύναμίς τε καὶ
Σοφία, ἐκ δὲ τῆς Δυνάμεως καὶ Σοφίας ἀρχαὶ ἐξουσίαι ἄγγελοι. ἐκ 8
δὲ τούτων τῶν δυνάμεών τε καὶ ἀγγέλων γεγονέναι ἀνώτερον πρῶ-
τον οὐρανόν, καὶ ἀγγέλους ἑτέρους ἐξ αὐτῶν γεγονέναι, τοὺς δὲ ὑπ'
αὐτῶν γεγονότας ἀγγέλους πεποιηκέναι αὖθις δεύτερον οὐρανὸν καὶ
αὐτοὺς δὲ πάλιν πεποιηκέναι ἀγγέλους. καὶ οἱ ἐξ αὐτῶν γενόμενοι 9
τρίτον αὖθις πεποιήκασιν οὐρανὸν καὶ οὕτως οἱ καθ' ἕνα οὐρανὸν
εἰσαῦθις ἕτερον καὶ ἑτέρους κατασκευάζοντες ἄχρι τριακοσίων ἑξή-
κοντα πέντε οὐρανῶν ἐληλάκασι τὸν ἀριθμὸν ἀπὸ τοῦ ἀνωτάτου ἕως
τούτου τοῦ καθ' ἡμᾶς οὐρανοῦ.

8—19 vgl. unten c. 7, 1; S. 263, 17ff u. Irenaeus adv. haer. I 24, 3; I 199 Harvey *ostendens Nun primo ab innato natum patre, ab hoc autem natum Logon, deinde a Logo Phronesin, a Phronesi autem Sophiam et Dynamin, a Dynami autem et Sophia virtutes et principes et angelos, quos et primos vocat, et ab iis primum coelum factum. dehinc ab horum derivatione alios autem factos aliud coelum simile priori fecisse et simili modo ex eorum derivatione cum alii facti essent antitypi eis qui super eos essent, aliud tertium deformasse coelum, et a tertio deorsum descendentium quartum et deinceps secundum eum modum alteros et alteros principes et angelos factos esse dicunt et coelos CCCLXV*; kürzer Ps. Tert. adv. omn. haer. 1. — Die Angabe des Clemens Al. strom. IV 162, 1; I 320, 2 Stählin *Βασιλείδης δὲ ὑποστατὰς Δικαιοσύνην τε καὶ τὴν θυγατέρα αὐτῆς τὴν Εἰρήνην ὑπολαμβάνει ἐν ὀγδοάδι μένειν ἐνδιατεταγμένας* darf nicht ohne weiteres zur Ergänzung (so Hilgenfeld, Ketzergeschichte S. 219) herangezogen werden

V M

1 *ὑφηγούμενος*, *ὑφ* auf Rasur V corr **2** *συνεγείρειν* M | *πλήθη* V **3** *ὑποβαλλόμενος* *] *ὑπερβαλλόμενος* VM **4** ⟨*εἰπεῖν*⟩ U **5** *ἡμῖν*] *ἐμεῖν* M; vielleicht richtiger oder *ἡμῖν* + ⟨*διηγεῖσθαι*⟩? * | *τε* < M **6** lies wohl *προελεγμένου* * **8** *ἦν* < V | *ἓν* < M; lies *πρῶτον*? * **9** vor *Νοῦς* + *ὁ* M **11** *Δυνάμεως* + *τε* M **12** *τούτων* < M **12f** *πρῶτον* + *τὸν* M **15** *οἱ* hineingeflickt V corr **16** *καὶ οὕτως — οὐρανὸν* < M

2. Ἀφραινόντων δ᾽ ἂν εἴη τοῦτο τὸ ἐπαγωγὸν πιστεύειν τῇ μανιώδει αὐτοῦ φλυαρίᾳ, συνετοῖς δὲ εὐθυέλεγκτος καὶ ληρώδης ὁ τούτου λόγος καὶ ἡ γνώμη, πῶς εἰς ὑπερβάλλουσαν καὶ ἄπειρον κακοτροπίαν ἐξετόπισε τὴν ἑαυτοῦ γνώμην. ὁρίζει γὰρ ὡς κατὰ ποιητικόν τινα ἐνθουσιασμὸν ἐμβροντηθὲν τὸ ἐλεεινὸν ἀνθρωπάριον ὀνόματα ἑκάστῳ ἄρχοντι τῶν οὐρανῶν ἐκτιθέμενον πρὸς τὸ διὰ τῶν ὀνομάτων ὧν ποιητεύεται παρὰ τῶν μὴ τὸν νοῦν ἐρρωμένον ἐχόντων πιστεύεσθαι εἰς ὄλεθρον τῆς τῶν ἠπατημένων ψυχῆς. οὐ μὴν δὲ ἀλλὰ καὶ μαγγανικαῖς μηχανίαις προσανέχων οὐκ ἐπαύσατο καὶ περιεργίαις ὁ ἀπατεών. ὕστερον δέ φησιν ὑπὸ τῶν ἐν τούτῳ τῷ καθ᾽ ἡμᾶς οὐρανῷ ἀγγέλων καὶ τῆς ἐν αὐτῷ δυνάμεως τὴν κτίσιν ταύτην γεγενῆσθαι· ἐξ ὧν ἀγγέλων ἕνα λέγει τὸν θεόν, ὃν διελὼν τῶν | Ἰουδαίων μόνον ἔφη εἶναι, ἕνα τοῦτον καὶ συναρίθμιον ἀγ|γέλοις τοῖς ὑπ᾽ αὐτοῦ κατὰ μιμολογίαν ὀνοματοποιουμένοις τάσσων, καὶ ἐξ αὐτοῦ πεπλάσθαι τὸν ἄνθρωπον. καὶ τού|τους ἅμα αὐτῷ μεμερικέναι τὸν

2,1 2 3 P70 D24 4 Ö148

4—10 vgl. Irenaeus adv. haer. I 24, 5; I 201 Harvey *utuntur autem et hi magia et imaginibus et incantationibus et invocationibus et reliqua universa periergia. nomina quoque quaedam affingentes quasi angelorum annunciant hos quidem esse in primo coelo, hos autem in secundo, et deinceps nituntur CCCLXV mentitorum coelorum et nomina et principia et angelos et virtutes exponere* (Filastrius haer. 32, 4; S. 17, 8f Marx folgt auch hier dem Epiph. in der den Sinn etwas verdunkelnden Umstellung der beiden Angaben des Irenaeus) — **10—14** vgl. Irenaeus adv. haer. I 24, 4; I 199f Harvey *eos autem qui posterius continent coelum angelos, quod etiam a nobis videtur, constituisse ea quae sunt in mundo omnia et partes sibi fecisse terrae et earum quae super eam sunt gentium. esse autem principem ipsorum eum qui Judaeorum putatur esse deus* Ps. Tert. adv. omn. haer. 1 *in ultimis quidem angelis et qui hunc fecerunt mundum, novissimum ponit Judaeorum deum, id est deum legis et prophetarum, quem deum negat, sed angelum dicit* — **14f** vgl. Filastrius haer. 32, 4; S. 17, 9 Marx *hominem autem ab angelis factum adserit* — **15f** vgl. Deut. 32, 8f

V M

1 anstatt τοῦτο τὸ ἐπαγωγὸν nur τὸ u. dahinter große Rasur V^{corr} **2** εὐθυ////έλεγκτος V **4** ἐξετόπισεν, ι auf Rasur V^{corr} **7** ἐρρωμένο//ν, ο aus ω V^{corr} ἐρρωμένων M **9** μαγγανεικῆς V | μηχανίαις] μαγείαις M | οὐκ + ἂν M | ἐπαύσατο] ἐψεύσατο M **11** ἀγγέλων am Rande nachgetragen V^{corr} < M **11f** γεγεννῆσθαι V **13** εἶναι ἔφη V | τοῦτον καὶ *] καὶ τοῦτον VM | συναρίθμιον aus συναριθμῶν V^{corr} συναριθμῶν M **14** ὀνόματος ποιούμενος M | ἐξ durchgestrichen, dafür ὑπ᾽ an den Rand gesetzt V^{corr} | αὐτοῦ^2] αὐτῶν? *, vgl. Filastrius

κόσμον κατὰ διαίρεσιν κλήρων τῷ πλήθει τῶν ἀγγέλων, τούτῳ δὲ λελογχέναι τὸ γένος τῶν Ἰουδαίων τῷ προειρημένῳ θεῷ τῶν Ἰουδαίων· βλασφημῶν δὲ τὸν αὐτὸν παντοκράτορα κύριον, τὸν ὄντως ὄντα θεὸν μόνον καὶ οὐχ ἕτερον (πατέρα γὰρ τὸν αὐτὸν εἶναι ὁμολογοῦμεν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ), τοῦτον ἐκεῖνος ἀρνούμενος ἕνα βούλεται αὐτὸς παριστᾶν τῶν ὑπ' αὐτοῦ λεγομένων ἀγγέλων, καθά μοι προδεδήλωται. ἐληλυθέναι δὲ τοὺς Ἰουδαίους εἰς κλῆρον αὐτοῦ καὶ αὐτὸν ὑπερασπίζειν τούτων, εἶναι δὲ αὐτὸν πάντων τῶν ἀγγέλων αὐθαδέστερον. ἐξαγαγεῖν τε τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου αὐθαδείᾳ βραχίονος τοῦ ἰδίου διὰ τὸ εἶναι αὐτὸν ἰταμώτερον τῶν ἄλλων καὶ αὐθαδέστερον. ὅθεν διὰ τὴν αὐθάδειαν αὐτοῦ, ὥς φησιν βλασφημῶν ὁ γόης, βεβουλεῦσθαι τὸν αὐτὸν αὐτῶν θεὸν καθυποτάξαι τῷ γένει τοῦ Ἰσραὴλ πάντα τὰ ἄλλα ἔθνη καὶ διὰ τοῦτο παρεσκευακέναι πολέμους. πολλὰ δὲ καὶ ἄλλα κατὰ τοῦ ἁγίου θεοῦ χαλάσας τὴν γλῶτταν καὶ ἐπάρας τὸ στόμα οὐκ ἐντρέπεται λαλῶν ὁ ἐλεεινότατος. διὰ τοῦτο γάρ, φησί, καὶ τὰ ἄλλα ἔθνη ἐπολέμησε τοῦτο τὸ ἔθνος καὶ πολλὰ κακὰ αὐτῷ ἐνεδείξατο διὰ τὴν τῶν ἄλλων ἀγγέλων παραζήλωσιν, ἐπειδήπερ παροτρυνθέντες (ὡς καταφρονούμενοι ὑπ' αὐτοῦ) καὶ αὐτοὶ τὰ ἴδια ἔθνη ἐπὶ τὸ ἔθνος τοῦ Ἰσραὴλ τὸ ὑπ' αὐτὸν ἐπέσεισαν. καὶ τούτου ἕνεκα πόλεμοι πάντοτε καὶ ἀκαταστασίαι κατ' αὐτῶν ἐπανέστησαν.

1 ff vgl. Ps. Tert. adv. omn. haer. 1 *huic sortito obtigisse semen Abrahae* Filastrius haer. 32, 4; S. 17, 10 Marx (nach Epiph.) *deum etiam verum omnipotentem et eum audet angelum dicere et accepisse genus Judaeorum in hereditatem* — **3 f** vgl. Jes. 45, 5. 21 — **7—21** vgl. Irenaeus adv. haer. I 24, 4; I 200 Harvey *et quoniam hic suis hominibus id est Judaeis voluit subicere reliquas gentes, reliquos omnes principes contra stetisse ei et contraegisse. quapropter et reliquae resiluerunt gentes eius genti* Ps. Tert. adv. omn. haer. 1 *huic sortito obtigisse semen Abrahae atque ideo hunc de terra Aegypto filios Israel in terram Chanaan transtulisse; hunc turbulentiorem prae ceteris angelis atque ideo et seditiones frequenter et bella concutere, sed et humanum sanguinem fundere* (Filastrius haer. 32, 4f; S. 17, 11—16 gibt einen Auszug aus Epiph.) — **9 f** vgl. Exod. 6, 6; 15, 6

V M

1 *κλήρω* V **2** *λελαχέναι* M **6** *αὐτὸν* V **8** *(ὑπερ)ασπίζειν — πάντων τῶν* am Rand nachgetragen V^{corr} < M **9** *τε* *] *δὲ* VM **11** *αὐτοῦ* hinter *φησιν* V **11 f** *ὥς φησιν βλασφημῶν* *] *φησὶν ὡς βλασφημεῖ* V M **12** *βεβούλεσθαι* M | *θεῶν* M **13 f** *παρεσκευακέναι*, ε^1 aus *α* V **14** *δὲ* < M **19 f** *ὑπ' αὐτὸ* V **20** *τούτου* + *οὖν* V

3. *Αὕτη ἡ τοῦ ἀπατεῶνος πιθανολογία. καὶ αὐτὸς δὲ περὶ Χρι-* **3, 1**
στοῦ ὡς δοκήσει πεφηνότος ὁμοίως δοξάζει. εἶναι δέ φησιν αὐτὸν
φαντασίαν ἐν τῷ φαίνεσθαι μὴ εἶναι δὲ ἄνθρωπον μηδὲ σάρκα εἰλη-
φέναι. δραματουργεῖ δὲ ἡμῖν ἄλλην δραματουργίαν ὁ δεύτερος | **2** D25
μιμολόγος ἐν τῷ περὶ τοῦ σταυροῦ λόγῳ Χριστοῦ, οὐχὶ Ἰησοῦν φά-
σκων πεπονθέναι, ἀλλὰ Σίμωνα τὸν Κυρηναῖον· ἐπειδὴ γὰρ ἐν τῷ
ἀπὸ Ἱεροσολύμων τὸν κύριον ἐκβάλλεσθαι, ὡς ἔχει ἡ ἀκολουθία τοῦ
εὐαγγελίου, ἠγγάρευσάν τινα Σίμωνα Κυρηναῖον βαστάξαι τὸν σταυρόν.
*ἔνθεν εὑρίσκει * τῆς αὐτοῦ κυβείας ποιήσασθαι τὴν τραγῳδίαν καί* **3**
φησιν· ἐκεῖνον ἐν τῷ βαστάζειν τὸν σταυρὸν μετεμόρφωσεν εἰς τὸ | P71
ἑαυτοῦ εἶδος καὶ ἑαυτὸν εἰς τὸν Σίμωνα, καὶ ἀντὶ ἑαυτοῦ παραδέδωκε
Σίμωνα εἰς τὸ σταυρωθῆναι. ἐκείνου δὲ σταυρουμένου ἕστηκεν κατ- **4**
αντικρὺς ἀοράτως ὁ Ἰησοῦς, καταγελῶν τῶν τὸν Σίμωνα σταυρούν-
των, αὐτὸς δὲ ἀνέπτη εἰς τὰ ἐπουράνια παραδοὺς τὸν Σίμωνα ἀνα-
σκολοπισθῆναι καὶ ἀπαθῶς ἀνεχώρησεν εἰς τὸν οὐρανόν· ὁ δὲ Σίμων **5**
αὐτὸς ἐσταυρώθη, καὶ οὐχὶ ὁ Ἰησοῦς· Ἰησοῦς γάρ, φησίν, ἀναπετασθεὶς
εἰς τὸν οὐρανὸν διῆλθε πάσας τὰς δυνάμεις, ἕως οὗ ἀπεκα|τέστη πρὸς Ö150
τὸν ἴδιον αὐτοῦ πατέρα. οὗτος γάρ, φησίν, ἐστὶν ὁ υἱὸς τοῦ πα- **6**
τρὸς ὁ προειρημένος, ὁ ἀποσταλεὶς ἐπὶ βοηθείᾳ τῶν υἱῶν τῶν ἀν-
θρώπων, δι' ἣν εἶδεν ὁ πατὴρ ἀκαταστασίαν ἔν τε τοῖς ἀνθρώποις

2f vgl. Ps. Tert. adv. omn. haer. 1 *Christum . . . venisse in phantasmate, sine substantia carnis fuisse* — **5—14** vgl. Irenaeus adv. haer. I 24, 4; I 200 Harvey *quapropter neque passum eum, sed Simonem quendam Cyrenaeum angariatum portasse crucem eius pro eo et hunc secundum ignorantiam et errorem crucifixum, transfiguratum ab eo, uti putaretur ipse esse Jesus, et ipsum autem Jesum Simonis accepisse formam et stantem irrisisse eos* Ps. Tert. adv. omn. haer. 1 *hunc passum apud Judaeos non esse, sed vice ipsius Simonem crucifixum esse* (Filastrius adv. haer. 32, 6; S. 17, 16 ff Marx) — **7** vgl. Mark. 15, 21 u. Par. — **14**—S. **261, 2** vgl. Irenaeus adv. haer. I 24, 4; I 200 Harvey *quoniam enim virtus incorporalis erat et Nus innati Patris, transfiguratum quemadmodum vellet et sic ascendisse ad eum qui miserat eum, deridentem eos, cum teneri non posset et invisibilis esset omnibus. . . . et non oportere confiteri eum qui sit crucifixus, sed eum qui in hominis forma venerit et putatus sit crucifixus et vocatus sit Jesus et missus a Patre, uti per dispositionem hanc opera mundi fabricatorum dissolveret*

V M

5 *τοῦ* < V **6** *πεπονθέναι* U] *πεπονθότα* V M **7** *κύριον*] *Χριστὸν* M **8** *Σίμωνα τινὰ* M **9** * ⟨*πρόφασιν*⟩ * **10** *φησιν* + ⟨*ὅτι*⟩? * | *τὸ* < V **11f** *καὶ ἀντὶ — Σίμωνα*] *ἀντὶ δὲ ἑαυτοῦ παραδεδωκέναι αὐτὸν* am Rand nachgetragen V corr **f** *κατὰ ἄντικρυς* V **17** *ἀποκατέστη* V **18** *ἐστὶν φησίν* M **19** *τῶν*[2] < V

καὶ ἐν τοῖς ἀγγέλοις. καὶ οὗτός ἐστι, φησίν, ἡ σωτηρία ἡμῶν, ὁ ἐλθὼν καὶ ἡμῖν μόνοις ἀποκαλύψας ταύτην τὴν ἀλήθειαν.

Τοιαῦται μὲν αἱ ῥαψῳδίαι τῆς τοῦ ἀγύρτου μυθοποιίας. ἀλλὰ 7
καὶ ἀπεντεῦθεν, προκοπτούσης τῆς ἀκαθαρσίας τῆς ἀπὸ τοῦ Σίμωνος
ἐναρξαμένης, πᾶσαν ἐπιτήδευσιν κακομηχανίας καὶ ἀσελγείας ἐπιτρέπει
τοὺς αὐτῷ μαθητευομένους ἐπιτελεῖν, ἀνδρῶν μετὰ γυναικῶν πολυ-
μιξίαν τινὰ κακῆς ὑποθέσεως τοὺς αὐτῷ πεισθέντας ἐκδιδάσκων· ὡς 8
λέγει ὁ ἀπόστολος ἐπὶ τούτοις καὶ τοῖς ὁμοίοις αὐτῶν »ἀποκαλύπτε-
σθαι ὀργὴν θεοῦ καὶ δικαιοκρισίαν ἐπὶ τοὺς τὴν ἀλήθειαν ἐν ἀδικίᾳ
κατέχοντας«. διὰ ταύτην γὰρ τὴν αἰτίαν τῆς ἡδυπαθείας πολλοὶ εἰς
τὴν αἵρεσιν ἐμπίπτου|σιν, ἀδεῶς εὑρίσκοντες ἐπιτελεῖν τὴν ἡδονὴν D26
ἑαυτῶν ἐν ταῖς αἰσχρουργίαις.

4. Διδάσκει δὲ πάλιν καὶ ἐπιτρέπει φάσκων μὴ δεῖν μαρτυρεῖν. 4, 1
ὁ γὰρ μαρτυρῶν ἅμισθος εὑρεθήσεται, μὴ μαρτυρῶν ὑπὲρ τοῦ πεποιη-
κότος τὸν ἄνθρωπον· μαρτυρεῖ γὰρ ὑπὲρ τοῦ ἐσταυρωμένου Σίμωνος.
πόθεν δὲ τούτῳ μισθὸς εἴη, ὁπότε ἀποθνήσκει μὲν ὑπὲρ Σίμωνος 2

3—7 vgl. oben haer. 21, 4, 1; S. 242, 20ff u. Irenaeus adv. haer. I 24, 5; I 201 Harvey *habere autem et reliquarum operationum usum indifferentem et universae libidinis* (Filastrius adv. haer. 32, 7; S. 17, 19 Marx, wohl Epiph. ausschreibend, *hic etiam male permittit vivere et dat licentiam vitiis secularibus inherere*). — Beachte auch Clemens Al. strom. III 3, 3f; II 196, 17ff Stählin *ταύτας παρεθέμην τὰς φωνὰς εἰς ἔλεγχον τῶν μὴ βιούντων ὀρθῶς Βασιλειδιανῶν, ὡς ἤτοι ἐχόντων ἐξουσίαν καὶ τοῦ ἁμαρτεῖν διὰ τὴν τελειότητα ἢ πάντως γε σωθησομένων φύσει, κἂν νῦν ἁμάρτωσι, διὰ τὴν ἔμφυτον ἐκλογήν, ἐπεὶ μηδὲ ταῦτα αὐτοῖς πράττειν συγχωροῦσιν οἱ προπάτορες τῶν δογμάτων. μὴ τοίνυν ὑποδυόμενοι τὸ ὄνομα τοῦ Χριστοῦ καὶ τῶν ἐν ἔθνεσιν ἀκρατεστάτων ἀκολαστότερον βιοῦντες βλασφημίαν τῷ ὀνόματι προστριβέσθωσαν* — **8** Röm. 1, 18 (2, 5) — **13**—S. **262, 4** vgl. Irenaeus adv. haer. I 24, 4; I 200 Harvey *si quis igitur, ait, confitetur crucifixum, adhuc hic servus est et sub potestate eorum qui corpora fecerunt; qui autem negaverit, liberatus est quidem ab iis, cognoscit autem dispositionem innati patris* u. ebenda 24, 6; I 202 *quapropter et parati sunt ad negationem qui sunt tales, immo magis ne pati quidem propter nomen possunt, cum sint omnibus similes* Ps. Tert. adv. omn. haer. 1 *martyria negat esse facienda* Filastrius haer. 32, 7; S. 17, 20ff Marx; dazu Agrippa Kastor bei Eusebius h. e. IV 7, 7; S. 310, 20f Schwartz Clemens Al. strom. IV 81, 1ff; II 284, 5ff Stählin Origenes comment. in Matth. 25 ser. 38; IV 267 Lommatzsch

V M

6 *ἀνδρῶν* *] ἄνδρας V M **13** *ἐπιτρέπει* *] *ἀνατρέπει* V M **14** *μὴ* oben hineingeflickt V^{corr} < M

τοῦ ἐσταυρωμένου, ὑπὲρ Χριστοῦ δὲ τοῦτο ποιεῖν ὁμολογεῖ ὃν ἀγνοεῖ, ἀποθνήσκων ὑπὲρ οὗ οὐ γινώσκει; δεῖ τοίνυν ἀρνεῖσθαι καὶ μὴ προαλῶς ἀποθνήσκειν.

5. Φωραθήσεται δὲ οὗτος διαβολικὴν δύναμιν εἰσηγούμενος κατὰ **5, 1** τῶν ψυχῶν, ἀπαρνησιθεΐαν αὐτὰς ἐκδιδάσκων, ὁπότε αὐτὸς ὁ κύριός φησι »τὸν ἀρνούμενόν με ἐνώπιον τῶν ἀνθρώπων ἀρνήσομαι ἐνώπιον τοῦ πατρός | μου τοῦ ἐν τοῖς οὐρανοῖς«. ἀλλά φησιν ὁ ἀγύρτης· **2** P72 »ἡμεῖς, φησίν, ἐσμὲν οἱ ἄνθρωποι, οἱ δὲ ἄλλοι πάντες ὗες καὶ κύνες. καὶ διὰ τοῦτο εἶπεν· μὴ βάλητε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων μηδὲ δῶτε τὸ ἅγιον τοῖς κυσίν«. κρύπτει γὰρ ἑαυτοῦ τὴν ἀδικίαν ἀπὸ τῶν **3** νοῦν ἐχόντων, ἀποκαλύπτει δὲ τῇ ἑαυτοῦ φατρίᾳ καὶ τοῖς ὑπ' αὐτοῦ ἠπατημένοις. ἐπειδὴ γὰρ ἀληθῶς τὰ παρ' αὐτοῖς λεγόμενα καὶ γινόμενα »αἰσχρόν ἐστι καὶ λέγειν«, λέγει ὅτι »ἐνώπιον τῶν ἀνθρώπων« δεῖ ὁμολογεῖν τὴν ἀλήθειαν· »ἡμεῖς γάρ ἐσμεν οἱ ἄνθρωποι, οἱ δὲ ἄλλοι ὗες καὶ κύνες«, ὡς προεῖπον. φάσκει δὲ ὅλως περὶ πατρὸς καὶ τοῦ **4** ἑαυτοῦ μυστηρίου μηδενὶ ⟨δεῖν⟩ ἀποκαλύπτειν, ἀλλὰ σιγῇ ἔχειν ἐν ἑαυτοῖς, ἑνὶ δὲ ἀπὸ χιλίων ἀποκαλύπτειν καὶ δυσὶν ἀπὸ | μυρίων, καὶ ὑπο- Ö152 τίθεται τοῖς αὐτοῦ μαθηταῖς λέγων ὅτι »σὺ πάντας γίνωσκε, σὲ δὲ μηδεὶς γινωσκέτω«. αὐτὸς δὲ καὶ οἱ ἀπ' αὐτοῦ ἐρωτώμενοι Ἰου- **5** δαίους μὲν ἑαυτοὺς μηκέτι εἶναι φάσκουσι, Χριστιανοὺς δὲ μηδέπω γεγενῆσθαι, ἀλλὰ ἀρνεῖσθαι πάντοτε, ἔχειν δὲ ἐν ἑαυτῷ σιγῇ τὴν πίστιν | καὶ μηδενὶ ὑποδεικνύναι, τὴν αἰσχύνην ἑαυτοῦ ὑφορώμενος D27 διὰ τὸ ἀπαρρησίαστον τῆς αἰσχρουργίας καὶ κακῆς αὐτοῦ διδασκαλίας.

6 Matth. 10, 33 — **8—10** wohl aus den Ἐξηγητικὰ des Basilides entnommen — **9** Matth. 7, 6 — **13** Ephes. 5, 12 — **15—17** vgl. Irenaeus adv. haer. I 24, 6; I 203 Harvey *et non oportere omnino ipsorum mysteria effari, sed in abscondito continere per silentium* ebenda I$^{1}_{1}$ 202 Harvey *non autem multos scire posse haec, sed unum a mille et duo a myriadibus* u. Pistis Sophia c. 134; S. 229, 21 Schmidt *man wird finden einen unter Tausend u. zwei unter Zehntausend wegen der Vollendung des Mysteriums* — **18 f** vgl. Irenaeus adv. haer. I 24, 6; I 202 Harvey *tu enim, aiunt, omnes cognosce, te autem nemo cognoscat* — **19—21** vgl. Irenaeus adv. haer. I 24, 6; I 202f Harvey *et Judaeos quidem iam non esse dicunt, Christianos autem nondum* (darnach ist wohl zu verbessern Clemens Al. strom. IV 81, 2; II 284, 11 Stählin *Χριστιανοὶ ⟨οὔπω γεγονότες, ἀλλὰ μόνον εἰς τοῦτο⟩ πεφυκότες*)

V M

1 ὃν, *ν* angeflickt V < M — **2 f** *προα///λῶς*, *λ* ausradiert V — **6** *ἐνώπιον*^{1}] *ἔμπροσθεν* M — **8** *ἔσμεν*] *εἶμεν* M — **9** *βάλλετε*, wohl aus *βάλητε* hergestellt V^{corr} *βάλετε* M — **10** *δό///τε*, *ο* aus *ω* V^{corr} *δότε* M — **11** *φατρίᾳ*] *σχολῇ* V M am Rand *φ* *φατρία* V^{corr} — **15** *ὅλως* *, vgl. Irenaeus *omnino*] *μόνον* V M — **16** ⟨*δεῖν*⟩ * | *ἀλλὰ* + *καὶ* M | *σιγὴν* M *ἐν* < M — **18** *ἑαυτοῦ* M | *πάντα* V — **21** *ἀρνεῖσθαι* + ⟨*φησὶ δεῖν*⟩ ? * | *δὲ* U] *τε* V M

6. Ἔσχεν δὲ ἡ ἀρχὴ αὐτῆς τῆς κακῆς προφάσεως τὴν αἰτίαν **6, 1**
ἀπὸ τοῦ ζητεῖν καὶ λέγειν πόθεν τὸ κακόν. πᾶς δὲ ἀπὸ τῆς ἑαυτοῦ
πραγματείας δειχθήσεται ὁποῖός ἐστιν. ἔμποροι γοῦν κακῶν οὗτοι
οἱ τοῦ κακοῦ ἐρασταὶ καὶ οὐχὶ ἀγαθῶν, ὡς καὶ ἡ γραφὴ εἶπεν ὅτι
»ζητοῦντας κακὰ καταλήψεται κακά«. οὔτε γάρ ποτε ⟨τὸ⟩ κακὸν **2**
ἦν οὔτε ῥίζα γέγονε κακίας οὔτε ἐνυπόστατον τὸ κακόν ἐστιν. οὐκ
ἦν γάρ ποτε τὸ κακόν, ἐπείσακτον δὲ διὰ προφάσεως ἐν ἑκάστῳ τῶν
ποιούντων τὸ κακὸν ἔνεστιν· ἐν δὲ τῷ μὴ ποιοῦντι οὐκ ἔστιν, καθά-
περ ἐν τοῖς ἄνω λόγοις προδεδήλωται. λέγει γὰρ ὁ κύριος μετὰ τὸ **3**
πάντα πεποιηκέναι »ἰδοὺ πάντα καλὰ λίαν«, δεικνὺς ὅτι τὸ κακὸν
οὐκ ἀρχαΐζει οὐδὲ ἐξ ὑπαρχῆς ὑπῆρχεν πρὸ τοῦ ἀπὸ τοῦ ἀνθρώπου
ἐνάρξασθαι· δι' ἡμῶν γὰρ γίνεται καὶ δι' ἡμῶν οὐ γίνεται. ἆρα **4**
οὖν ἐν τῷ πάντα ἄνθρωπον δύνασθαι μὴ ποιεῖν τὸ κακὸν καὶ
δύνασθαι ποιεῖν τὸ κακόν, ὅταν μὲν ποιῇ, ἔστι τὸ κακόν, ὅταν δὲ
μὴ ποιῇ, οὐκ ἔστι τὸ κα|κόν. ποῦ τοίνυν τοῦ κακοῦ ἐστιν ἡ ῥίζα ἢ P73
ἡ ὑπόστασις τῆς πονηρίας;

7. Εἰς δὲ πολλὴν οὗτος ἐλήλακε μωρίαν, φάσκων ὅτι ἡ ⟨ἄνω⟩ **7, 1**
Δύναμις τὸν Νοῦν προεβάλετο, ὁ δὲ Νοῦς τὸν Λόγον, ὁ δὲ Λόγος
τὴν Φρόνησιν, ἡ δὲ Φρόνησις Δύναμιν καὶ Σοφίαν, ἐκ δὲ Δυνάμεως
καὶ Σοφίας ἐξουσίαι καὶ δυνάμεις καὶ ἄγγελοι. λέγει δὲ τὴν ὑπερ- **2**

1f vgl. Tertullian de praescr. haer. 7 — **5** Prov. 11, 27 — **8f** aus dem Bisherigen läßt sich nur vergleichen haer. 16, 4, 1; S. 212, 26ff — **10** Gen. 1, 31 — **17—20** vgl. oben c. 1, 7; S. 257, 8ff — **20**—S. **264, 12** vgl. Irenaeus adv. haer. I 24, 3; I 199 Harvey *et coelos CCCLXV. quapropter et tot dies habere annum secundum numerum coelorum* u. ebenda I 24, 7; I 203 Harvey *trecentorum autem sexaginta quinque coelorum locales positiones distribuunt similiter ut mathematici. illorum enim theoremata accipientes in suum characterem doctrinae transtulerunt. esse autem principem illorum abraxas et propter hoc CCCLXV numeros habere in se* Hippolyt refut. VII 26, 6; S. 205, 2ff Wendland *ἔνθα καὶ τριακοσίους ἑξήκοντα πέντε οὐρανοὺς φάσκουσι καὶ τὸν μέγαν ἄρχοντα αὐτῶν εἶναι τὸν Ἀβρασὰξ διὰ τὸ περιέχειν τὸ ὄνομα αὐτοῦ ψῆφον τξε, ὡς δὴ τοῦ ὀνόματος τὴν ψῆφον περιέχειν πάντα, καὶ διὰ τοῦτο τὸν ἐνιαυτὸν τοσαύταις ἡμέραις συνεστάναι* Ps. Tert. adv. omn. haer. 1 Hieronymus zu Amos c. 3; Migne 25, 1018 D *Basilides qui omnipotentem deum portentoso nomine appellat abraxas et eundem secundum graecas litteras et annui cursus numerum dicit in solis circulo contineri, quem ethnici sub eodem numero aliarum literarum vocant Μείθρας*

V M

1 αὐτοῦ? * | *κακί////ας* M **3** *ποῖος* V | *οὗτοι κακῶν* V **4** *ἐργασταὶ* M **5** ⟨τὸ⟩ * **6** *τὸ* < V **8** *τῷ*] *τὸ* M | *ποιοῦντι* *] *ποιεῖν* VM **11** *//// ἀρχῆς, ὑπ* ausradiert V **15** *ἐστιν*² < V **17** ⟨ἄνω⟩ *, vgl. S. 264, 25 **20** *καὶ*² < M

ἄνω τούτων δύναμιν εἶναι καὶ ἀρχὴν Ἀβρασάξ, διὰ τὸ τὴν ψῆφον τοῦ Ἀβρασὰξ ἔχειν τριακοσιοστὸν ἑξηκοστὸν πέμπτον ἀριθμόν, ὡς ἐκ τούτου τὴν μαρτυρίαν τῆς αὐτοῦ μυθοποιίας τῶν τριακοσίων ἑξήκοντα πέντε οὐρανῶν συνιστᾶν πειρᾶσθαι. οἷς οὐρανοῖς καὶ τοποθεσίας ἴσα τοῖς μαθηματικοῖς διαιρεῖν καὶ συνιστᾶν ἐπιτηδεύων οὐ | παρέργως μηχανᾶται. τὰ γὰρ ἐκείνων μάταια θεωρήματα λαβὼν εἰς ἴδιον χαρακτῆρα αὐτός τε καὶ οἱ ὑπ' αὐτὸν εἰς αἰτίαν τῆς ἰδίας εἰδωλοποιοῦ καὶ [πεπλανημένης] ἐπιπλάστου διδασκαλίας μετήνεγκαν. καὶ βούλονται τὴν σύστασιν τούτων | ἀπὸ τῶν ὁμοίων ψήφων ποιεῖσθαι, ὡς προεῖπον, τοῦ Ἀβρασὰξ τῶν τριακοσίων ἑξήκοντα πέντε ἀριθμὸν ἔχοντος, δῆθεν δεικνύντες διὰ τοῦτο ἔχειν τὸν ἐνιαυτὸν τριακοσίων ἑξήκοντα πέντε ἡμερῶν ἀριθμὸν κατὰ περίοδον. πέπτωκε δὲ αὐτοῦ ὁ ληρώδης λόγος. εὑρίσκεται γὰρ ὁ ἐνιαυτὸς τριακοσίων ἑξήκοντα πέντε ἡμερῶν καὶ ὡρῶν τριῶν. εἶτα, ἐντεῦθεν, φησί, καὶ ὁ ἄνθρωπος ἔχει τριακόσια ἑξήκοντα πέντε μέλη, ὡς ἑκάστῃ τῶν δυνάμεων ἀπονέμεσθαι ἓν μέλος. ὅθεν καὶ ἐν τούτῳ πέπτωκεν αὐτοῦ ἡ ἐπινενοημένη καὶ νόθος διδασκαλία· ἐν γὰρ τῷ ἀνθρώπῳ ἐστὶ τξδ μέλη.

8. Θαυμαστῶς δὲ ὁ μακάριος Εἰρηναῖος, ὁ τῶν ἀποστόλων διάδοχος, περὶ τούτου λεπτολογῶν διήλεγξε τούτου τὴν ἀβελτερίαν. ἀνατραπήσεται γὰρ καὶ νῦν ἡ φλυαρία τοῦ ἄνωθεν καταβεβηκότος Βασιλείδου καὶ τὰ ἄνω σαφῶς κατοπτεύσαντος, μᾶλλον δὲ ἄνωθεν πεπτωκότος ἀπὸ τοῦ τῆς ἀληθείας σκοποῦ, ὅτι εἰ οὗτος ὁ οὐρανὸς ὑπὸ τῶν κατ' αὐτὸν ἀγγέλων γεγένηται, αὐτοὶ δὲ ὑπὸ τῶν ἀνωτέρω καὶ οἱ ἀνωτέρω ὑπὸ τῶν ἔτι ἀνωτέρω, ἄρ' οὖν ἡ ἄνω Δύναμις, ἡ καὶ Ἀβρασὰξ καλουμένη, εὑρεθήσεται ἡ τὰ πάντα πεποιηκυῖα καὶ ἡ αἰτία τῶν ὄντων πάντων, καὶ οὐδὲν δίχα αὐτῆς [τι] γεγενῆσθαι εὑρεθήσεται, | ὁπότε αὐτὴ τὸ αἴτιον καὶ τὸ πρῶτον ἀρχέτυπον παρ' αὐτῶν καταγγέλλεται, καὶ τὸ λεγόμενον παρ' αὐτοῖς τοῦ κόσμου τούτου

14—16 vgl. Pistis Sophia c. 132; S. 224, 7ff Schmidt — **19** vgl. Irenaeus adv. haer. II 35; I 383 Harvey — **21f** vgl. haer. 23, 4, 5; S. 252, 18ff

V M

5 *μαθήμασι, μὰ* u. *μασι* auf Rasur V^{corr} *μαθητικοῖς* M | *διαιρεῖ////, ν* wegradiert V **7** *οἱ* oben hineingeflickt V **8** *[πεπλανημένης]* *, (doppelte Lesart) **11—12** *ἀριθμὸν — πέντε* < M **12** *περιεπέπτωκε* M **18** *τξδ* M **20** *ἀβελτερίαν ////*; *ε*^{2} auf Rasur u. hinter *ιαν* größere Rasur V^{corr} *ἀβέλτηρον ἀνδρείαν* M; im Archetypus wohl doppelte Lesart *ἀβελτηρίαν ἀδράνειαν* **26** u. **27** *ἡ* vor *τὰ πάντα* u. vor *αἰτία* (Artikel beim Prädikat) ist nicht zu tilgen; vgl. sofort Z. 28 **27** *[τι]* *

ὑστέρημα ὑπό τινος ἑτέρου μὴ γεγενῆσθαι, ἀλλ' ἀπὸ τῆς πρώτης ἀρχῆς καὶ αἰτίας τῶν μετέπειτα γεγονότων. ἐρωτητέον δὲ τὸν αὐτόν, τίνι ⟨τῷ⟩ λόγῳ ἐπὶ τοσαύτην ἡμᾶς | πληθὺν φέρεις, ὦ οὗτος, D29 καὶ μὴ μᾶλλον ἐπὶ τὴν ἀρχήν, τουτέστιν ἐπὶ τὸν ἕνα θεὸν τὸν παντοκράτορα; ὁπότε ἐξ ἅπαντος ἦτοι οὕτως λέγοντα ἢ οὕτως δεῖ τὸν ἕνα αἴτιον πάντων ὁμολογεῖν δεσπότην.

ἀλλὰ καὶ περὶ τῆς τοῦ Χριστοῦ ὑποθέσεως ἀπόκριναι, ὦ τῆς μυθοποιοῦ πραγματείας ταύτης πλάστα. εἰ Σίμων ἐσταυρώθη ὁ Κυρηναῖος, ἄρα οὐ διὰ Ἰησοῦ ἡ σωτηρία γεγένηται ἡμῶν ἀλλὰ διὰ Σίμωνος, καὶ οὐκέτι ὁ κόσμος ἐλπίσειεν διὰ Ἰησοῦ Χριστοῦ σῴζεσθαι τοῦ μὴ παθόντος ὑπὲρ ἡμῶν. οὔτε γὰρ Σίμων δύναται σῴζειν, ἄνθρωπος ὢν ψιλὸς καὶ οὐδὲν ἕτερον. ἅμα δὲ καὶ συκοφαντίαν καταψηφίζῃ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, εἰ ἕτερον ἀνθ' ἑαυτοῦ παρέδωκεν ὁ ἀγαθὸς θεὸς βιασάμενος εἰς φόνον. καὶ ἔσται λοιπὸν ὄναρ, μᾶλλον δὲ κακοηθείας καὶ κυβείας ἔργον τὸ τοιοῦτον, ὅτι ⟨ὁ⟩ κύριος κυβείᾳ τινὶ ἑαυτὸν κρύψας ἄλλον ἀντ' αὐτοῦ παρέδωκε· καὶ ἔσται ἡ παρὰ σοῦ μωρολογία συκοφαντοῦσα μὲν τὴν ἀλή|θειαν μὴ δυναμένη Ö156 δέ, ἀλλὰ ἐλεγχομένη ὑπ' αὐτῆς τῆς ἀληθείας ἀσυστάτως τὸ ποίημα τοῦτο εἰσηγουμένη.

9. Πάντη γὰρ ἐλέγχει τοῦτον τὸν αἱρεσιάρχην ἡ ἀλήθεια ἐν παλαιᾷ καὶ καινῇ διαθήκῃ. παντὶ γάρ τῳ δῆλον ὅτι Χριστὸς ἑκὼν ἐπὶ τὸ πάθος ἦλθε καὶ θελήματι ἰδίῳ καὶ τοῦ ἰδίου πατρὸς καὶ εὐδοκίᾳ τοῦ ἁγίου πνεύματος ἔλαβε τὴν σάρκα ἐνανθρωπήσας ἐν ἡμῖν, ἐν τελειότητι θεὸς ὢν ἀπ' ἀρχῆς, ἐκ πατρὸς γεγεννημένος ἀνάρχως καὶ ἀχρόνως, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ἐν μήτρᾳ παρθένου γενέσθαι καταξιώσας, εἰς ἑαυτόν τε σῶμα ἀναπλασάμενος καὶ γεννηθεὶς ἐν ἀληθείᾳ καὶ ἐνανθρωπήσας ἐν βεβαιώσει, ἵνα ἐν αὐτῇ πάθῃ ὑπὲρ

1 *ὑστέρημα*] das Stichwort ist in der oben gegebenen Darstellung nicht enthalten — **27 f** vgl. I Petr. 4, 1

V M

3 ⟨*τῷ*⟩ * **5** *λέγοντα* *] *λέγειν* VM | *δεῖ* + *εἰ* V **7** *ἀπόκριναι ὦ* Ausgg.] *ἀποκρίναιο*, *αιο* auf Rasur V^{corr} *ἀπόκρινε ὦ* M **9** *ἡμῶν γεγένηται* V **11** *ὑπὲρ ἡμῶν* < V | vor *οὔτε* vielleicht etwas ausgefallen: ⟨*ἀλλ' οὐδὲ διὰ Σίμωνος γεγένηται*⟩ * **12** *ὢν*] *ἦν* M | *συκοφαντίαν* * vgl. S. 251, 21] *συκοφαντίας* VM **13** *ἀνθ' ἑαυτοῦ* aus *ἀντ' αὐτοῦ* V^{corr} *ἀντ' αὐτοῦ* M **13 f** *παραδέδωκεν* M **14** *φόνον*] am Rand *θάνατον* V^{corr} **15** *τοιοῦτον* oben hineingeflickt V^{corr} | ⟨*ὁ*⟩ U **24** vor *πατρὸς* + *τοῦ* M | *γεγεννημένος*, zweites *ν* darüber geflickt V^{corr} **25** *ἐσχάτου*, *ου* aus *ων* V^{corr}

ἡμῶν τῇ σαρκὶ καὶ τὴν ψυχὴν δῷ ὑπὲρ τῶν ἰδίων προβάτων· ὡς 3
ἐλέγχει τούτους λέγων »ἰδού, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς
τοῦ ἀνθρώπου παραδοθήσεται καὶ ἀποκτανθήσεται καὶ τῇ | τρίτῃ P75
ἡμέρᾳ | ἀναστήσεται«, τοῖς τε υἱοῖς Ζεβεδαίου φήσας »δύνασθε πιεῖν D30
τὸ ποτήριον ὃ μέλλω πίνειν;«, ὡς καὶ ὁ ἀπόστολος Πέτρος λέγει 4
»θανατωθεὶς σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι« καὶ πάλιν »ὃς ἔπαθεν
ὑπὲρ ἡμῶν σαρκί«· πάλιν δὲ Ἰωάννης λέγει »εἴ τις οὐ λέγει τὸν Χρι- 5
στὸν ἐν σαρκὶ ἐληλυθέναι, οὗτος ἀντίχριστός ἐστιν«, ὁ δὲ ἅγιος Παῦλός
φησι »γευσάμενος θανάτου, θανάτου δὲ σταυροῦ«, ὡς καὶ Μωυσῆς
προαναφωνῶν ἔλεγεν »ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἐπὶ ξύλου«.
ζωὴ δὲ ἡμῶν οὐχ ὁ Σίμων, ἀλλ' ὁ κύριος ὁ ὑπὲρ ἡμῶν πεπονθώς, 6
ἵνα τὰ ἡμέτερα πάθη διαλύσῃ, καὶ θανὼν σαρκὶ θάνατος θανάτῳ
γεγένηται, ἵνα τὸ κέντρον τοῦ θανάτου κλάσῃ, καταβὰς εἰς τὰ
καταχθόνια, ἵνα τοὺς ἀδαμαντίνους μοχλοὺς συντρίψῃ· ὅπερ ποιήσας
ἀνήγαγε τῶν ψυχῶν τὴν αἰχμαλωσίαν ἐκένωσέ τε τὸν Ἅιδην.

10. Οὐκ ἄρα οὖν αἴτιος θανάτου γέγονεν ὁ Χριστὸς τῷ Σίμωνι, **10, 1**
αὐτὸς ἑαυτὸν παραδούς. τί γὰρ λέγεις, ὦ θελήσατε τῶν ἀνθρώπων;
οὐκ ἠδύνατο ἐλευθεροστομεῖν καὶ ἀναχωρῆσαι ἀπ' αὐτῶν, εἰ μὴ ἠθέλησε 2
σταυρωθῆναι; ἀλλὰ παίγνιον ἐποίει κυβείας ὁ τοῦ θεοῦ ⟨υἱὸς⟩ θεὸς
Λόγος καὶ ἄλλον ἀντὶ ἑαυτοῦ παρεδίδου ἀποθανεῖν καὶ σταυρωθῆναι,
ὁ λέγων ἐγώ εἰμι ἡ ἀλήθεια· »ἐγὼ γάρ εἰμι, φησίν, ἡ ἀλήθεια καὶ ἡ
ζωή«; ἡ δὲ ζωὴ οὐκ ἂν ἑτέρῳ θάνατον παρασκευάσειε καὶ ἡ ἀλή- 3
θεια οὐκ ἂν κρύψῃ τὸ ἐν ἀληθείᾳ παρ' αὐτῆς γινόμενον καὶ ἕτερα
ἀνθ' ἑτέρων ὑποδείξῃ. οὐκέτι γὰρ ἡ ἀλήθεια εὑρεθήσεται ἀλήθεια,
πλάνην ἐργαζομένη καὶ κρύπτουσα τὸ ἑαυτῆς ἔργον, δι' ἐναντίου δὲ
πραγματευομένη σοφίσματος. καὶ ἁπλῶς ἐκ πάντων ὡς εἰπεῖν, ἵνα 4
μὴ μηκύνω τὸν λόγον, »οὐαὶ | τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων« καὶ Ö158
»τῶν ἐργαζομένων τὴν ἀνομίαν«. πόσοι ἑαυτοῖς σκότος ηὕρηνται
καὶ ἄλλοις τοῖς μετέπειτα τῷ σκότει αὐτῶν πειθομένοις· | τοῖς δὲ D31

1 vgl. Joh. 10, 11 — **2** Matth. 20, 18 — **4** Matth. 20, 22 — **6** I Petr. 3, 18 — **6f** I Petr. 4, 1 — **7** vgl. I Joh. 4, 2f — **9** Phil. 2, 8 — **10** vgl. Deut. 28, 66 — **13** vgl. Hos. 13, 14 (I Kor. 15, 55) — **14** vgl. Jes. 45, 2 — **21** Joh. 14, 6 — **27** Matth. 18, 7 — **28** Matth. 7, 23

V M

2 *ἀναβαίνωμεν* M | *ιλμ* V **5** *λέγει Πέτρος* V **7** *λέγει*[1]] *λέγων* V **8** *ἐν* < M **11** *οὐχ*, *χ* auf Rasur V **12** *θάνατος*, *ς* auf Rasur V **15** *τε* < M **17** *θελήλατε*, *η* u. *α* auf Rasur V[corr] *θεελέητε* M **19** ⟨*υἱὸς*⟩ * **20** *ἀνθ' ἑαυτοῦ* *θ* u. *ε* auf Rasur V[corr] **21** *φησὶν* hinter *ἀλήθεια*[2] V **24** *ὑποδείξας* M **26** *ἐκ*] lies *ἐπὶ*? *

συνετοῖς φανήσεται ἡ ἀλήθεια, ἡ δὲ Βασιλείδου καὶ τῶν τοιούτων πραγματεία πλάνης ἔργον ἐλεγχθήσεται.

Καὶ ταῦτά μοι περὶ ταύτης τῆς αἱρέσεως καὶ τοῦ μύθου τούτου 5
εἰρήσθω· ἐντεῦθεν δὲ ἐφ' ἑτέραν αἵρεσιν βαδιοῦμαι. τίνι γὰρ οὐ 6
φωρατὴ ἔσται ἡ τοιαύτη αἵρεσις | μῦθός τις οὖσα καὶ ὡσεὶ κεράστου P 76
τρόπον ἐν ἄμμῳ κεχωσμένη, διὰ δὲ τοῦ κέρατος ἐν ἀέρι προκύπτουσα καὶ τὸν ὅλεθρον τοῖς περιτυγχάνουσιν αὐτῇ ἐργαζομένη; ἀλλὰ καὶ 7
»τὸ κέρας τῶν ἁμαρτωλῶν ὁ κύριος συνέτριψεν, τὸ δὲ κέρας τοῦ δικαίου μόνον ὑψωθήσεται«, ὅπερ ἐστὶ πίστις ἀληθείας. διὸ καὶ τοῦ- 8
τον συντρίψαντες τῇ τῆς ἀληθείας διδασκαλίᾳ ἐπὶ τὰς μετέπειτα διέλθωμεν, θεὸν βοηθὸν ἐπικαλούμενοι, ᾧ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Κατὰ Νικολαϊτῶν ε̄, τῆς δὲ ἀκολουθίας κε̄.

1. Νικόλαος γέγονεν εἷς ἀπὸ τῶν ἑπτὰ διακόνων τῶν ἐκλελεγ- **1, 1**
μένων ὑπὸ τῶν ἀποστόλων ἅμα Στεφάνῳ τῷ ἁγίῳ καὶ πρωτομάρτυρι καὶ Προχόρῳ καὶ Παρμενᾷ καὶ τοῖς ἄλλοις. οὗτος ἀπὸ τῆς **2**
Ἀντιοχέων ὁρμώμενος προσήλυτος γίνεται· μετέπειτα δὲ καταδεξάμενος τὸν περὶ Χριστοῦ κηρύγματος λόγον καὶ αὐτὸς συνήφθη τοῖς μαθηταῖς ἔν τε τοῖς προκριτέοις τὰ πρῶτα ἐξεταζόμενος ⟨ἦν⟩· ὅθεν καὶ ἐν τοῖς ἐκλεγεῖσιν εἰς τὴν τῶν χηρῶν τότε ἐπιμέλειαν ἐγκατηριθμήθη. ὕστερον δὲ τοῦτον ὑπέδυ ὁ διάβολος καὶ ἐξηπάτησεν αὐτοῦ **3**
τὴν καρδίαν τῇ αὐτῇ πλάνῃ τῶν προειρημένων παλαιῶν κατατρωθῆναι μειζόνως ὑπὲρ τοὺς πρώην. γύναιον γὰρ οὗτος ἔχων εὔμορφον **4**

8 Psal. 74, 11 — **13 ff** vgl. mit Epiph. insbesondere Irenaeus adv. haer. I 26, 3; I 214 Harvey Hippolyt refut. VII 36, 3; S. 223, 6 ff Wendland Ps. Tert. adv. omn. haer. 1 Filastrius haer. 33 (schöpft aus Epiph.) — Clemens Al. strom. III 25, 5 ff; II 207, 17 ff Stählin (= Eusebius h. e. III 29, 2 ff; S. 260, 13 ff Schwartz) — **14 f** vgl. Act. 6, 5 — **16 f** vgl. Act. 6, 5 — **23**—S. **268, 17** vgl. Clemens Al. strom. III 25, 6; II 207, 19 ff Stählin = Eusebius h. e. III 29, 2; S. 260, 13 ff Schwartz *ὡραίαν, φασί, γυναῖκα ἔχων οὗτος μετὰ τὴν ἀνάληψιν τὴν τοῦ σωτῆρος πρὸς τῶν ἀποστόλων ὀνειδισθεὶς ζηλοτυπίαν, εἰς μέσον ἀγαγὼν τὴν γυναῖκα γῆμαι τῷ βουλομένῳ ἐπέτρεψεν. ἀκό-*

V M

3 *καὶ*[2] U] *τῆς* V M | *μυθώδους* aus *μύθου τούτου* hergestellt V[corr] **6** *προ///κύπτουσα, σ* ausradiert V[corr] *ποῦ κρύπτουσα* M **7** *αὐτὴν* V **11** *ἡ*[1] ausradiert V[corr] | *καὶ ἡ*[1 u. 2] < V **12** *προσκύνησις*] *κράτος* V **12** Unterschrift *κατὰ Βασιλείδου* V **13** *τῆς δὲ ἀκολουθίας*] *ἡ καὶ* V **16** *τῆς*] *τῶν* V **18** vor *κηρυγματος* + *τοῦ* V **19** *προκρίτ///οις, ε* ausradiert V[corr] | *⟨ἦν⟩* *

καὶ ἀπὸ τοῦ γυναίου ἐγκρατευσάμενος ὡς κατὰ μίμησιν ὧν ἑώρα θεῷ
προσανεχόντων, | μέχρι τινὸς ἐκαρτέρει, οὐ μὴν εἰς τέλος ἤνεγκε κρα- D32
τεῖν τῆς αὐτοῦ ἀκρασίας, ἀλλὰ βουληθεὶς ὡς κύων ἐπὶ τὸν ἴδιον
ἔμετον ἐπιστρέφειν προφάσεις τινὰς οὐκ ἀγαθὰς ἑαυτῷ θηρώμενος
ἐπενόει πρὸς ἀπολογίαν τοῦ ἰδίου τῆς ἀκολασίας πάθους· ᾧ μᾶλλον
συνέφερεν *. εἶτα τοῦ σκοποῦ ἐκπεσὼν τῇ ἰδίᾳ γυναικὶ συνήφθη
ἀπεριέργως. οὗτος δὲ αἰσχυνόμενος τὴν ἑαυτοῦ ἧττα καὶ ὑφορώ- 5
μενος φωραθῆναι ἐτόλμα λέγειν [ὅτι], εἰ μή τις καθ' ἑκάστην ἡμέραν
λαγνεύῃ, ζωῆς μὴ δύνασθαι μετέχειν τῆς αἰωνίου. ἐκ προφάσεως 6
γὰρ εἰς πρόφασιν μετηνέχθη ἑτέραν. ὁρῶν γὰρ τὴν ἑαυτοῦ σύμβιον
κάλλει μὲν διαπρέπουσαν ταπει|νότητι δὲ φερομένην, ἐζηλοτύπησε Ö160
ταύτην καὶ κατὰ τὴν ἰδίαν ἀσέλγειαν τοὺς ἄλλους εἶναι νομίσας | τὰ P77
πρῶτα μὲν ἐμπαροινῶν εἰς τὴν ἰδίαν γαμετὴν διετέλει καὶ διαβολάς
τινας αὐτῇ ἐπιφέρων διὰ λόγων, τὸ δὲ πέρας ἑαυτὸν κατέσπασεν οὐ
μόνον εἰς τὴν χρῆσιν τῆς σαρκὸς τὴν κατὰ φύσιν τῶν ἀνθρώπων,
ἀλλὰ καὶ εἰς βλάσφημον ὑπόνοιαν καὶ βλάβην κακοτροπίας καὶ πλά-
νην παρεισδύσεως πονηρίας.

2. Καὶ ἐντεῦθεν ἄρχονται οἱ τῆς ψευδωνύμου γνώσεως * τῷ 2, 1
κόσμῳ ἐπιφύεσθαι κακῶς, φημὶ δὲ οἱ καλούμενοι Γνωστικοὶ καὶ Φι-
βιωνῖται καὶ οἱ τοῦ Ἐπιφάνους καλούμενοι, Στρατιωτικοί τε καὶ
Λευιτικοὶ καὶ Βορβορῖται καὶ οἱ λοιποί. ἕκαστος γὰρ τούτων τὴν

λουθον γὰρ εἶναί φασι τὴν πρᾶξιν ταύτην ἐκείνῃ τῇ φωνῇ τῇ ὅτι παραχρήσασθαι
τῇ σαρκὶ δεῖ, καὶ δὴ κατακολουθήσαντες τῷ ⟨τε⟩ γενομένῳ τῷ τε εἰρημένῳ ἁπλῶς
καὶ ἀβασανίστως ἀνέδην ἐκπορνεύουσιν οἱ τὴν αἵρεσιν αὐτοῦ μετιόντες. — Die
von Clemens abweichende Auffassung des Epiph. erwähnt Stephanus Gobarus bei
Photius bibl. 232; S. 291b Bekker

3f vgl. (Prov. 26, 11) II Petr. 2, 22

V M

1 ὡς < V **2** *καρτερεῖ* M **5** *ἐπινοεῖ* M **6** * etwa ⟨*αἰσχύνεσθαι καὶ μετανοεῖν*⟩ *; V^{corr} zieht den mit *εἶτα* beginnenden Satz mit dem vorhergehenden zusammen: *ᾧ μᾶλλον συνέφερεν* | | *τοῦ ἰδίου σκοποῦ ἐκπεσόντι τῇ ἰδίᾳ γυναικὶ συναφθῆναι ἀπεριέργως* | vor *σκοποῦ* am Rand *ἰδίου* nachgetragen V^{corr} **8** [*ὅτι*] * **9** *λαγνεύῃ*, *ει* aus *η* V^{corr} | *δύναται* V **15** *τὴν*^{2} U] *τῆς* VM **18** * ⟨*ἀρχηγέται*⟩ * **19** *οἱ καλούμενοι* < V **20** *καλουμένου* M **21** *Λευιτικοὶ* V *Λευικοὶ* M] der Name nur hier; sonst stehen (vgl. S. 21, 16f 158, 3f 160, 3f) die *Σεκουνδιανοὶ* oder die *Σωκρατῖται* oder die *Κοδδιανοὶ* an der entsprechenden Stelle. Trotzdem ist wohl nicht zu ändern. Die Bezeichnung als *Λευιτικοὶ* knüpft an an die *Λευῖται* vgl. haer. 26, 13; S. 292, 9ff | *καὶ Βορβορῖται* < V | *οἱ λοιποὶ*] *ἄλλοι πλείους* V

ἑαυτοῦ αἵρεσιν τοῖς πάθεσιν ἑαυτοῦ ἐπισπώμενος μυρίας ὁδοὺς ἐπενόησε κακίας. τινὲς μὲν γὰρ αὐτῶν Βαρβηλώ τινα δοξάζουσιν, ἣν 2
ἄνω φάσκουσιν εἶναι ἐν ὀγδόῳ οὐρανῷ, καὶ ταύτην ἀπὸ τοῦ πατρὸς προβεβλῆσθαί φασιν· μητέρα δὲ αὐτὴν εἶναι οἱ μὲν τοῦ Ἰαλδαβαὼθ
5 λέγουσιν, οἱ δὲ τοῦ Σαβαώθ. τὸν δὲ υἱὸν ταύτης κεκρατηκέναι τοῦ 3
ἑβδόμου οὐρανοῦ ἐν θράσει τινὶ καὶ ἐν τυραννίδι, λέγειν δὲ τοῖς ὑποκάτω ὅτι »ἐγώ εἰμι, φησίν, ὁ πρῶτος καὶ ὁ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστιν ἕτερος θεός«. τὴν δὲ Βαρβηλὼ | ἀκηκοέναι τὸν 4 D33
λόγον τοῦτον καὶ κλαῦσαι. ταύτην δὲ ἀεὶ φαίνεσθαι τοῖς ἄρχουσιν
10 ἐν εὐμορφίᾳ τινὶ καὶ ἀποσυλᾶν τὸ ἐξ αὐτῶν σπέρμα δι' ἡδονῆς καὶ ἐκχύσεως, ἵνα δῆθεν τὴν αὐτῆς δύναμιν τὴν εἰς διαφόρους σπαρεῖσαν αὖθις πάλιν ἀνακομίζῃ. καὶ οὕτως ἐκ τοιαύτης ὑποθέσεως τὸ τῆς 5
αὐτοῦ αἰσχρολογίας μυστήριον τῷ κόσμῳ ὑπεισήνεγκε. καί τινες ὡς ἔφην τῶν προειρημένων διὰ πολλῆς κακομηχανίας ἃ μὴ θέμις λέγειν
15 πως ἐν πολυμιξίᾳ γυναικῶν καὶ ἐν αἰσχροποιίαις ἀνηκέστοις ἀναστρέφεσθαι ἐδίδαξαν, ὡς καί που ὁ ἁγιώτατος ἀπόστολός φησι »τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν αἰσχρόν ἐστι καὶ λέγειν«. 3. τῷ δὲ 3, 1
βουλομένῳ ἰδεῖν τὴν ἀντίθετον ἐκ πνεύματος ἁγίου περὶ τῆς τούτου αἱρέσεως ἀνατροπὴν ἰστέον ἐστὶν ἀπὸ τῆς τοῦ ἁγίου Ἰωάννου ἀπο-
20 καλύψεως, ὡς γράφων μιᾷ τῶν ἐκκλησιῶν ἐκ προσώπου κυρίου τουτέστιν τῷ ἐπισκόπῳ τῷ ἐκεῖσε καταστάθεντι σὺν τῇ δυνάμει τοῦ ἁγίου ἀγγέλου τοῦ ἐπὶ τοῦ θυσιαστηρίου φησίν »ἔχεις δέ τι καλόν, ὅτι μισεῖς τὰ ἔργα τῶν Νικολαϊτῶν ἃ κἀγὼ μισῶ«.

Προύνικον δὲ ἄλλοι τιμῶντές τινα, | ὡς καὶ οὗτοι μυθωδῶς 2 P78
25 πάλιν εἰς ταύτην τὴν ὑπόνοιαν τῆς αἰσχρουργίας τὰ ἑαυτῶν πάθη

2 *Βαρβηλὼ* vgl. haer. 21, 2, 5; S. 240, 12 u. Filastrius haer. 33, 2; S. 18, 6 Marx *isti Barbelo venerantur* — **3** vgl. Irenaeus adv. haer. I 30, 4; I 230 Harvey (bei den Ophiten) *octavum matre habentem locum* — **4** u. **5** *Ἰαλδαβαὼθ* u. *Σαβαώθ* vgl. Bousset, Hauptprobleme S. 351ff — **6ff** vgl. Irenaeus adv. haer. I 30, 6; I 232 Harvey *unde exultantem Jaldabaoth in omnibus his quae sub eo essent gloriatum et dixisse: ego Pater et deus et super me nemo. audientem autem matrem clamasse adversus eum: noli mentiri, Jaldabaoth; est enim super te pater omnium primus Anthropus et Anthropus filius Anthropi* — **7** Jes. 45, 5f — **9—12** vgl. über diesen Mythus zu haer. 21, 2, 5; S. 240, 10ff — **16f** Ephes. 5, 12 — **22** Apok. 2, 6 — **24** zu *Προύνικος* vgl. haer. 21, 2, 4f; S. 240, 5ff u. haer. 37, 3, 2f

V M

1 *αὐτοῦ* V **3** *φά////σκουσιν*, Rasur von 4 Buchstaben V | *ὀγδόῳ*] *ἑβδόμω* M | *καὶ* < M **4** *φησὶν* M **5** *ταύτης* + *λέγουσι* M **12** *ἀνακομίζῃ*, *η* auf Rasur Vcorr *ἀνακομίζει* M **13** hinter *μυστήριον* angeflickt *οὗτος ὁ Νικόλαος* Vcorr **15** *ἀνεικάστοις*, *ά* Vcorr *ἀνικέστοις* M **23** *καὶ ἐγὼ* V **24** *δὲ* aus *τε* Vcorr

ἐπιτελοῦντές φασι· τῆς Προυνίκου τὴν δύναμιν συλλέγομεν ἀπὸ τῶν σωμάτων, διά τε τῶν ῥευστῶν, φημὶ δὲ γονῆς καὶ καταμηνίων *· περὶ 3
ὧν ὀλίγῳ | ὕστερον, ὅταν περὶ αὐτῶν μονομερῶς λέγειν ἐπιβαλώμεθα, Ö 162
κατὰ λεπτότητα ὑφηγήσομαι, οὐκ εἰς τὸ χρᾶναι ἀκοὰς τῶν ἀκουόν-
των ἢ ἐντυγχανόντων, ἀλλ᾽ εἰς τὸ τοῖς συνετοῖς ἀπέχθειαν μᾶλλον
ἐργάσασθαι πρὸς αὐτοὺς καὶ ἀποτροπὴν τῆς τῶν κακῶν ἐργασίας,
οὐ συκοφαντῶν τοὺς ἀλιτηρίους, ἀλλὰ κατ᾽ ἀλήθειαν τὰ παρ᾽ αὐτῶν
γινόμενα εἰς τοὐμφανὲς θριαμβεύων. ἕτεροι δὲ τὸν προειρημένον 4
Ἰαλδαβαὼθ δοξάζουσι, φάσκοντες αὐτὸν εἶναι πρῶτον υἱὸν ὡς | ἔφην D 34
τῆς Βαρβηλώ· καὶ διὰ τοῦτό φησιν δεῖν ἄγειν αὐτῷ τὴν τιμήν, ὅτι
πολλὰ ἀπεκάλυψεν. ὅθεν καὶ βιβλία τινὰ ἐξ ὀνόματος τοῦ Ἰαλδαβαὼθ 5
ποιητεύονται, ἐκτυποῦντες καὶ ὀνομασίας μυρίας βαρβαρικὰς ἀρχόν-
των, ⟨ὧς⟩ φασιν, καὶ ἐξουσιῶν καθ᾽ ἕκαστον οὐρανὸν ἐναντιουμένων
τῇ τῶν ἀνθρώπων ψυχῇ. καὶ πολλὴ ἁπλῶς ἡ διὰ τῆς πλάνης αὐ-
τῶν γινομένη τῷ γένει τῶν ἀνθρώπων ἐπιβουλή. ἄλλοι δὲ τὸν 6
Καυλακαῦ ὡσαύτως δοξάζουσιν, ἄρχοντά τινα τοῦτον οὕτως κα-

3 vgl. unten haer. 26, 4, 5ff — **8** vgl. Filastrius haer. 33, 3; S. 18, 7 Marx *alii autem ex iis Jaldabaoth quendam* (sc. *venerantur*) — **9** vgl. Irenaeus adv. haer. I 30, 5; I 230 Harvey *eum qui a matre primus sit, Jaldabaoth vocari* — **11f** Bücher *εἰς τὸν Ἰαλδαβαὼθ* auch bei den »Gnostikern« erwähnt haer. 26, 8, 1 — **12ff** vgl. Irenaeus adv. haer. I 24, 5f; I 201 Harvey (bei Basilides) *nomina quoque quaedam affingentes quasi angelorum annunciant hos quidem esse in primo coelo, hos autem in secundo .... igitur qui haec didicerit et angelos omnes cognoverit et causas eorum, invisibilem et incomprehensibilem eum angelis et potestatibus universis fieri, quemadmodum et Caulacau fuisse* — **15f** ebenso, wohl aus Epiph. schöpfend Filastrius haer. 33, 3; S. 18, 8 Marx *alii autem Calacaun hominem* (ob er *ἄνθρωπον* statt *ἄρχοντα* las?); vgl. Irenaeus adv. haer. I 24, 5f; I 201f Harvey *quemadmodum et mundus nomen esse, in quo dicunt descendisse et ascendisse Salvatorem, esse Caulacau .... quemadmodum* (sc. unsichtbar für die Archonten) *et Caulacau fuisse* Hippolyt refut. V 8, 4; S. 89, 20 Wendland *οὗτοί εἰσιν οἱ τρεῖς ὑπέρογκοι λόγοι Καυλακαῦ Σαυλασοῦ Ζεησάρ, Καυλακαῦ τοῦ ἄνω τοῦ Ἀδάμαντος, Σαυλασαῦ τοῦ κάτω θνητοῦ, Ζεησὰρ τοῦ ἐπὶ τὰ ἄνω ῥεύσαντος Ἰορδάνου*

V M

2 *καταμηνιαίων* M | * etwa ⟨*δοκοῦσι συλλέγειν*⟩ * **4** *ὑφηγήσο||μαι*, *o* aus *ω* V corr **4f** *ἐνακουόντων* V **6** *ἀποτροπῆς* M **7** *κατὰ* M **8** *τὸ ἐμφανὲς* M | *τῶν προειρημένων* V **9** *δοξάσουσιν* V **10** *ἀναγαγεῖν* M | *αὐτῆ* M **13** ⟨*ὡς*⟩ * | *φησιν* V **16** *καυλανκαὺκ* V

λοῦντες, φαντασιάζειν φιλοτιμούμενοι τοὺς ἀπείρους διὰ τῆς τῶν ὀνομάτων ἐκπλήξεως καὶ ἐπιπλάστου τῆς τοῦ ὀνόματος βαρβαρωνυμίας. τοῖς δὲ ἐμπείροις καὶ ἐκ θεοῦ λαβοῦσι περὶ ἑκάστης ὀνομασίας καὶ ὑποθέσεως τῆς ἀληθινῆς τοῦ θεοῦ γνώσεως χάριν πῶς οὐκ εὐθυέλεγκτα τοῦ μύθου αὐτῶν καὶ πλάνης τὰ διδάγματα ⟨ἀν⟩εχέγγυα;

4. Προύνικον γὰρ ἐὰν εἴπωσι, τὸ ὅλον ἐστὶν ἡδυπαθείας καὶ **4, 1**
ἀκρασίας ἐξέρευξις. πᾶν γὰρ τὸ προυνικευόμενον λαγνείας ὑποφαίνει τὸ ἐπώνυμον, φθορᾶς δὲ τὸ ἐπιχείρημα. ἐπὶ τοῖς γὰρ τὰ σώματα **2**
διακορεύουσιν Ἑλληνική τίς ἐστιν λέξις τό »ἐπρουνίκευσε τήνδε«· ὅθεν καὶ ἐν μύθοις ἀναγράφουσιν οἱ τὰ ἐρωτικὰ συγγραψάμενοι Ἑλλήνων ἀπατεῶνες περὶ κάλλους λέγοντες οὕτως ὅτι κάλλος προύνικον. ἀλλὰ καὶ περὶ τοῦ Καυλακαῦ τίς τῶν γινωσκόντων οὐκ **3**
ἂν καταγελάσειεν, ὅτι τὰς Ἑβραϊστὶ καλῶς εἰρημένας λέξεις καὶ Ἑλληνι|στὶ καλῶς ἑρμηνευθείσας καὶ ⟨εἰσέτι⟩ νῦν παρὰ τοῖς Ἑβραϊστὶ P79
ἀναγινώσκουσι φανερὰς οὔσας καὶ οὐδὲν σκολιὸν ἐχούσας αὐτοὶ εἰς εἰδωλοποιίας τε καὶ εἰς μορφὰς καὶ εἰς ἐνυποστατικὰς ἀρχὰς καὶ ὡς εἰπεῖν ἀνδριαντοπλασίας, τοῖς ἀφελέσι διὰ φαντασίας τὴν πλάνην ὑποσπείροντες, ἀνατυποῦσιν εἰς τὴν τῆς αἰσχρᾶς αὐτῶν καὶ μυθώδους τέχνης ὑποσποράν; καυλακαῦ γὰρ ἐν τῷ Ἡσαΐᾳ γέγραπται, λέξις τις **4**
οὖσα ἐν τῇ δωδεκάτῃ ὁράσει, ἔνθα λέγει | »θλίψιν ἐπὶ θλίψιν, ἐλπίδα D35
ἐπ᾽ ἐλπίδι, ἔτι μικρὸν ἔτι μικρὸν | προσδέχου«· ὡς καὶ αὐτὰ τὰ **5** Ö164
Ἑβραϊκὰ ῥήματα τελειότατα ἐνταῦθα παραθήσομαι αὐταῖς λέξεσιν ὥς ἐστι γεγραμμένα· τὸ γὰρ σαυλασαῦ σαυλασαῦ ἑρμηνεύεται θλίψις ἐπὶ θλίψιν, καυλακαῦ καυλακαῦ ἐλπὶς ἐπ᾽ ἐλπίδι, ζιηρσὰμ ζιηρσὰμ ἔτι μικρὸν
ἔτι μικρὸν προσδέχου. ποῦ οὖν ἡ τούτων μυθολογία; ποῦ ἡ κίσσησις **6**
τῆς φαντασιολογίας; πόθεν τῷ κόσμῳ τὰ ζιζάνια; τίς ὁ ἀναγκάσας εἰς ἑαυτοὺς ἐπισπάσασθαι ὄλεθρον τοὺς ἀνθρώπους; εἰ μὲν γὰρ γινώ- **7**

6ff vgl. unten haer. 37, 6, 1ff — **20** Jes. 28, 10 — **26** vgl. Matth. 13, 27

V M

4f *εὐθυέ////λεγ////κτα*, hinter *έ* u. *γ* Rasur V **5** *τὰ τῆς μυθώδους αὐτῶν* ////// *πλάνης διδάγματα, ους* auf Rasur u. hinter *αὐτῶν* Rasur von 3—4 Buchstaben Vcorr | *⟨ἀν⟩εχέγγυα* * **6** *Προύνεικον, ει* aus *ι* V **7** *ἀκρασίας* *, vgl. S. 268, 3] *ἐκκαρδίας* V M **7** *ἐξέρευξις, ρευξι* auf Rasur V | *πάντα* M | *προυνειικευόμενον, ει* aus *ι* V **9** vor *λέξις* + *ἡ* M | *προυνειικεῦσαι* aus *ἐπρουνίκευσε* Vcorr | *ταύτην* V **10** *ἐρωτικὰ*] *Ἑλληνικὰ* V **11f** *προύνειικον, ει* aus *ι* V **12** *καυλαυκαὺκ* V **12f** *οὐκ ἂν* hineingeflickt Vcorr **14** *⟨εἰσέτι⟩* * | *Ἑβραϊστὶ* *] *Ἑλληνιστὶ* V M **18** *εἰς* hineingeflickt Vcorr *εἰς τὴν* < M **19** *καυλαυκαὺκ* V **21** *ἐπ᾽* < M **22** *τελειώτατα* M **23** *γεγραμμένον* V | ein *σαυλασαῦ* < M **24** *καυλαυκαὺκ* beidemale V **27** *ὄλεθρον ἐπισπάσασθαι* M | *εἰ* auf Rasur V

σκοντες μετεποίησαν τὰς ὀνομασίας εἰς φαντασίαν, ἀπωλείας ἑαυτοῖς προφανῶς αἴτιοι γεγόνασιν· εἰ δὲ ἀγνοοῦντες ἃ μὴ ἤδεισαν ἔφασαν, οὐδὲν αὐτῶν ἀθλιώτερον. μωρὰ γὰρ ταῦτα ὡς ἀληθῶς, ⟨ὡς⟩ καὶ παντὶ τῷ σύνεσιν ἐν θεῷ κεκτημένῳ ἔνεστιν ἰδεῖν. ἡδυπαθείας γὰρ 8
χάριν ἑαυτούς τε καὶ τοὺς πειθομένους ἀπώλεσαν καὶ ἀπολλύουσιν.

πνεῦμα γάρ ἐστι πλάνης, ὥσπερ φύσημα ἐν αὐλῷ διαφόροις κι- 9
νήσεσιν ἕκαστον τῶν ἀφρόνων κινοῦν κατὰ τῆς ἀληθείας. καὶ γὰρ καὶ αὐτὸς ὁ αὐλὸς μίμημά ἐστι τοῦ δράκοντος, δι' οὗ ἐλάλησεν ὁ πονηρὸς καὶ ἡπάτησε τὴν Εὔαν. ἀπὸ τοῦ τύπου γὰρ ἐκείνου κατὰ 10
μίμησιν ὁ αὐλὸς τοῖς ἀνθρώποις εἰς ἀπάτην κατεσκευάσθη. καὶ ὅρα τὸν τύπον ὃν αὐτὸς ὁ αὐλῶν ἐν τῷ αὐλῷ ποιεῖται. αὐλῶν γὰρ ἄνω ἀνανεύει καὶ κάτω κατανεύει, δεξιά τε κλίνει καὶ εὐώνυμα ὁμοίως ἐκείνῳ. τούτοις γὰρ καὶ ὁ διάβολος τοῖς σχήμασι κέχρηται, ἵνα κατὰ 11
τῶν ἐπουρανίων ἐνδείξηται τὴν βλασφημίαν καὶ τὰ ἐπὶ τῆς γῆς ἀφανισμῷ ἀφανίσῃ καὶ ὁμοῦ συμπεριλάβῃ τὴν οἰκουμένην, δεξιά τε καὶ εὐώνυμα λυμαινόμενος τοὺς τῇ πλάνῃ πειθομένους τε καὶ θελγομένους ὥσπερ διὰ μουσικοῦ ὀργάνου ταῖς φωναῖς ταῖς πεπλασμέναις. P80

5. Ἄλλοι δέ τινες ἐξ αὐτῶν καινά τινα ὀνόματα ἀναπλάττουσι, 5, 1
λέγοντες ὅτι σκότος ἦν καὶ βυθὸς καὶ | ὕδωρ, τὸ δὲ πνεῦμα ἀνὰ μέσον D36
τούτων διορισμὸν ἐποιήσατο αὐτῶν· τὸ δὲ σκότος ἦν χαλεπαῖνόν τε καὶ ἐγκοτοῦν τῷ πνεύματι, ὅπερ σκότος ἀναδραμὸν περιεπλάκη τῷ

18—S. **273**, **8** vgl. Ps. Tert. adv. omn. haer. 1 *hic dicit tenebras in concupiscentia luminis et quidem foeda et obscoena fuisse; ex hac permixtione pudor est dicere quae foetida et immunda. sunt et cetera obscoena: aeones enim refert quosdam turpitudinis natos et complexus et permixtiones exsecrabiles obscoenasque coniunctas et quaedam ex ipsis adhuc turpiora, natos praeterea daemones et deos et spiritus septem et alia satis sacrilega pariter et foeda*; aus Epiph. schöpft Filastrius haer. 33, 3ff; S. 18, 8ff Marx *dicunt autem et dogma ponentes ista: ante, inquit, erant solum tenebrae et profundum et aqua, atque ex his divisio facta est in medio et spiritus separavit haec elementa. tunc ergo tenebrae inruentes in spiritum genuerunt quattuor aeonas et isti quattuor genuerunt alios quattuor aeonas. hoc autem dextra atque sinistra, lux, inquit, sunt et tenebrae. quendam etiam concubuisse cum illa muliere et virtute dicunt, de qua nati sunt dii et homines et angeli et septem spiritus daemoniorum*; dazu Bousset, Hauptprobleme der Gnosis S. 103f

V M

2 ἄρτιοι M **3** ⟨ὡς⟩ * **5** ἀπολλύουσιν, *v* aus *o* V ἀπώλλουσι M **10** αὐλῶν M | κατεσκευάσθη εἰς ἀπάτην V **13** τοῖς σχήμασι angeflickt V^{corr} < M **18** καινά, ε V^{corr} κενά M **20** ἦν < M **21** ἀναδραμῶν M

πνεύματι καὶ ἐγέννησε, φησίν, τινὰ Μήτραν καλουμένην, ἥτις γεννηθεῖσα ἐνεκίσσησεν ἐν αὐτῷ τῷ πνεύματι. ἐκ δὲ τῆς Μήτρας προε- 2
βλήθησάν τινες τέσσαρες αἰῶνες, ἐκ δὲ τῶν τεσσάρων αἰώνων ἄλλοι δεκατέσσαρες, καὶ γέγονε δεξιά τε καὶ ἀριστερά, φῶς καὶ σκότος.
ὕστερον δὲ μετὰ πάντας τούτους προβεβλῆσθαί τινα αἰσχρὸν αἰῶνα, 3
μεμίχθαι δὲ τοῦτον τῇ Μήτρᾳ τῇ ἄνω προδεδηλωμένῃ καὶ ἐκ τούτου τοῦ αἰῶνος τοῦ αἰσχροῦ καὶ τῆς Μήτρας γεγονέναι θεούς τε καὶ ἀγγέλους καὶ δαί|μονας καὶ ἑπτὰ πνεύματα. φωρατὴ δὲ τούτων ἡ 4 Ö166
τῆς πλάνης μιμολογία. ἀπ' ἀρχῆς γὰρ ἕνα πατέρα λέγοντες καὶ ὁριζόμενοι ὕστερον πολλοὺς θεοὺς ὑπέφηναν, εἰς τὸ δεῖξαι αὐτὴν τὴν πλάνην καθ' ἑαυτῆς τὰ ὑπ' αὐτῆς ψευδῆ λεγόμενα ὁπλίζειν ἑαυτὴν δὲ λύειν, τῆς ἀληθείας ἀεὶ * ἐκ παντὸς μέρους εὑρισκομένης.

6. Τί τοίνυν εἴπω πρὸς σέ, ὦ Νικόλαε; τί διαλεχθήσομαι; πόθεν, 6, 1
ὦ οὗτος, ἥκεις φέρων ἡμῖν αἰσχρὸν αἰῶνα καὶ ῥίζαν πονηρίας καὶ Μήτραν γεννητικὴν καὶ πολλοὺς θεοὺς καὶ δαίμονας; ὁ γὰρ ἀπό- 2
στολος φήσας »εἴπερ εἰσὶ λεγόμενοι θεοί« οὐκ εἶναι τούτους ὑποφαίνει. ἐν τῷ γὰρ εἰπεῖν »λεγόμενοι« ἔδειξεν αὐτοὺς ἐν τῷ λέγεσθαι μόνον εἶναι, μὴ ὄντας τῇ ὑποστάσει ἀλλὰ διὰ τῆς τινῶν ὑπολήψεως. »ἡμῖν δέ«, φησίν, »εἷς θεός«, δηλονότι τοῖς τὴν γνῶσιν τῆς ἀληθείας 3
ἐπισταμένοις. καὶ οὐκ εἶπεν λεγόμενον θεόν, ἀλλὰ ὄντα θεόν· εἰ δὲ ἡμῖν εἷς θεός, οὐκέτι πολλοὶ θεοί. καὶ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ 4
φησίν »ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν«, ἵνα ἀνατρέψῃ τὴν διάνοιαν τῶν τὰ μυθώδη λεγόντων καὶ νομιζόντων εἶναι πολυθείαν· εἷς γὰρ ἡμῶν ἐστιν ὁ θεός, πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, τρεῖς | D37
ὑποστάσεις μία κυριότης μία θεότης μία δοξολογία, καὶ οὐ πολλοὶ θεοί. ποῦ δὲ πληροῦται κατὰ σέ, ὦ Νικό|λαε, τὸ ὑπὸ τοῦ σωτῆρος εἰρημένον ὅτι »εἰσὶν εὐνοῦχοι οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων καὶ εἰσὶν εὐνοῦχοι οἳ ἐκ γεννητῆς ἐγεννήθησαν καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν«. εἰ τοίνυν εὐνοῦχοί εἰσι διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, πῶς 6
σύ γε σεαυτὸν πεπλάνηκας καὶ τοὺς σοὶ πειθομένους, διὰ λαγνείας καὶ

5 P81

16 I Kor. 8, 5 — **19** I Kor. 8, 6 — **22** Joh. 17, 3 — **27** Matth. 19, 12

V M

4 [δεκα]τέσσαρες Bousset, nach Filastrius **6** μεμ////ῖχθαι, ε ausradiert V (die einzige Stelle, an der μεμεῖχθαι handschriftlich überliefert ist) μεμίχθαι M **12** λύσιν M | * etwa ⟨συμφώνου⟩ * **14** φέρον M **15** θεοὺς πολλοὺς V **20** ἀλλ' M **22** γινώσκουσιν V | ἀνατρέψει V διατρέψῃ M **31** γε <> V

*αἰσχροποιίας τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν ἀδικίᾳ κατέχων καὶ * διδάσκων; ποῦ δὲ παρὰ σοὶ πεπλήρωται τό »περὶ τῶν παρθένων* 7
ἐπιταγὴν κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος, τὸ καλὸν οὕτως εἶναι«, καὶ πάλιν »ἡ παρθένος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς
5 *ἀρέσῃ τῷ κυρίῳ, ἵνα ᾖ ἁγία ἐν σώματι καὶ ἐν πνεύματι«. καὶ πόσα* 8
*ἔστι περὶ ἁγνείας καὶ ἐγκρατείας καὶ παρθενίας λέγειν; παρὰ σοῦ γὰρ ὁ πᾶς βόρβορος τῆς ἀκαθαρσίας ἀναισχύντως ὁρίζεται. ἀλλὰ ἐκ τῶν δύο ἢ τριῶν τούτων ῥητῶν, τῆς καταγελάστου αἱρέσεως πρὸς ἀνατροπὴν τοῖς ἐντυγχάνουσιν *, ὁ σκοπὸς ἐνταῦθά μοι παρακείσθω.*
10 7. *Προϊὼν δὲ καθεξῆς τὴν τούτῳ συνεζευγμένην αἵρεσιν, ὥσπερ* 7, 1
χορτομανήσασαν ὕλην ἢ δάσος ἀκανθῶν πανταχόθεν συνηνωμένων ἢ | κατεξηραμμένην ἐν ἀγρῷ πληθὺν ξύλων τε καὶ φρυγάνων εἰς Ö168
*κατάκαυσιν ἑτοιμαζομένην ὑποδείξω, διὰ τὸ τῇ αὐτῇ αἱρέσει τοῦ ἐλεεινοῦ Νικολάου *. ὥσπερ ⟨γὰρ⟩ δι' ἐγκεντρισμοῦ ἢ ψώρας ἀγρίας ἢ* 2
15 *λέπρας ἐξ ἑτέρων σωμάτων ἕτερα σώματα * παραφθείρεσθαι, οὕτως ἀπὸ μέρους ⟨τούτοις⟩ εἰσὶ συνηνωμένοι οἱ λεγόμενοι ⟨Γνωστικοί⟩, ἐξ αὐτοῦ Νικολάου καὶ τῶν πρὸ αὐτοῦ (Σίμωνος δέ φημι καὶ τῶν ἄλλων) λαβόντες τὰς προφάσεις, Γνωστικοὶ ⟨μὲν⟩ καλούμενοι, κατάγνωστοι δὲ τὸ πᾶν διὰ τὴν ἐν τοῖς πράγμασι τῆς ἀκαθάρτου ἐργα-*
20 *σίας αὐτῶν μοχθηρίαν καὶ αἰσχρουργίαν. ὡς ἀληθῶς γὰρ καὶ τοῦτον* | 3 D38
πρὸς ὀλίγον ἐγκρατευσάμενον, εἶτα ἀποστάντα τῆς ἐγκρατείας, δίκην ὕδρωπος τοῦ ἑρπετοῦ καλουμένου ἐξ ὑδάτων εἰς γῆν ἀνελθόντος καὶ εἰς ὕδωρ αὖθις ἀναστρέψαντος, καλάμῳ τῷ ἐν χειρὶ δοθέντι Χριστοῦ παίσαντες καὶ ὀλέσαντες ἐπὶ τὰς ἑξῆς αἱρέσεις βαδίσωμεν. | P82

1 vgl. Röm. 1, 18 — **2** I Kor. 7, 25 — **4** I Kor. 7, 34 — **23** vgl. Matth. 27, 29

V M

1 * etwa ⟨ἀσέλγειαν⟩ * **5** *ἀρέσει*, ει aus η V *ἀρέση* M | *τῷ* vor *σώματι* u. *πνεύματι* M **7** *γὰρ*] *δὲ* M **7 f** *ἐκ τῶν*] *διὰ* auf Rasur, *τῶν* oben drübergesetzt V corr *ἐκ* u. < *τῶν* M **9** * etwa ⟨*προτιθεμένων*⟩ * | *πακείσθω* M **11** *συνηνωμένων* Di, Öh] *συνηνωμένην* V M **12** lies wohl *κατεξηραμμένων* (oder nachher *ἑτοιμαζομένων*) * | *πλήθη* M **14** etwa ⟨*συνῆφθαι*⟩ * | ⟨*γὰρ*⟩ * | *ἐκκεντρισμοῦ* M **15** etwa ⟨*εἰώθασι*⟩ * **16** ⟨*τούτοις*⟩ * | ⟨*Γνωστικοί*⟩ * **17** *αὐτοῦ*[1], *οῦ* aus *ῶν* V | *Νικολάου* < V **18** ⟨*μὲν*⟩ * **19** *τὸ πᾶν* + ⟨*ὄντες*⟩? * | *πράγμασι*] *προστάγμασιν* M **22** *ἐλθόντος* V **23** *δοθέντι*, ι auf Rasur V corr *δοθέντος* M **24** Unterschrift *κατὰ Νικολαϊτῶν* V

Κατὰ Γνωστικῶν τῶν καὶ Βορβοριτῶν ξ, τῆς δὲ ἀκολουθίας κϛ.

1. *Πάλιν οὗτοι οἱ Γνωστικοὶ διαφόρως ἀπὸ τούτου φυόμενοι* **1, 1**
ἠπατημένοι ἄνθρωποι, ὥσπερ ἀπὸ κοπρίας καρποί, ὡς παντί τῳ δῆλόν ἐστι καὶ φωρατὸν πρὸς δοκιμὴν ἀληθείας οὐ μόνον εἴποιμι πιστοῖς ἀλλὰ τάχα καὶ ἀπίστοις, ἐν τῷ κόσμῳ ἐβλάστησαν· τὸ γὰρ Μήτραν καὶ αἰσχρότητα λέγειν καὶ τὰ ἄλλα πῶς οὐχὶ καταγέλαστα φανείη πᾶσιν ἀνθρώποις, »Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις«; πολλὴ δὲ συμφορὰ καὶ μεγίστη ὡς εἰπεῖν ταλαιπωρία, τοὺς **2**
ἐν καταγνώσει καὶ ἐν πλάνῃ ἐπισείεσθαι ἡμῖν τῶν αἱρέσεων ἀρχηγοὺς καὶ ἐπανίστασθαι ὥσπερ κνωδάλων πλῆθος, ὀχλήσεις τε καὶ δυσοδμίας κνισμούς τε καὶ ἐπεντριβὰς ἡμῖν ἐμποιοῦντας διὰ τῆς [τοῦ] μυθοποιοῦ πλάνης. οὗτοι δὲ οἱ τούτῳ τῷ Νικολάῳ συνεζευγμένοι, **3**
*πάλιν ἀπ' αὐτοῦ ὡς ἀπὸ οὐρίου ᾠοῦ ὄφεως σκορπίοι ἢ ἐξ ἀσπίδων * γεγεννημένοι, τινὰ ἡμῖν παρεισφέρουσι κενοφωνίας ὀνόματα καὶ βίβλους πλάττουσι, Νωρίαν τινὰ βίβλον καλοῦντες, καὶ ἐξ ὑπονοίας Ἑλληνικῆς δεισιδαιμονίας μεταποιοῦντες τὴν παρὰ τοῖς Ἕλλησι μυθώδη ῥαψῳδίαν καὶ φαντασίαν οὕτω τὸ ψεῦδος τῇ ἀληθείᾳ παραπλέκουσι. ταύτην γάρ φασιν τὴν Νωρίαν εἶναι τοῦ Νῶε γυναῖκα·* **4**
καλοῦσι δὲ Νωρίαν, ὅπως τὰ Ἑλληνικῶς | παρὰ τοῖς Ἕλλησι ῥαψῳ- D 39
δηθέντα αὐτοὶ βαρβαρικοῖς ὀνόμασι μεταποιήσαντες τοῖς ἠπατημένοις παρ' αὐτῶν φαντασίαν ἐργάσωνται, ἵνα δὴ καὶ ἑρμηνείαν ποιήσωσι

1 ff mit der Darstellung des Epiph. vgl. insbes. Irenaeus adv. haer. I 30, 1 ff; I 226 ff Harvey Origenes c. Cels. VI 30 ff; II 100, 1 ff Kötschau (Hippolyt refut. VII 36, 2; S. 223, 3 ff Wendland Filastrius haer. 33, 2; S. 18, 5 Marx Ps. Tertullian adv. omn. haer. 2) — **7 f** Röm. 1, 14 — **18** vgl. Irenaeus adv. haer. I 30, 9; I 236 Harvey *post quos secundum providentiam Prunici dicunt generatum Seth, post Noream: ex quibus reliquam multitudinem hominum generatam dicunt* (hier ist also Noria die Schwester u. Frau des Seth); Filastrius haer. 33, 2; S. 18, 6 Marx sagt, Nikolaiten u. »Gnostiker« zusammenfassend: *isti Barbelo venerantur et Noram quandam mulierem*

V M

1 *κατὰ τῶν λεγομένων γνωστικῶν ἕκτη ἡ καὶ κϛ* V *κατὰ γνωστικῶν τῶν καὶ βορβοριτῶν ξ, τῆς δὲ ἀκολουθίας κϛ, οἱ καὶ νικολάου μαθηταί* M **3** *κοπρίας*] *πικρίας* V **5** nach gewöhnlicher Ausdrucksweise des Epiph. wäre *ἐν* zu tilgen * **10** *ὄχλησις* M **11** *δυσοσμίαι* M | *καινισμοὺς* M | *ἡμῖν* < M | *ἐμποιοῦντες* M | [*τοῦ*] * **14** * etwa ⟨*βασιλίσκοι*⟩ * **18** *φασὶν* V *φησὶν* M **19** *καλοῦσιν, σιν* auf Rasur V *καλεῖσθαι* M **21** hinter *ἐργάσωνται* + *ταύτην* M ausradiert V corr **21 f** *καὶ ἑρμηνείαν ποιήσωσι τοῦ τῆς Πύρρας ὀνόματος* *] *καθ' ἑρμηνείαν ποιήσωσι τὸ τῆς Πύρρας ὄνομα* V M

τοῦ τῆς Πύρρας ὀνόματος, Νωρίαν ταύτην ὀνομάζοντες. ἐπειδὴ γὰρ 5
νοῦρα ἐν τῇ Ἑβραΐδι πῦρ οὐ κατὰ τὴν | βαθεῖαν γλῶσσαν ἑρμηνεύεται Ö170
ἀλλὰ Συριακῇ διαλέκτῳ (ἦσαν γὰρ τὸ πῦρ παρὰ Ἑβραίοις καλεῖται
κατὰ τὴν βαθεῖαν γλῶσσαν), τούτου χάριν αὐτοῖς συμβέβηκε κατὰ
ἄγνοιαν καὶ ἀπειρίαν τῷ ὀνόματι τούτῳ χρήσασθαι. οὔτε γὰρ Πύρρα 6
ἡ παρ' Ἕλλησιν οὔτε Νωρία ἡ παρὰ τούτοις μυθευομένη, ἀλλὰ Βαρ-
θενὼς τῷ Νῶε γέγονε γυνή· (καὶ οἱ Ἕλληνες γάρ φασι τὴν Δευκα-
λίωνος γυναῖκα Πύρραν καλεῖσθαι). εἶτα τὴν αἰτίαν ὑποτίθενται 7
οὗτοι οἱ τὰ τοῦ Φιλιστίωνος ἡμῖν αὖθις προφερόμενοι, ὅτι πολλάκις
βουλομένη μετὰ | τοῦ Νῶε ἐν τῇ κιβωτῷ γενέσθαι οὐ συνεχωρεῖτο, P83
τοῦ ἄρχοντος, φησίν, τοῦ τὸν κόσμον κτίσαντος βουλομένου αὐτὴν
ἀπολέσαι σὺν τοῖς ἄλλοις ἅπασιν ἐν τῷ κατακλυσμῷ. αὐτὴν δέ φησιν 8
ἐπικαθιζάνειν ἐν τῇ λάρνακι καὶ ἐμπιπρᾶν αὐτήν, καὶ πρῶτον καὶ
δεύτερον καὶ τρίτον· ὅθεν δὴ εἰς ἔτη πολλὰ ἐλήλακεν ἡ τῆς αὐτοῦ
τοῦ Νῶε λάρνακος κατασκευὴ διὰ τὸ πολλάκις αὐτὴν ὑπ' αὐτῆς ἐμ-
πεπρῆσθαι. ἦν γάρ, φησίν, ὁ Νῶε πειθόμενος τῷ ἄρχοντι, ἡ δὲ 9
Νωρία ἀπεκάλυψε τὰς ἄνω δυνάμεις καὶ τὴν ἀπὸ τῶν δυνάμεων
Βαρβηλώ, τὴν ὑπεναντίαν τῷ ἄρχοντι, ὡς καὶ αἱ ἄλλαι δυνάμεις,
καὶ ὑπέφαινεν ὅτι δεῖ τὰ συληθέντα ἀπὸ τῆς ἄνωθεν Μητρὸς διὰ
τοῦ ἄρχοντος τοῦ τὸν κόσμον πεποιηκότος καὶ τῶν ἄλλων τῶν σὺν
αὐτῷ θεῶν τε καὶ ἀγγέλων καὶ δαιμόνων συλλέγειν ἀπὸ τῆς ἐν τοῖς
σώμασι δυνάμεως, διὰ τῆς ἀπορροίας ἀρρένων τε καὶ θηλειῶν.

2. Καὶ ἁπλῶς περικακῶ τὴν πᾶσαν τούτων τοῦ | σκότους πή- 2, 1 D40
ρωσιν ὑποδεῖξαι. πολὺν γὰρ χρόνον ἀναλώσαιμι ἄν, εἰ ἐνταῦθα τὴν
περὶ τούτων γενομένην σύνταξιν ἐθελήσω λεπτολογῆσαι, τὰ ἄτοπα

6 f den sonst unbekannten Namen *barth' enoš* hat Epiph. viell. aus lib. Jubil. 4, 28 Littmann geschöpft, wo Lamechs Frau = Noahs Mutter *bēθēnōs* (Schreibfehler für *barth' enoš*?) heißt — **7** Noah = Deukalion nach Theophilus ad Autol. III 19; S. 232 Otto; vgl. clement. Hom. II 16; S. 26, 3 Lagarde — **19** vgl. dazu oben haer. 21, 2, 5; S. 240, 10ff u. ebenda 4, 1; S. 242, 20ff; Genaueres unten c. 4

V M

1 *ταύτην* *] *τοῦτο* V M | *γὰρ* < M **2** *πῦρ οὐ*] *πυροῦ* M **3** *ἀλλὰ* + *καὶ* V | *γὰρ* < M | *παρ'* M **5** *χρῆσθαι* V **6 f** *βαρθεννῶς* M **7 f** *Δευκαλλίωνος* M **9** *προσφερόμενοι* M **11** *φασὶ* M **12** *φασὶν*, *α* auf Rasur V corr **13** *καὶ πρῶτον — καὶ τρίτον*] dazu am Rand ff *οὐχ ἅπαξ οὐδὲ δὶς ἀλλὰ πολλάκις* V corr **14** *δὴ*] *φησὶν* M_{η} | *ἔτη*] *ἔτι* M **15** *ὑπ' αὐτῆς* nachgetragen V corr < M **16** *φασίν* M **23 f** *πειρωσιν* V *πλήρωσιν* M **24** *ὑποδεικνύων*, *κνύων* auf Rasur V corr *ὑποδεῖξαι* M | *ἐνταῦθα*] *ταῦτα καὶ* M **25** *γενομένην* < V

αὐτῶν τῆς ψευδωνύμου γνώσεως διδάγματα καθ' ἕκαστον ὑφηγούμενος. ἄλλοι δὲ ἐξ αὐτῶν, διαφόρως πάλιν ἐπεντριβόμενοι τάς τε 2
ὄψεις αὐτῶν κρούοντες καὶ περικρουόμενοι, Βαρκαββᾶν τινα προφήτην παρεισάγουσιν, ἄξιον τοῦ αὐτοῦ ὀνόματος. καββᾶ γὰρ ἑρμη- 3
νεύεται πορνεία κατὰ τὴν Συριακὴν διάλεκτον, φονοκτονία δὲ κατὰ τὴν Ἑβραϊκήν, καὶ πάλιν ἑρμηνεύεται τετάρτη μοῖρα τοῦ μέτρου· χλεύης δὲ καὶ γέλωτος τὸ τοιοῦτον, μᾶλλον δὲ σχετλιασμοῦ ἄξιον παρὰ τοῖς τὸ ὄνομα τρῦτο ἐπισταμένοις κατὰ τὰς ἰδίας γλώσσας. φέρουσι δὲ ἡμῖν ἐκ τούτου τοῦ θαυμασιωτάτου προφήτου διήγησιν 4
αἰσχράν, ὅπως φθοριμαίοις σώμασι πλησιάσαι πεισθῶμεν καὶ τῆς ἄνωθεν ἐλπίδος ἐκπέσωμεν, οὐκ αἰσχυνόμενοι αὐτοῖς τοῖς ῥήμασι τὰ τῆς πορνείας διηγεῖσθαι πάλιν ἐρωτικὰ τῆς Κύπριδος ποιητεύματα. ἄλλοι δὲ ἐξ αὐτῶν πάλιν ἐπί|πλαστον εἰσάγουσιν ἀγώγιμόν τι 5 Ö172
ποίημα, ᾧ ποιητεύματι ἐπέθεντο ὄνομα, εὐαγγέλιον τελειώσεως τοῦτο φάσκοντες. καὶ ἀληθῶς οὐκ εὐαγγέλιον τοῦτο, ἀλλὰ πένθος τῆς τελειώσεως. πᾶσα γὰρ ἡ τοῦ θανάτου τελείωσις ἐν | τῇ τοιαύτῃ ὑποσπορᾷ τοῦ P84
διαβόλου ἐμφέρεται. ἄλλοι δὲ οὐκ αἰσχύνονται λέγοντες εὐαγγέλιον 6

3 *Βαρκαββᾶς* als Prophet der Basilidianer bezeugt durch Agrippa Kastor bei Eusebius h. e. IV 7, 7; S. 310, 16ff Schwartz *προφήτας δὲ ἑαυτῷ ὀνομάσαι Βαρκαββαν καὶ Βαρκωφ καὶ ἄλλους ἀνυπάρκτους τινὰς ἑαυτῷ συστησάμενον, βαρβάρους τε αὐτοῖς εἰς κατάπληξιν τῶν τὰ τοιαῦτα τεθηπότων ἐπιφημίσαι προσηγορίας* (Filastrius haer. 33, 6; S. 18, 16ff *addunt etiam prophetas quosdam natos de ea, speciosum nomine et Barcaban* ist wohl Vergröberung des Epiph.) — **5f** die Bemerkung über *καββᾶ* teilweise wiederholt de mens. ac pond. 25; S. 186, 1ff Lagarde — **13ff** vgl. Filastrius haer. 33, 7; S. 18, 18 Marx *alii autem evangelium consummationis et visiones inanes et plenas fallaciae et somnia videre diversa adserunt delirantes* — **17** das Evangelium der Eva nur hier bezeugt; zur Sache vgl. Irenaeus adv. haer. I 30, 7; I 234 Harvey *Mater autem ipsorum argumentata est per serpentem seducere Evam et Adam supergredi praeceptum Jaldabaoth; Eva autem quasi a filio dei hoc audiens facile credidit et Adam suasit manducare de arbore, de qua dixerat deus non manducare. manducantes autem cognovisse eam quae est super omnia virtutem dicunt et abscessisse ab his qui fecerant eos*

V M

1 *αὐτῆς* M | *διδάγματα* + *τὰ* M | *καθ' ἕκαστην* M **4** *αὐτοῦ* *] *αὐτῶν* V M | hinter *καββᾶ* 2—3 Buchstaben radiert V **5f** *φονοκτονία* — *ἑβραϊκὴν* angeflickt V^{corr} < M **7** *δὲ*^{1} < M **8** *ἐπιστ////αμένοις* 3—4 Buchstaben ausradiert V **9** *θαυμασιωτάτου* < M **10** *ὅπως* ////, *ὅ* vorgesetzt u. hinten 1 Buchstabe wegradiert V^{corr} *πῶς τε* M **13** *εἰσάγωσιν* M **14f** *τοῦτο φάσκοντες* durchgestrichen V^{corr} **15** *πένθος* ///// *τελείωσις*, zwischen beiden Worten Rasur von 3 Buchstaben, *ις* auf Rasur V^{corr} **16** *θανάτου*, *θ* u. *τ* auf Rasur V

*Εὔας. εἰς ὄνομα γὰρ αὐτῆς, δῆθεν ὡς εὑρούσης τὸ βρῶμα τῆς γνώσεως ἐξ ἀποκαλύψεως τοῦ λαλήσαντος αὐτῇ ὄφεως, * σπορὰν ὑποτίθενται. καὶ ὥσπερ ἐν ἀστάτῳ γνώμῃ μεθύοντος καὶ παραλαλοῦντος οὐκ ἴσα εἴη τὰ ῥήματα, ἀλλὰ τὰ μὲν γέλωτι πεποιημένα ἕτερα δὲ κλαυθμοῦ ἔμπλεα, οὕτως ἡ τῶν ἀπατεώνων γέγονε κατὰ πάντα τρόπον τῆς κακίας ὑποσπορά.*

3. Ὁρμῶνται δὲ ἀπὸ μωρῶν ὀπτασιῶν καὶ μαρτυριῶν ἐν ᾧ **3, 1**
εὐαγγελίῳ ἐπαγγέλλονται. φάσκουσι γὰρ οὕτως | ὅτι »ἔστην ἐπὶ ὄρους D41
ὑψηλοῦ καὶ εἶδον ἄνθρωπον μακρὸν καὶ ἄλλον κολοβόν, καὶ ἤκουσα ὡσεὶ φωνὴν βροντῆς καὶ ἤγγισα τοῦ ἀκοῦσαι καὶ ἐλάλησε πρός με καὶ εἶπεν· ἐγὼ σὺ καὶ σὺ ἐγώ, καὶ ὅπου ἐὰν ᾖς, ἐγὼ ἐκεῖ εἰμι, καὶ ἐν ἅπασίν εἰμι ἐσπαρμένος. καὶ ὅθεν ἐὰν θέλῃς, συλλέγεις με, ἐμὲ δὲ συλλέγων ἑαυτὸν συλλέγεις«. *καὶ ὦ τῆς τοῦ διαβόλου ὑποσπορᾶς. πόθεν τὸν νοῦν* **2**
ἐξέτρεψε τῆς ἀνθρωπότητος καὶ εἰς μωρὰ καὶ ἀσύστατα περιέσπασεν ἀπὸ τοῦ λόγου τῆς ἀληθείας; οὐκ ἔστι γὰρ σχεδὸν τῷ νοῦν ἔχοντι χρεία ἀπὸ γραφῆς ἢ ἀπὸ παραδειγμάτων ἢ ἑτέρου τινὸς πράγματος ποιεῖσθαι τούτων τὴν ἀνατροπήν. τῷ γὰρ ὀρθῷ λογισμῷ εὔδηλος αὐτῶν καὶ φωρατὴ ἡ τῆς μωρολογίας δραματουργία καὶ μοιχῶν ἐργασία. ταῦτά τοι καὶ τὰ τοιαῦτα εἰσηγούμενοι οἱ ἀμφὶ τὴν **3**

8 ff vgl. unten S. 287, 10f, dazu Hippolyt refut. V 6, 4; S. 78, 6 Wendland (die Naassener) *τιμῶσιν ἄνθρωπον καὶ υἱὸν ἀνθρώπου* u. das Apokryphon Johannis (C. Schmidt in der Philotesia für P. Kleinert S. 324) »*Es blickte gar sehr die Barbelo in ihn, das reine Licht hinein u. wandte sich hin zu ihm u. gebar einen seligen Lichtspinther: er war aber in der Größe ihr nicht gleich. Dies ist der μονογενής, der sich dem Vater offenbart hat, der αὐτογένητος-Gott, der erstgeborene Sohn des Alls von dem Geiste des reinen Lichts*« ebenda S. 327 »*die zwölf Äonen, die stehen bei dem Kinde, dem großen αὐτογενέτωρ Christus*« — **11 f** vgl. unten S. 286, 22 u. Oxyrhynchuslogion 1; I 9, 23 ff Grenfell-Hunt *λέγει Ἰησοῦς· ὅπου ἐὰν ὦσιν δύο, οὐκ εἰσὶν ἄθεοι καὶ ὅπου εἷς ἐστιν μόνος, λέγω· ἐγώ εἰμι μετ' αὐτοῦ· ἔγειρον τὸν λίθον κἀκεῖ εὑρήσεις με. σχίσον τὸ ξύλον κἀγὼ ἐκεῖ εἰμί* Irenaeus adv. haer. I, 13, 3; I 118 Harvey *ἵνα ἔσῃ ὃ ἐγὼ καὶ ἐγὼ ὃ σύ* Pistis Sophia c. 96; S. 148, 18 Schmidt *ich bin sie u. sie sind ich* Dieterich Abraxas S. 196, 17 *σὺ γὰρ εἶ ἐγὼ καὶ ἐγὼ σύ*; die hermetischen Stellen bei Reitzenstein Poimandres S. 21 vgl. S. 236 ff

V M

1 *βρῶμα, βρ* V corr | *γνώσεως* + *ὡς* M **2** * etwa ⟨*τὴν κακόβλαστον αὐτῶν*⟩ *, vgl. haer. 31, 1, 6; 32, 1, 1; 66, 32, 1 **3** *καὶ*[2] *ἡ* M **3 f** *ἴσα εἴη*] *ἴσασιν* M **6** vor *ὑποσπορὰ* noch einmal *ἡ* hineingeflickt V corr **7** *μαρτυριῶν καὶ ὀπτασιῶν* V **11** *καὶ ἐγὼ — σὺ ἐγώ* noch einmal wiederholt V **14** *ἐξέστρεψε* M | *μω///ρά*, ein Buchstabe ausradiert V **15** *ἔστι*] *ἔτι* M **17** *τούτω* V **19** *εἰσ///ηγούμενοι*, 2 Buchstaben ausradiert V *ἐξηγούμενοι* M

γνῶσιν συνεζευγμένοι τῇ τοῦ Νικολάου αἱρέσει τῆς ἀληθείας ἐκπεπτώκασιν, οὐ μόνον τὸν νοῦν τῶν πεισθέντων αὐτοῖς ἐκτρέψαντες, ἀλλὰ καὶ τὰ σώματα καὶ τὰς ψυχὰς δουλώσαντες πορνείᾳ καὶ πολυμιξίᾳ· αὐτὴν δῆθεν τὴν σύναξιν αὐτῶν ἐν αἰσχρότητι πολυμιξίας φύροντες, ἔσθοντές τε καὶ παραπτόμενοι καὶ ἀνθρωπίνων σαρκῶν καὶ ἀκαθαρσιῶν. ὧν οὐ τολμήσω τὸ πᾶν ἐξειπεῖν, εἰ μή τι ἀναγκασθείην διὰ τὴν ὑπερβολὴν τῆς ἐν ἐμοὶ ἀλγούσης διανοίας περὶ τῶν ματαίως ὑπ' αὐτῶν γινομένων, ἐκπληττόμενος εἰς οἷον ὄγκον καὶ κακῶν βυθὸν ὁ ἐχθρὸς τῶν ἀνθρώπων διάβολος ἄγει τοὺς αὐτῷ πειθομένους, ὥστε μιᾶναι καὶ νοῦν καὶ καρδίαν καὶ χεῖρας καὶ στόματα καὶ σώματα καὶ ψυχὰς τούτων | τῶν ὑπ' αὐτοῦ ἐν τῇ τοσαύτῃ P85
σκοτώσει παγιδευθέντων. δέδια δὲ μή πη ἄρα τὸν μέγαν τοῦτον 5
ὅλον ἰὸν ἀποκαλύ|ψαιμι, ὥσπερ βασιλίσκου τινὸς ὄφεως τὸ πρόσω- Ö174
πον, εἰς λύμην μᾶλλον τῶν ἐντυγχανόντων ἢπερ εἰς διόρθωσιν.
χραίνει μὲν γὰρ τὰ ὦτα ἀληθῶς ἡ τῆς μεγάλης τόλμης βλάσφημος
συναγωγὴ καὶ | τῆς αἰσχρότητος αὐτῆς συλλογή τε καὶ διήγησις καὶ ἡ D42
τῆς ἀγυρτώδους αἰσχρουργίας βορβορώδης κακόνοια, ὡς καὶ παρά 6
τισι φύσει Βορβοριανοὶ καλοῦνται, ἕτεροι δὲ Κοδδιανοὺς αὐτοὺς ἐπιφημίζουσι (κοδδὰ γὰρ λέγεται κατὰ τὴν Συριακὴν διάλεκτον παροψὶς
ἢ τρυβλίον), ἀπὸ τοῦ μὴ δύνασθαί τινας μετ' αὐτῶν ἐσθίειν, κατ'
ἰδίαν δὲ τοῖς μεμιαμμένοις δίδοσθαι τὰ βρώματα καὶ μή τινα δύνασθαι σὺν αὐτοῖς διὰ τὸν μολυσμὸν κἂν ἄρτον συνεσθίειν· διά τοι 7
τοῦτο ἀφωρισμένους τούτους ἡγούμενοι οἱ συμμέτοικοι Κοδδιανοὺς
ἐπωνόμασαν. οἱ αὐτοὶ δὲ ἐν Αἰγύπτῳ Στρατιωτικοὶ καλοῦνται καὶ
Φιβιωνῖται, ὡς ἄνω μοι ἐν μέρει λέλεκται· τινὲς δὲ αὐτοὺς Ζακχαίους
καλοῦσιν, ἄλλοι δὲ Βαρβηλίτας. ὅμως οὐδὲ παρελθεῖν δυνήσομαι, 8
ἀλλὰ ἀναγκάζομαι ἐξειπεῖν. ἐπειδὴ ⟨γὰρ⟩ καὶ ὁ ἅγιος Μωυσῆς ἀπὸ

24f vgl. oben Anaceph. 26, 1; S. 235, 18ff

V M

3 *τὰς ψυχὰς καὶ τὰ σώματα* M **4** nach *αὐτὴν* ein *γὰρ* eingeflickt u. das darauffolgende *ἤδηθεν* durchgestrichen Vcorr **5** *φύροντες* *] *φύρουσιν, ουσιν* auf Rasur Vcorr *φυραθέντες* M **6** *ὧν* *] *ὡς* V M | *οὔτε* V **8** *ματαίων* M | *καὶ* < M **9** *αὐτῶν* M **12** *που* M **13** *ὅλον* am Zeilenende angeflickt Vcorr **16** *αὐτῆς*] *αὕτη////*, ein Buchstabe wegradiert Vcorr **17** *ὡς καὶ* < M **18** *τισι* + *δὲ* M **22f** *διά τοι τοῦτο* aus *διὰ τοιοῦτο* Vcorr **23** *ἀφορισμένους* M | *συμμέτοικοι* aus *συνετοὶ* hergestellt Vcorr *συνετοὶ* M **24** *οἱ //// αὐτοὶ δὲ*, 2 Buchstaben hinter *αὐτοὶ* ausradiert V *οἱ δὲ αὐτοὶ δὲ* M **26** *ἐπεὶ* hinter *ὅμως* hineingeflickt Vcorr **27** *ἀλλὰ* zu *ὅλα* verändert Vcorr | *⟨γὰρ⟩* *

πνεύματος ἁγίου ἐμφορούμενος γράφει ὅτι »ἐάν τις ἴδῃ φόνον καὶ μὴ ἀναγγείλῃ, ἐπικατάρατος ὁ τοιοῦτος εἴη«, οὐ δύναμαι τοῦτον τὸν μέγαν φόνον καὶ τὴν μεγάλην ταύτην φονώδη ἐργασίαν παρελθεῖν καὶ οὐχὶ δηλῶν δηλῶσαι. δηλώσας γὰρ τάχα τοῖς συνετοῖς τὸ πτῶμα 9
τοῦτο, ὥσπερ τὸ »φρέαρ τῆς ἀπωλείας«, φόβον καὶ φρῖξιν ἐμποιήσω εἰς τὸ μὴ μόνον ἀποδρᾶναι τοὺς συνετούς, ἀλλὰ καὶ καταλιθάσαι τὸν ἐν τῷ βαράθρῳ τοῦτον σκολιὸν ὄφιν καὶ βασιλίσκον εἰς τὸ μηδὲ πλησιάσαι τινὰ τολμᾶν. καὶ ταῦτα μὲν ἤδη περὶ αὐτῶν εἰρημένα ὀλίγα τινὰ ὄντα ἐν μέρει τετάχθω.

4. *Παρελεύσομαι δὲ εἰς τὸν οἶκον τοῦ βυθοῦ τῆς θανατώδους* 4, 1
αὐτῶν διηγήσεως (διάφορος γὰρ παρ' αὐτοῖς ἡ τῆς ἡδονῆς αὐτῶν κακοδιδασκαλία), ὅτι πρῶτον μὲν κοινὰς τὰς ἑαυτῶν γυναῖκας ἔχουσι. καὶ εἴ τις ξένος παραγένοιτο τοῦ αὐτῶν δόγματος, σημεῖόν ἐστι παρ' 2
αὐτοῖς ἀνδρῶν πρὸς γυναῖκας καὶ γυναικῶν πρὸς ἄνδρας, | ἐν τῷ P86
ἐκτείνειν τὴν χεῖρα, δῆθεν εἰς ἀσπασμόν, ὑποκάτωθεν τῆς παλάμης ψηλάφησίν τινα γαργαλισμοῦ ἐμ|ποιεῖν, διὰ τούτου ὑποφαίνοντες ὡς D43
τῆς αὐτῶν θρησκείας ἐστὶν ὁ παραγενόμενος. ἐντεῦθεν λοιπὸν ἐπι- 3
γνόντες ἀλλήλους τρέπονται εὐθὺς εἰς ἑστίασιν· δαψιλῆ δὲ τὰ ἐδέ-σματα κρεοφαγίας καὶ οἰνοποσίας παρατιθέασι, κἂν τε πένητες εἶεν. ἐκ τούτου δὲ συμποσιάσαντες καὶ ὡς ἔπος εἰπεῖν τὰς φλέβας τοῦ κόρου ἐμπλήσαντες ἑαυτῶν εἰς οἶστρον τρέπονται. καὶ ὁ μὲν ἀνὴρ 4
τῆς γυναικὸς ὑποχωρήσας φάσκει λέγων τῇ ἑαυτοῦ γυναικὶ ὅτι »ἀνά-στα, ποίησον τὴν ἀγάπην μετὰ τοῦ ἀδελφοῦ«. οἱ δὲ τάλανες μιγέν-τες ἀλλήλοις καί, ὡς ἐπὶ ἀληθείας αἰσχύνομαι εἰπεῖν τὰ παρὰ τοῖς αὐτοῖς αἰσχρὰ πραττόμενα (ὅτι κατὰ τὸν ἅγιον ἀπόστολον τὰ παρ' αὐτοῖς γινόμενα »αἰσχρόν ἐστι καὶ λέγειν«), ὅμως οὐκ αἰσχυνθῶ λέγειν

1 wo? — **5** vgl. Apok. 9, 1 — **13 ff** über Erkennungszeichen der Mysten vgl. Firmicus Mat. c. 18; S. 102, 13 ff Halm — **22 ff** zu *ἀγάπη* vgl. Hippolyt refut. VI 19, 5; S. 146, 13 (bei den Simonianern) *ἀλογίστως φάσκοντες δεῖν μίγνυσθαι, λέγοντες· πᾶσα γῆ γῆ καὶ οὐ διαφέρει ποῦ τις σπείρει, πλὴν ἵνα σπείρῃ, ἀλλὰ καὶ μακαρίζουσιν ἑαυτοὺς ἐπὶ τῇ (ξένῃ) μίξει, ταύτην εἶναι λέγοντες τὴν τελείαν ἀγάπην* — **26** Ephes. 5, 12

V M

2 *ὁ τοιοῦτος* < M | vor *οὐ δύναμαι* hineingeflickt *δι' ὅπερ* V corr **3** am Schluß von *φονώδη* ein *ν* angeflickt V **4** *πτῶμα* U] *στόμα* V M **6** *καὶ* oben drüber V corr **7** *βαράθρῳ*] *βόθρῳ* M **12** *διδασκαλία* M **14** vor *ἐν τῷ* + ⟨*τὸ*⟩? * **16** *γαργαρισμοῦ* V | *ὑποφαίνοντος* M **17** *παραγινόμενος* M **20** *δὲ* oben hineingeflickt V corr | *ὡς ἔπος εἰπεῖν*, am Rande nachgetragen V corr < M **24 f** *παρ' αὐτοῖς* M **25** *ὅτι* vor *κατὰ τὸν ἅγιον ἀπόστολον* *] nachgestellt V M **25 f** *παρ' αὐτοῖς* + *τοῖς* M

ἃ αὐτοὶ ποιεῖν οὐκ αἰσχύ|νονται, ἵνα κατὰ πάντα τρόπον φρῖξιν Ö176
ἐργάσωμαι τοῖς ἀκούουσι τὰ παρ' αὐτῶν τολμώμενα αἰσχρουργήματα
— μετὰ γὰρ τὸ μιγῆναι πάθει πορνείας πρὸς ἐπὶ τούτοις ἀνατεί- 5
νοντες τὴν ἑαυτῶν βλασφημίαν εἰς οὐρανὸν δέχεται μὲν τὸ γύναιον
καὶ ὁ ἀνὴρ τὴν ῥύσιν τὴν ἀπὸ τοῦ ἄρρενος εἰς ἰδίας αὐτῶν χεῖρας
καὶ ἵστανται εἰς οὐρανὸν ἀνανεύσαντες, ἐπὶ χεῖρας δὲ ἔχοντες τὴν
ἀκαθαρσίαν καὶ εὔχονται δῆθεν, οἱ μὲν Στρατιωτικοὶ καλούμενοι καὶ 6
Γνωστικοί, τῷ πατρὶ φύσει τῶν ὅλων προσφέροντες αὐτὸ τὸ ἐπὶ
ταῖς χερσί, καὶ λέγουσιν »ἀναφέρομέν σοι τοῦτο τὸ δῶρον, τὸ σῶμα
τοῦ Χριστοῦ«. καὶ οὕτως αὐτὸ ἐσθίουσι μεταλαμβάνοντες τὴν ἑαυ- 7
τῶν αἰσχρότητα καί φασι »τοῦτό ἐστι τὸ σῶμα τοῦ Χριστοῦ καὶ
τοῦτό ἐστι τὸ πάσχα, δι' ὃ πάσχει τὰ ἡμέτερα σώματα καὶ ἀναγκά-
ζεται ὁμολογεῖν τὸ πάθος τοῦ Χριστοῦ«. ὡσαύτως δὲ καὶ τὸ ἀπὸ 8
τῆς γυναικός, ὅταν γένηται αὐτὴν γενέσθαι ἐν ῥύσει τοῦ αἵματος, τὸ
καταμήνιον συναχθὲν ἀπ' αὐτῆς αἷμα τῆς ἀκαθαρσίας ὡσαύτως λα-
βόντες κοινῇ ἐσθίουσι. καὶ »τοῦτο, φασίν, ἐστὶ τὸ αἷμα τοῦ Χρι-
στοῦ«. | 5. διὸ καὶ ἐν ἀποκρύφοις ἀναγινώσκοντες ὅτι »εἶδον δένδρον 5, 1 D44
φέρον δώδεκα καρποὺς τοῦ ἐνιαυτοῦ καὶ εἶπέν μοι τοῦτό ἐστι τὸ
ξύλον τῆς ζωῆς«, αὐτοὶ ἀλληγοροῦσιν εἰς τὴν κατὰ μῆνα γινομένην
γυναικείαν ῥύσιν.

Μισγόμενοι | δὲ μετ' ἀλλήλων τεκνοποιίαν ἀπαγορεύουσιν. οὐ 2 P87
γὰρ εἰς τὸ τεκνοποιῆσαι παρ' αὐτοῖς ἡ φθορὰ ἐσπούδασται ἀλλ' ἡδο-
νῆς χάριν, τοῦ διαβόλου ἐμπαίζοντος τοῖς τοιούτοις καὶ καταχλευά-
ζοντος τὸ ἐκ θεοῦ πλάσμα πεπλασμένον. ἀλλὰ τὴν μὲν ἡδονὴν ἐπι- 3
τελοῦσιν, εἰς ἑαυτοὺς δὲ ἀπολαμβάνουσι τὰ τῆς ἀκαθαρσίας αὐτῶν

3 ff frei wiedergegeben bei Oecumenius comm. in ep. Jud. Migne PG 119, 712 C ff — Scharfe Verurteilung dieses Brauchs Pistis Sophia c. 147; S. 251, 14 ff Schmidt Buch Jeû c. 43; S. 304, 17 Schmidt — **17** *ἐν ἀποκρύφοις* bezieht sich nicht auf ein gnostisches Apokryphon — der Ausdruck *ἀναγινώσκειν ἐν* zusammen mit dem folgenden *ἀλληγοροῦσι* setzt vielmehr eine allgemein zugängliche Schrift voraus —, sondern meint die Johannesapokalypse; vgl. haer. 51, 3, 4 *ἀπόκρυφον μὴ δεχόμενοι διὰ τὰ ἐν τῇ Ἀποκαλύψει βαθέως καὶ σκοτεινῶς εἰρημένα* u. haer. 77, 36, 6 *ὅτι παρὰ πλείστοις*(!) *ἐστὶν ἡ βίβλος πεπιστευμένη καὶ παρὰ τοῖς θεοσεβέσιν δῆλον.* Die freie Gestaltung des Citats ist bei Epiph. nicht auffallend — vgl. Apok. 22, 2

V M

1 *ἵνα*] *ὅτι* M **2** *τολμώμενα*] *λεγόμενα* V **3** *πάθ*////, *η* ausradiert, aber nicht ersetzt V **7** *μὲν* < M **8** *φύσει* *] *φασὶν* V *φησὶ* M **11** *αἰσχρότητα*] am Rande ff *ἀκαθαρσίαν* V corr **15** *καταμηνιαῖον* M | *ἀπ' αὐτῆς* *] *αὐτῇ* V *ὑπ' αὐτῆς* M **19** *κατὰ μῆνα*] *καταμηνιαίαν* M **21** *τεκνοποι*///*ίαν*, *ί* aus *εί* V *τεκνοποιεῖν* M **22** *ἐσπούδασται* < M

σπέρματα, μὴ εἰς τεκνογονίαν καταβαλλόμενοι, ἀλλ' αὐτοὶ τὸ τῆς
αἰσχρότητος ἔσθοντες. ἐὰν δὲ καὶ προληφθῇ τις αὐτῶν ἐγκατα- 4
σπεῖραι τὴν καταβολὴν τῆς κατὰ φύσιν [αὐτῶν] ἀπορροίας καὶ ἐγκυ-
μονήσῃ ἡ γυνή, τί δεινότερον τολμῶσιν οἱ τοιοῦτοι ἄκουε. κατα- 5
σπάσαντες γὰρ τὸ ἔμβρυον καιρῷ οἵῳ δἂν ἐπιχειρήσωσι, λαμβά-
νουσιν ἐκτρωθὲν τοῦτο τὸ βρέφος καὶ ἐν ὅλμῳ τινὶ κόπτουσιν ὑπέρῳ,
καὶ ἐγκαταμίξαντες μέλι καὶ πέπερι καὶ ἄλλα τινὰ ἀρώματα καὶ μύρα
πρὸς τὸ μὴ ναυτιᾶν αὐτοὺς οὕτως συναχθέντες πάντες οἱ τῆς τῶν
χοίρων τούτων καὶ κυνῶν * θιασῶται μεταλαμβάνουσιν ἕκαστος τῷ
δακτύλῳ ἀπὸ τοῦ κατακοπέντος παιδίου. καὶ οὕτως τὴν ἀνθρωπο- 6
βορίαν ἀπεργασάμενοι εὔχονται λοιπὸν τῷ θεῷ, ὅτι οὐκ ἐνεπαίχθημεν,
φησίν, ἀπὸ τοῦ ἄρχοντος τῆς ἐπιθυμίας, ἀλλὰ συνελέξαμεν τὸ παράπ-
τωμα τοῦ ἀδελφοῦ. καὶ δῆθεν τοῦτο τὸ τέλειον πάσχα ἡγοῦνται.

ἄλλα δὲ ὅσα δεινὰ αὐτοῖς τετόλμηται. ὅταν γὰρ πάλιν ἐμμανεῖς 7
ἐν ἑαυτοῖς γένωνται, φύραντες ἑαυτῶν τὰς χεῖρας τῇ ἑαυτῶν αἰσχρό-
τητι τῆς ἀπορροίας ἐγείρονται καὶ τὰς ἑαυτῶν μεμολυσμένας ἔχοντες
χεῖρας εὔχονται γυμνοὶ ὅλῳ τῷ σώματι, | ὡς διὰ τῆς τοιαύτης ἐργα- Ö178
σίας * εὑρίσκειν πρὸς θεὸν τὴν παρρησίαν. τὰ σώματα δὲ αὐτῶν 8
νύκτωρ τε καὶ μεθ' ἡμέραν τη|μελοῦσι, γυναικάρια καὶ ἀνθρωπάρια. D45
μυριζόμενοι λουόμενοι θοιναζόμενοι, κοίταις τε καὶ μέθαις σχολά-
ζοντες. καὶ καταρῶνται τὸν νηστεύοντα, λέγοντες, οὐ δεῖ νηστεύειν·
τοῦ γὰρ ἄρχοντος τούτου τοῦ ποιήσαντος τὸν αἰῶνά ἐστιν ἡ νη-
στεία. δεῖ δὲ τρέφεσθαι εἰς τὸ τὰ σώματα εἶναι ἰσχυρά, εἰς τὸ δύνα-
σθαι τὸν καρπὸν ἀποδιδόναι κατὰ καιρὸν αὐτοῦ.

6. Χρῶνται δὲ καὶ παλαιᾷ καὶ καινῇ διαθήκῃ, ἀπαγορεύουσι δὲ 6, 1
τὸν λαλήσαντα ἐν τῇ παλαιᾷ διαθήκῃ. καὶ ὅταν μὲν ῥῆμα εὕρωσί
τι κατ' αὐτῶν δυνάμενον ἔχειν τὸν νοῦν, φασίν, ὅτι τοῦτο ἀπὸ τοῦ
πνεύματος τοῦ κοσμικοῦ λελάληται· | ἐὰν δέ τις εἰς ὁμοίωσιν τῆς 2 P88

13 τέλειον πάσχα, vgl. τελεία ἀγάπη in der zu S. 280, 22ff angeführten Hippolytstelle — **23f** vgl. Psal. 1, 3 u. unten S. 285, 9ff

V M

2 αἴσθοντες, ε Vcorr ἐσθίοντες M | προλη|||φθῇ, μ ausradiert V | αὐτῶν am Rande nachgetragen Vcorr **3** [αὐτῶν] * **6** ἐκτρωθὲν am Rande nachgetragen Vcorr < M | ὑπέρι M **7** ἐμπαραμίξαντες M | πίπερι M **9** * etwa ⟨ἀγέλης⟩ * **10** οὕτω M **11** ἐνεπηχθημεν, αι Vcorr **15f** τῆς ἑαυτῶν αἰσχρότητος τῇ ἀπορροίᾳ aus τῇ ἑαυτῶν αἰσχρότητι τῆς ἀπορροίας hergestellt Vcorr **16** μεμολυμμένας M **16f** χεῖρας ἔχοντες V **18** * etwa ⟨δυνάμενοι⟩ * | δὲ] δι' M **19** τημελοῦσι] τῇ μελλούσει M **22** τοῦ² < M

αὐτῶν ἐπιθυμίας δυνηθείη σχηματίζεσθαι λόγος, οὐχ ὡς ἔστι τὸ ῥῆμα, ἀλλ' ὡς ἔχει ὁ αὐτῶν ἠπατημένος νοῦς, τοῦτον μετασκευάζοντες εἰς τὴν ἑαυτῶν ἐπιθυμίαν φάσκουσιν ἐκ τοῦ πνεύματος τοῦ τῆς ἀληθείας λελαλῆσθαι. καὶ τοῦτό ἐστι, φησίν, ὃ εἶπεν ὁ κύριος 3
περὶ Ἰωάννου »τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;« ὅτι οὐκ ἦν, φησί, τέλειος ὁ Ἰωάννης· ἐνεπνέετο γὰρ ὑπὸ πολλῶν πνευμάτων κατὰ τὸν κάλαμον τὸν ἐπὶ ἑκάστῳ ἀνέμῳ κινούμενον. καὶ ὅτε μὲν ἤρχετο τὸ πνεῦμα τοῦ ἄρχοντος, 4
Ἰουδαϊσμὸν ἐκήρυττεν· ὅτε δὲ τὸ πνεῦμα τὸ ἅγιον, περὶ Χριστοῦ ἐλάλει. καὶ τοῦτό ἐστι, φησίν, ὅτι »ὁ μικρότερος ἐν τῇ βασιλείᾳ ⟨καὶ τὰ ἑξῆς⟩«. περὶ ἡμῶν, φησίν, εἶπεν, ὅτι ὁ ἐν ἡμῖν μικρότερος μείζων αὐτοῦ ὑπάρχει.

7. Καὶ εὐθὺς ἐπιστομίζονται οἱ τοιοῦτοι ἀπ' αὐτῆς τῆς ἀληθείας. 7, 1
ἐκ γὰρ τῶν συνεζευγμένων ἑκάστη λέξει ἀναφανδὸν ἡ ἀλήθεια δειχθήσεται καὶ τὸ ἐχέγγυον τῆς φράσεως ἀποδοθήσεται. εἰ μὲν γὰρ ὁ 2
Ἰωάννης μαλακὰ ἡμφίεστο καὶ ἐν οἴκοις βασιλέων ὑπῆρχεν, ὀρθὴ ἂν πρὸς αὐτὸν ἡ λέξις καὶ εὐθεῖα πρὸς ἔλεγχον τοῦ αὐτοῦ ὑπῆρχεν· εἰ δὲ ⟨λέγει⟩ »τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον | ἐν μαλακοῖς ἱματίοις D46
ἠμφιεσμένον;« καὶ οὐχ οὕτως εἶχεν, οὐκέτι τὸ ἔγκλημα ἐπὶ τὸν οὐ μαλακὰ φοροῦντα Ἰωάννην τοῦ λόγου ἐπενεκτέον, ἀλλὰ ἐπὶ τοὺς οὕτως εὑρήσειν τὸν Ἰωάννην νομίσαντας καὶ ὑπὸ τῶν ἔνδον ἐν οἴκοις βασιλέων πολλάκις κατὰ ὑπόκρισιν κολακευομένους ἡ ἀναγωγή. ἐνόμιζον γὰρ οὗτοι ἐξερχόμενοι καὶ παρὰ Ἰωάννῃ ἐπαίνους εὑρίσκειν 3
καὶ μακαρισμοὺς ἐπὶ τοῖς ὑπ' αὐτῶν καθ' ἑκάστην ἡμέραν γινομένοις παραπτώμασιν. ὡς δὲ οὐχ ηὗρον, ἀνατρεπτικῶς παρὰ τοῦ σωτῆρος 4
πρὸς αὐτοὺς εἴρηται ὅτι »τί ἐνομίζετε εὑρίσκειν; συμπεριφερόμενον τοῖς ὑμῶν πάθεσιν ἄνθρωπον, ὡς | κατὰ τοὺς μαλακὰ φοροῦντας; Ö180
οὐχ οὕτως· οὐ γάρ ἐστιν Ἰωάννης κάλαμος σαλευόμενος γνώμαις ἀνθρώπων, ὡς δονούμενος κάλαμος ὑπὸ ἑκάστης ἀνέμων ἐξουσίας«

5 Matth. 11, 7 — **10** Matth. 11, 11

G M

2 ἔχει am Rande nachgetragen V^{corr} **3** πνός, ν aus ρ hergestellt V^{corr} πατρὸς M | τοῦ^{2} < M **4** φασίν M **6** φασί M | ἐνεπνέ///ετο, 1 Buchstabe ausradiert V **11** ⟨καὶ τὰ ἑξῆς⟩ * **13** ἀποστομίζονται M **14** ἡ < M **18** ⟨λέγει⟩ * | ἐξήλθετε, ε auf Rasur V^{corr} **22** κατὰ] καὶ M | ἡ ἀναγωγὴ durchgestrichen V^{corr} **24** ἐπὶ] ὑπὸ V **25** οὐχ, χ auf Rasur V **26** εἴρηται πρὸς αὐτοὺς M **29** ἀνέμων *] ἀνθρώπων V M | ἐξουσίας] am Rande π^{2} ὑποκρίσεως καὶ ἀπάτης V^{corr}

ἐπειδὴ δὲ εἶπεν »ἐν γεννητοῖς γυναικῶν οὐκ ἔστι μείζων Ἰωάν- 5
νου«, ἵνα μή τινες νομίσωσι καὶ αὐτοῦ τοῦ σωτῆρος μείζονα εἶναι
τὸν Ἰωάννην, | ὅτι καὶ αὐτὸς ἀπὸ γυναικὸς ἐγεννήθη τῆς Μαρίας P89
τῆς ἀειπαρθένου διὰ πνεύματος ἁγίου, ἀσφαλιζόμενος ἡμᾶς ἔφη ὅτι
ὁ μικρότερος αὐτοῦ, τουτέστιν ἐν τῷ χρόνῳ τῆς ἐνσάρκου παρουσίας,
μείζων αὐτοῦ ἐστιν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. ἐπειδὴ γὰρ μετὰ 6
*ἑξάμηνον ἐγεννήθη ὁ σωτὴρ τῆς Ἰωάννου γεννήσεως, δῆλον ὅτι *,*
μείζων αὐτοῦ ὤν· ἦν γὰρ ἀεὶ καὶ ἔστιν. τίνι δὲ τοῦτο οὐ δῆλόν ἐστιν;
ἆρα γοῦν ματαίως τὰ πάντα παρ' αὐτοῖς πεποιήτενται, ἀπὸ ἀγαθῶν
εἰς φαῦλα μεταβεβλημένα.

8. Καὶ τὰ μὲν βιβλία αὐτῶν πολλά. ἐρωτήσεις γάρ τινας Μα- 8, 1
ρίας ἐκτίθενται, ἄλλοι δὲ εἰς τὸν προειρημένον Ἰαλδαβαὼθ εἰς ὄνομα
τε τοῦ Σὴθ πολλὰ βιβλία ὑποτίθενται· ἀποκαλύψεις δὲ τοῦ Ἀδὰμ
ἄλλα λέγουσιν, εὐαγγέλια δὲ ἕτερα εἰς ὄνομα τῶν μαθητῶν συγγρά-
ψασθαι τετολμήκασιν, αὐτὸν δὲ τὸν σωτῆρα ἡμῶν καὶ κύριον Ἰησοῦν
Χριστὸν οὐκ αἰσχύνονται λέγειν ὅτι αὐτὸς | ἀπεκάλυψε ταύτην τὴν D47
αἰσχρουργίαν. ἐν γὰρ ταῖς ἐρωτήσεσι Μαρίας καλουμέναις μεγάλαις 2
(εἰσὶ γὰρ καὶ μικραὶ αὐτοῖς πεπλασμέναι) ὑποτίθενται αὐτὸν αὐτῇ
ἀποκαλύπτειν, παραλαβόντα αὐτὴν εἰς τὸ ὄρος καὶ εὐξάμενον καὶ
ἐκβαλόντα ἐκ τῆς πλευρᾶς αὐτοῦ γυναῖκα καὶ ἀρξάμενον αὐτῇ ἐγκα-
ταμίγνυσθαι, καὶ οὕτως δῆθεν τὴν ἀπόρροιαν αὐτοῦ μεταλαβόντα
δεῖξαι ὅτι »δεῖ οὕτως ποιεῖν, ἵνα ζήσωμεν«, καὶ ὡς τῆς Μαρίας ταραχ- 3
θείσης καὶ πεσούσης χαμαὶ αὐτὸν πάλιν αὐτὴν ἐγείραντα εἰπεῖν αὐτῇ
»ἵνα τί ἐδίστασας, ὀλιγόπιστε;« καί φασιν ὅτι τοῦτό ἐστι τὸ εἰρη- 4

1 Matth. 11, 11 — **11 ff** *ἐρωτήσεις Μαρίας*, gemeint ist Maria Magdalena; ein Buch dieses Titels ist bis jetzt noch nicht aufgefunden vgl. C. Schmidt, Koptisch-gnostische Schriften S. XVIII u. Philotesia für P. Kleinert S. 318 — *Ἰαλδαβαὼθ* vgl. haer. 25, 3, 5; S. 270, 11 f — *Σὴθ* vgl. haer. 39, 5, 1 (Sethianer) *βίβλους δέ τινας συγγράφοντες ἐξ ὀνόματος μεγάλων ἀνδρῶν, ἐξ ὀνόματος μὲν Σὴθ ἑπτὰ λέγοντες εἶναι βίβλους* u. haer. 40, 7, 4 (Archontiker) *ᾧ δὴ καὶ βίβλους τινὰς ἐξετύπωσαν εἰς ὄνομα αὐτοῦ τοῦ Σὴθ γεγραμμένας, παρ' αὐτοῦ αὐτὰς δεδόσθαι λέγοντες, ἄλλας δὲ εἰς ὄνομα αὐτοῦ καὶ τῶν ἑπτὰ υἱῶν αὐτοῦ* — *Ἀδὰμ*, Adamapokalypsen nur hier bezeugt — **24** vgl. Matth. 14, 31; dazu das Apokryphon Johannis (C. Schmidt in Philotesia für P. Kleinert S. 319) »*Johannes weswegen zweifelst du . . . doch sei nicht kleingläubig*«

V M

3 zu *αὐτὸς* am Rande nachgetragen *ὁ σωτὴρ* Vcorr | *ἀπὸ* *] *ὑπὸ* V M **5** *ἐν* < V **7** * etwa ⟨*μικρότερος αὐτοῦ ἐφαίνετο*⟩ * **8** *ὤν*] *ἦν* M | *οὐ τοῦτο* M | *εὔδηλον* M **10** *μεταπεποιημένα* M **13** *τε* *] *δὲ* V M **14** *ἄλλας* V; lies wohl *ἄλλοι φέρουσιν* * **21** *μεταλαβόντα*, *μετα* oben drüber Vcorr **22** *δεῖ* oben drüber Vcorr **24** vor *τοῦτο* + *καὶ* V

μένον ἐν τῷ εὐαγγελίῳ, ὅτι »εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, τὰ ἐπουράνια πῶς πιστεύσετε;« καὶ τό »ὅταν ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀνερχόμενον ὅπου ἦν τὸ πρότερον«, τουτέστιν τὴν ἀπόρροιαν μεταλαμβανομένην ὅθεν καὶ ἐξῆλθεν, καὶ τὸ εἰπεῖν 5
»ἐὰν μὴ φάγητέ μου τὴν σάρκα καὶ πίητέ μου τὸ αἷμα« καὶ τῶν μαθητῶν ταρασσομένων καὶ λεγόντων »τίς δύναται τοῦτο ἀκοῦσαι;« φασὶν ὡς περὶ τῆς αἰσχρότητος ἦν ὁ λόγος. διὸ καὶ ἐταράχθησαν 6
καὶ ἀπῆλθον εἰς τὰ ὀπίσω· οὔπω γὰρ ἦσαν, φησίν, ἐν πληρώματι ἐστερεωμένοι. καὶ τὸ εἰπεῖν τὸν Δαυίδ »ἔσται ὡς τὸ ξύλον τὸ 7
πεφυτευμένον παρὰ | τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ Ö182
δώσει ἐν καιρῷ αὐτοῦ« | περὶ τῆς αἰσχρότητος τοῦ ἀνδρός, φησί, P90
λέγει. »ἐπὶ τὴν ἔξοδον τῶν ὑδάτων« καί »ὃ τὸν καρπὸν αὐτοῦ δώσει« τὴν τῆς ἡδονῆς ἀπόρροιαν, φησί, λέγει· καί »τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται«, ὅτι οὐκ ἐῶμεν, φησίν, αὐτὸ χαμαὶ πεσεῖν, ἀλλὰ
αὐτοὶ αὐτὸ ἐσθίομεν

9. Καὶ ἵνα μὴ τὰς μαρτυρίας αὐτῶν ἐν μέσῳ φέρων βλάψω 9, 1
μᾶλλον ἥπερ ὠφελήσω, τούτου χάριν τὰ πολλὰ ὑπερβήσομαι, ἐπεὶ ἂν τὰ πάντα παρ' αὐτοῖς λεγόμενα κακῶς ἐνταῦθα παρατιθέμενος διηγόρευον. τὸ γὰρ εἰπεῖν, φησί, τεθεικέναι τὴν Ῥαὰβ κόκκινον ἐν τῇ | 2 D48
θυρίδι οὐκ ἦν, φησί, κόκκινον, ἀλλὰ τὰ μόρια τῆς γυναικείας φύσεως καὶ τὸ κόκκινον αἷμα τῶν καταμηνίων λέγει, καὶ τὸ εἰπεῖν »πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων«, περὶ τοῦ αὐτοῦ λέγει. φασὶ δὲ εἶναι 3
τὴν σάρκα ἀπολλυμένην καὶ μὴ ἐγειρομένην, εἶναι δὲ ταύτην τοῦ ἄρχοντος. τὴν δὲ δύναμιν τὴν ἐν τοῖς καταμηνίοις καὶ ἐν ταῖς 4
γοναῖς ψυχὴν εἶναί φασιν, ἣν συλλέγοντες ἐσθίομεν· καὶ ἅπερ ἡμεῖς

1 Joh. 3, 12 — **2** Joh. 6, 62 — **5** Joh. 6, 53 — **6** Joh. 6, 60 — **7f** vgl. Joh. 6, 66 — **9** Psal. 1, 3 — **13** Psal. 1, 3 — **19** vgl. Jos. 2, 18; die gemein-christliche Deutung des roten Seils bei Justin dial. c. 111 — **21** Prov. 5, 15 — **25ff** bemerke, daß hier *ψυχὴ* (nicht *πνεῦμα*) das Stichwort ist; dieselbe Grundanschauung, aber mit entgegengesetzter Schlußfolgerung im Manichäismus Act. Archelai 8, 7; S. 13, 8 Beeson (= Panarion haer. 66, 26, 7) *τῆς γὰρ τοῦ ἀγαθοῦ πατρὸς οὐσίας πᾶσαν ψυχὴν καὶ πᾶν κινούμενον ζῷον μετέχειν λέγει* und ebenda 10, 2ff; S. 15, 11ff (= haer. 66, 28, 2ff); dazu haer. 66, 34, 1 u. 66, 52, 1ff

V M

1f *οὐκ ἐπιστεύσατε* V **8** *οὔπω* aus *οὕτω* V^{corr} | *φησίν* < M **13** *ἀπόρροιαν* *] *ἐπίρροιαν* V M **14** *φησίν* < V | *χαμαὶ πεσεῖν* < M **16** *φέρων*] *ἄγων* V **18** *παρατιθένος*(!) V **19f** *φησί — ἀλλὰ* < M **20** *φασί* M | *κόκκινον*] lies *σπαρτίον*? * **22** *τοῦ αὐτοῦ* *] *τούτου* V M **23** *καὶ μὴ ἐγειρομένην* < M **25f** *καὶ ἅπερ — ἐσθίομεν* am Rande nachgetragen V^{corr}

ἐσθίομεν, κρέα ἢ λάχανα ἢ ἄρτον ἢ εἴ τι ἕτερον, χάριν ποιοῦμεν ταῖς κτίσεσι, συλλέγοντες ἀπὸ πάντων τὴν ψυχὴν καὶ μεταφέροντες μεθ' ἑαυτῶν εἰς τὰ ἐπουράνια. διόπερ καὶ πάντων μεταλαμβάνουσι κρεῶν λέγοντες, ἵνα ἐλεήσωμεν τὸ γένος ἡμῶν. φάσκουσι δὲ τὴν αὐτὴν ψυχὴν εἶναι, ἔν τε τοῖς ζῴοις καὶ ἐν κνωδάλοις καὶ ἰχθύσι καὶ ὄφεσι καὶ ἀνθρώποις ἐγκατεσπάρθαι καὶ ἐν λαχάνοις καὶ ἐν δένδρεσι καὶ ἐν γεννήμασι. καὶ οἱ μὲν αὐτῶν Φιβιωνῖται καλούμενοι ἀναφέρουσι τὰς αἰσχρὰς αὐτῶν θυσίας τὰς τῆς πορνείας, τὰς ὑφ' ἡμῶν ἐνταῦθα προειρημένας, ὀνόμασι τριακοσίοις ἑξήκοντα πέντε, οἷς αὐτοὶ ἔπλασαν ἀρχόντων δῆθεν, ἐμπαίζοντες τοῖς γυναικαρίοις καὶ λέγοντες· μίγηθι μετ' ἐμοῦ, ἵνα σε ἀνενέγκω πρὸς τὸν ἄρχοντα. καθ' ἑκάστην δὲ μῖξιν ὀνομάζουσιν ἑνὸς ὄνομά τινος βάρβαρον τῶν παρ' αὐτοῖς πεπλασμένων, καὶ δῆθεν εὔχονται λέγοντες· προσφέρω σοὶ τῷ δεῖνι, ἵνα προσενέγκῃς τῷ δεῖνι. τῇ δὲ ἄλλῃ μίξει πάλιν ἄλλῳ ὑποτίθεται ὡσαύτως προσφέρειν, ἵνα καὶ αὐτὸς τῷ ἄλλῳ. καὶ ἕως ἀνέλθῃ, μᾶλλον δὲ κατέλθῃ τριακοσίας ἑξήκοντα πέντε πτώσεις τῆς λαγνείας, καθ' ἑκάστην ὄνομά τι ἐπικαλεῖται τὸ τοιοῦτο ἐργαζόμενος. καὶ ἄρχεται πάλιν κατιέναι διὰ τῶν αὐτῶν, τὰ αὐτὰ αἰσχρὰ ἐπιτελῶν καὶ ἐμπαίζων ταῖς ἠπατημέναις. | ὅταν οὖν εἰς τοσοῦτον ὄγκον ἐλάσῃ ἀριθμοῦ ἑπτακοσίων τριάκοντα πτώσεων, λέγω δὴ μίξεων αἰσχρῶν καὶ ὀνομάτων τῶν παρ' | αὐτοῖς | πεπλασμένων, τότε λοιπὸν τολμᾷ ὁ τοιοῦτος καὶ λέγει· »ἐγώ εἰμι ὁ Χριστός, ἐπειδὴ ἄνωθεν καταβέβηκα διὰ τῶν ὀνομάτων τῶν τξε ἀρχόντων.«

10. Τὰ δὲ τῶν μειζόνων κατ' αὐτοὺς ἀρχόντων ὀνόματα ταῦτα **6** **7** **8** P91 D49 Ö184 **9** **10, 1**

12 vgl. den Schluß des von Clemens Al. strom. III 29, 1f; II 209, 21ff Stählin angeführten Apokryphon: ἐπ' ὀνόματος ἰδίου ἑκάστην u. Irenaeus adv. haer. I 31, 2; I 242 Harvey — **22** vgl. oben S. 278, 11 — **24**—S. **287**, **9** vgl. Irenaeus adv. haer. I 30, 5; I 230 Harvey *et nomina autem mendacio suo talia posuerunt: eum enim qui a matre primus sit Jaldabaoth vocari, eum autem qui sit ab eo Jao, et qui ab eo Sabaoth magnum, quartum autem Adoneum et quintum Eloeum et sextum Oreum, septimum autem et novissimum omnium Astaphaeum* Origenes c. Cels. VI 31; V 101, 5ff Kötschau εἶθ' ἑξῆς διδάσκονται λέγειν διερχόμενοι ὃν φασιν Ἰαλδαβαὼθ . . , εἶτα . . . φθάσαντα ἐπὶ τὸν Ἰα⟨ὼ⟩ . . , εἶθ' ἑξῆς τὸν Σαβαὼθ . . . , ἑξῆς δὲ αὐτῷ τὸν Ἀσταφαιὸν . . . μετὰ δ' αὐτὸν τὸν Ἐλωαιὸν . . ,

V M

1 εἰ < V **5** ἐν² < M **7** γεν///ήμασι, ν ausradiert V **11** ἐνέγκω M **13** προσφέρωμεν V **16** ἀνέλθῃ *] ἂν ἔλθῃ V M **17** καθ' ἑκάστην — ἐπικαλεῖται am Rande nachgetragen V^{corr} **18** καὶ < M **20** δή] δὲ M

εἶναι λέγουσι, πολλοὺς λέγοντες· ἐν μὲν τῷ πρώτῳ οὐρανῷ εἶναι τὸν Ἰαὼ ἄρχοντα, καὶ ἐν τῷ δευτέρῳ φησὶν εἶναι τὸν Σακλᾶν ἄρχοντα τῆς πορνείας, ἐν δὲ τῷ τρίτῳ τὸν Σὴθ ἄρχοντα, ἐν δὲ τῷ τετάρτῳ εἶναί φησι τὸν Δανίδην. τέταρτον γὰρ ὑποτίθενται οὐρανὸν 2
καὶ τρίτον, πέμπτον δὲ ἄλλον οὐρανόν, ἐν ᾧ φασιν εἶναι τὸν Ἐλωαῖον τὸν καὶ Ἀδωναῖον. ἐν δὲ τῷ ἕκτῳ φασὶν εἶναι οἱ μὲν τὸν Ἰαλδαβαώθ, οἱ δὲ τὸν Ἠλιλαῖον. ἄλλον δὲ ἕβδομον οὐρανὸν ὑποτίθενται, 3
ἐν ᾧ λέγουσιν εἶναι τὸν Σαβαώθ· ἄλλοι δὲ λέγουσιν οὐχί, ἀλλ' ὁ Ἰαλδαβαώθ ἐστιν ἐν τῷ ἑβδόμῳ. ἐν δὲ τῷ ὀγδόῳ οὐρανῷ τὴν Βαρ- 4
βηλὼ καλουμένην καὶ τὸν πατέρα τῶν ὅλων καὶ κύριον τὸν αὐτὸν αὐτοπάτορα καὶ Χριστὸν ἄλλον αὐτολόχευτον καὶ Χριστὸν τοῦτον τὸν κατελθόντα καὶ δείξαντα τοῖς ἀνθρώποις ταύτην τὴν γνῶσιν, ὃν καὶ Ἰησοῦν φασιν· μὴ εἶναι δὲ αὐτὸν ἀπὸ Μαρίας γεγεννημένον, 5
ἀλλὰ διὰ Μαρίας δεδειγμένον. σάρκα δὲ αὐτὸν μὴ εἰληφέναι, ἀλλ' ἢ μόνον δόκησιν εἶναι. φασὶ δὲ τὸν Σαβαὼθ οἱ μὲν ὄνου μορφὴν 6

τελευταῖον δὲ τὸν Ὡραῖον; etwas abweichend das Apokryphon Johannis S. 332f — zu Σακλᾶς vgl. Apokryphon Johannis (C. Schmidt in der Philotesia für P. Kleinert S. 332); über seine Rolle im Manichäismus Cumont, cosmog. manich. S. 73ff — zu Δανίδης u. Ἠλιλαῖος vgl. Apokryphon Johannis (C. Schmidt ebenda S. 327) »*das dritte Licht ist Daveithe ..., das vierte Licht aber ist Eleleth*« (= Irenaeus adv. haer. I 29, 3; I 223 Harvey *tertio luminario, quem vocant David, ... quarto, quem nominant Eleleth*) u. Unbek. altgnost. Werk c. 20; S. 362, 15 Schmidt *ἠληληθ, δανειδε*

9 vgl. Irenaeus adv. haer. I 30, 4; I 230 Harvey *octavum matre habente locum* I 30, 1f; I 227 Harvey *generavit ex ea lumen incorruptibile, tertium masculum quem Christum vocant, filium primi et secundi hominis et spiritus sancti primae feminae, concumbentibus autem patre et filio feminae, quam et matrem viventium dicunt* I 30, 12; I 238 Harvey *Sophiam ... ante adaptasse Jesum, uti descendens Christus inveniat vas mundum* I 30, 14; I 240 Harvey *Christo sedente ad dexteram patris Jaldabaoth ... patre eius ignorante, sed ne vidente quidem eum* — **15** zu *ὄνου μορφὴ* vgl. unten c. 12, 2; S. 291, 5ff u. Origenes c. Cels. VI 30; II 100, 19ff *εἶθ' ὁ μὲν Κέλσος τὸν ἕβδομον ἔφασκεν ὄνου ἔχειν πρόσωπον καὶ ὀνομάζεσθαι αὐτὸν Θαφαβαὼθ ἢ Ὀνοήλ· ἡμεῖς δ' ἐν τῷ διαγράμματι εὕρομεν ὅτι οὕτως καλεῖται Ὀνοὴλ ἢ Θαρθαραώθ, ὀνοειδής τις τυγχάνων* Apokryphon Johannis (C. Schmidt a. a. O. S. 332) »*der zweite Eloaios mit Eselsgesicht*« Anhang zum Buch Jeû S. 334, 9 Schmidt *des Typhon . . , des großen gewaltigen Archonten, ⟨des mit dem⟩ Esels⟨gesicht⟩*

V M

4 *δά////δην, νει* ausradiert V^{corr} **7** *ἄλλον*] *ἄλλοι* M **8** *σα////βαὼθ, β* ausradiert V^{corr} | *ἀλλὰ* M **15** *δοκήσει* M

ἔχειν, οἱ δὲ χοίρου· διόπερ ἐνετείλατο, φησί, τοῖς Ἰουδαίοις χοῖρον μὴ ἐσθίειν. εἶναι δὲ αὐτὸν ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ τῶν μετ' αὐτὸν οὐρανῶν καὶ ἀγγέλων τῶν ἑαυτοῦ. τὴν δὲ ψυχὴν ἐν τῷ 7
ἐξέρχεσθαι ἐντεῦθεν διαβαίνειν διὰ τῶν ἀρχόντων τούτων, μὴ δύνασθαι δὲ διαπερᾶσαι, εἰ μή τι ἄν ⟨τις⟩ τῆς γνώσεως ταύτης, μᾶλλον δὲ τῆς καταγνώσεως, ἐν πληρώματι γένηται καὶ ἐμφορηθεὶς διαδράσειε τῶν ἀρχόντων καὶ τῶν ἐξουσιῶν τὰς χεῖρας. εἶναι δὲ δρακοντοειδῆ 8
τὸν ἄρχοντα τὸν κατέχοντα τὸν κόσμον τοῦτον, καὶ καταπίνοντα μὲν τὰς ψυχὰς τὰς μὴ ἐν γνώσει | ὑπαρχούσας καὶ διὰ τῆς κέρκου D 50
πάλιν ἐπιστρέφοντα εἰς τὸν κόσμον, ἐνταῦθα εἰς χοίρους καὶ εἰς ἄλλα ζῷα * καὶ πάλιν διὰ τῶν αὐτῶν ἀναφερομένας. εἰ δέ τις, 9
φησίν, ἐν τῇ γνώσει γένηται ταύτῃ καὶ συλλέξῃ ἑαυτὸν ἐκ τοῦ κόσμου διὰ τῶν ἐμμηνίων καὶ διὰ τῆς ῥύσεως τῆς ἐπιθυμίας, | μηκέτι P 92
ἐνταῦθα κατέχεσθαι αὐτόν, ἀλλὰ ὑπερβαίνειν τοὺς προειρημένους ἄρχοντας. ἔρχεσθαι δέ φασι παρὰ τὸν Σαβαὼθ καὶ πατεῖν ἐπὶ τὴν 10
κεφαλὴν αὐτοῦ, ἀθυρογλώττως βλασφημοῦντες, καὶ οὕτως ὑπερβαίνειν εἰς τὸ ἄνω μέρος, ὅπου ἡ μήτηρ τῶν ζώντων ἡ Βαρβηρὼ ἤτοι καὶ Βαρβηλώ, καὶ οὕτως τὴν ψυχὴν σῴζεσθαι. ἔχειν δὲ καὶ τρίχας 11
ὡς γυναικὸς τὸν Σαβαὼθ λέγουσιν οἱ τάλανες, νο|μίζοντες τὸ ὄνομα Ö 186
τὸ Σαβαὼθ ἄρχοντά τινα εἶναι, οὐκ εἰδότες ὅτι ὅπου λέγει »τάδε λέγει κύριος Σαβαώθ«, οὐκ ὄνομά τινος εἶπεν, ἀλλ' ὄνομα δοξολογίας τῆς θεότητος. Σαβαὼθ γὰρ ἑρμηνεύεται ἀπὸ τῆς Ἑβραϊκῆς 12
διαλέκτου κύριος τῶν δυνάμεων· ὅπου γὰρ ἐν τῇ παλαιᾷ διαθήκῃ τὸ Σαβαὼθ ὄνομά ἐστι γεγραμμένον, δύναμιν ὑποφαίνει, ὅθεν ὁ Ἀκύλας πανταχοῦ τὸ »Ἀδωναϊ Σαβαώθ« ἑρμηνεύει λέγων »κύριος στρατιῶν«. οὗτοι δὲ κατὰ πάντα τρόπον ἐμμανέντες κατὰ τοῦ αὐτῶν 13
δεσπότου τὸν μὴ ὄντα ζητοῦσι καὶ τὸν ὄντα ἀπολωλέκασι, μᾶλλον δὲ ἑαυτοὺς ἀπώλεσαν.

11. Ἄλλα δὲ ὅσα * ἐν οἷς περικακεῖν ἐστι τὰ τῆς αὐτῶν μανίας 11, 1
λέγειν. τινὲς ἐξ αὐτῶν δῆθεν γυναιξὶ μὴ πλησιάζοντες ταῖς ἰδίαις αὐτῶν χερσὶν ἑαυτοὺς φθείρουσι, τὴν δὲ ἑαυτῶν φθορὰν λαμβάνουσιν

1 *χοίρου μορφή* vgl. Pistis Sophia c. 147; S. 251, 9 *Dämonen mit Schweinegesichtern* — 3 vgl. Origenes c. Cels. VI 31; II 100, 28ff Kötschau

V M

5 *τι*] *τις*, ς angeflickt V^{corr} | ⟨*τις*⟩ * 10 *ἐπιστρέφοντας* V 11 * ⟨*καταβαλλομένας*⟩ * 12 *συλλέξει* V M 13 *διὰ τῶν ῥύσεων τούτων* V 14 lies *κατέ*⟨*ρ*⟩*χεσθαι*? * *ἀλλ'* M 15 *φησι* V M | *ἄρχεσθαι* M 18 *καὶ*^{1} < M 19 *τὸν Σαβαὼθ*] *τὸν αὐτὸν* V 21f vor *δοξολογίας* + *τῆς* M 25 *ἀδοναὶ* M | *Σαβαὼθ* < M 29 *] *φλυαροῦσιν* U, nur Vermutung; richtiger wohl ⟨*ἐπιτελοῦσιν*⟩ * 30 *τινὲς* + *δὲ* V 31 *αὐτῶν* < M

εἰς τὰς χεῖρας καὶ οὕτως ἐσθίουσι, χρώμενοι σεσυκοφαντημένῃ μαρ- 2
τυρίᾳ, τῷ »αἱ χεῖρες αὗται ἐπήρκεσαν οὐ μόνον ἐμοί, ἀλλὰ καὶ τοῖς
σὺν ἐμοί«, καὶ πάλιν τῷ »ἐργαζόμενοι ταῖς ἰδίαις χερσίν, ἵνα δυνηθῆτε
καὶ τοῖς μὴ ἔχουσι μεταδοῦναι«· ὡς καὶ περὶ τούτων οἶμαι | ἐκινήθη 3 D51
τὸ ἅγιον πνεῦμα ἐν τῷ ἀποστόλῳ Ἰούδᾳ, λέγω δὴ ἐν τῇ ὑπ' αὐτοῦ
γραφείσῃ καθολικῇ ἐπιστολῇ (Ἰούδας δέ ἐστιν οὗτος ὁ ἀδελφὸς
Ἰακώβου καὶ τοῦ κυρίου λεγόμενος)· ὑπέδειξε γὰρ αὐτοὺς τὸ ἅγιον
πνεῦμα διὰ τῆς φωνῆς τοῦ Ἰούδα κατὰ τὰ κτήνη φθειρομένους καὶ
φθείροντας, ὡς λέγει ὅτι »ὅσα μὲν οὐκ οἴδασιν, ἀγνοοῦντες ἀλί-
σκονται, ὅσα δὲ οἴδασιν, ὡς τὰ ἄλογα ζῷα φθείρονται«. κυνῶν γὰρ 4
δίκην καὶ χοίρων τὴν ἀπ' αὐτῶν φθορὰν ἐπιτελοῦσιν· οἱ κύνες γὰρ
καὶ οἱ χοῖροι, οὐ μὴν ἀλλὰ καὶ ἄλλα ζῷα οὕτως φθείρονται καὶ τὴν
ἀπόρρυσιν τὴν ἀπὸ τῶν σωμάτων αὐτῶν ἐσθίουσι. καὶ γὰρ καὶ 5
ἀλη|θῶς »ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθε- P93
τοῦσι, δόξας δὲ βλασφημοῦσι. Μιχαὴλ δὲ ὁ ἀρχάγγελος διαλεγόμενος
τῷ διαβόλῳ περὶ τοῦ Μωυσέως σώματος οὐκ ἤνεγκε λόγον βλασφη-
μίας, ἀλλὰ εἶπεν, ἐπιτιμήσαι σοι κύριος. οὗτοι δὲ ὅσα οὐκ οἴδασι 6
φυσικῶς βλασφημοῦσιν«, ὅτι τὰ ἅγια τῶν ἁγίων τὰ μετὰ ἁγιασμοῦ
ἡμῖν παραδοθέντα βλασφημοῦσιν, εἰς αἰσχρότητα αὐτὰ μεταβαλλόμενοι.
καὶ ταῦτά ἐστιν ἅτινα κατὰ τῶν ἀποστόλων ἐτόλμησαν λέγειν, ὡς 7
καὶ ὁ μακάριος Παῦλός φησιν »ὥστε τινὰς τολμᾶν ⟨βλασφημοῦντας⟩
ἡμᾶς λέγειν ὅτι ποιήσωμεν τὰ κακά, ἵνα ἔλθῃ ἐφ' ἡμᾶς τὰ ἀγαθά, ὧν
τὸ κρίμα ἔνδικόν ἐστι«. πόσας δὲ ἄλλας ἀγάγοιμι μαρτυρίας κατὰ τῶν 8
βλασφήμων; οὗτοι γὰρ οἱ ταῖς ἰδίαις | χερσὶ φθειρόμενοι, οὐ μόνον Ö188
δέ, ἀλλὰ καὶ οἱ ταῖς γυναιξὶ πλησιάζοντες, λοιπὸν κόρον [μὴ] λαβόντες
τῆς μετὰ τῶν γυναικῶν πολυμιξίας εἰς ἀλλήλους ἐκκαίονται, ἄνδρες
ἐν ἀνδράσι, κατὰ τὸ γεγραμμένον »τὴν ἀντιμισθίαν τῆς πλάνης ἐν

2ff ähnliche Verdrehungen von Bibelworten bei den Nikolaiten Clemens Al. strom. III 27, 3; II 208, 15ff Stählin — **2** Act. 20, 34 — **3** Ephes. 4, 28 — **9** Judas 10 — **14** Judas 8ff — **21** Röm. 3, 8; vgl. Clemens Alex. strom. III 39, 1; II 213, 30 Stählin *καὶ μή τι πρὸς τούτους ὁ ἀπόστολος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ ἐπιτεινόμενος γράφει· καὶ μὴ καθὼς βλασφημούμεθα κτἑ* — **27** Röm. 1, 27

V M

2 *τῷ* Dind. Öh.] *τὸ* V M **3** *τῷ* Öh.] *τὸ* V < M | *ἐργαζόμενος* V | *δύνηται* V **5** *λέγω δὴ* hineingeflickt V^{corr} < M **6** *γραφείσῃ, εἰσῃ* auf Rasur V^{corr} **7** *τοῦ* < V **11** *ἀπ' αὐτῶν*] *ἁπάντων* M **13** *καὶ*^{2} < V **14** *μὲν* < V **17** *ἀλλ'* M | *ἐπιτιμήσαι, ε* V^{corr} | vor *κύριος* + *ὁ* V **18** *τὰ*^{2} < M **19** *αὐτὰ* *] *αὐτοὶ* V < M **21** ⟨*βλασφημοῦντας*⟩ Jül. **22** *ὅτι* < V | *ἐφ' ἡμᾶς* < M **25** [*μὴ*] * **27** *ἀνδράσι, α* statt *ε* V^{corr} | *ἐν*^{2} < M

ἑαυτοῖς ἀπολαμβάνοντες«. ἐξώλεις γὰρ οὗτοι γενόμενοι μακαρίζουσιν ἀλλήλους, ὡς τὸ προκριτέον τάγμα ἀναδεξάμενοι. ἀλλὰ καὶ ἀπα- 9
τῶντες τὸ αὐτοῖς πειθόμενον γυναικεῖον γένος, »τὸ σωρευόμενον ἁμαρτήμασι καὶ ἀγόμενον ἐπιθυμίαις ποικίλαις«, φάσκουσι ταῖς | ἠπα- D52
τημέναις παρ᾽ αὐτῶν ὅτι ἡ δεῖνα παρθένος, ἡ τοσαῦτα ἔτη πεφθαρμένη καὶ φθειρομένη καθ᾽ ἑκάστην ἡμέραν. κόρον γὰρ οὐκ ἔχει παρ᾽ αὐτοῖς ἡ λαγνεία, ἀλλὰ ὅσον τις παρ᾽ αὐτοῖς αἰσχρουργὸς ἄνθρωπος, τοσοῦτον παρ᾽ αὐτοῖς ἐπαινετός. ἐκείνας δέ φασιν παρθένους εἶναι, 10
τὰς μηδέποτε ἐν κοσμικῇ μίξει γάμου κατὰ φύσιν τῆς συνηθείας γενομένας ἕως καταβολῆς σπέρματος, ἀλλὰ μιγνυμένας μὲν ἀεὶ καὶ πορνευούσας, πρὸ δὲ τοῦ ἀπαρτηθῆναι τὴν ἡδονὴν ἀφιστώσας τὸν πονηροποιὸν αὐτῶν τῆς κοινωνίας φθορέα καὶ λαμβανούσας τὴν προειρημένην αἰσχρότητα εἰς ἐδωδήν, ὡς κατὰ τὸ ὅμοιον ⟨τῆς⟩ τοῦ 11
Σηλὼμ πρὸς τὴν Θάμαρ κακοτροπίας, *ἀλλὰ ἀπὸ παρθενίας τὴν τέχνην ταύτην ἐπανῃρημένας τοῦ φθείρεσθαι μέν, μὴ ὑποδέχεσθαι δὲ τῆς φθορᾶς τὴν μῖξιν καὶ τὴν ἀπόρροιαν. βλασφημοῦσι δὲ οὐ μόνον 12
τὸν Ἀβραὰμ καὶ τὸν Μωυσέα καὶ τὸν Ἠλίαν καὶ πάντα τὸν χορὸν τῶν προφη|τῶν, ἀλλὰ καὶ τὸν θεὸν τὸν ἐκλεξάμενον αὐτούς. P94

12. Ἄλλα δὲ μυρία παρ᾽ αὐτοῖς πλασθέντα γραφεῖα τετόλμηται. 12, 1
γένναν μὲν γὰρ Μαρίας βιβλίον τί φασιν εἶναι, ἐν ᾧ δεινά τε καὶ

1 f vgl. Hippolyt refut. VI 19, 5; S. 146, 12 Wendland *ἀλλὰ καὶ μακαρίζουσιν ἑαυτοὺς ἐπὶ τῇ* (ξένῃ) *μίξει, ταύτην εἶναι λέγοντες τὴν τελείαν ἀγάπην* — **3** II Tim. 3,6 — **13 f** vgl. Gen. 38,9 vgl. 5 (die Namen verwechselt) — **16 ff** genauer bei Irenaeus adv. haer. I 30, 10f; I 237 Harvey *et unusquisque eorum* (der Archonten) *suum praeconem assumit ad gloriandum et deum annunciandum . . . sic autem prophetas distribuunt: huius quidem Jaldabaoth Moysen fuisse et Jesum Nave et Amos et Abacuc, illius autem Jao Samuel et Nathan et Jonam et Michaeam, illius autem Sabaoth Heliam et Joel et Zachariam, illius autem Adonai Esaiam et Ezechiel et Jeremiam et Daniel, illius autem Eloi Tobiam et Aggaeum, illius autem Orei Michaeam et Nahum, illius autem Asta[n]fei Hesdram et Sophoniam* — **20** Die *γέννα Μαρίας* nur hier bezeugt

V M

1 *ἐξολεῖς* M | *οὗτοι*] *οἱ αὐτοὶ* V **2** *τάγμα*] *πράγμα, πρ* aus *τ* Vcorr **3** *σεσωρευμένον* aus *σωρευόμενον* Vcorr **4** *ἠγμένον* aus *ἀγόμενον* Vcorr | *ποικίλαις ἐπιθυμίαις* V **5** *παρ᾽*] *ὑπὲρ* V | *ἔτη* < M **5 f** ////*εφθαρμένη*, *π* wegradiert V *πεφθαρμένη* M **7** *ἀλλ᾽* M **8** *εἶναι παρθένους* V **10** *μὲν* < M **11** *πρὸ δὲ*| *καὶ πρὸ* M | *ἀπαρτισθῆναι* aus *ἀπαρτηθῆναι* Vcorr *ἀπαρτηθῆναι* M **13** ⟨*τῆς*⟩ * **14** * etwa ⟨*παρθενίαν μὲν αὐχούσας*⟩ * **19** *πεπλασμένα* aus *πλασθέντα* hergestellt Vcorr *πλασθέντα* M

ὀλέθρια ὑποβάλλοντές τινα ἐκεῖσε λέγουσιν. ἐκ τούτου γάρ φησι 2
τὸν Ζαχαρίαν ἀπεκτάνθαι ἐν τῷ ναῷ, ἐπειδή, φησίν, ὀπτασίαν ἑώρακε, καὶ ἀπὸ τοῦ φόβου θέλων εἰπεῖν τὴν ὀπτασίαν ἀπεφράγη τὸ στόμα. εἶδε γάρ, φησίν, ἐν τῇ ὥρᾳ τοῦ θυμιάματός τινα, ὡς ἐθυμία, ἄνθρωπον ἑστῶτα, φησίν, ὄνου μορφὴν ἔχοντα. καὶ ἐξελθόντος, 3
φησί, καὶ θέλοντος εἰπεῖν· οὐαὶ ὑμῖν, τίνι προσκυνεῖτε; ἀπέφραξεν αὐτοῦ τὸ στόμα ὁ ὀφθεὶς αὐτῷ ἔνδον ἐν τῷ ναῷ, ἵνα μὴ δύνηται λαλῆσαι. ὅτε δὲ ἠνοίγη τὸ στόμα αὐτοῦ ἵνα λαλήσῃ, τότε ἀπεκάλυψεν αὐτοῖς καὶ ἀπέκτειναν αὐτόν. καὶ οὕτως, φησίν, ἀπέθανε Ζαχαρίας. διὰ τοῦτο γὰρ ὁ ἱερεὺς προσετάγη ὑπ' αὐτοῦ τοῦ νομοθετή- 4
σαντος, | φησίν, ἔχειν | κώδωνας, ἵν' ὅταν εἰσέρχηται ἱερατεῦσαι, τὸν D53 Ö190
κτύπον ἀκούων κρύπτηται ὁ προσκυνούμενος, ἵνα μὴ φωραθῇ τὸ ἰνδαλτικὸν αὐτοῦ τῆς μορφῆς πρόσωπον. ἔστι δὲ τὸ πᾶν τῆς 5
εὐηθείας αὐτῶν ἐπιτήδευμα εὐθυέλεγκτον καὶ χλεύης ἔμπλεον. εἰ γὰρ ἦν ὅλως ὁρατὸς ὁ ἱερουργούμενος, οὐδὲ κρυβῆναι ἠδύνατο· εἰ δὲ ὅλως κρυβῆναι ἠδύνατο, οὐκέτι ἦν ὁρατός. καὶ ἑτέρως πάλιν πρὸς 6
αὐτοὺς ῥητέον ὅτι εἰ ὁρατὸς ἦν, σῶμα ἄρα ἦν καὶ οὐκέτι πνεῦμα· εἰ δὲ πνεῦμα ἦν, οὐκέτι ἐν ὁρατοῖς ἐξετάζεται. πῶς οὖν τὸ οὐκ ἐν ὁρατοῖς ἐξεταζόμενον ἀπὸ τοῦ κτύπου τῶν κωδώνων τῆς ἑαυτοῦ συστολῆς προενοεῖτο; ἔχω⟨ν⟩ γὰρ τὸ ἀόρατον κατὰ φύσιν οὐκ ἂν ὠπτάνετο, εἰ μὴ ἤθελεν. εἰ καὶ ὤφθη δέ, οὐκέτι κατὰ ἀνάγκην ἐφαίνετο 7
τῆς φύσεως αὐτὸν ἀγούσης εἰς τὸ φαίνεσθαι, ἀλλὰ κατὰ χάριν, οὐ φόβῳ καὶ προλήψει παρὰ προσδοκίαν ἄνευ κτύπου εἰς τὸ δῆλον καθιστῶν τὴν ἑαυτοῦ ὀπτασίαν. καὶ οὕτω κατὰ πάντα τρόπον διέ-
πεσεν ὁ αὐτῶν ψευδὴς καὶ παραπεποιημένος λόγος. καὶ πολλά ἐστιν 8
ἄλλα ἃ λέγουσι ληρώδη. * καίτοι γε τοῦ Ζαχαρίου μὴ ἀποκτανθέντος

1f vgl. Matth. 23, 35 Luk. 11, 51; die Gleichsetzung des hier genannten Zacharias mit dem Vater Johannis des Täufers findet sich auch im Protev. Jac. c. 23f u. bei Origenes comment. ser. in Matth. 25; IV 229 Lommatzsch, vgl. Zahn, Gesch. d. neutest. Kan. II 2, 695 u. 776 A. 2 — **2f** vgl. Luk. 1, 22 — **4** vgl. Luk. 1, 9f — **5** zu ὄνος vgl. S. 287, 15 u. Tacitus hist. V 3f Tertullian apolog. 16 — **7f** vgl. Luk. 1, 20 — **8** vgl. Luk. 1, 64 — **10** vgl. Exod. 28, 29ff

V M

1 φασὶ M **2f** ἑώρακε, ω aus ο V^{corr} ἑώρακε M **11** φασίν V | ἵνα M **13** ἰνδαλτικὸν, von späterer Hand verändert zu ἰνδαλματικὸν V **14** ἔμπλεων, ω aus ο V^{corr} ἔμπλεον M **15** /// ὁρατὸς, ein Buchstabe ausradiert V; ἀόρατος? hier u. Z. 16 Jül., an der zweiten Stelle gewiß richtig **20** ἔχω⟨ν⟩ *, vgl. Z. 22 αὐτὸν] ἔχω VM **20f** ὀπτάνετο M **23** προλή///ψει, μ ausradiert V **24** καθιστῶν *] καθιστῶντος VM | οὕτω < M **26** * etwa ⟨φασὶ γὰρ τὸν Ζαχαρίαν ἀποκτανθῆναι καὶ ἀληθῶς λέγουσι,⟩ *

εὐθύς, ἀλλὰ καὶ ἐπιμείναντος μετὰ τὴν τοῦ Ἰωάννου | γέννησιν καὶ P95
προφητεύσαντος περί τε Ἰωάννου καὶ περὶ τῆς παρουσίας τοῦ κυρίου
καὶ ἐνσάρκου γεννήσεως ἀπὸ τῆς ἁγίας παρθένου Μαρίας διὰ πνεύ-
ματος ἁγίου, ὡς λέγει »καὶ σύ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ· 9
προπορεύσῃ γὰρ πρὸ προσώπου κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ«,
»ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα καὶ ἀπειθεῖς ἐν φρονήσει«
καὶ τὰ ἑξῆς. πόσα δὲ ἄλλα ἔστιν εἰπεῖν περὶ τῆς αὐτῶν ψευδηγορίας
καὶ τοῦ αὐτῶν μιασμοῦ;

13. Οἱ δὲ Λευῖται παρ᾽ αὐτοῖς καλούμενοι οὐ μίσγονται γυναιξίν, **13**, 1
ἀλλὰ ἀλλήλοις μίσγονται. καὶ οὗτοί εἰσιν οἱ προκριτέοι παρ᾽ αὐτοῖς
δῆθεν καὶ ἐπαινετοί. | καταγελῶσι δὲ λοιπὸν τῶν τὴν πολιτείαν D54
ἀσκούντων καὶ ἁγνείαν καὶ παρθενίαν ὡς εἰς μάτην τὸν κάματον
ἀναδεδεγμένων. προφέρουσι δὲ εἰς ὄνομα Φιλίππου τοῦ ἁγίου μα- 2
θητοῦ εὐαγγέλιον πεπλασμένον, ὅτι, φησίν »ἀπεκάλυψέν μοι ὁ κύριος
τί τὴν ψυχὴν δεῖ λέγειν ἐν τῷ ἀνιέναι εἰς τὸν οὐρανὸν καὶ πῶς
ἑκάστη τῶν ἄνω δυνάμεων ἀποκρίνεσθαι· ὅτι ἐπέγνων ἐμαυτήν,
φησί, καὶ συνέλεξα ἐμαυτὴν ἐκ πανταχόθεν, καὶ οὐκ ἔσπειρα τέκνα
τῷ ἄρχοντι, ἀλλὰ ἐξερρίζωσα τὰς ῥίζας αὐτοῦ καὶ συνέλεξα τὰ μέλη
τὰ διεσκορπισμένα, καὶ οἶδά σε τίς εἶ. ἐγὼ γάρ, φησί, τῶν ἄνωθέν
εἰμι«. καὶ οὕτως, φησίν, ἀπολύεται. ἐὰν δέ, φησίν, εὑρεθῇ γεννή- 3
σασα υἱόν, κατέχε|ται κάτω ἕως ἂν τὰ ἴδια τέκνα δυνηθῇ ἀναλαβεῖν Ö192

4 Luk. 1, 76 — **6** Luk. 1, 17 — **13ff** zum Philippusev. vgl. Pistis Sophia c. 42; S. 44, 19ff Schmidt c. 43; S. 45, 12ff u. Leontius de sectis act. III 2; Migne 86, 1, 1213 C οὗτοι (die Manichäer) *καὶ βιβλία τινὰ ἑαυτοῖς καινοτομοῦσι· λέγουσι γὰρ εὐαγγέλιον κατὰ Θωμᾶν καὶ Φίλιππον ἅπερ ἡμεῖς οὐκ ἴσμεν* — **14ff** vgl. Origenes c. Cels. VI 31; II 100, 28ff Kötschau Pistis Sophia u. die Bücher Jeû allerwärts, dazu die Formeln der Markosier bei Irenaeus I 21, 5; I 187 Harvey, insbesondere: *σκεῦός εἰμι ἔντιμον, μᾶλλον παρὰ τὴν θήλειαν τὴν ποιήσασαν ὑμᾶς. εἰ ἡ μήτηρ ὑμῶν ἀγνοεῖ τὴν ἑαυτῆς ῥίζαν, ἐγὼ οἶδα ἐμαυτὸν καὶ γινώσκω ὅθεν εἰμὶ καὶ ἐπικαλοῦμαι τὴν ἄφθαρτον Σοφίαν κτέ.* — **19f** zu *οἶδά σε τίς εἶ* vgl. Reitzenstein, Poimandres S. 20 *⟨οἶδα τὸ⟩ ὄνομά σου . . . οἰδά σου καὶ τὰς μορφάς, . . . οἶδά σε, Ἑρμῆ, τίς εἶ καὶ πόθεν εἶ* — zu *ἐγὼ . . . τῶν ἄνωθέν εἰμι* vgl. auch die orphischen Formeln *αὐτὰρ ἐμοὶ γένος οὐράνιον* Diels Vorsokratiker³ 66 B 17; II 175, 28 u. a.

V M

2 *τε*] *τοῦ* V | *τοῦ* < V **3** *διὰ*] *ἐκ* M **5** *πρὸ προσώπου*] *ἐνώπιον* M **8** *τοῦ αὐτοῦ* M **9** *καλούμενοι*] *λεγόμενοι* M **11** *δὲ* < M **16** *δυνάμεων* + *⟨δεῖ⟩*? * **17** *ἑαυτὴν* M | *ἐκ* ausradiert V corr **18** *ἐξερρίζωσα*, zweites *ρ* oben hinein V corr *ἐξεριζωσα* M **20** *εὑρεθῇ φησὶ* M

καὶ ἀναστρέψαι εἰς ἑαυτήν. καὶ οὕτως ἐστὶ τὰ ληρώδη αὐτῶν καὶ 4
μυθώδη, ὡς καὶ περὶ τοῦ ἁγίου Ἠλία τολμῶσι βλασφημεῖν καὶ λέγειν
ὅτι, φησίν, ὅτε ἀνελήφθη, κατεβλήθη πάλιν εἰς τὸν κόσμον. ἦλθεν 5
γάρ, φησίν, μία δαίμων καὶ ἐκράτησε καὶ εἶπεν αὐτῷ ὅτι ποῦ πορεύῃ;
ἔχω γὰρ τέκνα ἀπὸ σοῦ, καὶ οὐ δύνασαι ἀνελθεῖν καὶ ὧδε ἀφεῖναι
τὰ τέκνα σου. καί, φησίν, λέγει· πόθεν ἔχεις τέκνα ἀπ' ἐμοῦ καὶ
ἐγὼ ἤμην ἐν ἁγνείᾳ; λέγει, φησίν· ναί, ὅτε ἐνυπνίοις ἐνυπνιαζόμενος
πολλάκις ἐν τῇ ἀπορροίᾳ τῶν σωμάτων ἐκενώθης, ἐγὼ ἤμην ἡ μετα-
λαβοῦσα ἀπὸ σοῦ τὰ σπέρματα καὶ γεννῶσά σοι υἱούς. πολλὴ δὲ 6
μωρία τῶν τὰ τοιαῦτα λεγόντων. πῶς γὰρ δύναται δαίμων, πνεῦμα
ὢν ἀόρατον καὶ ἀσώματον, ⟨ἀπὸ⟩ σωμάτων μεταλαμβάνειν; εἰ δὲ καὶ
ἀπὸ σωμάτων μεταλαμβάνει καὶ κνίσκει, οὐκέτι ἐστὶ πνεῦ|μα, ἀλλὰ P96
σῶμα. σῶμα δὲ ὢν πῶς ἐστιν ἀόρατος καὶ πνεῦμα; καὶ πολλὴ 7
ἀτοπία τῆς αὐτῶν μωρολογίας. βούλονται γὰρ τὴν κατ' αὐτῶν μαρ-
τυρίαν τὴν ἀπὸ τῆς ἐπιστολῆς τοῦ Ἰούδα μᾶλλον εἰς ἑαυτοὺς δῆθεν
ἐπάγεσθαι ἐν τῷ λέγειν »καὶ οἱ μὲν ἐνυπνιαζόμενοι | σάρκα μὲν D55
μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσιν«. οὐκ
εἶπεν δὲ ὁ μακάριος Ἰούδας ὁ ἀδελφὸς τοῦ κυρίου περὶ ἐνυπνιαζο-
μένων ἐν σώμασιν· εὐθὺς γὰρ ἐπιφέρει καὶ δεικνύει ὅτι περὶ τῶν
ἐνυπνιαζομένων * λέγει, τῶν λαλούντων ὡς δι' ὀνειράτων τὰ αὐτῶν
ῥήματα καὶ οὐκ ἐν ἀνανήψει γρηγορήσεως λογισμῶν. καὶ γὰρ καὶ 8
περὶ τῶν ἐν Ἱερουσαλὴμ διδασκάλων λέγει Ἡσαΐας »πάντες κύνες
ἐνεοὶ οὐ δυνάμενοι ὑλακτεῖν, ἐνυπνιαζόμενοι κοίτην« καὶ τὰ ἑξῆς,
καὶ ὧδε δὲ ἐν τῇ τοῦ Ἰούδα ἐπιστολῇ δείκνυσι λέγων, »[ἐνυπνιαζό-
μενοι κοίτην,] ἃ οὐκ οἴδασι λέγοντες«. καὶ ἔδειξεν ὅτι οὐ περὶ τῆς
ἐνυπνιάσεως τοῦ ὕπνου λέγει, ἀλλὰ περὶ τῆς μυθώδους αὐτῶν τρα-

16 Judas 8 — **23** Jes. 56, 10 — **24** vgl. Judas 10

V M

1 *ἀναστρέψαι*, dazu am Rande *ἀνελκύσαι* V^{corr} | *αὐτὴν* M | *οὕτως*] *ταῦτα*, auf Rasur V^{corr} **1 f** wohl verderbt u. etwa zu lesen: *ἐστὶ ⟨κτηνώδη⟩ τὰ ληρώδη αὐτῶν μυθολογήματα* * **3** *ἀνελήμφθη*, *μ* durchgestrichen V^{corr} **7** *ἐνύπνοις* M **9** *γεννῶσά σοι*] *γεννώσας* M; *γεννήσασά σοι*? Jül. | *δὲ* oben hineingeflickt V^{corr} < M **11** *ὢν* V | *ἀόρατον* *] *ἀκάθαρτον* V M | *καὶ*[1] hinzugesetzt V^{corr} | *⟨ἀπὸ⟩* * | *μεταλαμβάνων* M **13** *δὲ ὢν*] *δεῖν* M | *ἀόρατος* *] *ἀόρατον* V M **14** vor *τῆς* + *ἡ* M, ausradiert V^{corr} | *μωρωλογίας* M **18** *ὁ*[2] < M **19** *ἐν* < M | *σώμασιν*, *σιν* auf Rasur V^{corr} | *ἐπιφέρει*, *ἐπι* auf Rasur V^{corr} **20** * etwa *⟨τῇ διανοίᾳ⟩* * **21** *ἐν* < V **22** *διδάσκων* M **23** *ἐνεοὶ*] *ἐν σοὶ* M **24** [*ἐνυπνιαζόμενοι κοίτην*] *, Wiederholung aus Z. 23 **26** *λέγει τοῦ ὕπνου* V

γῳδίας καὶ ληρολογίας, ὡς διὰ ὕπνου λεγομένης καὶ οὐκ ἀπὸ ἐρρωμένης διανοίας.

14. Περικακῶ δὲ ὡς ἀληθῶς τὰ πάντα ἐξειπεῖν. θεοῦ γάρ ἐστι **14, 1**
μόνου ἀποκλεῖσαι τὸν βυθὸν τῆς δυσοδμίας ταύτης. καὶ παρελεύσομαι ἐκ τοῦ τόπου, εὐξάμενος τῷ παμβασιλεῖ θεῷ μηδένα εἰς τὸν βόρβορον ἐγκαταπαγῆναι μηδὲ αὐτοῦ τὴν ἔννοιαν μεταλαβεῖν τῆς δυσώδους ἀκαθαρσίας. πρῶτον μὲν γὰρ ὁ ἀπόστολος Παῦλος ἐκκόπτει αὐτῶν πᾶσαν ῥίζαν τῆς κακίας, περὶ χηρῶν νεωτέρων παραγγέλλων »χήρας« φησίν »νεωτέρας παραιτοῦ· μετὰ γὰρ τὸ καταστρηνιᾶσαι τοῦ Χριστοῦ | γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα, ὅτι τὴν πρώ- Ö194
τὴν πίστιν ἠθέτησαν«· »ἀλλὰ γαμείτωσαν τεκνοποιείτωσαν οἰκοδεσποτείτωσαν«. εἰ δὲ ὁ ἀπόστολος λέγει τεκνογονεῖν [οἰκοδεσποτεῖν], **3**
οὗτοι δὲ παραιτοῦνται τὴν τεκνογονίαν, ὅφεώς ἐστι καὶ κακῆς διδασκαλίας τὸ ἐπιχείρημα. ἡττώμενοι γὰρ τῇ ἡδονῇ τῆς πορνείας ἐπινοοῦσιν ἑαυτοῖς ἀκαθαρσίας προφάσεις, ὅπως δόξωσι πληροφορεῖν τὴν ἑαυτῶν ἀσέλγειαν. καὶ ἔδει μὲν ἀληθῶς ταῦτα μήτε λέγεσθαι **4**
μήτε ἐν συντάγμασι καταξιοῦσθαι γράφεσθαι, θάπτεσθαι δὲ ὥσπερ νεκρόν τινα ὀδωδότα καὶ λοιμώδη | ἀποφορὰν πνέοντα, ἵνα μὴ καὶ D56
διὰ τῆς ἀκοῆς λυμήνηται τοὺς ἀνθρώπους. | καὶ εἰ μὲν παρεληλύθει **5** P97
ἡ τοιαύτη αἵρεσις καὶ οὐκέτι ἦν ἐν τῷ βίῳ, ἀγαθὸν ἦν ταύτην θάψαι καὶ μήτε ὅλως περὶ αὐτῆς εἰπεῖν. ἐπειδὴ δὲ καὶ ἔστι καὶ πράττεται, προετράπημεν δὲ ὑπὸ τῆς ὑμῶν τιμιότητος περὶ πάντων εἰπεῖν, μέρη αὐτῆς διηγησάμην ἀναγκασθείς, ἵνα τὸ φιλάληθες μὴ παρασιωπήσω, ἀλλὰ ὑφηγήσωμαι εἰς ἀποτροπὴν μὲν τῶν ἀκουόντων, εἰς ἐξαγωγὴν δὲ τῶν πραττόντων. πόθεν γὰρ οὐκ ἔχομεν δεῖξαι τοὺς **6**
παρ' αὐτοῖς φόνους καὶ τερατώδη ἔργα καὶ τελετὰς διαβόλου ἐξ ἐπι⟨π⟩νοίας τοῦ αὐτοῦ διαβόλου τοῖς ἐμβεβροντημένοις δοθείσας;

15. Καὶ εὐθὺς μὲν οὖν ἐλέγχονται εἰς ὃ φαντασιοῦνται καὶ προ- **15, 1**
φασίζονται περὶ τοῦ ξύλου τοῦ ἐν τῷ πρώτῳ ψαλμῷ εἰρημένου ὅτι

4 vgl. Apok. 20, 1 — **9** I Tim. 5, 11 — **11** I Tim. 5, 14 — **28** vgl. oben c. 8, 7; S. 285, 9ff

V M

6 *βόρβορον*] *τόπον* M | *αὐτοῦ* *] *ἑμαυτοῦ* VM **12** [*οἰκοδεσποτεῖν*] * **16** *μηδὲ* M **19** *δι' ἀκοῆς* V **22** *ἀπὸ* M | *τιμιότητος* M **23** *μέρη*/// zwei Buchstaben wegradiert V **24** *ἀλλ'* M | *ὑφηγήσομαι* M **24f** *εἰς ἐξαγωγὴν δὲ*, dazu am Rande *αἰσχύνην* Vcorr *εἰς ἐξαγωγὴν δὲ καὶ αἰσχύνην* M **25** *τοὺς*] *τοῖς* M **27** *ἐπι⟨π⟩νοίας* *, vgl. S. 316, 28 | *δοθείσης* M **28** *εἰς ὃ φαντασιοῦνται* < M **29** *εἰρημένου*, *ου* aus *ω* Vcorr

»δώσει τὸν καρπὸν αὐτοῦ ἐν καιρῷ αὐτοῦ καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται«. ἀνωτέρω γὰρ κεῖται ὅτι »ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός«. νόμον δὲ οὗτοι καὶ προφήτας ἀρνοῦνται. εἰ δὲ νόμον κυρίου ἀρ- **2**
5 νοῦνται, σὺν τῷ νόμῳ καὶ τὸν λαλήσαντα ἐν τῷ νόμῳ συκοφαντοῦσιν· πλανῶνται δὲ καθ' ὑπόνοιαν καὶ ἐκπεπτώκασιν τῆς ἀληθείας, κρίσιν τε οὐχ ἡγοῦνται οὔτε ἀνάστασιν ὁμολογοῦσιν. ὅσα δὲ πράτ- **3**
τουσιν ἐν τῷ σώματι ἡδονῆς ἔμπλεοι γινόμενοι, ταῦτα ἀποκαρποῦνται ἐκβακχευόμενοι ταῖς τοῦ διαβόλου ἡδοναῖς τε καὶ ἐπιθυμίαις, ὡς πάντη
10 τε καὶ πανταχοῦ ἐλέγχονται ἀπὸ τοῦ τῆς ἀληθείας λόγου· Ἰωάννης **4**
γὰρ λέγει »εἴ τις ἔρχεται«, φησί, »πρὸς ὑμᾶς, καὶ οὐ φέρει τὴν διδαχὴν ταύτην«. καὶ ποίαν φησίν; »εἴ τις οὐχ ὁμολογεῖ Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἀντίχριστός ἐστι«, »καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν«, ὡς τῶν μὴ ὁμολογούντων τὸν Χριστὸν ἐν σαρκὶ ἐληλυ-
15 θότα ἀντιχρίστων ὑπαρχόντων. ἀλλὰ καὶ αὐτὸς ὁ σωτὴρ λέγει | **5** D57
»οἱ καταξιωθέντες τῆς βασιλείας τῶν οὐρανῶν οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ' ἰσάγγελοί εἰσιν«. οὐ μόνον δέ, ἀλλὰ καὶ ἵνα δείξῃ **6**
τὴν σαφῆ ἁγνείαν καὶ τὴν διὰ τοῦ ἰδιάζειν ἁγιαστείαν, φάσκει τῇ Μαριάμ | »μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα«, Ö196
20 ἵνα δείξῃ τὴν ἁγνείαν ἀμέτοχον σωμάτων καὶ ἀμιγῆ. ἀλλὰ καὶ ἐν **7**
ἄλλῳ τόπῳ λέγει προθεσπίζον τὸ ἅγιον πνεῦμα καὶ διὰ τοὺς πρώην καὶ ⟨τοὺς⟩ μετέπειτα | »μακαρία στεῖρα ἡ ἀμίαντος ἥτις οὐκ ἔγνω P98
κοίτην ἐν παραπτώματι καὶ εὐνοῦχος ὃς οὐκ εἰργάσατο ἐν χερσὶν ἀνόμημα«, ἵνα παρακόψῃ τὰ διὰ τοῦ μύθου αὐτῶν ἐν χερσὶν αἰσχρουρ-
25 γήματα.

16. *Πόσα* δὲ ἄλλα ἔστιν εἰπεῖν, ὡς τοῦ ἀποστόλου λέγοντος πῆ **16, 1**
μέν »ὁ ἄγαμος καὶ ἡ παρθένος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ« — τοῦτο δέ φησι δεῖξαι τὴν ἁγνείαν ἐν ἀληθείᾳ, ἐκ τοῦ

1 Psal. 1, 3 — **2** Psal. 1, 2 — **11** II Joh. 10 — **12** II Joh. 7 — **13** I Joh. 2, 18 — **16** Luk. 20, 35f — **19** Joh. 20, 17 — **22** Weish. Sal. 3, 13f — **27** I Kor. 7, 32. 34

V M

6 καθ', θ aus τ V corr κατ' M **7** τε] δὲ M | οὐχ, χ aus κ V corr **10** τοῦ τῆς auf Rasur V corr τῆς τοῦ λόγου ἀληθείας M **11f** ταύτην τὴν διδαχὴν οὐ φέρει V **12** οὐκ M **14** τῶν μὴ *] μὴ τῶν VM | τὸν < M **14f** ἐν σαρκὶ — ἀντιχρίστων < M **17** γαμίσκονται M **18** σαφὴν M | ἰδιάζειν] ἁγιάζειν V | ἁγι///στείαν, α ausradiert V corr ἁγιαστίαν M **19** Μαρία V | πατέρα + μου M **22** ⟨τοὺς⟩ * **23** ἐν χερσὶν] ἐν < V χειρὶ M

ἁγίου πνεύματος ἐπιτρεπόμενος οὐ παρέργως —, ἔπειτα δὲ περὶ τῶν τὸν γάμον ἐχόντων τὸν σεμνὸν λέγοντος »τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος, πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεός«. ἀλλὰ καὶ κατ' 2
αὐτῶν ἐκβοᾷ γράφων Ῥωμαίοις, τὰ αἰσχρὰ ἀποκαλύπτων τῶν τὰς
5 κακοπραγίας ἐργαζομένων, λέγων »αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν« καὶ περὶ τῶν ἀρρένων, ὅτι »ἄρρενες ἐν ἄρρεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι«· ἀλλὰ 3
καὶ ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ περὶ τούτων λέγει ὅτι »ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί· ἔσονται γὰρ οἱ ἄνθρωποι
10 φιλήδονοι«, καὶ πάλιν »κωλυόντων γαμεῖν, κεκαυτηριασμένων τὴν συνείδησιν«, ὅτι τὸ μὲν γαμεῖν μετὰ σωφροσύνης καὶ τεκνογονεῖν 4
κωλύουσι, καιόμενοι δέ εἰσι τῇ συνειδήσει, λαγνεύοντες μὲν καὶ φθειρόμενοι, κωλύοντες δὲ τεκνογονεῖν. καὶ γὰρ καὶ αὐτὴ ἡ παρ' αὐ- 5
τοῖς λεγομένη Θυσία, | βορβορώδης τις οὖσα, ἤδη καὶ ἀπὸ τῶν ἀνέ- D58
15 καθεν διὰ τοῦ προφήτου ὑποδείκνυται οφεως οὖσα σὰρξ καὶ οὐχὶ τοῦ κυρίου (μὴ γένοιτο), λέγοντος οὕτως ὅτι »σὺ συνέτριψας τὴν κεφαλὴν τοῦ δράκοντος καὶ ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι«. βρῶμα γὰρ ὡς ἀληθῶς ὄφεως ἡ τούτων μυσαρὰ θρησκεία καὶ Αἰ- 6
θίοπες μεμελανωμένοι τῇ ἁμαρτίᾳ οἱ ταύτην τὴν τελετὴν τοῦ νῦν
20 μὲν δαίμονος Διὸς πάλαι δὲ γόητος, τοῦ παρά τισι Θεοῦ μάτην νενο- 7
μισμένου ⟨ἐπι⟩τελοῦντες. ἐκ γὰρ Ἑλληνικῶν μύθων πᾶσαι αἱ αἱρέσεις συνάξασαι ἑαυταῖς τὴν πλάνην μετέβαλον, μεταποιήσασαι εἰς ἄλλην διάνοιαν χείρονα. παρεισφέρουσι γὰρ οἱ ποιηταὶ τὸν Δία τὴν Μῆτιν 8
θυγατέρα ἑαυτοῦ καταπιόντα. βρέφος δὲ οὐκ ἄν τις καταπίοι, ὡς
25 καὶ ὁ ἅγιος Κλήμης | καταγελῶν τῆς τῶν θεῶν τῶν Ἑλλήνων αἰσ- P99

2 Hebr. 13, 4 — **5** Röm. 1, 26 — **7** Röm. 1, 27 — **8** II Tim. 3, 1. 2. 4 — **10** I Tim. 4, 2 — **13** vgl. oben c. 4, 6ff; S. 281, 7ff — **16** Psal. 73, 13. 14 — **20** vgl. clement. Hom. V 23; S. 71, 2 Lagarde VI 21; S. 80, 4 — **23**—S. **297**, **2** vgl. clement. Hom. IV 16; S. 60, 28ff Lagarde

V M

1 *οὐ παρέργως ἐπιτρεπόμενος* M **2** *τὸν* 2] *τὸ* M | *λέγοντος* *] *λέγει, ει* aus *ων* V corr *λέγων* M **10** *μᾶλλον ἢ φιλόθεοι* zu *φιλήδονοι* am Rande nachgetragen V corr < M | *ἀπέχεσθαι βρωμάτων* zu *γαμεῖν* am Rande nachgetragen V corr < M | *τὴν* + *ἰδίαν* M **13** *καὶ αὐτὴ*] *αὕτη* u. < *καὶ* M **16f** *τὴν κεφαλὴν* *] *τὰς κεφαλὰς* VM **17** nach *τοῦ δράκοντος* + *σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος* (wohl Glosse) M **21** *⟨ἐπι⟩τελοῦντες* *] *τελοῦντες* U < V M **22** *κατέβαλον* V; lies *μετέλαβον*? *

χρουργίας εἶπεν ὅτι τὴν Μῆτιν καταπιὼν οὐχὶ τὸ βρέφος ἠδύνατο καταπιεῖν, ἀλλὰ τὴν γονὴν τὴν ἰδίαν * σημαίνων. | Ö198

17. Τί δὲ ἕτερον εἴποιμι; ἢ πῶς ἀποσείσομαι τὸν πηλώδη τοῦ- **17, 1**
τον πόνον, βουλόμενος μὲν εἰπεῖν καὶ μὴ βουλόμενος, ἀναγκαζόμενος
δέ, ἵνα μὴ δόξω τι τῶν ὄντων παρακρύπτειν, καὶ φοβούμενος ἵνα
μὴ ἀποκαλύπτων τὰ δεινὰ αὐτῶν ἢ χράνω ἢ πλήξω ἢ εἰς τὸ περιεργάσασθαι περὶ τούτου τοὺς ἀπαγομένους ἡδοναῖς καὶ ἐπιθυμίαις ἑποτρύνω. ὅμως ἐγὼ μὲν ἀθῷος εἴην καὶ πᾶσα ἡ τῆς ἁγίας καθολικῆς **2**
ἐκκλησίας † ἐλπὶς καὶ πάντες οἱ τούτῳ τῷ γράμματι ἐντυγχάνοντες
ἀπὸ τῆς τοιαύτης τοῦ διαβόλου ὑποσπορᾶς καὶ κακομηχανίας· ἐὰν **3**
γὰρ ⟨ἀνα⟩λάβω λέγειν τὰ ἄλλα τὰ παρ᾽ αὐτοῖς λεγόμενα καὶ γινόμενα
ὅσα ἐστὶ τοιαῦτα καὶ τοσαῦτα, καὶ τούτων ἔτι μείζονα καὶ † ἐλάττω,
θελήσω δὲ καὶ ὡς φάρμακον ἰάσεως ἀλεξητήριον ἀντιδότων δίκην
πρὸς ἑκάστην λέξιν ἀντιθεῖναι, εἰς πολὺν ὄγκον ἐλάσω τῆς | συν- D59
τάξεως τὴν πραγματείαν. ταύτῃ γὰρ τῇ αἱρέσει, ἐπιπόθητοι, καὶ **4**
αὐτὸς περιέτυχον, ἐκ στόματος δὲ τῶν ταύτην ἐπιχειρούντων φύσει
αὐτὰ αὐτοπροσώπως ἐνηχήθην· γυναῖκες δὲ οὕτως ἠπατημέναι οὐ
μόνον τὴν λαλιὰν ταύτην ἡμῖν προέτειναν καὶ τὰ τοιαῦτα ἡμῖν ἀπεκάλυψαν, ἀλλὰ καὶ κατὰ τὴν Αἰγυπτίαν ἐκείνην τὴν τοῦ ἀρχιμαγείρου
τὴν ὀλετήριον καὶ μοχθηρὰν καὶ αὗται ἀθυρογλώττῳ τόλμῃ καται **5**
σπάσαι ἡμᾶς ἐν τῇ νέᾳ ἡμῶν ἡλικίᾳ ὁρεχθεῖσαι ἐπεχείρουν. ἀλλὰ ὁ
τότε συμπαραστὰς τῷ ἁγίῳ Ἰωσὴφ καὶ ἡμῖν παρέστη. καὶ τὸν ἐκεῖνον ἐκεῖ ῥυσάμενον ἐπικεκλημένοι οἱ ἀνάξιοι καὶ ἀνίκανοι, ἐλεηθέντες καὶ ἀποδράντες τὰς ὀλετηρίους αὐτῶν χεῖρας, θεῷ τῷ παναγίῳ ὕμνον
ᾄσαντες ἠδυνήθημεν καὶ αὐτοὶ λέγειν τό »ᾄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται, ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν«. οὐ γὰρ **6**
ὁμοίᾳ δυνάμει τῆς ἐκείνου δικαιοσύνης, ἀλλὰ στεναγμῷ τῷ πρὸς τὸν
θεὸν ἐλεηθέντες ἐσώθημεν. ὀνειδιζόμενος γὰρ ὑπ᾽ αὐτῶν τῶν ὀλετηρίων

19 vgl. Gen. 39, 6ff — **25** Exod. 15, 1

V M

1 τὸ < V **2** *] *σημαίνων* durchgestrichen V^{corr}; lies wohl ⟨*φαίνεται ὁ μῦθος τοῦ Διὸς*⟩ *σημαίνων* * **3** *ἀπο///σείσο///μαι*, durch kleine Veränderungen bei *o*, *ει* u. *o* hergestellt V^{corr} *ἀποσιωπήσομαι* M **4** *πόν///ον*, ein Buchstabe ausradiert V^{corr} *πόντον* M | *μὲν*] *δὲ* M **6** ἢ^{3} < V **8** *εἰμὶ* M | *ἁγίας* < M **9** † *ἐλπὶς*] lies viell. *σύστασις* * **11** ⟨*ἀνα*⟩*λάβω* *] *λάβω* getilgt, dafür am Rande *θελήσω* V^{corr} *λάβω* M | *καὶ γινόμενα* < M **12** † *ἐλάττω*] lies wohl *χείρω* * **13** *ἀλεξιτήριον* M **16** *ταύτῃ* V **17** *οὕτω* V **18** *προέτειναν* G] *περιέτειναν* V M **22** *συνπαραστὰς* M

γυναικῶν κατεγέλων ἐγώ, ὡς ὑπέφαινον αἱ τοιαῦται ἀλλήλαις (ἐπι-
σκώπτουσαι δῆθεν), | ὅτι οὐκ ἠδυνήθημεν σῶσαι τὸν νεανίσκον, ἀλλὰ P100
ἀφήκαμεν αὐτὸν ἐν χερσὶ τοῦ ἄρχοντος ἀπόλλυσθαι· ἐπειδήπερ ἥτις 7
αὐτῶν εὐμορφοτέρα εἴη δέλεαρ ὥσπερ ἑαυτὴν προτίθησιν, ὥστε δι'
αὐτῆς τοὺς ἀπατωμένους ἀντὶ τοῦ ἀπολλύειν σῴζειν ἐπιφημίζειν.
καὶ ὄνειδος λοιπὸν τῇ ἀμόρφῳ γίνεται παρὰ τῶν εὐμορφοτέρων, ὅτι
ἐγώ, φησί, σκεῦός εἰμι ἐκλογῆς, δυναμένη σῴζειν τοὺς ἀπατωμένους,
σὺ δὲ οὐκ ἴσχυσας. ἦσαν μὲν οὖν αἱ τὸν ἀγώγιμον μῦθον τοῦτον 8
ὑφηγούμεναι τῇ μορφῇ τῆς αὐτῶν ὄψεως εὐπροσωπόταται, τῷ δὲ νῷ
τῆς αὐτῶν μοχθηρίας τὴν πᾶσαν τοῦ διαβόλου ἀμορφίαν κεκτημέναι.
ἀλλὰ ὁ ἐλεήμων θεὸς τῆς μοχθηρίας αὐτῶν ἡμᾶς ἐρρύσατο, | ὥστε Ö200
μετὰ τὸ ἀναγνῶναι ἡμᾶς καὶ τὰς βίβλους αὐτῶν καὶ ἐπιστῆσαι τὸν | D60
νοῦν τῇ ἀληθείᾳ καὶ μὴ συναπαχθῆναι, ἀποδρᾶσαί τε καὶ μὴ δελεα-
σθῆναι, τὸ τηνικαῦτα ἐσπουδάσαμεν καὶ τοῖς ἐπισκόποις τοῖς ἐν τῷ 9
τόπῳ ἐκείνῳ αὐτοὺς ὑποδεῖξαι καὶ τὰ ὀνόματα ⟨τὰ⟩ ἐν τῇ ἐκκλησίᾳ κε-
κρυμμένα φωρᾶσαι, ⟨ὡς⟩ καὶ τοὺς αὐτοὺς ἀπελαθῆναι τῆς πόλεως, ὀνό-
ματα περί που ὀγδοήκοντα, καὶ τὴν πόλιν τῆς αὐτῶν ζιζανιώδους
ὕλης καὶ ἀκανθώδους καθαρθῆναι.

18. Μνημονεύσας δέ τις τῆς ἄνω ἡμῶν ὑποσχέσεως τάχα καὶ 18, 1
ἐπαινέσειεν, ὡς ἡμῶν προαγγειλάντων ὅτι τισὶν αὐτῶν παρετύχομεν,
τινὰ δὲ διὰ συγγραμμάτων ἐγνώκαμεν, τινὰ δὲ δι' ἐνηχήσεών τε καὶ
μαρτυριῶν ἀξιοπίστων ἀνδρῶν δυναμένων ἡμῖν τὴν ἀλήθειαν ὑπο-
δεικνύναι, ὡς καὶ ἐνταῦθα φιλαλήθως οὐχ ὑπερβεβήκαμεν τὸν τόπον,
ἀλλὰ ἐδείξαμεν ὡς μία ἐστὶν αὕτη τῶν ἡμῖν περιτυχουσῶν αἱρέσεων.
καὶ σαφῶς περὶ ταύτης ἠδυνήθημεν λέγειν ἐξ ὧν (μὴ γένοιτο) οὐ 2
πράξαντες, ἀλλὰ μεμαθηκότες ἀκριβῶς ⟨ἐγνώκαμεν⟩ παρὰ τῶν ἡμᾶς
εἰς τοῦτο πειθόντων καὶ μὴ κατισχυσάντων, ἀλλὰ τὴν ἑαυτῶν ἐλπίδα
τῆς εἰς ἡμᾶς ἀπωλείας ἀπολεσάντων καὶ μὴ ἐπιτυχόντων τοῦ σκοποῦ
τῆς εἰς τὴν τάλαιναν ἡμῶν ψυχὴν ἐπιχειρουμένης ὑπ' αὐτῶν τε καὶ

7 vgl. Act. 9, 15 — 19 vgl. oben Prooem. II 2, 4; S. 170, 12ff

V M

1 *κατεγελώμην* aus *κατεγέλων* V corr *κατεγελώμην* M 1f *ἐπισκοπτούσαις* M
3 *εἴ τις* M 4 *εὐμορφο///τέρα, ο* aus *ω* V 6 *τῶν ἀμόρφων* V 8 *σὺ δὲ οὐκ ἴσχυσας*, nachgetragen V corr < M 9 *ὄψεως* *] *πτώσεως* V M 12 *καὶ*[1] < V | *αὐτῶν* am Rande nachgetragen V corr < M | *ἐπιστῆναι* M 15 *ὑπεδείξαμεν αὐτοὺς* M | ⟨*τὰ*⟩ * 15f *κεκρυμμένα* < M 16 ⟨*ὡς*⟩ * | *τοὺς αὐτοὺς*] *τούτους* M | *ἀπελα///θῆναι, σ* ausradiert V 20 *παρετύχο///μεν, ο* aus *ω* V corr
26 ⟨*ἐγνώκαμεν*⟩ * 28 *ἀπο///λεσάντων, ο* aus *ω* V

τοῦ ἐν αὐτοῖς διαβόλου συσκευῆς, ὡς καὶ συνῳδὰ ἡμᾶς λέγειν τῷ 3
ἁγιωτάτῳ Δαυὶδ ὅτι »βέλη νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν«
καὶ τὰ ἑξῆς, καὶ ὅτι »ἐπιστρέψει ὁ πόνος αὐτῶν εἰς κεφαλὴν αὐ-
τῶν, | καὶ ἡ ἀδικία αὐτῶν ἐπὶ κορυφὴν αὐτῶν καταβήσεται«. ὡς 4 P101
οὖν περιτυχόντες καὶ ἀποδράντες καὶ ἀναγνόντες, γνόντες καὶ κατα-
γνόντες, σωθέντες τε ὑπερβεβήκαμεν, οὕτω καὶ σὲ τὸν ἀναγινώσκοντα
παρακαλοῦμεν ἀναγνόντα καὶ καταγνόντα τοῦ * ὑπερβῆναι, εἰς τὸ
μὴ ἐμπεσεῖν ἐν τῷ ἰῷ τῆς τῶν ἑρπετῶν τούτων μοχθηρίας. ἀλλ' 5
εἰ καί ποτε περιτύχοις τισὶ τῶν ἀπὸ τῆς ὀφιώδους ταύτης σχολῆς,
εὐθὺς τὸ ξύλον ἀναλαβὼν τὸ διὰ τοῦ κυρίου ἡμῖν ἑτοιμασθέν, ἐν ᾧ
ὁ | κύριος ἡμῶν προσεπάγη Χριστός, ⟨καὶ⟩ κατὰ τῆς κεφαλῆς τοῦ D61
ὄφεως εὐθὺς βαλὼν εἴποις ὅτι »Χριστὸς ἐσταύρωται ὑπὲρ ἡμῶν,
ὑπογραμμὸν ἡμῖν περιλιμπάνων« σωτηρίας· ὅτι οὐκ ἂν ἐσταυροῦτο, 6
εἰ μὴ σάρκα εἶχε. σάρκα δὲ ἔχων καὶ σταυρωθεὶς ἐσταύρωσεν ἡμῶν
τὰς ἁμαρτίας. πίστει ἔχομαι τῆς ἀληθείας καὶ οὐχ ὑπάγομαι πλάνῃ
τῇ νοθείᾳ τοῦ ὄφεως καὶ παραψιθυρισμῷ τῆς αὐτοῦ διδασκαλίας.

19. Λοιπὸν ταύτην παρελθών, ἀγαπητοί, ἐφεξῆς βαδιοῦμαι ἐπὶ 19, 1
τὰς | ἄλλας τραχείας τρίβους, οὐχ ἵνα βαδίσω, ἀλλ' ἵνα ἀπὸ μήκοθεν Ö202
ὑποδείξω τοῖς βουλομένοις τὰ τραχύτατα μὲν ἐπιγινώσκειν, φεύγειν
δὲ διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ τῆς φερούσης εἰς ζωὴν
αἰώνιον καὶ καταλιμπάνειν τὴν πλατεῖαν καὶ εὐρύχωρον καὶ ἀκαν-
θώδη καὶ προσκομμάτων ἔμπλεον ὁδόν, βορβορώδη καὶ ἀσελγείας
καὶ πορνείας ἐμπεπλησμένην, ἧς πορνείας καὶ ἀσελγείας τὸ ὅμοιον 2
ἔστιν ἰδεῖν ἐν τῷ ἑρπετῷ τῷ δεινοτάτῳ, ᾧ ἐπέθεντο τὸ ὄνομα
ἀπειρώδινον ἔχιδναν οἱ παλαιοί. ἔστι γὰρ τῆς τοιαύτης ἐχίδνης ἡ 3
φύσις ὁμοία τῆς τούτων μοχθηρίας. διὰ γὰρ τῆς ἀνδρείας φύσεως
ἡ γυναικείας τὴν αἰσχρότητα ἐπιτελοῦντες ταύτην ἀπαγορεύουσι τὴν
τῶν σπερμάτων καταβολήν, ἀφανίζοντες τὴν ἐκ θεοῦ τοῖς κτίσμασι
δεδομένην τεκνογονίαν, ὡς καὶ ὁ ἀπόστολός φησι »τὴν γὰρ ἀντι-

2 Psal. 63, 8 — **3** Psal. 7, 17 — **12** I Petr. 2, 21 — **20f** vgl. Matth. 7, 13f — **29** Röm. 1, 27

V M

5 ἀναγνό///ντες, ο aus ω V corr ἀναγνῶντες M | γνόντες < M **6** τε *] δὲ V M **7** * etwa ⟨δηλητηρίου αὐτῶν κηρύγματος⟩ * **9** τῇ σοφιώδους, drübergesetztes σ von erster Hand M **11** ⟨καὶ⟩ * **12** βαλὼν *] λαβὼν V M **13** περιλαμβάνων, dazu am Rande ὑπολιμπάνων V corr **18** ὑπὸ M **19** τραχύτερα aus τραχύτατα hergestellt V **22** ἔμπλεων, ω aus ο V ἔμπλεων M **25** ἀπειρώδινον Jül. vgl. S. 300, 11] ἀπειρώδυνον V M **27** ταύτης M **29** διδομένην M

μισθίαν ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες· καὶ τὰ ἑξῆς. οὕτω γάρ, φησί, τὴν ἀπειρώδινον ἔχιδναν θελχθεῖσαν τῷ 4
πάθει τῆς ἐπιθυμίας, τήν τε θήλειαν πρὸς τὸν ἄρρενα καὶ τὸν ἄρρενα πρὸς τὴν θήλειαν, περιπλακείσας μὲν ὁμοῦ, διὰ τοῦ στόματος χαινού-
σης τῆς θηλείας τὸν ἄρρενα τὴν κεφαλὴν εἰσβάλλειν, | ἐκείνης δὲ πάθει P102
συσχεθείσης ἀποτέμνειν τὴν τούτου κεφαλὴν καὶ οὕτως τὸν ἀπὸ τοῦ στόματος σταλάξαντα ἰὸν καταπιοῦσαν ἐν ἑαυτῇ ἐγκυμονεῖν μὲν | D62
τοιοῦτο ζεῦγος ἀρρενόθηλυ· ὅπερ ζεῦγος ἁδρυνθὲν ἐν τῇ κοιλίᾳ καὶ 5
μὴ ἔχον πόθεν γεννηθῆναι τὴν πλευρὰν τῆς μητρὸς τιτρώσκειν καὶ
οὕτως γεννᾶσθαι, ὥστε ἀπολέσθαι τόν τε τούτων πατέρα καὶ τὴν μητέρα. διόπερ ἀπειρώδινον αὐτῇ ἐπέθεντο ὄνομα, ὅτι ὠδίνων οὐ πειρᾶται. δεινὴ δὲ καὶ φοβερὰ παρὰ πάντα τὰ ἑρπετὰ τυγχάνει, 6
ἐν ἑαυτῇ τὸν ἀφανισμὸν ἐξεργαζομένη καὶ διὰ στόματος τὴν αἰσχρότητα ἀπολαμβάνουσα, ᾗ ἔοικεν αὕτη ἡ φρενοβλαβὴς αἵρεσις, ἧς τὴν
κεφαλὴν καὶ τὸ σῶμα καὶ τὰ ἐξ αὐτῆς γεγεννημένα ἐνταῦθα συντρίψαντες τῷ ξύλῳ τῆς ζωῆς τὰς ἑτέρας διασκοπεῖν προέλθωμεν, θεὸν ἀρωγὸν ἐπικαλούμενοι, ᾧ τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Κατὰ Καρποκρασίων $\overline{ζ}$, *τῆς δὲ ἀκολουθίας* $\overline{κζ}$.

1. *Καρποκρᾶς τις ἕτερος γίνεται, συστήσας ἑαυτῷ ἀθέμιτον δι-* **1, 1**
δασκαλεῖον τῆς ψευδωνύμου αὐτοῦ γνώμης, χείρονας πάντων οὗτος
τοὺς τρόπους κεκτημένος. ἐκ πάντων γὰρ τούτων, Σίμωνός τε καὶ **2**
Μενάνδρου, Σατορνίλου τε καὶ Βασιλείδου καὶ Νικολάου καὶ αὐτοῦ

19 ff vgl. mit der Darstellung des Epiph. insbesondere (Hegesipp bei Eusebius h. e. IV 22, 5; S. 372, 1 Schwartz Celsus bei Origenes c. Cels. V 62; II 65, 25 f Kötschau) Irenaeus adv. haer. I 25; I 204 ff Harvey Hippolyt refut. VII 32; S. 218, 1 ff Wendland Tertullian de anima 23 u. 35 Ps. Tert. adv. omn. haer. 3 Filastrius haer. 35; S. 19, 9 ff Marx

V M

1 *αὐτῶν* < V **2** u. **11** *ἀπειρώδυνον* V M **5** *συνεισβαλεῖν* M | *ἐκείνης*, *σ* angeflickt V corr **9** *ἔχων* M **10** *ἀπο///λέσθαι* V **14** *φρενοβλαβῆ* M **15** *γεγεννημένα*, *ν* von späterer Hand drüber V **17** *τοὺς* < V **18** Unterschrift *κατὰ Γνωστικῶν* V *κατὰ Γνωστικῶν τῶν καὶ Βορβορητῶν* M **19** *κατὰ Καρποκρασίων ἐβδόμη*, *ἡ καὶ* $\overline{κζ}$ V *κατὰ Καρποκρασίων* $\overline{ζ}$, *τῆς δὲ ἀκολουθίας* $\overline{κζ}$ M **20 f** *διδασκαλί///αν* aus *διδασκαλεῖον* V corr *διδασκάλιον* M **21** *χείρους* M **22** *ἐκέκτητο* M **23** *τε* < M | *βασιλείδους* M **23 f** *αὐτοῦ τοῦ*] *αὐτοῦ* auf Rasur V corr *τοῦ τοῦ* M

τοῦ Καρποκρᾶ, ἔτι δὲ ἐκ προφάσεως Οὐαλεντίνου ἡ τῆς ψευδωνύμου | γνώσεως ἐφύη αἵρεσις, ἥτις Γνωστικοὺς τοὺς αὐτῆς ὠνόμασεν, Ö204
ἀφ' ἧς οἱ Γνωστικοὶ ἤδη μοι δεδήλωνται, κατάγνωστοι ὄντες τὸν τρόπον.

2. Οὗτος δὲ πάλιν ἄνω μὲν μίαν ἀρχὴν λέγει καὶ πατέρα τῶν **2, 1**
ὅλων [καὶ] ἄγνωστον καὶ ἀκατονόμαστον ἴσα τοῖς ἄλλοις εἰσάγειν
βούλεται, τὸν δὲ κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ ὑπὸ ἀγγέλων γεγενῆσθαι, τῶν πολύ τι [ὑπὸ] τοῦ πατρὸς τοῦ ἀγνώστου ὑποβεβηκότων·
τούτους γὰρ λέγει ἀποστάντας ἀπὸ τῆς ἄνω δυνάμεως οὕτω τὸν | D63
κόσμον πεποιηκέναι. Ἰησοῦν δὲ τὸν κύριον ἡμῶν ἀπὸ Ἰωσὴφ λέγει **2**
γεγεννῆσθαι, καθάπερ καὶ πάντες ἄνθρωποι ἐκ σπέρματος ἀνδρὸς καὶ γυναικὸς ἐγεννήθησαν. εἶναι δὲ αὐτὸν ὅμοιον τοῖς πᾶσι, βίῳ δὲ διενηνοχέναι, σωφροσύνῃ τε καὶ ἀρετῇ καὶ βίῳ δικαιοσύνης. ἐπειδὴ **3**
δέ, φησίν, εὔτονον ἔσχε ψυχὴν παρὰ τοὺς ἄλλους ἀνθρώ|πους καὶ P103
ἐμνημόνευεν τὰ ὁραθέντα ὑπ' αὐτῆς ἄνω, ὅτε ἦν ἐν τῇ περιφορᾷ τοῦ ἀγνώστου πατρός, ἀπεστάλθαι ὑπὸ τοῦ αὐτοῦ πατρός, φησίν, εἰς τὴν αὐτοῦ ψυχὴν δυνάμεις, ὅπως τὰ ὁραθέντα αὐτῇ ἀναμνημο- **4**

5—8 vgl. Irenaeus adv. haer. I 25, 1; I 204 Harvey = Hippolyt refut. VII 32, 1; S. 218, 1ff Wendland *Καρποκράτης τὸν μὲν κόσμον καὶ τὰ ἐν αὐτῷ ὑπὸ ἀγγέλων πολὺ ὑποβεβηκότων τοῦ ἀγενήτου πατρὸς γεγενῆσθαι λέγει* Ps. Tert. adv. omn. haer. 3 *Carpocrates . . . unam esse dicit virtutem in superioribus principalem, ex hac prolatos angelos atque virtutes, quos distantes longe a superioribus virtutibus mundum istum in inferioribus partibus condidisse* Filastrius haer. 35; S. 19, 9ff Marx *Carpocras . . . et ipse dicens unum principium, de quo principio id est de deo prolationes factae sunt, inquit, angelorum atque virtutum: quae autem virtutes deorsum sunt, fecerunt creaturam istam visibilem* — **10—S. 302, 11** vgl. Irenaeus adv. haer. I 25, 1; I 204 Harvey = Hippolyt refut. VII 32, 1ff; S. 218, 2ff *τὸν δὲ Ἰησοῦν ἐξ Ἰωσὴφ γεγεννῆσθαι καὶ ὅμοιον τοῖς ἀνθρώποις γεγονότα δικαιότερον τῶν λοιπῶν γενέσθαι, τὴν δὲ ψυχὴν αὐτοῦ εὔτονον καὶ καθαρὰν γεγονυῖαν διαμνημονεῦσαι τὰ ὁρατὰ μὲν αὐτῇ ἐν τῇ μετὰ τοῦ ἀγενήτου θεοῦ περιφορᾷ καὶ διὰ τοῦτο ὑπ' ἐκείνου αὐτ(ῇ) καταπεμφθῆναι δύναμιν, ὅπως τοὺς κοσμοποιοὺς ἐκφυγεῖν δι' αὐτῆς δυνηθῇ· ἣν καὶ διὰ πάντων χωρήσασαν ἐν πᾶσί τε ἐλευθερωθεῖσαν ⟨ἀν⟩ελιλυθέναι πρὸς αὐτὸν ⟨καὶ ὁμοίως τὴν⟩ τὰ ὅμοια αὐτῇ ἀσπαζομένην* — **15f** vgl. Plato Phaedr. 246 ff

V M

3 *καταγνωστικοὶ* V **5** *ἄνω μὲν*] *ἄνωθεν* M **6** [*καὶ*] * | *ἀκατωνόμαστον* M | *εἰσάγειν* < M **7** *βουλόμενος* aus *βούλεται* Vcorr **7f** *γεγεννῆσθαι* M **8** [*ὑπὸ*] * | *τοῦ*² < M | *ὑπερβεβηκότων* M **14** *φησίν* < M

νεύσασα καὶ ἐνδυναμωθεῖσα φύγῃ τοὺς κοσμοποιοὺς ἀγγέλους ἐν τῷ διὰ πάντων χωρῆσαι τῶν ἐν τῷ κόσμῳ πραγμάτων καὶ πράξεων τῶν ὑπὸ τῶν ἀνθρώπων γινομένων καὶ ἐν παραβύστῳ ἀτόπων ἔργων καὶ ἀθεμίτων, καὶ ὅπως διὰ πασῶν τῶν πράξεων ἐλευθερωθεῖσα ἡ 5
5 *αὐτὴ ψυχή, φησί, τοῦ Ἰησοῦ ἀνέλθῃ πρὸς τὸν αὐτὸν πατέρα τὸν ἄγνωστον, τὸν δυνάμεις αὐτῇ ἀποστείλαντα ἄνωθεν, ἵνα διὰ πασῶν τῶν πράξεων χωρήσασα καὶ ἐλευθερωθεῖσα διέλθοι πρὸς αὐτὸν ἄνω.*
οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς ὁμοίας αὐτῇ ψυχάς, ⟨τὰς⟩ τὰ ἴσα αὐτῇ ἀσπα- 6
σαμένας, τὸν αὐτὸν τρόπον ἐλευθερωθείσας ἄνω πτῆναι πρὸς τὸν
10 *ἄγνωστον πατέρα, ἐν τῷ τὰς πάσας πράξεις πραξάσας ὁμοίως ⟨τε⟩ τῶν πάντων ἀπαλλαγείσας λοιπὸν ἐλευθερωθῆναι. τὴν δὲ ψυχὴν* 7
τοῦ Ἰησοῦ ἐν τοῖς τῶν Ἰουδαίων ἔθεσιν ἀνατραφεῖσαν καταφρονῆσαι αὐτῶν καὶ διὰ τοῦτο δυνάμεις εἰληφέναι, δι' ὧν τὰ ἐπὶ κολάσεσι πάθη προσόντα τοῖς ἀνθρώποις δυνηθεῖσα † πρᾶξαι ὑπερβῆναί τοὺς
15 *κοσμοποιοὺς ἴσχυσεν. οὐ μόνον δὲ αὐτὴν τὴν ψυχὴν τοῦ Ἰησοῦ τοῦτο* 8
*δεδυνῆσθαι, ἀλλὰ καὶ τὴν δυναμένην διὰ ⟨πασῶν⟩ τῶν πράξεων χωρῆσαι ὑπερβῆναι τοὺς κοσμοποιοὺς αὐτοὺς ἀγγέλους· καὶ αὐτὴ ἐὰν λάβῃ δυνάμεις καὶ τὰ ὅμοια πράξῃ, * καθάπερ ἡ τοῦ Ἰησοῦ, ὡς προεῖπον. ὅθεν εἰς τῦφον μέγαν οὗτοι ἐλη|λακότες οἱ ὑπὸ τοῦ* 9 D64

11—19 vgl. Irenaeus adv. haer. I 25, 1f; I 205 Harvey = Hippolyt refut. VII 32, 2f; S. 218, 10ff Wendland *τὴν δὲ τοῦ Ἰησοῦ λέγουσι ψυχὴν ἐννόμως ἠσκημένην ἐν Ἰουδαϊκοῖς ἔθεσι καταφρονῆσαι αὐτῶν καὶ διὰ τοῦτο δυνάμεις εἰληφέναι, δι' ὧν κατήργησε τὰ ἐπὶ κολάσει πάθη προσόντα τοῖς ἀνθρώποις. τὴν οὖν ὁμοίως ἐκείνῃ τῇ τοῦ Χριστοῦ ψυχῇ δυναμένην καταφρονῆσαι τῶν κοσμοποιῶν ἀρχόντων ὁμοίως λαμβάνειν δύναμιν πρὸς τὸ πρᾶξαι τὰ ὅμοια* — **19**—S. **303**, **12** vgl. Irenaeus adv. haer. I 25, 2; I 205 Harvey = Hippolyt refut. VII 32, 3f; S. 218, 15ff Wendland *διὸ καὶ εἰς τοῦτο τὸ τῦφος κατεληλύθασιν, ὥστε [αὐ]τοὺς μὲν ὁμοίους αὐτῷ εἶναι λέγουσι τῷ Ἰησοῦ, τοὺς δὲ καὶ ἔτι ⟨κατά τι⟩ δυνατωτέρους, τινὰς δὲ καὶ διαφορωτέρους τῶν ἐκείνου μαθητῶν, οἷον Πέτρου καὶ Παύλου καὶ τῶν λοιπῶν ἀποστόλων· τούτους δὲ κατὰ μηδὲν ἀπολείπεσθαι τοῦ Ἰησοῦ. τὰς δὲ ψυχὰς αὐτῶν ἐκ τῆς ὑπερκειμένης ἐξουσίας παρούσας καὶ διὰ τοῦτο ὡσαύτως καταφρονούσας τῶν κοσμοποιῶν [διὰ] τῆς αὐτῆς ἠξιῶσθαι δυνάμεως καὶ αὖθις εἰς τὸ αὐτὸ χωρῆσαι· εἰ δέ τις ἐκείνου πλέον καταφρονήσειεν τῶν ἐνταῦθα, δύνασθαι διαφορώτερον αὐτοῦ ὑπάρχειν* s. auch Tertullian de anima 23

V M

3 *ἀνθρώπων*] *ἀγγέλων* M **4—7** *ἐλευθερωθεῖσα — πράξεων* < M **8** ⟨*τὰς*⟩ * **10** *πραξάσας* < M | ⟨*τε*⟩ * **14** *δυνηθεῖσα* *] *δυνηθεὶς* V M | † *πρᾶξαι*] lies wohl *καταργῆσαι* *, vgl. Hippolyt **16** *δυναμένην* + ⟨*ὁμοίως αὐτῇ*⟩? Jül. | ⟨*πασῶν*⟩ * **17** *χωρῆσαι* *] *χωρήσασαν* V M **18** * ⟨*ἄνω πτήσεται*⟩ * | *ἡ* < V **19** *μέγα* V

ἀπατεῶνος τούτου ἀπατηθέντες ἑαυτοὺς προκριτέους ἡγοῦνται καὶ αὐτοῦ τοῦ Ἰησοῦ. ἄλλοι δὲ ἐξ αὐτῶν οὐκ Ἰησοῦ φασιν, ἀλλὰ Πέτρου καὶ Ἀνδρέου καὶ Παύλου καὶ τῶν λοιπῶν ἀποστόλων ἑαυτοὺς ὑπερφερεστέρους εἶναι διὰ τὴν ὑπερβολὴν τῆς γνώσεως καὶ τὸ περισσότερον τῆς διαπράξεως διαφόρων διεξόδων· ἄλλοι δὲ ἐξ αὐτῶν φάσκουσι μηδὲν διενηνοχέναι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. αἱ γὰρ ψυχαὶ | ἐκ τῆς αὐτῆς περιφορᾶς εἰσι καὶ ὁμοίως κατὰ τὴν τοῦ Ἰησοῦ Ö206 πάντων καταφρόνησιν ποιησάμεναι *. καὶ ⟨γὰρ⟩ αἱ πᾶσαι, φησί, ψυχαὶ τῆς αὐτῆς δυνάμεως ἠξιώθησαν ἧς καὶ ἡ τοῦ Ἰησοῦ ἠξίωται· διὸ καὶ ταύτα⟨ς⟩ φασὶ χωρεῖν διὰ πάσης πράξεως, καθάπερ ἀμέλει καὶ ἡ τοῦ Ἰησοῦ διελήλυθεν. εἰ δὲ καί | τις πάλιν δυνηθείη ὑπὲρ τὸν Ἰη- P104 σοῦν καταφρονῆσαι, διαφορώτερος ἔσται αὐτοῦ.

3. Ἐπιχειροῦσι δὲ οἱ τῆς ἀθεμίτου ταύτης σχολῆς παντοίας ἐπι- **3, 1** χειρήσεις δεινῶν ἔργων καὶ ὀλετηρίων. μαγεῖαι γὰρ παρ' αὐτοῖς ἐπινενόηνται, ἐπῳδάς τε διαφόρους πρὸς πᾶσαν μηχανὴν ἐφηύραντο, [πρὸς] φίλτρα ⟨τε⟩ καὶ ἀγώγιμα. οὐ μὴν δὲ ἀλλὰ καὶ παρέδρους δαίμονας ἑαυτοῖς ἐπισπῶνται, εἰς τὸ διὰ πολλῆς μαγγανείας ἐν ἐξουσίᾳ μεγάλῃ πάντων ⟨γενέσθαι⟩, ⟨ὥστε⟩, φησί, κυριεύειν ὧν τε ἂν ἐθέλοι ἕκαστος καὶ ᾗ πράξει ἐπιχειρεῖν τολμήσειε· δῆθεν ἑαυτοὺς ἐξαπατῶντες **2** πρὸς πληροφορίαν τῆς τετυφλωμένης αὐτῶν διανοίας, ὅτι αἱ τοιαῦτα ἐγχειρήσασαι ⟨ψυχαί⟩, κατισχύσασαι διὰ τῶν τοιούτων πράξεων καὶ καταφρονήσασαι τῶν κοσμοποιῶν ἀγγέλων καὶ τῶν ἐν τῷ κόσμῳ, ὑπερβαίνουσι τὴν τῶν αὐτῶν μυθοποιῶν (οὐ γὰρ ἂν εἴποιμι κοσμοποιῶν) ἐξουσίαν, ὅπως ἂν τὴν ἄνω ἐλευθερίαν ἀσπάσωνται καὶ τὴν ἄνω πτῆσιν κτήσαιντο. εἰσὶ δὲ ἐκ τοῦ Σατανᾶ παρεσκευασμένοι **3**

13—25 vgl. Irenaeus adv. haer. I 25, 3; I 206 Harvey = Hippolyt refut. VII 32,5; S. 219, 8ff Wendland *τέχνας οὖν μαγικὰς ἐξεργάζονται καὶ ἐπαοιδάς, φίλτρα τε καὶ χαριτήσια, παρέδρους τε καὶ ὀνειροπόμπους καὶ τὰ λοιπὰ κακουργήματα, φάσκοντες ἐξουσίαν ἔχειν πρὸς τὸ κυριεύειν ἤδη τῶν ἀρχόντων καὶ ποιητῶν τοῦδε τοῦ κόσμου, οὐ μὴν ἀλλὰ καὶ τῶν ἐν αὐτῷ ποιημάτων ἁπάντων* — **25**—S. **304, 13** vgl. Irenaeus adv. haer. I 25, 3; I 206f Harvey = Hippolyt refut. VII 32, 6; S. 219, 13ff *οἵτινες καὶ αὐτοὶ εἰς διαβολὴν τοῦ θείου τῆς ἐκκλησίας ὀνόματος πρὸς τὰ ἔθνη ὑπὸ τοῦ σατανᾶ*

V M

3 *Παύλου καὶ Ἀνδρέου* M **5** *διὰ πράξεων* M **6** *διεννηνοχέναι* M **8** * etwa ⟨*καὶ εἰς τὸ αὐτὸ χωρήσουσιν*⟩ *, nach Iren. Hipp. | ⟨*γὰρ*⟩ * **9** *ἡ* < V **10** *ταύτα⟨ς⟩* * **14f** *μαγεία . . . ἐπινενόηται* V **15** *ἐφεύροντο, o* aus *α* V **16** [*πρὸς*] * | ⟨*τε*⟩ * **18** ⟨*γενέσθαι*⟩, ⟨*ὥστε*⟩ * **20f** *τοιαῦτα ἐγχειρήσασαι* ⟨*ψυχαί*⟩ *] *τοιαῦτα ἐγχειρήσεις* V M **21** *τοσούτων* V **22** *καταφρονῆσαι* M

καὶ προβεβλημένοι εἰς ὄνειδος καὶ σκάνδαλον τῆς τοῦ θεοῦ ἐκκλησίας. ἐπέθεντο γὰρ ἑαυτοῖς ἐπίκλην Χριστιανοί, τοῦτο τοῦ Σατανᾶ παρασκευάσαντος πρὸς τὸ σκαν|δαλίζεσθαι τὰ ἔθνη δι' αὐτῶν καὶ D65
ἀποστρέφεσθαι τὴν τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὠφέλειαν καὶ τὸ
ἀληθινὸν κήρυγμα διὰ τὰς ἐκείνων ἀθεμιτουργίας καὶ ἀνηκέστου⟨ς⟩
κακοπραγίας, εἰς τὸ τὰ ἔθνη κατανοοῦντα αὐτῶν τὰ ἐπάλληλα ἔργα 4
τῶν ἀθεμιτουργιῶν, νομίσαντα καὶ τοὺς τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας τοιούτους εἶναι, ἀποστρέφειν ὡς καὶ προεῖπον τὴν ἀκοὴν ἀπὸ τῆς τοῦ θεοῦ κατὰ ἀλήθειαν διδασκαλίας ἢ καὶ ὁρῶντά τινας *
πάντας ⟨ἡμᾶς⟩ ὁμοίως βλασφημεῖν. καὶ τούτου ἕνεκα οἱ πλείους τῶν 5
ἐθνῶν ὅπου δ᾽ἂν ἴδωσι τοιούτους οὔτε ἐπὶ κοινωνίᾳ ἡμῖν προσφέρονται ληψοδοσίας ἢ γνώμης ἢ ἀκοῆς λόγου θείου οὔτε τὴν ἀκοὴν ἐντιθέασιν, ἐπτυρμένοι ἀπὸ τῆς τῶν ἀθεμίτων ἀνοσιουργίας.

4. Εἰσὶ δὲ ἐν ἀσωτίᾳ διατελοῦντες οὗτοι καὶ πᾶν ὁτιοῦν ἐργαζό- 4, 1
μενοι πρὸς εὐπάθειαν σωμάτων, ἡμῖν δὲ ὅλως οὐ προσεγγίζοντες, εἰ μή τι ἂν πρὸς τὸ δελεάσαι ψυχὰς ἀστηρίκτους τῇ αὐτῶν κακοδιδασκαλίᾳ. εἰς οὐδὲν γὰρ ἡμῖν ὁμοιοῦνται ἢ μόνον ὀνόματι καλεῖσθαι σεμνύνονται, ὅπως διὰ τοῦ ὀνόματος τὸ ἐπίπλαστον τῆς ἑαυτῶν κακίας θηράσωνται. »τὸ δὲ κρίμα τούτων« | κατὰ τὸ γεγραμμένον 2 P105
»ἔνδι|κόν ἐστιν«, ὡς ὁ ἅγιος ἀπόστολος Παῦλος ἔφη· διὰ γὰρ τὰς Ö208

προεβλήθησαν, ἵνα κατ᾽ ἄλλον καὶ ἄλλον τρόπον τὰ ἐκείνων ἀκούοντες ἄνθρωποι καὶ δοκοῦντες ἡμᾶς πάντας τοιούτους ὑπάρχειν ἀποστρέφωσι τὰς ἀκοὰς αὐτῶν ἀπὸ τοῦ τῆς ἀληθείας κηρύγματος ⟨ἢ καὶ⟩ βλέποντες τὰ ἐκείνων ἅπαντας ἡμᾶς βλασφημῶσιν, in nullo eis communicantes neque in doctrina neque in moribus neque in quotidiana conversatione

14—S. **305, 1** vgl. Irenaeus adv. haer. I 25, 3; I 207 Harvey *sed vitam quidem luxuriosam, sententiam autem impiam ad velamen malitiae ipsorum nomine abutuntur, quorum iudicium iustum est, recipientium dignam suis operibus a deo retributionem* — **16** vgl. II Pet. 2, 14 — **19** Röm. 3, 8

V M **2—5** Niceph. Antirrhet. bei Pitra Spicileg. Solesm. IV 297, 8ff

2 ὅτι *ἐπίκλην ἑαυτοῖς ἔθεντο Χριστιανούς* Niceph. (dadurch ist der vorliegende Gebrauch von *ἐπίκλην* für Epiph. gesichert) **2f** *τοῦτο τοῦ Σατανᾶ παρασκευάσαντος* Niceph.] < V M **3** *δι' αὐτῶν* < Niceph. **5** *διὰ τὰς* *] *διὰ τῆς* V M | *ἀνηκέστου⟨ς⟩* *] *ἀνικάστου* aus *ἀνηκέστου* V^corr *ἀνηκέστου* M **7—9** *ἐκκλησίας—τοῦ θεοῦ* < M **9** *ὁρῶντα* *] *ὁρῶντας* V M | * etwa *⟨οὕτως ἀνοσιουργοῦντας⟩* * **10** *πάντως* V | *⟨ἡμᾶς⟩* Jül., vgl. Hipp. **13** *ἐ///πτυρμένοι*, 1—2 Buchstaben hinter *ἐ* ausradiert V **15** *οὐκ ἐγγίζοντες* V **16** *ἄρα* aus *ἂν* V^corr | vor *τῇ* + *ἐν* V **18** *τοῦ ἐπιπλάστου* aus *τὸ ἐπίπλαστον* V^corr | vor *τῆς* + *τὰ* V **19** *ἐργάσωνται* aus *θηράσωνται* V^corr *θηράσονται* M **20** *ὁ ἅγιος Παῦλος ὁ ἀπόστολος* V

κακὰς αὐτῶν πράξεις τὸ ἀνταπόδομα ἀποδοθήσεται αὐτοῖς. ἀδεῶς 3
γὰρ τὸν νοῦν αὐτῶν εἰς οἶστρον ἐκδεδωκότες πάθεσιν ἡδονῶν μυρίων
ἑαυτοὺς παραδεδώκασι. φασὶ γὰρ ὅτι ὅσα νομίζεται παρὰ ἀνθρώποις
κακὰ εἶναι οὐ κακὰ ὑπάρχει, ἀλλὰ φύσει καλά (οὐδὲν γάρ ἐστι φύσει
κακόν), τοῖς δὲ ἀνθρώποις νομίζεται εἶναι φαῦλα. καὶ ταῦτα πάντα 4
ἐάν τις πράξῃ ἐν τῇ μιᾷ ταύτῃ παρουσίᾳ, οὐκέτι μετενσωματοῦται
αὐτοῦ ἡ ψυχὴ εἰς τὸ πάλιν ἀντικαταβληθῆναι, ἀλλὰ ὑπὸ ἓν ποιήσασα
πᾶσαν πρᾶξιν ἀπαλλαγήσεται, ἐλευθερωθεῖσα καὶ μηκέτι χρεωστοῦσά
τι τῶν πρὸς πρᾶξιν ἐν τῷ κόσμῳ. ποίαν δὲ πρᾶξιν δέδια πάλιν 5 D66
εἰπεῖν, μὴ βορβόρου δίκην κεκαλυμμένου ὀχετὸν ἀποκαλύψω καί τισι
δόξω λοιμώδους δυσοδμίας ἐργάζεσθαι τὴν ἐμφόρησιν. ἀλλ' ὅμως
ἐπειδήπερ ἐξ ἀληθείας συνεχόμεθα τὰ παρὰ τοῖς ἠπατημένοις ἀπο-
καλύψαι, σεμνότερον εἰπεῖν τε καὶ τῆς ἀληθείας μὴ ἔξω βαίνειν
ἐμαυτὸν καταναγκάσω. τί δὲ ἄλλ' ὅτι πᾶσαν ἀρρητουργίαν καὶ 6
ἀθέμιτον πρᾶξιν, ἣν οὐ θεμιτὸν ἐπὶ στόματος φέρειν, οὗτοι πράτ-
τουσιν καὶ πᾶν εἶδος ἀνδροβασιῶν καὶ λαγνιστέρων ὁμιλιῶν πρὸς
γυναῖκας ἐν ἑκάστῳ μέλει σώματος· μαγείας τε καὶ φαρμακείας καὶ 7
εἰδωλολατρείας ἐκτελοῦντες τοῦτο εἶναί φασιν ἐργασίαν ἀποδόσεως

1—9 vgl. Irenaeus adv. haer. I 25, 4; I 207 Harvey *et in tantum insania effrenati sunt, uti et omnia quaecunque sunt irreligiosa et impia in potestate habere et operari se dicant. sola enim humana opinione negotia mala et bona dicunt. ..... si non praeoccupans quis in uno adventu omnia agat semel ac pariter . . . uti secundum quod scripta eorum dicunt in omni usu vitae factae animae ipsorum exeuntes in nihilo adhuc minus habeant; adoperandum autem in eo, ne forte propterea quod deest libertati aliqua res, cogantur iterum mitti in corpus* u. ebenda I 25, 5; I 210 Harvey (= Theodoret haer. fab. I 5; Migne 83, 352 C) τὰ δὲ λοιπά, ἀδιάφορα ὄντα, κατὰ τὴν δόξαν τῶν ἀνθρώπων πῇ μὲν ἀγαθὰ πῇ δὲ κακὰ νομίζεσθαι, οὐδενὸς φύσει κακοῦ ὑπάρχοντος; s. auch Tertullian de anima 35 *nulli enim vitam istam rato fieri nisi universis quae arguunt eam expunctis, quia non natura quid malum habeatur sed opinione. itaque metempsychosin necessarie imminere, si non in primo quoque vitae huius commeatu omnibus inlicitis satisfiat* — **14f** vgl. Irenaeus adv. haer. I 25, 4; I 207 Harvey *quae non tantum dicere et audire non est fas nobis, sed ne quidem in mentis conceptionem venire*

V M

1 ἀνταποδοθήσεται M **3** παρεδώκασι, αδ V^{corr} **6** πράξῃ ἐν] πράξειεν V **7** ἀλλ' M **9f** εἰπεῖν δέδια πάλιν V **11** δείξω M | δυσοσμίας M **12** ἐξ] ἐπ'? *, aber vgl. S. 319, 8 **14** ἀλλ' ὅτι aus ἄλλο τι V^{corr} ἄλλο τι M; ἀλλ' + ⟨ἤ⟩? * **18** καὶ vor τοῦτο hineingeflickt V^{corr} < M | ἀποδόσεων M

τῶν ἐν τῷ σώματι ὀφλημάτων εἰς τὸ μηκέτι ἐγκαλεῖσθαι ἢ μέλλειν τι πράξεως ἔργον ἀπαιτεῖσθαι, καὶ τούτου ἕνεκα μὴ ἀποστρέφεσθαι τὴν ψυχὴν μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγὴν καὶ πάλιν εἰς μετενσωμάτωσιν καὶ μεταγγισμὸν χωρεῖν.

5. Οὕτως γὰρ ἔχει τὰ αὐτῶν συντάγματα ὡς ἀναγνόντα τὸν **5, 1** συνετὸν θαυμάζειν καὶ ἐκπλήττεσθαι καὶ ἀπιστεῖν εἰ ταῦτα οὕτως ὑπὸ ἀνθρώπων γενήσεται, οὐ μόνον τῶν καθ' ἡμᾶς πόλιν κατοικούντων, ἀλλὰ καὶ τῶν μετὰ θηρῶν καὶ ὁμοίων θηροὶ καὶ κτήνεσι * καὶ σχεδὸν εἰπεῖν τὰ κυνῶν καὶ ὑῶν πράττειν τολμώντων. φασὶ **2** γὰρ δεῖν πάντως πᾶσαν χρῆσιν τούτων ποιεῖσθαι, ἵνα μὴ ἐξελθοῦσαι καὶ ὑστερήσασαί τινος ἔργου τούτου ἕνεκα καταστραφῶσιν εἰς σώματα πά|λιν αἱ ψυχαὶ εἰς τὸ πρᾶξαι αὖθις ἃ μὴ ἔπραξαν. καὶ τοῦτό ἐστι, **3** P106 φασίν, ὅπερ ὁ Ἰησοῦς ἐν τῷ εὐαγγελίῳ εἶπεν διὰ τῆς παραβολῆς ὅτι »ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ἐν ᾧ εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ καὶ δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ' αὐτοῦ, μή πως ὁ ἀντίδικος παραδῷ σε τῷ κριτῇ καὶ ὁ κριτὴς τῷ ὑπηρέτῃ, καὶ ὁ ὑπηρέτης βάλῃ σε εἰς φυλακήν· ἀμὴν λέγω σοί, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην«. μῦθον δέ τινα **4** D67

5—9 vgl. Irenaeus adv. haer. I 25, 5; I 209 Harvey (= Theodoret haeret. fab. I 5; Migne 83, 352 C) *καὶ εἰ μὲν πράσσεται παρ' αὐτοῖς τὰ ἄθεα καὶ ἔκθεσμα καὶ ἀπειρημένα, ἐγὼ οὐκ ἂν πιστεύσαιμι. ἐν δὲ τοῖς συγγράμμασιν αὐτῶν οὕτως ἀναγέγραπται καὶ αὐτοὶ οὕτως ἐξηγοῦνται* u. I 25, 4; I 207 Harvey *nec credere si apud homines conversantes in his quae sunt secundum nos civitates tale aliquid agitatur* — **9—18** vgl. Irenaeus adv. haer. I 25, 4; I 208 Harvey *adoperandum autem in eo, ne forte propterea quod deest libertati aliqua res cogantur iterum mitti in corpus. propter hoc dicunt Jesum hanc dixisse parabolam: cum es cum adversario tuo in via, da operam ut libereris ab eo, ne forte te det iudici et iudex ministro et mittat te in carcerem. Amen dico tibi, non exies inde, donec reddas novissimum quadrantem*, s. auch Tertullian de anima 35 *ceterum totiens animam revocari habere, quotiens minus quid intulerit, reliquatricem delictorum, donec exsolvat novissimum quadrantem, detrusa identidem in carcerem corporis. huc enim temperat totam illam allegoriam domini* — **14** Matth. 5, 25f

V M

1 *ὀφειλημάτων* aus *ὠφλημάτων* V corr **5** *ἔχειν* M **7** *τῶν*] *τὴν* M **9** * etwa ⟨*διαιτωμένων*⟩ * **10** *δεῖ* V **13** *διὰ τῆς παραβολῆς* angeflickt V corr **14** *εἶ*] *εἰς* V **17** vor *φυλακὴν* + *τὴν* M | *ἀμὴν* zweimal V

πλάττουσιν οἱ αὐτοὶ πρὸς ἐπίλυσιν τῆς | παραβολῆς ταύτης καί φασιν Ö210
εἶναι τὸν ἀντίδικον ἐκεῖνον τῶν τὸν κόσμον πεποιηκότων ἀγγέλων
ἕνα καὶ εἰς αὐτὸ τοῦτο κατεσκευάσθαι, εἰς τὸ ἀπάγειν τὰς ψυχὰς πρὸς
τὸν κριτὴν τὰς ἐντεῦθεν ἐξερχομένας ἐκ τῶν σωμάτων ἐκεῖσε
δὲ ἐλεγχομένας· μὴ ποιησάσας δὲ πᾶσαν ἐργασίαν παραδίδοσθαι
ἀπὸ τοῦ ἄρχοντος τῷ ὑπηρέτῃ. ἄγγελον δὲ εἶναι τὸν ὑπηρέτην, 5
ἐξυπηρετούμενον τῷ κριτῇ τῷ κοσμοποιῷ εἰς τὸ φέρειν τὰς ψυχὰς
πάλιν καὶ εἰς σώματα καταγγίζειν διάφορα. εἶναι δὲ τὸν ἀντίδικον
τοῦτον, ὃν ἔφημεν τὸν κύριον εἰρηκέναι ἐν τῷ εὐαγγελίῳ, [ὃν] οὗτοι
ἄγγελον ἕνα τῶν κοσμοποιῶν φασιν, ὄνομα ἔχοντα Διάβολον. φασὶ 6
γὰρ εἶναι τὴν φυλακὴν τὸ σῶμα, τὸν δὲ ἔσχατον κοδράντην θέλουσιν
εἶναι τὴν μετενσωμάτωσιν· * καθ' ἑκάστην παρουσίαν σωμάτων ἐπι-
τελεῖν ἐσχάτην πρᾶξιν καὶ μηκέτι ὑπολείπεσθαι πρὸς τὸ ἀθέμιτόν τι
πρᾶξαι. δεῖ γάρ, φασὶν ὡς προείπαμεν, πάντα ⟨δι⟩ελθοῦσαν καὶ πρά-
ξασαν καθ' ἕκαστον καὶ ἐλευθερωθεῖσαν ἀνελθεῖν πρὸς τὸν ἄνω
ἄγνωστον, ὑπερβᾶσαν τοὺς κοσμοποιοὺς καὶ τὸν κοσμοποιόν. φασὶ 7
δὲ πάλιν ὅτι δεῖ κἂν τε ἐν μιᾷ παρουσίᾳ τῆς μετενσωματώσεως πρα-
ξάσας λοιπὸν ἄνω ἐλευθερωθείσας ἀπιέναι· εἰ δὲ μὴ ἐν μιᾷ παρουσίᾳ
πράξωσι, καθ' ἑκάστην παρουσίαν μετενσωματώσεως κατὰ βραχὺ
ποιησάσας ἑκάστου ἔργου ἀθεμίτου τὴν ἐργασίαν λοιπὸν ἐλευθερω-

1—S. 308, 1 vgl. Irenaeus adv. haer. I 25, 4; I 208 Harvey *et adversarium dicunt unum ex angelis qui sunt in mundo, quem diabolum vocant, dicentes factum eum ad id, ut ducat eas quae perierunt animas a mundo ad principem. et hunc dicunt esse primum ex mundi fabricatoribus et illum altero angelo qui ministrat ei, tradere tales animas, uti in alia corpora includat. corpus enim dicunt esse carcerem et id quod ait non exies inde, quoadusque novissimum quadrantem reddas, interpretantur quasi non exeat quis a potestate angelorum eorum qui mundum fabricaverunt.* Die Fortsetzung griechisch bei Hippolyt refut. VII 32, 7; S. 220, 2ff Wendland *εἰς τοσοῦτον δὲ μετενσωματοῦσθαι φάσκουσι τὰς ψυχάς, ὅσον πάντα τὰ ἁμαρτήματα πληρώσωσιν· ὅταν δὲ μηδὲν λείπῃ, τότε ἐλευθερωθεῖσαν ἀπαλλαγῆναι πρὸς ἐκεῖνον τὸν ὑπεράνω τῶν κοσμοποιῶν ἀγγέλων θεόν, καὶ οὕτως σωθήσεσθαι πάσας τὰς ψυχάς. [εἰ] τινὲς δὲ φθάσασαι ἐν μιᾷ παρουσίᾳ ἀναμιγῆναι πάσαις ἁμαρτίαις οὐκέτι μετενσωματοῦνται, ἀλλὰ πάντα ὁμοῦ ἀποδοῦσαι τὰ ὀφλήματα ἐλευθερωθήσονται τοῦ μηκέτι γενέσθαι ἐν σώματι*

V M

4 *τῶν* < V **5** *δὲ* hinter *ποιησάσας* *, hinter *παραδίδοσθαι* VM **7** *τῷ*² < M **8f** *τοῦτον τὸν ἀντίδικον* M **9** [*ὃν*] * | *αὐτοὶ* aus *οὗτοι* V **10** *ἅβολον* V **12** * ⟨*χρῆναι δὲ*⟩ * **14** ⟨*δι*⟩*ελθοῦσαν* * **19** *πράξουσι* M

θῆναι. λέγουσι δὲ πάλιν ὅτι τοῖς ἀξίοις ταῦτα καταξιοῦμεν διη- 8
γεῖσθαι, ἵνα πράξωσι τὰ δοκοῦντα εἶναι κακά, οὐκ ὄντα δὲ φύσει
κακά, ἵνα μαθόντες ἐλευθερωθῶσι. σφραγῖδα δὲ ἐν καυτῆρι ἢ δι' 9
ἐπιτηδεύσεως ξυρίου ἢ ῥαφίδος ἐπιτιθέασιν οὗτοι οἱ ἀπὸ Καρποκρᾶ
ἐπὶ τὸν δεξιὸν λοβὸν τοῦ ὠτὸς τοῖς ὑπ' αὐτῶν ἀπατωμένοις. | P107
6. Ἦλθεν δὲ εἰς ἡμᾶς ἤδη πως Μαρκελλίνα τις | *ὑπ' αὐτῶν ἀπα-* **6, 1** D68
τηθεῖσα, ἣ πολλοὺς ἐλυμήνατο ἐν χρόνοις Ἀνικήτου ἐπισκόπου Ῥώμης,
τοῦ μετὰ τὴν διαδοχὴν Πίου καὶ τῶν ἀνωτέρω. ἐν Ῥώμῃ γὰρ γεγόνασι 2

1—3 vgl. Irenaeus adv. haer. I 25, 5; I 209 Harvey (= Theodoret haeret. fab. I 5; Migne 83, 352 C) *αὐτοὶ οὕτως ἐξηγοῦνται, τὸν Ἰησοῦν λέγοντες ἐν μυστηρίῳ τοῖς μαθηταῖς αὐτοῦ καὶ ἀποστόλοις κατ' ἰδίαν λελαληκέναι καὶ αὐτοὺς ἀξιῶσαι τοῖς ἀξίοις καὶ τοῖς πειθομένοις ταῦτα παραδιδόναι. διὰ πίστεως γὰρ καὶ ἀγάπης σῴζεσθαι· τὰ δὲ λοιπά, ἀδιάφορα ὄντα, κατὰ τὴν δόξαν τῶν ἀνθρώπων πῇ μὲν ἀγαθὰ πῇ δὲ κακὰ νομίζεσθαι, οὐδενὸς φύσει κακοῦ ὑπάρχοντος* — **3—5** vgl. Irenaeus adv. haer. I 25, 6; I 210 Harvey = Hippolyt refut. VII 32, 8; S. 220, 8ff Wendland *τούτων τινὲς καὶ καυτηριάζουσι τοὺς ἰδίους μαθητὰς ἐν τοῖς ὀπίσω μέρεσι τοῦ λοβοῦ τοῦ δεξιοῦ ὠτός.* Über den Sinn der Kennzeichnung vgl. Herakleon bei Clemens Al. ecl. proph. 25, 1; III 143, 22f Stählin; dazu Usener, Weihnachtsfest[2] S. 66 Dölger, Sphragis S. 39ff Bousset, Kyrios Christos S. 278[2] — **6** *ἦλθεν εἰς ἡμᾶς* ist nicht zu übersetzen »*es ist zu uns gekommen*« (das müßte *πρὸς ἡμᾶς* heißen), sondern bedeutet nach stehendem (übrigens auch sonst verbreitetem) Sprachgebrauch des Epiph. (vgl. Index unter *ἔρχεσθαι*): »*es ist auf uns oder an uns gekommen, die Kunde ist an uns gelangt*«. Die seit Lightfoot (S. Clement of Rome I 328ff; vgl. Zahn, Forschungen VI 258f Harnack, Lit.-Gesch. II 1, 184ff) eingebürgerte Annahme, daß Epiph. hier eine in Rom verfaßte Quelle gedankenlos ausschreibe, wird damit hinfällig — **6—8** vgl. Irenaeus adv. haer. I 25, 6; I 210 Harvey *unde et Marcellina, quae Romam sub Aniceto venit, cum esset huius doctrinae, multos exterminavit* — **7ff** die Angaben über die römischen Bischöfe ruhen auf Eusebius — 8—S. **309, 2** vgl. Irenaeus adv. haer. III 3, 3; II 10 Harvey (= Eusebius h. e. V 6, 1f; S. 438, 7ff Schwartz) *θεμελιώσαντες οὖν καὶ οἰκοδομήσαντες οἱ μακάριοι ἀπόστολοι τὴν ἐκκλησίαν Λίνῳ τὴν τῆς ἐπισκοπῆς λειτουργίαν ἐνεχείρισαν . . . διαδέχεται δ' αὐτὸν Ἀνέγκλητος, μετὰ τοῦτον δὲ τρίτῳ τόπῳ ἀπὸ τῶν ἀποστόλων τὴν ἐπισκοπὴν κληροῦται Κλήμης* Eusebius h. e. III 21; S. 236, 10ff Schwartz *ἐν τούτῳ δὲ Ῥωμαίων εἰς ἔτι Κλήμης ἡγεῖτο, τρίτον καὶ αὐτὸς ἐπέχων τῶν τῇδε μετὰ Παῦλόν τε καὶ Πέτρον ἐπισκοπευσάντων βαθμόν· Λίνος δὲ ὁ πρῶτος ἦν καὶ μετ' αὐτὸν Ἀνέγκλητος*

V M

4 *ξυρίου* Pet.] *ξηρίου* V M | *ὑπὸ* V **5** *λωβὸν*, *ω* aus *ο* Vcorr | *ὑπ' αὐτὸν* M **6** *δὲ*] *μὲν* V | *ἀπ'* M **7** *ἡ* hineingeflickt Vcorr

πρῶτοι Πέτρος καὶ Παῦλος οἱ ἀπόστολοι αὐτοὶ καὶ ἐπίσκοποι, εἶτα Λίνος εἶτα Κλῆτος εἶτα Κλήμης, σύγχρονος ὢν Πέτρου καὶ Παύλου, οὗ ἐπιμνημονεύει Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ. καὶ μηδεὶς 3
θαυμαζέτω ὅτι πρὸ αὐτοῦ ἄλλοι τὴν ἐπισκοπὴν διεδέξαντο ἀπὸ τῶν ἀποστόλων, ὄντος τούτου συγχρόνου Πέτρου καὶ Παύλου· καὶ οὗτος γὰρ σύγχρονος γίνεται τῶν ἀποστόλων. εἶτ' οὖν ἔτι περιόντων 4
αὐτῶν ὑπὸ Πέτρου λαμβάνει τὴν χειροθεσίαν τῆς ἐπισκοπῆς καὶ παραιτησάμενος ἦργει — λέγει γὰρ ἐν μιᾷ τῶν ἐπιστολῶν αὐτοῦ »ἀναχωρῶ, ἄπειμι, εὐσταθείτω ὁ λαὸς τοῦ θεοῦ«, τισὶ τοῦτο συμβουλεύων (εὕρομεν γὰρ ἔν τισιν ὑπομνηματισμοῖς τοῦτο ἐγκείμενον) — ἤτοι μετὰ τὴν τῶν ἀποστόλων τελευτὴν ὑπὸ τοῦ Κλήτου τοῦ ἐπισκόπου οὗτος καθίσταται, οὐ πάνυ σαφῶς ἴσμεν. πλὴν ἀλλὰ καὶ 5
οὕτως ἠδύνατο ἔτι | περιόντων τῶν ἀποστόλων, φημὶ δὲ τῶν Ö212
περὶ Πέτρον καὶ Παῦλον, ἐπισκόπους ἄλλους καθίστασθαι διὰ τὸ τοὺς ἀποστόλους πολλάκις ἐπὶ τὰς ἄλλας πατρίδας στέλλεσθαι τὴν πορείαν ἐπὶ τὸ τοῦ Χριστοῦ κήρυγμα, μὴ δύνασθαι δὲ τὴν τῶν Ῥωμαίων πόλιν ἄνευ ἐπισκόπου εἶναι. ὁ μὲν γὰρ Παῦλος 6
καὶ ἐπὶ τὴν Σπανίαν ἀφικνεῖται, Πέτρος δὲ πολλάκις Πόντον τε καὶ Βιθυνίαν ἐπεσκέψατο. ἐνεχώρει δὲ μετὰ τὸ κατασταθῆναι Κλήμεντα

2f vgl. Eusebius h. e. III 4, 9; S. 194, 10 Schwartz III 15; S. 228, 21f *Κλήμης ὃν συνεργὸν ἑαυτοῦ γενέσθαι Φιλιππησίοις ἐπιστέλλων ὁ ἀπόστολος διδάσκει* (vgl. Hieronymus de vir. ill. 15) — **3** *πρὸς Ῥωμαίους*, vielmehr Phil. 4, 3 — **7** vgl. clement. Hom. ep. Clem. ad Jac. 2ff; S. 6, 21ff Lagarde — **8f** I Clem. ad Cor. 54, 2 — **10** *ἔν τισιν ὑπομνηματισμοῖς*, vgl. unten haer. 29, 4, 4 *ἐν τοῖς αὐτοῖς ὑπομνηματισμοῖς* mit Bezug auf die Werke des Eusebius u. Clemens Al.; eine Anspielung auf die *ὑπομνήματα* des Hegesipp ist daher nicht nahegelegt — **12ff** vgl. Rufin praef. in s. Clem. Recogn. S. 2 Gersdorf *quidam enim requirunt, quomodo cum Linus et Cletus in urbe Roma ante Clementem hunc fuerint episcopi, ipse Clemens ad Jacobum scribens sibi dicat a Petro docendi cathedram traditam. cuius rei hanc accepimus esse rationem, quod Linus et Cletus fuerunt quidem ante Clementem episcopi in urbe Roma, sed superstite Petro, videlicet ut illi episcopatus curam gererent, ipse vero apostolatus impleret officium* — **17** vgl. Röm. 15, 24. 28 — **18** vgl. I Pet. 1,1

V M

1 *οἱ ἀπόστολοι αὐτοὶ*] *οἱ* u. *αὐτοὶ* hineingeflickt V^{corr} < M **7** *αὐτῶν, ν* angeflickt V^{corr} **8** *ἦλγει* M **11** *τελευτὴν* *] *διαδοχὴν* V M **12** *ἴσμεν*] *μὲν* M **13** *οὕτως*] *οὗτος* M | *ἠδύνατο* = *es war möglich* **16** *ἐπὶ* durchgestrichen u. *διὰ* drübergesetzt V^{corr} **17** *τὴν* < M

καὶ παραιτήσασθαι (εἴ γε οὕτως ἐπράχθη· διανοοῦμαι γάρ, οὐχ ὁρίζομαι) ὕστερον μετὰ τὸ τετελευτηκέναι Λίνον καὶ Κλῆτον, ἐπισκοπεύσαντας πρὸς δεκαδύο ἔτη ἕκαστον μετὰ τὴν τοῦ ἁγίου Πέτρου καὶ Παύλου τελευτὴν τὴν ἐπὶ τῷ δωδεκάτῳ ἔτει Νέρωνος γενομένην, τοῦτον αὖθις ἀναγκασθῆναι τὴν ἐπισκοπὴν κατασχεῖν. ὅμως ἡ 7 τῶν ἐν Ῥώμῃ ἐπισκόπων διαδοχὴ ταύτην ἔχει | τὴν ἀκολουθίαν· D69 Πέτρος καὶ Παῦλος, Λίνος καὶ Κλῆτος, Κλήμης Εὐάρεστος Ἀλέξανδρος Ξύστος Τελέσφορος Ὑγῖνος Πίος Ἀνίκητος, ὁ ἄνω ἐν τῷ καταλόγῳ προδεδηλωμένος. καὶ μή τις θαυμάσῃ ὅτι ἕκαστα οὕτως ἀκριβῶς διήλθομεν· διὰ γὰρ τούτων ἀεὶ τὸ σαφὲς δείκνυται. ἐν 8 χρόνοις τοίνυν, ὡς ἔφημεν, Ἀνικήτου ἡ προδεδηλωμένη Μαρκελλίνα | P108 ἐν Ῥώμῃ γενομένη τὴν λύμην τῆς Καρποκρᾶ διδασκαλίας ἐξεμέσασα πολλοὺς τῶν ἐκεῖσε λυμηναμένη ἠφάνισε. καὶ ἔνθεν γέγονεν ἀρχὴ Γνωστικῶν τῶν καλουμένων. ἔχουσι δὲ εἰκόνας ἐνζωγράφους διὰ 9 χρωμάτων, ἀλλὰ καὶ οἱ μὲν ἐκ χρυσοῦ καὶ ἀργύρου καὶ λοιπῆς ὕλης,

1 vgl. clement. Hom. ep. ad Jac. 3; S. 7, 1 Lagarde *προσπεσὼν ἐδεόμην αὐτοῦ παραιτούμενος τὴν τῆς καθέδρας τιμήν τε καὶ ἐξουσίαν* — **3** *πρὸς δεκαδύο ἔτη ἕκαστον* vgl. Eusebius h. e. III 13 u. 15; S. 228, 14 u. 21 Schwartz — **4** *ἐπὶ τῷ δωδεκάτῳ ἔτει Νέρωνος* wohl entnommen aus Eusebius h. e. II 26, 1; S. 178, 21 *ἔτους δωδεκάτου τῆς Νέρωνος ἡγεμονίας* — **5—8** vgl. Irenaeus adv. haer. III 3, 3; II 10f Harvey = Eusebius h. e. V 6, 1ff; S. 438, 7ff Schwartz (dazu Einleitungsband S. 6f) — **8f** *ἄνω ἐν τῷ καταλόγῳ* kann sich nur auf S. 308, 7 beziehen — **10—14** vgl. die zu S. 308, 6—8 angeführte Stelle aus Irenaeus; dazu deren Fortsetzung *Gnosticos se autem vocant* — **14**—S. **311**, **9** vgl. Irenaeus adv. haer. I 25, 6; I 210 Harvey (Hippolyt refut. VII 32, 8; S. 220, 10f verkürzt) *etiam imagines, quasdam quidem depictas quasdam autem et de reliqua materia fabricatas habent, dicentes formam Christi factam a Pilato illo in tempore quo fuit Jesus cum hominibus. et has coronant et proponunt eas cum imaginibus mundi philosophorum, videlicet cum imagine Pythagorae et Platonis et Aristotelis et reliquorum; et reliquam observationem circa eas similiter ut gentes faciunt*

V M **14**—S. **311**, **7** frei wiedergegeben von Nicephorus Antirrhet. bei Pitra Spicil. Solesm. IV 297 *εἰκόνας Χριστοῦ ἔχουσιν ἐκ διαφόρων ὑλῶν ἃς φασιν εἶναι τοῦ Ἰησοῦ καὶ ὑπὸ Ποντίου Πιλάτου γεγενημένας ὅτε ἐπεδήμει τῷ τῶν ἀνθρώπων γένει, εἶτα καὶ φιλοσόφων Πυθαγόρου καὶ Πλάτωνος καὶ Ἀριστοτέλους καὶ ἑτέρων· ἧς δὴ καὶ ἱδρυσάμενοι προσκυνοῦσι καὶ τὰ ἐθνῶν ἐπιτελοῦσι μυστήρια*

2 *καὶ* < M **5** *αὖθις*] *ἄν τις* M **9** *οὕτως*] *τούτων* M **11** *ἡ* < M **13** *τῶν* < M | *ἔνθεν* aus etwas anderem hergestellt V corr **15** *ἀλλὰ καὶ οἱ μὲν* durchgestrichen, dafür am Rande *τινὲς δὲ* V corr

ἄτινα ἐκτυπώματά φασιν εἶναι τοῦ Ἰησοῦ καὶ ταῦτα ὑπὸ Ποντίου Πιλάτου γεγενῆσθαι, τουτέστιν τὰ ἐκτυπώματα τοῦ αὐτοῦ Ἰησοῦ ὅτε ἐνεδήμει τῷ τῶν ἀνθρώπων γένει. κρύβδην δὲ τὰς τοιαύτας ἔχουσιν, ἀλλὰ καὶ φιλοσόφων τινῶν, Πυθαγόρου καὶ Πλάτωνος καὶ Ἀριστοτέλους καὶ λοιπῶν, μεθ' ὧν φιλοσόφων καὶ ἕτερα ἐκτυπώματα τοῦ Ἰησοῦ τιθέασιν, ἱδρύσαντές τε προσκυνοῦσι καὶ τὰ τῶν ἐθνῶν ἐπιτελοῦσι μυστήρια. στήσαντες γὰρ ταύτας τὰς εἰκόνας τὰ τῶν ἐθνῶν ἔθη λοιπὸν ποιοῦσι. τίνα δέ ἐστιν ⟨τὰ⟩ ἐθνῶν ἔθη ἀλλ' ἢ θυσίαι καὶ τὰ ἄλλα; ψυχῆς δὲ εἶναι μόνης σωτηρίαν φασὶ καὶ οὐχὶ σωμάτων. 10 11

7. Δεῖ τοίνυν τούτους ἀνατρέπειν παντὶ σθένει· μηδεὶς γὰρ καταφρονείτω λόγου καὶ μάλιστα κατὰ ἀπατεώνων. ἀλλ' εἶποι τις ἄν· οὐ γάρ ἐστι φωρατὰ καὶ μωρίας ἔμπλεα; ἀλλ' ἔσθ' ὅπη καὶ τὰ μωρὰ πείθει τοὺς ἄφρονας καὶ τοὺς συνετοὺς παρεκτρέπει, ἐὰν μὴ παρῇ ὁ νοῦς ὁ ἐν τῇ ἀληθείᾳ ἡσκημένος. ἐμπεσόντος τοίνυν καὶ τούτου τῇ Σίμωνος μαγείᾳ καὶ τῶν λοιπῶν, τοῖς αὐτοῖς καὶ τοῦτον ἀνατρέψομεν. εἰ γὰρ ἡ ἄγνωστος καὶ ἀκατονόμαστος δύναμις αἰτία γέγονεν | ἄλλων | ἀγγέλων, ἥ ἐστιν ἄγνοια παρὰ τῇ αὐτῇ τουτέστιν τῷ πατρὶ τῶν ὅλων, εἰ μὴ ἤδει ἃ μέλλουσι πράττειν οἱ ὑπ' αὐτοῦ κατασκευαζόμενοι ἄγγελοι, ἀγνοήσας ὅτι ἀποστήσονται καὶ ποιήσουσιν ἃ μὴ αὐτὸς ἐβούλετο — ἢ τούτους μὲν ἐποίησε γινώσκων ὅτι ποιήσουσιν, ὃ αὐτὸς οὐ βούλεται παρ' αὐτῶν δὲ γέγονε, καὶ ἔσται διὰ τῆς γνώσεως καὶ εὐδοκίας αὐτὸς ποιήσας ἃ ἐκεῖνοι τετολμήκασιν. εἰ τοίνυν ὡς προεῖπον ἐγίνωσκε μὲν ἃ ποιήσουσιν, οὐκ ἐβούλετο δὲ ἵνα ποιήσωσι, τίνι τῷ λόγῳ τοὺς πεποιηκότας ἐποίει εἰς τὸ πράττειν ἃ μὴ αὐτὸς ἐβούλετο; εἰ δὲ αὐτὸς μὲν πεποίηκε τοὺς ἀγγέλους, ἵνα ποιήσωσι τὰ ὑπ' αὐτῶν γενόμενα, ἆρα ἤθελε γενέσθαι· διὸ καὶ τοὺς | πεποιηκότας προκατεσκεύασεν ἀγγέλους. καὶ εἰ προκατεσκεύασεν εἰς τὸ ποιῆσαι, ἀπαγορεύει δὲ τὰ ὑπ' αὐτῶν γενόμενα, συκοφαντία ἂν εἴη ἐν μέσῳ. εἰ δὲ συνεχώρει μὲν τοῦ ποιεῖν αὐτούς, βούλεται δὲ τὰ ὑπ' αὐτῶν γενόμενα (τουτέστιν ἀνθρώπους καὶ ψυχάς) πάλιν πρὸς 7, 1 2 D70 Ö214 3 4 P109 5

17ff vgl. oben haer. 23, 4, 1ff; S. 252, 1ff

V M Niceph. (bis Z. 7)

5 *καὶ*[2] < M **6** *τε* hineingeflickt V^{corr} < M | hinter *προσκυνοῦσι* 2 Buchstaben wegradiert V *προσκυνοῦσι* + *τε* M **8** ⟨*τὰ*⟩ * **9** *σωτηρίας* M **12** *κατὰ* *] *παρὰ* V M **13** *ἔσθ' ὅπη*] *ἐθόπη* M | *μωρὰ*] *μωρείας* M **17** *ἀκατο*///*νόμαστος*, *ο* aus *ω* V *ἀκατωνόμαστος* M **20** *ποιήσωσιν* M **21** *ἠβούλετο* V **25** vor *εἰς* + *καὶ* M **27** *γενόμενα* Jül., vgl. Z. 29 u. 31] *γινόμενα* V M **29** *γινόμενα* M **31** *γινόμενα* M

ἑαυτὸν ἀναλαμβάνειν παρὰ τὴν τούτων βούλησιν, ἄρα ἔσται πλεονεξία ἐν μέσῳ καὶ οὐδὲν ἕτερον, ἁρπαζομένων τῶν ὑπὸ τῶν ἀγγέλων * ἀνθρώπων ὑπὸ τοῦ ἄνωθεν παρὰ τὴν τούτων βούλησιν· ἀλλὰ καὶ ἀδράνεια εἴη, ἐπειδὴ μὴ αὐτὸς δυνάμενος ἑαυτῷ ποιεῖν ἁρπάζει τὰ ὑπὸ τῶν ὑπ᾽ αὐτοῦ γενομένων γενόμενα. καὶ ἔσται λοιπὸν μῦθος 6
καὶ μωρολογία, τῶν μὲν κάτω δυναμένων ὑπερβῆναι τοὺς ἐν μέσῳ, τοὺς δὲ ἐν μέσῳ τιμωρεῖσθαι αἰτίους ὄντας τῶν κάτω καὶ τοὺς κάτω ὑπὲρ τοὺς μέσους πρὸς τὸν ἄνω σῴζεσθαι καὶ ἐλευθεροῦσθαι, λέγω δὴ τὰς ψυχὰς τῶν ἐν τῇδε τῇ κτίσει. εἴη δ᾽ ἂν ὁ μὲν ἄνω μὴ δυνηθεὶς ποιῆσαι ἀσθενὴς κρινόμενος, οἱ δὲ ὑπ᾽ αὐτοῦ γενόμενοι ⟨δυνατοί⟩, δυνάμενοι ποιῆσαι ἃ αὐτὸς μὲν οὐκ ἐβούλετο, ἢ ἐβούλετο καὶ οὐκ ἠδύνατο. οὐ γὰρ δύναται ἃ ἐκεῖνος ἐπιποθεῖ, εἶναι αὐτῷ κακὸν 7
οὐδὲ ὑπὸ κακῶν γεγονέναι. εἰ γὰρ ἦν | κακόν, ἐχρῆν ἀπόλλυσθαι. D71
εἰ δὲ ὅλως μέρος τι τοῦ ἔργου σῴζεται, οὐκέτι τὸ ἔργον φαῦλον, κἂν τε μέρος αὐτοῦ σῳζόμενον εὑρίσκοιτο, οὔτε οἱ ποιήσαντες φαῦλοι ⟨οἱ⟩ τὸ σῳζόμενον τεχνησάμενοι. εἰ δὲ ὅλως ἐξ ἀγγέλων ἡ ψυχὴ καὶ 8
ἄνωθεν λαμβάνει δύναμιν παραχθεῖσα, ἄρα γε οἱ ἄγγελοι πλέον σωτηρίας τεύξονται, ὅτι ἡ ἀπ᾽ αὐτῶν ψυχὴ σῴζεται, ἐκ φαύλων οὖσα. σῳζομένης δὲ αὐτῆς οὐκέτι φαῦλος οὔτε αὐτὴ ἡ ψυχὴ ἡ γενομένη ὑπὸ τῶν ἀγγέλων οὔτε οἱ ἄγγελοι, ἐξ ὧν αὐτὴ ἡ ψυχὴ ὑπάρχει.

8. *Παντὶ δὲ τῷ τὸν νοῦν ἐρρωμένον ἔχοντι ἰστέον* ἂν εἴη ὅτι 8, 1
ἀνοίας ἐστὶ τὸ πᾶν τοῦτο ἀγυρτῶδες ἐργαστήριον. καταισχυνθήσονται δὲ αὖθις οὗτοι καὶ ἀπὸ τῶν ἄλλων αὐτῶν λόγων. εἰ γὰρ Ἰησοῦς οὐκ ἀπὸ παρθένου Μαρίας, ἀλλὰ ἐκ σπέρματος Ἰωσὴφ καὶ τῆς αὐτῆς Μαρίας, σῴζεται δὲ οὗτος, ἄρα καὶ αὐτοὶ σωθήσονται οἱ τοῦτον γεγεννηκότες. καὶ εἰ ἡ Μαρία καὶ ὁ Ἰωσὴφ ἀπὸ τοῦ δημιουργοῦ ὑπάρχουσιν, ἄρα τὸν δημιουργὸν κτιστὴν ⟨καὶ τοῦ Ἰησοῦ⟩ ἔφασαν καὶ οὐκέτι ἐν ὑστερήματι ἔσται ὁ τὸν Ἰωσὴφ καὶ τὴν Μαρίαν ποιήσας, | ἐξ ὧν ὁ Ἰησοῦς παρὰ τοῦ ἄνω ἀγνώστου πατρὸς ὑπάρχει. εἰ 3 P110
δὲ καὶ αὐτὸς ὁ Ἰησοῦς ἀπὸ τῶν ἀγγέλων ἐστὶ καὶ ὁ δημιουργὸς εἷς ἐστι τῶν ἀγγέλων, ἄρα γε ἀτοπήματι τῷ ἑνὶ πάντες περιπεσοῦνται, ὁποίῳ καὶ οἱ ἄγγελοι περιπεπτώκασι, καὶ ἀσύστατον εἴη ἂν τὸ παρ᾽

V M

3 * ⟨γενομένων⟩ * | ϑεν von ἄνωθεν getilgt V^{corr} **6** *δυναμένων* *] *δυνάμεων* V M | *ἐν* vor *μέσῳ* oben hineingeflickt V^{corr} *μέσον* M **10f** ⟨δυνατοί⟩ * **14** *σώζεσθαι* M **15** vor *σῳζόμενον* + ⟨μὴ⟩? * **16** ⟨οἱ⟩ * **19** lies viell. *φαῦλον* sc. *ἔργον*, vgl. Z. 14 * **21** *ἂν* < M **22** *ἄνοια* M **23** *ἄλλων* < V | *λέγων* M **26** *ὁ* < V **27** ⟨καὶ τοῦ Ἰησοῦ⟩ * **28** *Μαριὰμ* M **32** *εἴη ἄν*, *η* auf Rasur V^{corr} *εἶπαν* M

αὐτῶν δραματούργημα, δηλητηρίου ἔμπλεον καὶ πάσης ἰώδους διδασκαλίας μεμεστωμένον. ταύτην δὲ αὖθις ὀπίσω τρέψαντες, ὥσπερ 4
*δράκοντος κεφαλὴν ξύλῳ τῆς πίστεως καὶ τῆς ἀληθείας ἐπὶ γῆς λακίσαντες, ταῖς ἄλλαις θηριομόρφοις προσπελάσαντες ἐπ' ὀλέθρῳ **
τούτων ἥκειν ἑαυτοὺς διὰ τὴν ἐπαγγελίαν ἀναγκάσωμεν. | D 72

Κατὰ Κηρινθιανῶν ἤτοι Μηρινθιανῶν η̄, τῆς δὲ ἀκολουθίας κη̄.

1. *Κήρινθος δὲ αὖθις, ἀφ' οὗπερ οἱ Κηρινθιανοὶ λεγόμενοι, ἀπὸ* 1, 1
ταύτης τῆς θηριώδους σπορᾶς τὸν ἰὸν τῷ κόσμῳ φέρων ἥκει· σχεδὸν δὲ οὐδὲν ἕτερον παρὰ τὸν προειρημένον Καρποκρᾶν, ἀλλὰ τὰ αὐτὰ
τῷ κόσμῳ κακοποιὰ φάρμακα ἐκβλυστάνει. τὰ ἴσα γὰρ τῷ προει- 2
ρημένῳ εἰς τὸν Χριστὸν συκοφαντήσας ἐξηγεῖται καὶ οὗτος, ἐκ Μαρίας καὶ ἐκ σπέρματος Ἰωσὴφ τὸν Χριστὸν γεγεννῆσθαι καὶ τὸν κόσμον ὁμοίως ὑπὸ ἀγγέλων γεγενῆσθαι. οὐδὲν γὰρ οὗτος παρὰ τὸν πρῶ- 3
τον διήλλαξε τῇ εἰσαγωγῇ τῆς αὐτοῦ διδασκαλίας ἀλλ' ἢ ἐν τούτῳ μόνον, ἐν τῷ προσέχειν τῷ Ἰουδαϊσμῷ ἀπὸ μέρους. φάσκει δὲ οὗτος τὸν νόμον καὶ τοὺς προφήτας ὑπὸ ἀγγέλων δεδόσθαι, τὸν δὲ δεδω-
κότα τὸν νόμον ἕνα εἶναι τῶν ἀγγέλων τῶν τὸν κόσμον πεποιηκότων. ἐγένετο δὲ οὗτος ὁ Κήρινθος ἐν τῇ Ἀσίᾳ διατρίβων κἀκεῖσε 4

6ff vgl. mit Epiph. insbesondere Irenaeus adv. haer. I 26, 1; I 211f Harvey Hippolyt refut. VII 33; S. 220, 12ff Wendland Ps. Tertullian adv. omn. haer. 3; aus Epiph. schöpft Filastrius haer. 36; S. 19, 22ff Marx — **7—13** u. **15—18** vgl. Ps. Tert. adv. omn. haer. 3 *post hunc* (sc. Carpocratem) *Cerinthus haereticus erupit similia docens. nam et ipse mundum institutum esse ab illis dicit; Christum ex semine Joseph natum proponit, hominem illum tantummodo sine divinitate contendens, ipsam quoque legem ab angelis datam perhibens, Judaeorum deum non dominum sed angelum promens* — **18**—S. **314, 12** vgl. Irenaeus adv. haer. I 26, 1; I 211f Harvey = Hippolyt refut. VII 33; S. 220, 12ff *Κήρινθος δέ τις* (+ *in Asia* Ir.), *αὐτὸς Αἰγυπτίων παιδείᾳ ἀσκηθείς* (< Ir.), *ἔλεγεν οὐχ ὑπὸ τοῦ πρώτου ⟨θεοῦ⟩ γεγονέναι τὸν κόσμον ἀλλ' ὑπὸ δυνάμεώς τινος κεχωρισμένης τῆς ὑπὲρ τὰ ὅλα ἐξου-*

V M

1 ἔμπλεων V ἔμπνεον M **2** δὲ < M **4** * etwa *⟨τῷ κόσμῳ φανείσαις, εἰς ἔλεγχον⟩ ** **5** *ἥκειν — ἀναγκάσωμεν*] *καὶ τῶν τοιούτων βαδιούμεθα*, auf einer erheblich längeren Rasur V^{corr} | Unterschrift *κατὰ Καρποκρασίων* V **6** *κατὰ Κηρινθιανῶν ἤτοι Μηρινθιανῶν ὀγδόη ἡ καὶ κη̄* V **8** *φέρειν* M **10** *ἐκβλυσθάνει* V *ἐμβλυστάνει* M **13** *γεγεννῆσθαι* M **14** *ἀλλὰ* M **16** δὲ hineingeflickt V^{corr} < M

τοῦ κηρύγματος τὴν ἀρχὴν πεποιημένος. ἤδη δὲ περὶ τούτου εἴ- 5
παμεν ὡς καὶ οὗτος ἐκήρυττεν οὐκ ἀπὸ τῆς πρώτης καὶ ἄνωθεν δυ-
νάμεως τὸν κόσμον γεγενῆσθαι, ἄνωθεν δὲ ἐκ τοῦ ἄνω θεοῦ μετὰ
τὸ ἀδρυνθῆναι τὸν Ἰησοῦν, τὸν ἐκ σπέρματος Ἰωσὴφ καὶ Μαρίας γε-
γεννημένον, κατεληλυθέναι τὸν Χριστὸν εἰς αὐτὸν τουτέστι τὸ πνεῦμα
τὸ ἅγιον ἐν εἴδει περιστερᾶς ἐν τῷ Ἰορδάνῃ καὶ ἀποκαλύψαι αὐτῷ
καὶ δι' αὐτοῦ τοῖς μετ' αὐτοῦ τὸν ἄγνωστον πατέρα. καὶ διὰ τοῦτο 6
ἐπειδὴ ἦλθεν εἰς αὐτὸν ἄνωθεν δύναμις, δυνάμεις ἐπιτετελεκέναι· P111
καὶ αὐτοῦ πεπονθότος τὸ ἐλθὸν ἄνωθεν ἀναπτῆναι ἄνω ἀπὸ | τοῦ Ö218
Ἰησοῦ. πεπονθότα δὲ τὸν Ἰησοῦν καὶ πάλιν ἐγηγερμένον, Χριστὸν 7
δὲ τὸν ἄνωθεν ἐλθόντα εἰς αὐτὸν ἀπαθῆ | ἀναπτάντα, ὅπερ ἐστὶ τὸ D73
κατελθὸν ἐν εἴδει περιστερᾶς, καὶ οὐ τὸν Ἰησοῦν εἶναι Χριστόν.

2. Ἐκπέπτωκε δὲ καὶ οὗτος, ὡς ὁρᾶτε πάντες οἱ τῆς ἀληθείας 2, 1
ἐρασταί. φάσκει γὰρ τὸν τὸν νόμον δεδωκότα οὐκ ἀγαθόν, οὗ τῷ
νόμῳ πείθεσθαι δοκεῖ, δῆλον δὲ ὅτι ὡς ἀγαθῷ. πῶς οὖν ὁ πονηρὸς 2
τὸν ἀγαθὸν νόμον δέδωκεν; εἰ γὰρ καλὸν τὸ μὴ μοιχεύειν καὶ καλὸν
τὸ μὴ φονεύειν, πόσῳ γε μᾶλλον ὁ ἐντειλάμενος βελτίων εἴη, ἐάν
γε ὁ μὴ πράξας ἀγαθὸς ὁμολογῆται· πῶς δὲ κατηγορηθήσεται κακὰ
πράττων ὁ τὸ ἀγαθὸν συμβουλεύων καὶ ἀγαθὸν διδοὺς νόμον; ἀλλὰ
μανιώδης ὁ ἀνὴρ τοιούτοις ἐγχειρῶν. οὗτος δέ ἐστιν, ἀγαπητοί, 3
εἷς τῶν ἐπὶ τῶν ἀποστόλων τὴν ταραχὴν ἐργασαμένων, ὅτε οἱ περὶ
Ἰάκωβον γεγράφασιν εἰς τὴν Ἀντιόχειαν ἐπιστολήν, λέγοντες ὅτι
»ἔγνωμέν τινας ἐξ ἡμῶν πρὸς ὑμᾶς ἐλθόντας καὶ ταράξαντας ὑμᾶς

σίας καὶ ἀγνοούσης τὸν ὑπὲρ πάντα θεόν. τὸν δὲ Ἰησοῦν ὑπέθετο μὴ ἐκ παρθένου γεγενῆσθαι (+ *impossibile enim hoc ei visum est* Ir.), γεγονέναι δὲ αὐτὸν ἐξ Ἰωσὴφ καὶ Μαρίας υἱὸν ὁμοίως τοῖς λοιποῖς ἅπασιν ἀνθρώποις, καὶ δικαιότερον γεγονέναι καὶ σοφώτερον. καὶ μετὰ τὸ βάπτισμα κατελθεῖν εἰς αὐτὸν ἀπὸ τῆς ὑπὲρ τὰ ὅλα αὐθεντίας τὸν Χριστὸν ἐν εἴδει περιστερᾶς, καὶ τότε κηρῦξαι τὸν ἄγνωστον πατέρα καὶ δυνάμεις ἐπιτελέσαι, πρὸς δὲ τῷ τέλει ἀποπτῆναι τὸν Χριστὸν ἀπὸ τοῦ Ἰησοῦ καὶ τὸν Ἰησοῦν πεπονθέναι καὶ ἐγηγέρθαι, τὸν δὲ Χριστὸν ἀπαθῆ διαμεμενηκέναι πνευματικὸν ὑπάρχοντα

1 vgl. S. 236, 6ff — **12** vgl. I Joh. 5, 1 — **23** Act. 15, 24

V M

1 *τὴν ἀρχὴν τοῦ κηρύγματος* M **1f** *εἴπο///μεν, o* aus *α* V corr **4** *ἐκ*] *ἀπὸ* M **5** *ἑαυτὸν* V **6** *ἐν τῷ Ἰορδάνῃ* nachgetragen V corr < M **7** *μετ' αὐτοῦ* U] *μετ' αὐτὸν* V M **8** *ἦλθεν* + (angeflickt) *ἡ δύναμις* V corr | *δύναμις* < V **14** *δωκότα* M **15** *ἀγαθῷ*] *ἀγαθὸν* M **18** *γε*] *δὲ* M | *ὁμολογεῖται* V *ὁμολόγηται* M **21** vor *τὴν ταραχὴν* + *ὁ* V | *ἐργασαμένων* *] *ἐργασάμενος* V M

λόγοις, οἷς οὐ διεστειλάμεθα«· καὶ οὗτος εἷς ἐστι τῶν ἀντιστάντων 4
τῷ ἁγίῳ Πέτρῳ, ἐπειδὴ εἰσῆλθε πρὸς Κορνήλιον τὸν ἅγιον, ὅτε μετε-
στείλατο αὐτὸν καταξιωθεὶς ὀπτασίας ἀγγέλου καὶ ὁ Πέτρος ἐδίσταζε
καὶ εἶδεν τὸ ὅραμα τῆς ὀθόνης καὶ τὰ ἐν αὐτῇ καὶ ἤκουσε παρὰ
κυρίου μηδὲν κοινὸν λέγειν ἢ ἀκάθαρτον. οὗτος οὖν παρεκίνει περὶ 5
τοῦ Πέτρου ἀνελθόντος εἰς Ἱερουσαλὴμ τὰ πλήθη τῶν ἐκ περιτομῆς
λέγων ὅτι »εἰσῆλθε πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας«. ἐποίησε 6
δὲ τοῦτο Κήρινθος πρὶν ἢ ἐν τῇ Ἀσίᾳ κηρῦξαι τὸ αὐτοῦ κήρυγμα
καὶ ἐμπεσεῖν εἰς τὸ περισσότερον τῆς αὐτοῦ ἀπωλείας βάραθρον. διὰ
γὰρ τὸ εἶναι αὐτὸν ἐμπερίτομον, δῆθεν ἀντιδικίας ἕνεκα τῶν ἐν
ἀκροβυστίᾳ πιστῶν διὰ τῆς περιτομῆς τὴν πρόφασιν ἐθηράσατο.

3. Τοῦ δὲ κυρίου πάντοτε τὴν ἐπιμέλειαν τῆς ἀνθρωπότητος 3, 1
ποιουμένου καὶ τὸ σαφὲς τῆς ἀληθείας ἐν τοῖς τῆς ἀληθείας υἱοῖς
ἀσφαλιζομένου καὶ δόντος | Πέτρῳ τῷ ἁγίῳ ἀποστόλῳ ποιήσασθαι D74
τὸν πρὸς αὐτὸν καὶ τοὺς αὐτοῦ ἔλεγχον, φανερὰ γίνεται ἡ τοῦ Κη-
ρίνθου ἄνοια. φησὶ γὰρ ὁ ἅγιος Πέτρος »ἐγὼ ἤμην ἐν πόλει 2
Ἰόππῃ καὶ εἶδον ἐν μέσῃ τῇ ἡμέρᾳ περὶ ὥραν ἕκτην | ὀθόνην καθιε- P112
μένην, δεδεμένην ἐν τέτρασιν ἀρχαῖς, ἐν ᾗ ἦν πάντα τὰ τετράποδα
καὶ ἑρπετά. καὶ εἶπέν μοι· θῦσον καὶ φάγε. ἐγὼ δὲ εἶπον· κύριε
μηδαμῶς, ὅτι οὐδέποτε κοινὸν ἢ ἀκάθαρτον εἰσῆλθεν εἰς τὸ στόμα
μου. ἀπεκρίθη δέ μοι ἐκ δευτέρου φωνὴ ἐκ τοῦ οὐρανοῦ· ἃ ὁ θεὸς
ἐκαθέρισε, σὺ μὴ κοίνου. καὶ ἐξαυτῆς ἰδοὺ δύο | ἄνδρες εἱστήκεισαν Ö220
εἰς τὴν οἰκίαν καὶ εἶπέν μοι τὸ πνεῦμα· πορεύου σὺν αὐτοῖς μηδὲν
διακρινόμενος«. καὶ λοιπὸν διηγεῖται, ὡς ἐν παραβολῇ ταῦτα πρὸς 3
αὐτὸν εἴρηται καὶ ὡς τότε ἐδίσταξεν, ἕως ὅτε ὁ κύριος ἐναργῶς
ἔδειξεν αὐτῷ ἃ διὰ τῶν λόγων καὶ τύπων αὐτὸν ἐδίδασκεν. εὐθὺς 4
γὰρ αὐτοῦ ἀνοίξαντος τὸ στόμα, ὅτε ἦλθεν εἰς Καισάρειαν, ἐπέπεσε

1 vgl. Act. 11, 2 — **7** Act. 11, 3 — **16ff** Act. 11, 4ff

V M **5**—S.**316**,**10** mit Auslassungen Catena in Acta apost. S. 193,21 ff Cramer (= cat.)

3 *ἀγγέλου* angeflickt V corr **5** *μηδένα* M | *παρεκίνει* aus *παρ᾽ ἐκείνη* V **6** *ἐπανελθόντος* cat. **7** *εἰσῆλθες* M **8** *ἑαυτοῦ* V **12—14** *κυρίου — ἀσφαλι-ζομένου* < cat. **14** *τῷ ἁγίῳ ἀποστόλῳ* < cat. | *ποιήσασθαι* hinter *ἔλεγχον* (Z. 15) cat. **15** *ἐλέγχους* aus *ἔλεγχον* V corr | *φανερὰ* + *γὰρ* V **16—25** < cat. **19f** *μηδαμῶς κύριε* M **21** *φωνὴ ἐκ δευτέρου* M **22** *ἐκαθέρισεν, ἁ* V corr *ἐκαθέρισεν* M **23** *εἰς*] *ἐπὶ* M **24** *ταῦτα* + *ἃ* M **25** *καὶ ὡς τότε*] *ἕως τότε γὰρ* cat. | *ἐδίσταζεν* u. + *ὁ ἅγιος* cat. **26** *ἃ* < M | *αὐτῶν* M | *εὐθὺ* M **27** *ὅτε — Καισάρειαν* < cat.

τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ Κορνήλιον. καὶ ἰδὼν ὁ Πέτρος εἶπε »μή τις δύναται κωλῦσαι τὸ ὕδωρ ἀπὸ τούτων τῶν καταξιωθέντων τὸ πνεῦμα τὸ ἅγιον λαβεῖν, ὡς καὶ ἡμεῖς ἐξ ἀρχῆς;« τὸ πᾶν δὲ ἦν τοῦτο μυστήριον καὶ τῆς τοῦ θεοῦ φιλανθρωπίας ἔργον, ὅπως ὅ τε ἅγιος Πέτρος καὶ πᾶς τις γνώσεται ὅτι οὐκ ἀπ' ἀνθρώπων ἡ τῶν ἐθνῶν σωτηρία, ἀλλ' ἐκ θεοῦ. προὔλαβεν γὰρ ὁ θεὸς δοῦναι τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος καὶ τὴν τοῦ ἀγγέλου ὀπτασίαν καὶ τὴν ἀποδοχὴν τῆς εὐχῆς καὶ νηστειῶν καὶ ἀγαθοποιιῶν, ἵνα ὦ ἐπιστεύθησαν οἱ ἀπόστολοι, μάλιστα ὁ ἅγιος Πέτρος καὶ οἱ λοιποὶ ἀπόστολοι, μὴ ἀποστερήσωσιν τὸν ἐκ θεοῦ κατὰ ἀλήθειαν κεκλημένον.

4. Ἀλλὰ ταῦτα μὲν τότε ἐπραγματεύθη κινηθέντα ὑπὸ τοῦ προ- **4, 1**
εἰρημένου ψευδαποστόλου Κηρίνθου, ὡς καὶ ἄλλοτε στάσιν αὐτός τε καὶ οἱ μετ' αὐτοῦ εἰργάσαντο ἐν αὐτῇ τῇ Ἱερουσαλήμ, ὁπηνίκα Παῦλος ἀνῆλθε | μετὰ Τίτου καὶ ὡς οὗτος ἔφη ὅτι »ἄνδρας ἀκροβύστους D75
εἰσήνεγκε μεθ' ἑαυτοῦ«, ἤδη περὶ Τίτου λέγων, »καὶ κεκοίνωκε (φησί) τὸν ἅγιον τόπον«. διὸ καὶ Παῦλος λέγει »ἀλλ' οὐδὲ Τίτος ὁ σὺν **2**
ἐμοί, Ἕλλην ὤν, ἠναγκάσθη περιτμηθῆναι· διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους, οἵτινες παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν ἣν ἔχομεν ἐν Χριστῷ, οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ«· καὶ τοῖς ἐν ἀκροβυστίᾳ παραγγέλλων ἔλεγεν »μὴ περιτέμνεσθε· ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει«. διήρκεσε δὲ **3**
ἡ περιτομὴ χρόνῳ ὑπηρετήσασα, ἕως ἡ μείζων περιτομὴ παρεγένετο, P113
τουτέστιν τὸ λουτρὸν τῆς παλιγγενεσίας, ὡς παντὶ τῷ δῆλόν ἐστι καὶ σαφέστερον δείκνυται ἀπὸ τῶν παρὰ τοῖς ἀποστόλοις εἰρημένων, μάλιστα παρὰ τῷ ἁγίῳ ἀποστόλῳ Παύλῳ· φάσκει γὰρ οὕτως »οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ«. παντὶ δὲ τῷ βουλομένῳ **4**
κατανοεῖν τὰ παρὰ τοῖς ἀποστόλοις τότε πεπραγματευμένα θαυμάσαι ἔπεστι, πῶς τὰ παρὰ τῇ αἱρέσει ταύτῃ ἐξ ἐπινοίας πνεύματος πλά-

14 vgl. Act. 21, 28 — **16** Gal. 2, 3—5 — **20** Gal. 5, 2 — **21f** vgl. oben haer. 8, 6, 7; S. 192, 17ff — **25** Gal. 2, 5

V M cat. (bis Z. 10)

1 ὁ < M **2** τὸ ὕδωρ hinter μὴ cat. **2—3** ἀπὸ — ἀρχῆς] κτἑ cat. **4** ὅ τε] ὅτε ὁ M **6** θεοῦ + ὑπῆρχεν cat. **7** ἁγίου < V **14** ἀνῆλθε, ν aus π Vcorr ἀπῆλθε M **15** κεκοίνωκε aus κεκοινώνηκε V **17** δὲ < M **20** περιτέμνεσθαι, ε Vcorr περιτέμνεσθε M **21** ὅτι ἐὰν περιτέμνησθε < M **22** μείζον M **23** τῳ] τὸ M **25** μάλιστα + δὲ M | οὕτως] οὗτος Dind. | οἷς] ὡς M **28** ἐπινοίας V

νης ἐνεργηθέντα τὸν χαρακτῆρα ὑποδείκνυσι τῶν διὰ τῶν αἱρέσεων τούτων ἐν τοῖς ἀποστόλοις τὴν κίνησιν ἐργασαμένων. ἀποστάντων γὰρ τούτων καὶ εἰς ψευδαποστόλους τραπέντων ⟨καὶ⟩ ἄλλους ψευδαποστόλους ἀποστειλάντων ὡς καὶ ἤδη προείρηται εἰς τὴν Ἀντιόχειαν ἐν ἀρχῇ καὶ εἰς ἄλλους τόπους, λέγοντας ὅτι »ἐὰν μὴ περιτμηθῆτε καὶ φυλάξητε τὸν νόμον Μωυσέως, οὐ δύνασθε σωθῆναι«, οὐχ ἡ τυχοῦσα τότε ταραχὴ ἐγένετο ὡς προείρηται. καὶ οὗτοί | εἰσιν οἱ 6 Ö222
παρὰ τῷ ἀποστόλῳ Παύλῳ εἰρημένοι »ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ«.

5. Χρῶνται γὰρ τῷ κατὰ Ματθαῖον εὐαγγελίῳ — ἀπὸ μέρους 5, 1
καὶ οὐχὶ ὅλῳ, ἀλλὰ διὰ τὴν γενεαλογίαν τὴν ἔνσαρκον — καὶ ταύτην μαρτυρίαν φέρουσιν, ἀπὸ τοῦ εὐαγ|γελίου πάλιν λέγοντες ὅτι »ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται ὡς ὁ διδάσκαλος«. τί οὖν, φησί; περιετμήθη ὁ Ἰησοῦς, περιτμήθητι καὶ αὐτός. Χριστὸς κατὰ νόμον, φησίν, ἐπολιτεύσατο, καὶ αὐτὸς τὰ ἴσα ποίησον. ὅθεν καί τινες ἐκ τούτων ὡς ὑπὸ δηλητηρίων ὑφαρπαχθέντες πείθονται ταῖς πιθανολογίαις διὰ τὸ τὸν Χριστὸν περιτετμῆσθαι. τὸν δὲ Παῦλον ἀθετοῦσι διὰ τὸ μὴ πείθεσθαι τῇ περιτομῇ, ἀλλὰ καὶ ἐκβάλλουσιν αὐτὸν διὰ τὸ εἰρηκέναι »ὅσοι ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε«, καὶ ὅτι »ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει«. D76 2 3

5 Act. 15, 1 — **8** II Kor. 11, 13 — **10ff** vgl. Irenaeus adv. haer. I 26, 2; I 213 Harvey (bei den Ebionäern) *solo autem eo quod est secundum Matthaeum evangelio utuntur* u. die Bemerkungen bei den Nazoräern haer. 29, 9, 4 u. bei den Ebioniten haer. 30, 13, 2 u. 14, 2. Durch die letztgenannte Stelle wird der Sinn des *ἀλλὰ διὰ τὴν γενεαλογίαν τὴν ἔνσαρκον* näher erläutert. Epiph. will sagen, daß die Kerinthianer zwar ein unvollständiges Matthäusevangelium haben, aber doch auf dieses Evangelium Wert legen um der Geschlechtsregister willen. Das Vorhandensein der Geschlechtsregister in ihrem Evangelium soll also gerade betont werden — **12f** Matth. 10, 25; vgl. haer. 30, 26, 1ff u. Ps. Tertullian adv. omn. haer. 3 (von Ebion) *et quia scriptum sit: nemo discipulus super magistrum nec servus super dominum, legem etiam proponit, scilicet ad excludendum evangelium et vindicandum Judaismum* — **17ff** vgl. Irenaeus I 26, 2; I 213 Harvey (bei den Ebionäern) *et apostolum Paulum recusant, apostatam eum legis dicentes* — **19** Gal. 5, 4 — **20** Gal. 5, 2

V M

3 ⟨καὶ⟩ Ausgg. **8** ἀποστόλῳ < V **10** μέρους + ⟨μὲν⟩? * **16** ὑπαρπαχθέντες M **19** ἐξεπέσατε, ε V^{corr} **20** περιτέμνησθε von späterer Hand aus περιτετμῆσθε V

6. Οὗτος δὲ ὁ Κήρινθος ἀνόητος καὶ ἀνοήτων διδάσκαλος φάσκει **6, 1**
πάλιν τολμήσας Χριστὸν πεπονθέναι καὶ ἐσταυρῶσθαι, μήπω δὲ
ἐγηγέρθαι, μέλλειν δὲ ἀνίστασθαι ὅταν ἡ καθόλου γένηται νεκρῶν
ἀνάστασις. ἀσύστατα τοίνυν ταῦτα παρὰ τούτοις, τά τε ῥήματα καὶ **2**
νοήματα. ὅθεν καὶ ὁ ἀπόστολος ἐκπληττόμενος τοῖς μὲν ἀπιστοῦσι
τῇ ἀναστάσει τῶν νεκρῶν τῇ μελλούσῃ ἔσεσθαι ἔλεγεν »εἰ νεκροὶ οὐκ
ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται« καὶ τό »φάγωμεν καὶ πίωμεν·
αὔριον γὰρ ἀποθνήσκομεν« | καὶ τό »μὴ πλανᾶσθε· φθείρουσιν P114
ἤθη χρηστὰ ὁμιλίαι κακαί«. πάλιν δὲ τοῖς λέγουσι τὸν Χριστὸν **3**
μηδέπω ἐγηγερμένον ὡσαύτως τὸν ἔλεγχον ἐπιφέρει λέγων »εἰ Χρι-
στὸς οὐκ ἐγήγερται, μάταιον τὸ κήρυγμα ἡμῶν, ματαία καὶ ἡ
πίστις ἡμῶν. εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ, ⟨ὅτι
ἐμαρτυρήσαμεν κατὰ τοῦ θεοῦ⟩, ὅτι ἤγειρεν τὸν Χριστόν, εἴπερ
οὐκ ἤγειρεν«· * ὡς τῶν [μὲν] ἀποστόλων κηρυττόντων Χριστὸν μὲν
⟨μηδέπω⟩ ἐγηγέρθαι, νεκροὺς δὲ μὴ ἐγείρεσθαι. ἐν ταύτῃ γὰρ τῇ **4**
πατρίδι, φημὶ δὲ Ἀσίᾳ, ἀλλὰ καὶ ἐν τῇ Γαλατίᾳ πάνυ ἤκμασε τὸ
τούτων διδασκαλεῖον, ἐν οἷς καί τι παραδόσεως πρᾶγμα ἦλθεν εἰς
ἡμᾶς, ὡς τινῶν μὲν παρ᾽ αὐτοῖς προφθανόντων τελευτῆσαι ἄνευ
βαπτίσματος, | ἄλλους δὲ ἀντ᾽ αὐτῶν εἰς ὄνομα ἐκείνων βαπτίζεσθαι, D77
ὑπὲρ τοῦ μὴ ἐν τῇ ἀναστάσει ἀναστάντας αὐτοὺς δίκην δοῦναι τι-
μωρίας βάπτισμα μὴ εἰληφότας, γίνεσθαι δὲ ὑποχειρίους τῆς τοῦ
κοσμοποιοῦ ἐξουσίας. καὶ τούτου ἕνεκα ἡ παράδοσις ἡ ἐλθοῦσα εἰς **5**
ἡμᾶς φησι τὸν αὐτὸν ἅγιον ἀπόστολον εἰρηκέναι »εἰ ὅλως νεκροὶ οὐκ
ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ αὐτῶν;« καλῶς δὲ ἄλλοι τὸ ῥη-
τὸν ἑρμηνεύοντές φα|σιν ὅτι οἱ μέλλοντες τελευτᾶν, ἐπὰν ὦσι κατη- Ö224
χούμενοι, ἐπὶ ταύτῃ τῇ ἐλπίδι πρὸ τῆς τελευτῆς λουτροῦ καταξιοῦνται,
δεικνύντες ὅτι ὁ τελευτήσας καὶ ἀναστήσεται καὶ διὰ τοῦτο ἐπιδέεται
τῆς διὰ τοῦ λουτροῦ ἀφέσεως ἁμαρτημάτων. τούτων δὲ οἱ μὲν τὸν **6**
Χριστὸν μηδέπω ἐγηγέρθαι κεκηρύχασιν, ἀνίστασθαι δὲ μετὰ πάντων,
οἱ δὲ ὅτι ὅλως νεκροὶ οὐκ ἀναστήσονται. διὸ μέσος χωρήσας ὁ ἀπό- **7**

6 I Kor. 15, 16 — **7** I Kor. 15, 32 — **8** I Kor. 15, 33 — **10** I Kor. 15, 14f — **23** I Kor. 15, 29

V M

4 *παρὰ τούτοις*] *παρ᾽ ἐκείνοις* V **5** *ὁ ἀπόστολος*] *ὁ Παῦλος* V **6** *λέγει* aus *ἔλεγεν* V^{corr} **7** *φάγομεν καὶ πίομεν* M **10** *μήπω* V **12** *δὲ* < M **13** *ὅνπερ* V^{corr} **14** * etwa ⟨*ἐπεὶ καὶ ἐν Κορίνθῳ ἀνέστησάν τινες λέγοντες, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν*,⟩ | [*μὲν*] * **14f** *μὲν* ⟨*μηδέπω*⟩ *, vgl. Z. 28ff] *μὴ* aus *μὲν* V^{corr} *μὲν* M **17** *τοῦτον* M | *παραδό//σεως, ο* aus *ω* V^{corr} **20** *ἀναστάντα* M **21** *εἰληφότας, α* aus *ε* V^{corr} **25** *φησὶν* M | *ἐ//ὰν, π* ausradiert V^{corr} **26** *καταξιοῦνται λουτροῦ* M **28** *διὰ* < M

στολος πρὸς ἀμφοτέρους τούτους καὶ τὰς λοιπὰς αἱρέσεις ἐν τῇ μιᾷ ἐργασίᾳ τὴν ἀνατροπὴν πεποίηται ἐν τῇ περὶ νεκρῶν † ἀναστάσει καὶ ἐν ταῖς μαρτυρίαις αἷς κατὰ λεπτότητα διεξιὼν τὴν βεβαίαν σύστασιν ἐποιήσατο τῆς τῶν νεκρῶν ἀναστάσεως καὶ σωτηρίας καὶ ἐλπίδος, φάσκων »δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ 8
τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν« καὶ πάλιν ὅτι »Χριστὸς ἐγήγερται ἀπαρχὴ τῶν κεκοιμημένων«, ἵνα τὰς ἀμφοτέρας σχέσεις τῶν αἱρέσεων ἐλέγξας τὸ ἀμόλυντον τῆς διδασκαλίας κήρυγμα ἐξ ἀληθείας διδάξῃ τοὺς βουλομένους εἰδέναι τὴν τοῦ θεοῦ ἀλήθειαν
καὶ σωτηριώδη διδασκαλίαν. | P115

7. *Πανταχόθεν τοίνυν φωρατὸς ἂν εἴη Κήρινθος καὶ οἱ ἀμφ'* **7, 1**
αὐτόν, ἀπατηθεὶς ὁ τάλας καὶ ἄλλοις αἴτιος γεγονὼς ἀπωλείας, τῶν θείων γραφῶν σαφῶς ἡμῖν κατὰ λεπτότητα περὶ πάντων εἰσηγουμένων. οὔτε γὰρ ἐκ σπέρματος Ἰωσὴφ ὁ Χριστός, ἐπεὶ πῶς ἔτι σημεῖον εἴη τὸ γέννημα, καὶ τὸ παρὰ τῷ Ἡσαΐᾳ εἰρημένον πῶς | ἔτι **2** D78
συσταθήσεται, ὡς εἶπεν »αὐτὸς ὁ κύριος δώσει ὑμῖν σημεῖον· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν« καὶ τὰ ἑξῆς· πῶς δὲ ἔτι **3**
πληρωθήσεται τὸ εἰρημένον παρὰ τῆς ἁγίας παρθένου πρὸς τὸν Γαβριήλ »πῶς ἔσται τοῦτο, ὅτι ἄνδρα οὐ γινώσκω« καὶ αὐτοῦ λέγοντος »πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι« καὶ τὰ ἑξῆς, πῶς δὲ ἔτι πάλιν οὐκ ἐλεγχθήσεται αὐτῶν ἡ ἄνοια, **4**
τοῦ εὐαγγελίου σαφῶς λέγοντος ὅτι »ηὑρέθη ἐν γαστρὶ ἔχουσα πρὶν ἢ συνελθεῖν αὐτούς«; ἔστιν δὲ γνῶναι σαφῶς ὅτι οὐδὲ ὅλως **5**
συνῆλθον. μὴ γένοιτο γὰρ τοῦτο εἰπεῖν, ἐπεὶ οὐκ ἂν μετὰ σταυρὸν προενόει παραθέσθαι αὐτὴν Ἰωάννῃ τῷ ἁγίῳ παρθένῳ, ὡς λέγει »ἴδε ἡ μήτηρ σου« καὶ τῇ αὐτῇ »ἴδε ὁ υἱός σου«. ἔδει γὰρ αὐτὸν **6**
παραδοῦναι αὐτὴν τοῖς αὐτῆς συγγενέσιν ἢ τοῖς τέκνοις τοῦ Ἰωσήφ, εἴπερ ἦσαν ἐξ αὐτῆς, Ἰακώβῳ φημὶ καὶ Ἰωσῇ καὶ Ἰούδᾳ καὶ Συμεῶνι.

5 I Kor. 15, 53 — **6** I Kor. 15, 20 — **16** Jes. 7, 14 — **19** Luk. 1, 34 — **20** Luk. 1, 35 — **22** Matth. 1, 18 — **25** *τῷ ἁγίῳ παρθένῳ*, zum Sinn vgl. haer. 78, 10, 11 — **26** Joh. 19, 27 — Joh. 19, 26 — **28** vgl. Mark. 6, 3

V M

2 † *ἀναστάσει*] lies wohl *ἀναστάσεως ⟨ὑποθέσει⟩* * **3** vor *καὶ* viell. etwas ausgefallen *⟨ἐλέγχων αὐτούς⟩*? * | *αἷς* < M **8 f** *ἐξ ἀληθείας*] s. zu S. 305, 12 **11** *ἂν* < M **12** *αὐτὸν*, *o* aus *ω* V corr | *ἀπατηθέντες οἱ τάλανες* aus *ἀπατηθεὶς ὁ τάλας* V corr | *αἴτιοι γεγονότες* aus *αἴτιος γεγονὼς* V corr **13 f** *εἰσηγουμένων*, *δι* V corr **16** *ὁ* < V **19** *ὅτι*] *ἐπεὶ* M **21** *πῶς δὲ* ////, *ἔτι* ausradiert V corr | *αὐτοῦ* M **28** *Συμεὼν* M

υἱοῖς οὖσι τοῦ Ἰωσὴφ ἀπὸ ἄλλης γυναικός. οὐδὲ γὰρ κέχρηται τῇ παρθένῳ ὅλως, μὴ γένοιτο· εὑρίσκεται γὰρ μετὰ τὸ γεγεννηκέναι ἡ παρθένος ἄχραντος. ἀλλὰ περὶ τούτων ἤδη ἐν ἄλλῳ μοι λόγῳ σαφῶς 7
πεπραγμάτευται καὶ πραγματευθήσεται· ὧδε δὲ ἐν μέρει ὡς ἐν παρ-
5 εκδρομῇ περὶ τῆς τούτων ὑποθέσεως εἴρηται, ἵνα μὴ ἑτέρων δηγμάτων βουλόμενος ποιῆσαι ἴασιν καὶ ἑτέρων δηλητηρίων ἄκος | καὶ Ö226
ἀλεξητήριον * εἰς ἄλλα τοὺς ἐντυγχάνοντας παρεκτρέψω. πλὴν ἐκ 8
παντὸς τῷ τὴν σύνεσιν κεκτημένῳ μάταιος ἡ τούτων καταχλεύαστος διδασκαλία συσταθήσεται, παρὰ μὲν τοῖς ἀποστόλοις ἐλεγχομένη, παρὰ
10 δὲ τοῖς συνετοῖς καταγινωσκομένη, ἐκ θεοῦ δὲ καὶ τοῦ αὐτοῦ τῆς ἀληθείας κηρύγματος ἐκβαλλομένη.

8. Καλοῦνται δὲ πάλιν οὗτοι Μηρινθιανοί, ὡς ἡ ἐλθοῦσα εἰς 8, 1
ἡμᾶς φάσις περιέχει. εἴτε γὰρ ὁ αὐτὸς Κήρινθος Μήρινθος πάλιν
ἐκαλεῖτο, οὐ πάνυ τι σαφῶς | περὶ τούτου ἴσμεν, εἴτε ἄλλος τις ἦν D79
15 Μήρινθος ὀνόματι συνεργὸς τούτου, | θεῷ ἔγνωσται. ἤδη γὰρ εἴπα- 2 P116
μεν ὅτι οὐ μόνον αὐτὸς ἐν Ἱεροσολύμοις πολλάκις ἀντέστη τοῖς ἀποστόλοις, ἀλλὰ καὶ οἱ σὺν αὐτῷ καὶ ἐν τῇ Ἀσίᾳ· πλὴν ἤτοι αὐτὸς εἴη ἢ καὶ ἄλλος σὺν αὐτῷ συνεργὸς τὰ ὅμοια αὐτῷ φρονῶν καὶ συμπράττων εἰς τὰ ἴσα, οὐδὲν διαφέρει. ἡ γὰρ πᾶσα αὐτῶν κακο-
20 τροπία τῆς διδασκαλίας τοῦτον ἔχει τὸν χαρακτῆρα, Κηρινθιανοὶ δὲ ὁμοῦ καὶ Μηρινθιανοὶ οὗτοι καλοῦνται.

Καὶ ταῦτα περὶ ταύτης τῆς δεινῆς καὶ ἑρπετώδους μοχθηρίας 3
διεξιόντες πάλιν ἐπὶ τὰς ἑξῆς προβαίνομεν, εὐχαριστοῦντες μὲν ὅτι τὸ πέλαγος τούτων τῶν κακῶν δογμάτων ἀβλαβῶς διενηξάμεθα,
25 εὐχόμενοι δὲ ἵνα ἐν τοῖς ἑξῆς παρεντυχόντες, ὡς εἰς δυσθαλάττια καὶ θηριώδη βράχη παρεμπεσόντες μὴ ἀδικηθῶμεν, ἀλλὰ σωτηρίας τύχωμεν τῆς ἀπὸ τῆς μελλούσης ἡμῖν καθ' ὑφήγησιν ἀναφαίνεσθαι ἀληθείας ἐν τῷ ἡμᾶς συνιστᾶν αὐτήν τε καὶ τὴν ἐπ' αὐτῇ

3 vgl. Ancoratus c. 60, 1; S. 70, 18ff u. Panarion haer. 78, 7ff

V M

1 vor *οὐδὲ* ein *καὶ* getilgt V | *οὐδὲ*] *οὐ* M | *γὰρ* + *ὅτι* V **2** *μὴ γένοιτο* < V | *γὰρ* < V **7** *ἀλεξιτήριον* M | * ⟨*παρασκευάσαι*⟩ * **8** vor *καταχλεύαστος* + *καὶ* M **10f** *κηρύγματος τῆς ἀληθείας* V **13** *φήμη* aus *φάσις* V corr **15** *τούτου* *] *τούτῳ* V M | *εἴπο//μεν, ο* aus *α* V corr **16** *ἀνθέστη* M **17** *καὶ*[2] ausradiert V corr **18** *σὺν* < M **19** *εἰς* *] *καὶ* V M **20** *δὲ*] *τε* V **21** *ὁμοῦ* hinter *Μηρινθιανοὶ* M **25** *ἵνα* hineingeflickt V corr *ἵν'* M **25** *δυσθαλάττια* Dind.] *δι//θαλάττια, α* ausradiert V corr *διαθαλάττια* M **28** *ἐπ'* *] *ἐν* V M

κενοφωνίαν. τῷ γὰρ βουλομένῳ σκοπεῖν καὶ τὰς τούτων ἰδέας ἀνα- 4
γράφειν καὶ αὕτη παρεικασθήσεται ὡς ἀληθῶς δικεφάλῳ τινὶ ὄφει
διὰ τὸ διώνυμον καὶ τῇ καλουμένῃ σηπεδόνι ἐχίδνῃ, τῇ κομώσῃ μὲν
πᾶν τὸ σῶμα αὐτῆς ἐν θριξὶν ἐρυθραῖς, οὐκ ἐχούσῃ δὲ οὐδὲ αἰγὸς
οὐδὲ προβάτου φύσιν ἢ δορὰν ἀλλὰ ἑρπετοῦ καὶ τὴν λύμην ἐργαζο-
μένῃ διὰ τοῦ δήγματος τοῖς παρεντυγχάνουσιν, ἀνατρέπουσα τοὺς 5
αὐτῇ πειθομένους, πῇ μὲν ἀπὸ παλαιᾶς θρησκείας τὰ τῆς νέας δια-
θήκης ἀφανίζουσα, πῇ δὲ διὰ λόγων ψευδῶν ὡς ἀπὸ νέας διαθήκης
κατὰ τῶν ἀπὸ περιτομῆς εἰς Χριστὸν πεπιστευκότων ἀποστόλων
τὰς ψευδηγορίας περιφέρουσα, ἧς τήν τε σῆψιν καὶ τὸν ἰὸν καὶ τοὺς
ὀδόντας τῷ ξύλῳ τῆς ἀληθείας παίσαντες καὶ συντρίψαντες ἐπὶ τὰς
μετέπειτα ὡς προεῖπον διεξιέναι ἐν τῇ τοῦ θεοῦ δυνάμει σπεύσωμεν. | D80 Ö228

Κατὰ Ναζωραίων θ̄, τῆς δὲ ἀκολουθίας κθ̄.

1. *Ναζωραῖοι καθεξῆς τούτοις ἕπονται, ἅμα τε αὐτοῖς ὄντες ἢ* **1, 1**
καὶ πρὸ αὐτῶν ἢ σὺν αὐτοῖς ἢ μετ' αὐτούς, ὅμως σύγχρονοι· οὐ γὰρ
ἀκριβέστερον δύναμαι ἐξειπεῖν τίνες τίνας | *διεδέξαντο. καθὰ γὰρ* P117
ἔφην, σύγχρονοι ἦσαν ἀλλήλοις καὶ ὅμοια ἀλλήλοις κέκτηνται τὰ
φρονήματα. οὗτοι γὰρ ἑαυτοῖς ὄνομα ἐπέθεντο οὐχὶ Χριστοῦ οὔτε **2**
αὐτὸ τὸ ὄνομα τοῦ Ἰησοῦ, ἀλλὰ Ναζωραίων. πάντες δὲ Χριστιανοὶ **3**

13 ff vgl. mit Epiph. insbesondere Irenaeus adv. haer. I 26, 2; I 212f Harvey Hippolyt refut. VII 34; S. 221 Wendland Ps. Tertullian adv. omn. haer. 3 Filastrius haer. 37; S. 20, 14ff Marx Origenes c. Cels. II 1; I 126, 17ff Kötschau V 61; II 65, 4ff V 65; II 68, 11ff in Matth. tom. XVI 12; IV 37f Lommatzsch Eusebius h. e. III 27, 1ff; S. 255, 24ff Schwartz VI 17; S. 554, 18ff Hieronymus in Isaiam zu 1, 12; Migne 24, 34B (ebenda zu 1, 3); Migne 24, 27A u. zu 8, 11ff; 119A in Ezech. 16, 16; Migne 25, 139C ep. 112, 13, 2; CSEL 55, 381, 26ff Hilberg de vir. ill. 3 (Hieronymus stimmt in der Unterscheidung von Nazoräern u. Ebioniten mit Epiph. überein; ob er Nazorei oder Nazarei oder Nazareni geschrieben hat, ist auch durch Hilberg noch nicht sichergestellt: die beste Hdschr. hat S. 381, 26 nazoreus) — **19 f** vgl. Act. 24, 5

V M

3 *σιπιδῶνι* M **4** *οὐκ ἐχούσῃ δὲ οὐδὲ*] *ἐχούσῃ δὲ οὐκ* M **6. 8. 10** *ἀνατρέπουσα . . ἀφανίζουσα . . περιφέρουσα* *] *ἀνατρεπούσῃ . . ἀφανιζούσῃ . . . περιφερούσῃ* V M **9** *κατὰ τῶν*] *κατάγων* M **10** *σῆψιν*] *σιτὶν* M **12** *χωρῆσαι* statt *διεξιέναι* auf Rasur V corr | *σπεύσωμεν* aus *πιστεύσωμεν* V corr | Unterschrift *κατὰ Κηρινθιανῶν τῶν καὶ Μηρινθιανῶν* V **13** *κατὰ Ναζωραίων θ̄ ἡ καὶ κθ̄* V **16** *καθὰ γὰρ*] *καθάπερ* M **17** *τὰ* < M **19** vor *πάντες* hineingeflickt *καὶ* V corr

Ναζωραῖοι τότε ὡσαύτως ἐκαλοῦντο· γέγονε δὲ ἐπ᾽ ὀλίγῳ χρόνῳ καλεῖσθαι αὐτοὺς καὶ Ἰεσσαίους, πρὶν ἢ ἐπὶ τῆς Ἀντιοχείας ἀρχὴν λάβωσιν οἱ μαθηταὶ καλεῖσθαι Χριστιανοί. ἐκαλοῦντο δὲ Ἰεσσαῖοι 4
διὰ τὸν Ἰεσσαί, οἶμαι, ἐπειδήπερ ὁ Δαυὶδ ἐξ Ἰεσσαί, ἐκ δὲ τοῦ Δαυὶδ
5 *κατὰ διαδοχὴν σπέρματος ἡ Μαρία, πληρουμένης τῆς θείας γραφῆς, κατὰ τὴν παλαιὰν διαθήκην τοῦ κυρίου λέγοντος πρὸς τὸν Δαυίδ »ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου«.*

2. Δέδια δὲ καθ᾽ ἑκάστην ὑπόθεσιν λέξεως, † ὡς ταύτην τὴν 2, 1
† ὑπόθεσιν ποιοῦμαι, παρακινούσης με τῆς ἀληθείας τὰς ἐν αὐτῇ τῇ
10 *λέξει θεωρίας ὑποφαίνειν, διὰ τὸ μὴ πολὺ πλάτος περιποιήσασθαι τῇ συντάξει τῆς διηγήσεως. τοῦ γὰρ κυρίου φήσαντος τῷ Δαυίδ »ἐκ* 2
καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου« καὶ ὅτι »ὤμοσε κύριος τῷ Δαυὶδ καὶ οὐ μεταμεληθήσεται« δῆλον ὡς ἡ τοῦ θεοῦ ἀμε-
τάθετός ἐστιν ἐπαγγελία. καὶ πρῶτον μὲν ὅτι ὅρκος παρὰ θεῷ τί 3
15 *ἐστιν ἀλλ᾽ ἢ τό »κατ᾽ ἐμαυτοῦ ὤμοσα λέγει κύριος«; »οὐ γὰρ κατὰ μείζονος ἔχει ὅρκον ὁ θεός«· ἀλλὰ οὐδὲ ὄμνυσι τὸ θεῖον, εἰς παρά-*
στασιν δὲ βεβαιώσεως ὁ λόγος ἔχει τὴν δύναμιν. μεθ᾽ ὅρκου γὰρ ὤμοσε κύριος τῷ Δαυὶδ ἐκ | καρποῦ τῆς κοιλίας θήσειν ἐπὶ τὸν θρό- D81
νον αὐτοῦ. μαρτυροῦσι δὲ οἱ ἀπόστολοι ὅτι ἐκ σπέρματος τοῦ Δαυὶδ 4
20 *ἔδει τὸν Χριστὸν γεννηθῆναι, ὡς καὶ ἐγεννήθη ὁ κύριος ἡμῶν καὶ σωτὴρ Ἰησοῦς Χριστός· παρήσω δὲ τὸ πλῆθος τῶν μαρτυριῶν, ἵνα*
μὴ εἰς πολὺν ὄγκον ἀγάγω τὸν λόγον, ὥς γε προεῖπον. εἴποι δ᾽ 5
ἄν τις ἴσως· τοῦ Χριστοῦ γεννηθέντος ἐκ σπέρματος Δαυὶδ κατὰ
σάρκα τουτέστιν ἀπὸ τῆς ἁγίας παρθένου Μαρίας, τίνι τῷ λόγῳ ἐπὶ
25 *τοῦ θρόνου Δαυὶδ οὐ καθέζεται; »ἦλθον« γάρ φησι τὸ εὐαγγέλιον »χρῖσαι αὐτὸν εἰς βασιλέα, καὶ γνοὺς ἀνεχώρησε« »καὶ ἐκρύβη ἐν Ἐφραΐμ πόλει τῆς ἐρήμου«. φθάσαντες δὲ ἐπὶ τὸν τόπον τοῦ ῥητοῦ* 6
τούτου καὶ ἐρωτώμενοι περὶ τῆς μαρτυρίας ταύτης καὶ τῆς ὑποθέ-

2 zu *Ἰεσσαῖοι* vgl. unten S. 325, 21 ff — **2 f** vgl. Act. 11, 26 — **7** Psal. 131, 11 — **11** Psal. 131, 11 — **12** Psal. 109, 4 — **13 f** vgl. Hebr. 6, 17 — **15** Gen. 22, 16 — **15 f** vgl. Hebr. 6, 13 — **23** vgl. Röm. 1, 3 — **25** vgl. Joh. 6, 15 — **26** Joh. 11, 54

V M

2 *καὶ* < V **8** *δέδια δὲ*] *διὰ δὲ* M | † *ὡς*] lies etwa ⟨*μὴ εἰς πολὺ μῆκος ἐλάσω τὴν πραγματείαν· διὸ συντόμ⟩ως* * **9** † *ὑπόθεσιν*] *ὑπόμνησιν* aus *ὑπόθεσιν* V corr; richtiger etwa *ὑφήγησιν* * **14** *τις* M **16** *ὁ* < V **17** *ὁ* < M **19** *τοῦ* < M **20** *ὡς* *] *ὥσπερ οὖν* aus *ὃς* V corr *ὃς* M **20 f** *καὶ σωτὴρ* < V **21** vor *Χριστός* + *ὁ* M **27** *πόλιν* M | *ἡμεῖς* hinter *δὲ* hineingeflickt V corr **28** *ἠρωτημένοι* M

σεως, ὅτι τίνι τῷ λόγῳ κατὰ | τὸ σαρκικὸν οὐ πεπλήρωται ἐπὶ τὸν P118
σωτῆρα τὸ καθίσαι ἐπὶ θρόνον Δαυίδ | (ἐνομίσθη γὰρ τοῦτό τισι μὴ Ö230
πεπληρῶσθαι), ὅμως ὡς ἔστιν ἐροῦμεν. οὐδεμία γὰρ λέξις τῆς ἁγίας
τοῦ θεοῦ γραφῆς διαπίπτει.

3. Θρόνος γὰρ Δαυὶδ καὶ βασιλικὴ ἕδρα ἐστὶν ἡ ἐν τῇ ἁγίᾳ ἐκ- **3, 1**
κλησίᾳ ἱερωσύνη, ὅπερ ἀξίωμα βασιλικόν τε καὶ ἀρχιερατικὸν ὁμοῦ
ἐπὶ τὸ αὐτὸ συνάψας ὁ κύριος δεδώρηται τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ,
θρόνον μεταγαγὼν ἐν αὐτῇ τὸν τοῦ Δαυίδ, μὴ διαλείποντα εἰς τὸν
αἰῶνα. ἐκεῖσε γὰρ κατὰ διαδοχὴν διήρκεσεν ὁ θρόνος Δαυὶδ ἕως αὐ- **2**
τοῦ τοῦ Χριστοῦ, μὴ διαλειπόντων τῶν ἐξ Ἰούδα ἀρχόντων ἕως ἦλθεν
»ᾧ τὰ ἀποκείμενα ἦν καὶ αὐτὸς προσδοκία ἐθνῶν« ⟨ὥς⟩ φησιν.
ἔληξαν γὰρ ἐν τῇ τοῦ Χριστοῦ παρουσίᾳ οἱ κατὰ διαδοχὴν ἐξ Ἰούδα **3**
ἄρχοντες. ἕως γὰρ αὐτοῦ * ἡγούμενοι, διέπεσε δὲ ἡ τάξις καὶ
⟨μετ⟩έστη ἐξότε αὐτὸς γεννᾶται ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐπὶ Ἀλε-
ξάνδρου τοῦ ἀπὸ γένους ἱερατικοῦ καὶ βασιλικοῦ. ἀφ᾽ οὗ Ἀλεξάνδρου **4**
διέπεσεν οὗτος ὁ κλῆρος ἀπὸ χρόνων Σαλίνας, τῆς καὶ | Ἀλεξάνδρας D82
καλουμένης, ἐπὶ τοῖς χρόνοις Ἡρῴδου τοῦ βασιλέως καὶ Αὐγούστου
τοῦ Ῥωμαίων αὐτοκράτορος· ὃς καὶ διάδημα ἐπέθετο ἑαυτῷ ὁ Ἀλέ-
ξανδρος οὗτος, εἷς τῶν χριστῶν καὶ ἡγουμένων ὑπάρχων. συναφθει- **5**
σῶν γὰρ τῶν δύο φυλῶν τοῦ τε βασιλικοῦ καὶ τοῦ ἱερατικοῦ, Ἰούδα
δέ φημι καὶ Ἀαρὼν καὶ πάσης τῆς τοῦ Λευί, βασιλεῖς καὶ ἱερεῖς κα-
θίστων· οὐ γὰρ διήμαρτέν τι ἀπὸ τῆς τῆς ἁγίας γραφῆς αἰνίξεως.

9ff vgl. haer. 20, 1, 6f; S. 225, 13ff u. Hieronymus Chronik S. 160, 4ff Helm — **11** Gen. 49, 10 — **12ff** vgl. haer. 51, 22, 21ff — **13** vgl. Hieronymus Chronik S. 160, 16 Helm *nam usque ad Herodem christi, id est sacerdotes, erant reges Judaeorum* — **15** vgl. Eusebius Chronik aus dem Armenischen S. 61, 12ff Karst Hieronymus Chronik S. 148, 6ff Helm — **16** vgl. Eusebius Chronik aus dem Armenischen S. 61, 17 Karst Hieronymus Chronik S. 152, 11ff Helm — **18** anders gewendet bei Eusebius, vgl. Hieronymus Chronik S. 148, 11ff Helm *Iannaeus cognomento Alexander, qui pontificatum quoque administrans crudelissime civibus praefuit*

V M

11 ⟨ὥς⟩ * **13** αὐτοῦ + τοῦ Χριστοῦ V corr | * etwa ⟨ἦσαν χριστοὶ οἱ⟩ *, vgl. Z. 19 u. die oben angeführte Stelle aus Eusebius-Hieronymus | δὲ] γὰρ V **14** ⟨μετ⟩έστη *, vgl. S. 225, 15 **15** ἀρχιερατικοῦ M **16** Σααλίνας V **18** αὐτῶ M **19** οὗτος < M **21** vor βασιλεῖς hineingeflickt οὕτω V corr | ἱερεῖς + ⟨ὁμοῦ οἱ ἄρχοντες⟩? * **21f** ἐγίνοντο statt καθίστων auf Rasur V corr **22** ἀπὸ τῆς τῆς *] τῶν ἀπὸ τῆς V blos τῆς M | τῶν . . . . αἰνιγμάτων aus τῆς . . . αἰνίξεως V corr

τότε δὲ λοιπὸν ἀλλόφυλος βασιλεὺς Ἡρῴδης καὶ οὐκέτι οἱ ἀπὸ τοῦ 6
Δαυὶδ διάδημα ἐπέθεντο. μεταπεσούσης δὲ τῆς βασιλικῆς καθέδρας, 7
ἐν Χριστῷ ἐπὶ τὴν ἐκκλησίαν ἀπὸ μὲν οἴκου τοῦ σαρκικοῦ Ἰούδα καὶ
Ἰσραὴλ τὸ βασιλικὸν μετέστη ἀξίωμα, ἵδρυται δὲ ὁ θρόνος ἐν τῇ ἁγίᾳ
τοῦ θεοῦ ἐκκλησίᾳ εἰς τὸν αἰῶνα, ἐκ δύο προφάσεων ἔχων τὸ ἀξίωμα
τό τε βασιλικὸν καὶ τὸ ἀρχιερατικόν — καὶ τὸ μὲν βασιλικὸν ἀπὸ 8
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ δύο τρόπους διά τε τὸ εἶναι
αὐτὸν ἐκ σπέρματος Δαυὶδ τοῦ βασιλέως κατὰ σάρκα καὶ τὸ εἶναι
αὐτόν, ὅπερ καὶ ἔστι, | βασιλέα μείζονα ἀπ᾽ αἰῶνος κατὰ τὴν θεότητα· P119
τὸ δὲ ἱερατικόν, ὅτι αὐτὸς ἀρχιερεὺς καὶ ἀρχιερέων πρύτανις —, κατα-
σταθέντος εὐθὺς Ἰακώβου, τοῦ ἀδελφοῦ τοῦ κυρίου καλουμένου καὶ 9
ἀποστόλου, ἐπισκόπου πρώτου, υἱοῦ τοῦ Ἰωσὴφ φύσει ὄντος ἐν τάξει
δὲ ἀδελφοῦ τοῦ κυρίου κληθέντος διὰ τὴν συνανατροφήν. | Ö232

4 Ἦν γὰρ ὁ Ἰάκωβος οὗτος υἱὸς τοῦ Ἰωσὴφ ἐκ ⟨πρώτης⟩ γυναι- 4, 1
κὸς τοῦ Ἰωσήφ, οὐκ ἀπὸ Μαρίας, ὡς καὶ εἰς πολλοὺς τόπους τοῦτο
ἡμῖν εἴρηται καὶ σαφέστερον ἡμῖν πεπραγμάτευται. ἀλλὰ καὶ εὑρί- 2
σκομεν αὐτὸν ἐκ τοῦ Δαυὶδ ὄντα διὰ τὸ υἱὸν εἶναι τοῦ Ἰωσήφ, Να-
ζιραῖόν ⟨τε⟩ γενόμενον (ἦν γὰρ πρωτότοκος τῷ Ἰωσὴφ καὶ ἡγιασμένος)·
ἔτι δὲ καὶ ἱερατεύσαντα αὐτὸν κατὰ τὴν παλαιὰν ἱερωσύνην ηὕρομεν.
διὸ καὶ ἐφίετο αὐτῷ ἅπαξ τοῦ ἐνιαυτοῦ εἰς τὰ ἅγια τῶν ἁγίων 3
εἰσιέναι, ὡς τοῖς | ἀρχιερεῦσιν ἐκέλευσεν ὁ νόμος κατὰ τὸ γεγραμμέ- D83
νον· οὕτως γὰρ ἱστόρησαν πολλοὶ πρὸ ἡμῶν περὶ αὐτοῦ, Εὐσέβιός
τε καὶ Κλήμης καὶ ἄλλοι. ἀλλὰ καὶ τὸ πέταλον ἐπὶ τῆς κεφαλῆς 4
ἐξῆν αὐτῷ φορεῖν, καθὼς οἱ προειρημένοι ἀξιόπιστοι ἄνδρες ἐν τοῖς
αὐτοῖς ὑπομνηματισμοῖς ἐμαρτύρησαν. »ἱερεύς« τοίνυν, ὡς ἔφην, 5

5 ff vgl. Origenes zu I Sam. 21, 57; III 298, 27 ff Klostermann — **14** vgl. zu Ancoratus c. 60, 1; S. 70, 18 ff — **16 ff** vgl. Hegesipp bei Eusebius h. e. II 23, 5 ff; S. 166, 12 ff Schwartz — **20** *ἅπαξ τοῦ ἐνιαυτοῦ* von Epiph. zu dem Bericht Hegesipps hinzugesetzt — **21** vgl. Hebr. 9, 7 (Exod. 30, 10) — **23** *Κλήμης* ist Verwechslung mit Hegesipp — **23 f** Verwechslung mit dem Apostel Johannes, vgl. Polykrates bei Eus. h. e. III 31, 3; S. 264, 18 Schwartz u. V 24, 3; S. 490, 20 — **25 f** vgl. Hebr. 5, 6

V M

6 *τό τε βασιλικὸν καὶ τὸ ἀρχιερατικόν* *] *τοῦ τε βασιλικοῦ καὶ τοῦ ἀρχιερατικοῦ* V M **9** *καὶ* < V | *μείζονα βασιλέα* M **11** *εὐθὺς* hineingeflickt V corr < M | *τοῦ*[2] < V **13** *συνανατροφὴν* *, vgl. S. 70, 20] *συναναστροφὴν* V M **14** ⟨*πρώτης*⟩ * **16** *ἡμῖν*[1] *ἡμῶν* M **17 f** *ναζιραῖον* aus *ναζιρέων* V corr **18** ⟨*τε*⟩ * | *τοῦ Ἰωσὴφ* M **19** *εὕρομεν*, ε auf Rasur statt *η* V corr **20** *διὸ* oben hineingeflickt V corr **22** *οὕτω* V **23** *ἐπὶ* < M **24** *φέρειν* V **25** *αὐτοῖς*] *ὑπ᾽ αὐτῶν* V; lies *αὐτῶν*? *

ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός »εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ«, βασιλεύς τε ὁμοῦ κατὰ τὴν τάξιν τὴν ἄνωθεν, ἵνα μεταγάγῃ τὴν ἱερωσύνην ἅμα τῇ νομοθεσίᾳ. τοῦ δὲ σπέρματος Δαυὶδ κατὰ τὴν 6
Μαρίαν καθεζομένου ἐν θρόνῳ, * εἰς τὸν αἰῶνα καὶ τῆς βασιλείας
αὐτοῦ οὐκ ἔσται τέλος. ἔδει γὰρ αὐτὸν νῦν μεταγαγεῖν τὴν τάξιν
τοῦ τότε βασιλείου. καὶ γὰρ ἡ βασιλεία αὐτοῦ οὐκ ἔστιν ἀπὸ τῆς
γῆς, ὡς ἔλεγεν ἐν τῷ εὐαγγελίῳ Ποντίῳ Πιλάτῳ »ἡ βασιλεία μου
οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου«. τοῦ γὰρ Χριστοῦ τὰ πάντα πλη- 7
ροῦντος δι' αἰνιγμάτων, ἕως τινὸς μέτρου αἱ ὑποθέσεις ἔφθανον. οὐ
γὰρ ἦλθεν, ἵνα προκοπὴν λάβῃ βασιλείας, ὁ βασιλεύων ἀεί· ἐχαρίσατο
δὲ τοῖς ὑπ' αὐτοῦ καθισταμένοις τὸ βασίλειον, ἵνα μὴ νομισθῇ ἀπὸ
τῶν μικρῶν ἐπὶ τὰ μείζονα προκόπτειν. μένει γὰρ αὐτοῦ ὁ θρόνος 8
καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος καὶ κάθηται ἐπὶ τὸν θρόνον
Δαυίδ, τὸ βασίλειον τοῦ Δαυὶδ μεταστήσας καὶ χαρισάμενος τοῖς ἑαυ-
τοῦ δούλοις ἅμα τῇ ἀρχιερωσύνῃ, τουτέστι τοῖς ἀρχιερεῦσι τῆς καθολι|κῆς ἐκκλησίας. | καὶ πολλὰ ἔστι περὶ τούτου λέγειν, ἀλλ' 9 P120
ὅμως ἐπειδὴ εἰς τὸν τόπον ἐλήλυθα δι' ἣν αἰτίαν Ἰεσσαῖοι ἐκαλοῦντο
πρὶν τοῦ καλεῖσθαι Χριστιανοὶ οἱ εἰς Χριστὸν πεπιστευκότες, τούτου
ἕνεκα ἔφημεν ὅτι ὁ Ἰεσσαὶ πατὴρ γίνεται τοῦ Δαυίδ, καὶ ἤτοι ἐξ ὑπο-
θεσέως τούτου τοῦ Ἰεσσαὶ ἤτοι ἐκ τοῦ ὀνόματος Ἰησοῦ τοῦ κυρίου
ἡμῶν ἐπεκλήθησαν Ἰεσσαῖοι διὰ τὸ ἐξ Ἰησοῦ ὁρμᾶσθαι, μαθηταὶ αὐ-
τοῦ ὄντες, ἢ διὰ | τὸ τῆς ἐτυμολογίας τοῦ ὀνόματος τοῦ κυρίου· D84
Ἰησοῦς γὰρ κατὰ τὴν Ἑβραϊκὴν διάλεκτον θεραπευτὴς καλεῖται ἤτοι
ἰατρὸς καὶ σωτήρ. ὅμως τούτῳ τῷ ὀνόματι πρὶν τοῦ Χριστιανοὺς 10
αὐτοὺς καλεῖσθαι τὴν ἐπωνυμίαν ἐκέκτηντο. ἐπὶ Ἀντιοχείας δέ, καθάπερ ἄνω ἐπεμνήσθημεν καὶ ὡς ἔχει ἡ τῆς ἀληθείας ὑπόθεσις,
ἤρξαντο οἱ μαθηταὶ καὶ πᾶσα ἡ ἐκκλησία τοῦ θεοῦ Χριστιανοὶ καλεῖσθαι. | Ö234

4 f vgl. Luk. 1, 33 — **7** Joh. 18, 36 — **13** vgl. Luk. 1, 33 — **24** *ἰατρὸς καὶ σωτήρ*, vgl. zu Ancoratus c. 108, 7; S. 133, 2 — **25 ff** vgl. S. 322, 2

V M

3 *κατὰ*] dazu am Rande ⁊ *διὰ* V corr **4** *Μαριὰμ* M | *καθεζομένω* M | * etwa ⟨*μένει αὐτοῦ ὁ θρόνος*⟩ *, vgl. Z. 12 **6** *τότε*] *τε* V **11** *νομισθῇ* *] *ὀνομασθῇ* V M **12** *μείζο///να*, *ο* aus *ω* V corr **17** *ἐπειδὴ* am Rande nachgetragen V corr | *εἰπεῖν* nach *ἐλήλυθα* am Rande hinzugefügt V corr < M **18** *πρὶν*] *πλὴν* M **19** *ὁ* < M **19 f** *ὑποθέσεως τούτου*, *ως* u. *τού* auf Rasur V *τούτου* auf Rasur M **20** *τοῦ Ἰεσσαὶ*] *Ἰεσσαῖοι* M **21 f** *ὄντες αὐτοῦ* V **25** *ἐπὶ* *, vgl. S. 322, 2] *ἀπὸ* V M **27** *Χρι///στιανοὶ*, *ι* aus *η* V

5. *Εὕροις δ' ἄν, ὦ φιλολόγε, καὶ τούτων τὴν ὑπόθεσιν ἐντυχὼν* **5, 1**
τοῖς τοῦ Φίλωνος ὑπομνήμασιν ἐν τῇ περὶ Ἰεσσαίων αὐτοῦ ἐπιγραφομένῃ βίβλῳ, ὡς τούτων τὴν πολιτείαν καὶ τὰ ἐγκώμια διεξιὼν καὶ τὰ αὐτῶν μοναστήρια ἐν τῇ κατὰ τὴν Μάρειαν λίμνην ἱστορῶν περιοικίδι οὐ περί τινων ἑτέρων ὁ ἀνὴρ ἱστόρησεν, ἀλλὰ περὶ Χριστιανῶν. οὗτος γὰρ γενόμενος ἐν τῇ χώρᾳ (Μαρεῶτιν δὲ τὸν **2**
τόπον καλοῦσι) καὶ καταχθεὶς παρ' αὐτοῖς ἐν τοῖς κατὰ τὸν χῶρον τοῦτον μοναστηρίοις ὠφέληται. ἐν ἡμέραις γὰρ τῶν Πάσχων ἐκεῖ **3**
γενόμενος, τάς τε αὐτῶν πολιτείας ἐθεάσατο καὶ ὥς τινες ἑβδομάδα τὴν ἁγίαν τῶν Πάσχων ὑπερτιθέμενοι διετέλουν, ἄλλοι δὲ διὰ δύο ἐσθίοντες, ἄλλοι δὲ καὶ καθ' ἑσπέραν. ἦν δὲ πάντα ταῦτα τῷ ἀνδρὶ πεπραγματευμένα εἰς τὴν περὶ πίστεώς τε καὶ πολιτείας τῶν Χριστιανῶν ὑπόθεσιν.

ὡς οὖν τότε ἐκαλοῦντο Ἰεσσαῖοι ἐπ' ὀλίγῳ χρόνῳ μετὰ τὴν ἀνά- **4**
ληψιν τοῦ σωτῆρος καὶ Μάρκου τῆ τῶν Αἰγυπτίων χώρᾳ κηρύξαντος κατὰ τοὺς χρόνους τούτους τινὲς ἐξεληλύθασι πάλιν, τῶν ἀποστόλων δῆθεν ἀκόλουθοι, λέγω δὲ οἱ ἐνταῦθά μοι δηλούμενοι Ναζωραῖοι, ὄντες μὲν κατὰ τὸ γένος Ἰουδαῖοι καὶ τῷ νόμῳ προσανέχοντες καὶ περιτομὴν κεκτημένοι, ἀλλ' ὥσπερ ἀπὸ σκοποῦ τινες θεασάμενοι πῦρ **5**
καὶ μὴ νοήσαντες δι' ἣν αἰτίαν οἱ τὴν πυρὰν ταύτην ἐξάψαντες ἢ

2 ff gemeint ist Philo de vita contemplativa; Epiph. benützt jedoch nur den Bericht bei Eusebius h. e. II 16, 2 ff; S. 140, 23 ff Schwartz. — Zu *Ἰεσσαῖοι* vgl. auch Nilus de mon. exercit. 3; Migne 79, 721 A/B *Ἰουδαίων δὲ ὅσοι τοῦτον ἐτίμησαν τὸν βίον εἰσὶ μὲν τοῦ Ἰωναδὰβ ἀπόγονοι, πάντας δὲ τοὺς ὡσαύτως βιοῦν ἐθέλοντας προσιέμενοι εἰς τὴν αὐτὴν ἐνάγουσι πολιτείαν, ἐν σκηναῖς κατοικοῦντες διὰ παντὸς οἴνου τε καὶ πάντων τῶν πρὸς τὸ ἁβροδίαιτον ἀπεχόμενοι καὶ δίαιταν ἔχοντες εὐτελῆ καὶ τῇ χρείᾳ συμμεμετρημένην τοῦ σώματος. σφόδρα μὲν οὖν ἐπιμελοῦνται τῆς ἠθικῆς ἕξεως, θεωρίᾳ δὲ τὰ πολλὰ παραμένουσιν, ὅθεν καὶ Ἰεσσαῖοι καλοῦνται, αὐτοὺς λογίους δηλοῦντος τοῦ ὀνόματος* — **3 f** vgl. Eusebius h. e. II 17, 2; S. 142, 5 ff Schwartz u. 17, 18; S. 150, 3 ff — **8—13** zusammengesetzt aus Eusebius h. e. II 17, 16 ff; S. 148, 13 ff Schwartz u. 17, 21 f; S. 152, 1 ff — **14 ff** vgl. Eusebius h. e. II 16, 1; S. 140, 20 ff Schwartz u. 17, 2; S. 142, 8 ff *ἐκθειάζων τε καὶ σεμνύνων τοὺς κατ' αὐτὸν ἀποστολικοὺς ἄνδρας, ἐξ Ἑβραίων ὡς ἔοικε γεγονότας ταύτῃ τε Ἰουδαϊκώτερον τῶν παλαιῶν ἔτι τὰ πλεῖστα διατηροῦντας ἐθῶν*

V M

1 *τούτου* V **3** *ὅς* aus *ὡς* V corr **4** *Μαρίαν* V M **5** vor *περὶ*[2] ein *καὶ* getilgt V corr **6** *Μαρεῶτιν* *] *Μαρεώτην* V M **8** *τῶν πάσχα* M **9** *καὶ* < M **11** *καθ'*, *θ* aus *τ* V corr **14** *ἐπὶ* M **18** *νόμῳ* + *δὲ* V | *προσέχοντες* M

εἰς ⟨ἣν⟩ χρησιμότητα τοῦτο | ποιοῦσιν, ἢ τὰ | τῆς ζωῆς ἑαυτῶν ὀψώνια P121 D85
πρὸς ἐδωδὴν διὰ τῆς πυρᾶς κατασκευάζοντες ἢ ἐπὶ ἀφανισμῷ τινων
καυστικῶν ξύλων ἢ φρυγάνων τῶν ὑπὸ πυρὸς εἰωθότων ἀναλίσκε-
σθαι, οὕτω καὶ αὐτοὶ μιμησάμενοι πῦρ ἀνάψαντες ἑαυτοὺς ἐνέπρη-
σαν. ἀκούσαντες γὰρ μόνον ὄνομα Ἰησοῦ καὶ θεασάμενοι τὰ θεο- 6
σήμεια τὰ διὰ τῶν χειρῶν τῶν ἀποστόλων γινόμενα καὶ αὐτοὶ εἰς
Ἰησοῦν πιστεύουσιν. γνόντες δὲ αὐτὸν ἐν Ναζαρὲτ ἐν γαστρὶ συλ-
ληφθέντα καὶ ἐν οἴκῳ Ἰωσὴφ ἀνατραφέντα καὶ διὰ τοῦτο ἐν τῷ
εὐαγγελίῳ Ἰησοῦν τὸν Ναζωραῖον καλεῖσθαι, ὡς καὶ οἱ ἀπόστολοί
φασιν »Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἔν τε σημείοις
καὶ τέρασι« καὶ τὰ ἑξῆς, τοῦτο τὸ ὄνομα ἐπιτιθέασιν ἑαυτοῖς τοῦ
καλεῖσθαι Ναζωραίους — οὐχὶ Ναζιραίους, τὸ ἑρμηνευόμενον ἡγιασμέ- 7
νους. τοῦτο γὰρ τοῖς τὸ παλαιὸν πρωτοτόκοις καὶ θεῷ ἀφιερω-
θεῖσιν ὑπῆρχεν τὸ ἀξίωμα, ὧν εἷς ὑπῆρχεν ὁ Σαμψὼν καὶ ἄλλοι μετ'
αὐτὸν καὶ πρὸ αὐτοῦ πολλοί, ἀλλὰ καὶ Ἰωάννης ὁ βαπτιστὴς
τῶν αὐτῶν ἀφηγιασμένων τῷ θεῷ καὶ αὐτὸς εἷς ὑπῆρχεν· »οἶνον
γὰρ καὶ σίκερα οὐκ ἔπινεν«· ὡρίζετο γὰρ τοῖς τοιούτοις αὕτη ἁρ-
μόδιος τῷ ἀξιώματι ἡ πολιτεία. | 6. ἀλλὰ οὐδὲ Ναασαραίους ἑαυ- 6, 1 Ö236
τοὺς ἐκάλεσαν· ἦν γὰρ ἡ αἵρεσις τῶν Ναασαραίων πρὸ Χριστοῦ καὶ
Χριστὸν οὐκ ἤδει —· ἀλλὰ καὶ πάντες ἄνθρωποι τοὺς Χριστιανοὺς 2
ἐκάλουν Ναζωραίους ὡς προεῖπον, ὡς λέγουσι κατηγοροῦντες Παύλου
τοῦ ἀποστόλου »τοῦτον τὸν ἄνθρωπον ηὕρομεν λοιμὸν καὶ διαστρέ-
φοντα τὸν λαόν, πρωτοστάτην τε ὄντα τῆς τῶν Ναζωραίων αἱρέ-
σεως«. ὁ δὲ ἅγιος ἀπόστολος οὐκ ἀρνεῖται μὲν τὸ ὄνομα, οὐχὶ τὴν 3
τούτων αἵρεσιν ὁμολογῶν, ἀλλὰ τὸ ὄνομα τὸ ἀπὸ τῆς τῶν ἀντι-

9 vgl. Matth. 2, 23 26, 71 Luk. 18, 37 24, 19 Joh. 18, 5. 7 19, 19 — **10** Act. 2, 22 — **12ff** vgl. Origenes zu Klagel. 4, 7f; III 271, 26ff Klostermann — **16** Luk. 1, 15 — **18** vgl. oben haer. 18; S. 215, 13ff — **22** Act. 24, 5

V M

1 ⟨ἣν⟩ * **2** διὰ < M | ἀφανισμῶν V **3** ἀπὸ M | πυρὸς aus πυρᾶς V^{corr} πυρᾶς M **7** γνόντες] εἰδότες M | ἐν^{1}] ἐκ M **7f** συλλη///φθέντα, μ ausradiert V^{corr} **8** τῷ < M **11** τὸ hineingeflickt V | αὐτοῖς V | τοῦ] τὸ V **12** οὐχὶ [δὲ] Ναζιραίους Ausgg. seit Oporinus; vgl. S. 324, 17f, wo ebenso wie hier ἡγιασμένος als Übersetzung von Ναζιραῖος erscheint] οὐχὶ Ναζωραίους; Ναζωραῖοι aus Ναζωραίους V^{corr} < M **12f** ἡγιασμένοι aus ἡγιασμένους V^{corr} **17** ὥριστο aus ὡρίζετο V^{corr} **18** ἡ hineingeflickt V^{corr} < M | ἀλλ' οὐδὲ] die vielerörterte Lesart ἄλλοι δὲ stammt aus U; auch dort ist sie jedoch nur die (törichte) Änderung eines Abschreibers oder Lesers an Stelle des von erster Hand geschriebenen ἀλλ' οὐδὲ

λεγόντων κακονοίας διὰ τὸν Χριστὸν ἐπενεχθὲν αὐτῷ ἀσμένως κατα-
δεχόμενος. φησὶ γὰρ ἐπὶ τοῦ βήματος »οὔτε ἐν τῷ ἱερῷ ηὗρόν με 4
πρός τινα διαλεγόμενον ἢ ἐπίστασίν τινα ὄχλου ποιοῦντα οὐδὲ ὧν D86
μου κατηγοροῦσιν οὐδὲν πεποίηκα. ὁμολογῶ δέ σοι τοῦτο, ὅτι κατὰ
τὴν ὁδὸν ἣν αἵρεσιν οὗτοι φάσκουσιν οὕτω λατρεύω, πιστεύων πᾶσι
τοῖς ἐν τῷ νόμῳ καὶ ἐν τοῖς προφήταις«. καὶ οὐ θαῦμα ὅτι ὁ 5
ἀπόστολος ὡμολόγει ἑαυτὸν Ναζωραῖον, πάντων καλούντων τοὺς
Χριστιανοὺς τότε τούτῳ τῷ ὀνόματι διὰ Ναζαρὲτ τὴν πόλιν, ἄλλης
μὴ οὔσης χρήσεως τῷ ὀνόματι πρὸς τὸν καιρόν, | ὥστε τοὺς ἀνθρώ- P122
πους ⟨Ναζωραίους⟩ καλεῖν τοὺς τῷ Χριστῷ πεπιστευκότας, περὶ οὗ
καὶ γέγραπται »ὅτι Ναζωραῖος κληθήσεται«. καὶ γὰρ καὶ νῦν ὁμω- 6
νύμως οἱ ἄνθρωποι πάσας τὰς αἱρέσεις, Μανιχαίους τέ φημι καὶ
Μαρκιωνιστὰς Γνωστικούς τε καὶ ἄλλους, Χριστιανοὺς τοὺς μὴ ὄντας
Χριστιανοὺς καλοῦσι καὶ ὅμως ἑκάστη αἵρεσις, καίπερ ἄλλως λεγομένη,
καταδέχεται τοῦτο χαίρουσα, ὅτι διὰ τοῦ ὀνόματος κοσμεῖται· δοκοῦσι
γὰρ ἐπὶ τῷ τοῦ Χριστοῦ σεμνύνεσθαι ὀνόματι, οὐ μὴν τῇ πίστει καὶ
τοῖς ἔργοις. οὕτω καὶ οἱ ἅγιοι τοῦ Χριστοῦ μαθηταὶ τότε μαθη- 7
τὰς Ἰησοῦ ἑαυτοὺς ἐκάλουν, ὥσπερ οὖν καὶ ἦσαν· ἀκούοντες δὲ παρὰ
ἄλλων Ναζωραῖοι οὐκ ἀπηναίνοντο, τὸν σκοπὸν θεωροῦντες τῶν
τοῦτο αὐτοὺς καλούντων, ὅτι διὰ Χριστὸν αὐτοὺς ἐκάλουν, ἐπειδὴ καὶ
αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς ⟨ὁ⟩ Ναζωραῖος ἐκαλεῖτο, ὥσπερ ἔχει τὰ
εὐαγγέλια καὶ αἱ Πράξεις τῶν ἀποστόλων, διὰ τὸ ἐν τῇ πόλει αὐτὸν 8
Ναζαρὲτ (κώμη δὲ τὰ νῦν οὖσα) ἀνατετράφθαι ἐν οἴκῳ Ἰωσήφ, γεννη-
θέντα κατὰ σάρκα ἐν Βηθλεὲμ ἀπὸ Μαρίας τῆς ἀειπαρθένου τῆς
μεμνηστευμένης Ἰωσήφ, τῷ ἐν τῇ αὐτῇ Ναζαρὲτ μετῳκηκότι μετὰ
τὸ ἀπὸ Βηθλεὲμ αὐτὸν μεταναστάντα ἐν τῇ Γαλιλαίᾳ κατοικισθῆναι.

2 Act. 24, 12 — **7 f** zu *Ναζαρὲτ* u. *Ναζωραῖος* vgl. auch Eusebius Onomasticon S. 138, 24 Klostermann — **11** Matth. 2, 23 — **23 f** vgl. Matth. 1, 18 — **25** vgl. Matth. 2, 22 f

V M

1 *ἀσμένως* am Rande nachgetragen V^{corr} < M **2** *ῥήματος* M **3** *ἐπισύστασιν* M **4** *οὐδέν*, *ν* angeflickt V^{corr} | *πεποιηκότα* M **7** *ὁμολόγει* V M | *Ναζωραῖον*, *ο* aus *ω* V^{corr} **8** *Ναζαρὲθ* V **10** ⟨*Ναζωραίους*⟩ * **13** *καὶ* < M **13 f** *τοὺς μὴ ὄντας Χριστιανοὺς* < M **14** *ὅμως*] *ὁμ⟨οί⟩ως*? * **16** *ὀνόματι*, *τι* angeflickt V^{corr} **18** *ὥσπερ οὖν καὶ ἦσαν* angeflickt V^{corr} < M **19** *ἠναίνοντο*, wohl aus *ἀπαιναίνοτο* V^{corr} *ἀπαιναίνοντο* M **20** *καλούντων*, *ων* aus *ες* V **21** *ἡμῶν* < V | ⟨*ὁ*⟩ * **22 f** *Ναζαρὲθ* (!) *αὐτὸν* V **23** *δὲ τὰ νῦν*] *τάδε νῦν* M **25** *Ναζαρὲθ* V

7. *Οὗτοι δὲ οἱ προειρημένοι αἱρεσιῶται, περὶ ὧν ἐνταῦθα τὴν* **7, 1**
ὑφήγησιν ποιούμεθα, παρέντες τὸ ὄνομα τοῦ Ἰησοῦ οὔτε Ἰεσσαίους
ἑαυτοὺς κεκλήκασιν οὔτε τῶν | Ἰουδαίων ἔμειναν ἔχοντες τὸ ὄνομα D87
οὔτε Χριστιανοὺς ἑαυτοὺς ἐπωνόμασαν, ἀλλὰ Ναζωραίους, δῆθεν ἀπὸ
τῆς τοῦ τόπου τῆς Ναζαρὲτ ἐπωνυμίας, τὰ πάντα δέ εἰσιν Ἰουδαῖοι
καὶ | οὐδὲν ἕτερον. χρῶνται δὲ οὗτοι οὐ μόνον νέᾳ διαθήκῃ, ἀλλὰ **2** Ö238
καὶ παλαιᾷ διαθήκῃ, καθάπερ καὶ οἱ Ἰουδαῖοι. οὐ γὰρ ἀπηγόρευται
παρ᾽ αὐτοῖς νομοθεσία καὶ προφῆται καὶ γραφεῖα τὰ καλούμενα παρὰ
Ἰουδαίοις βιβλία, ὥσπερ παρὰ τοῖς προειρημένοις· οὐδέ τι ἕτερον οὗ-
τοι φρονοῦσιν, ἀλλὰ κατὰ τὸ κήρυγμα τοῦ νόμου καὶ ὡς οἱ Ἰουδαῖοι
πάντα καλῶς ὁμολογοῦσι χωρὶς τοῦ εἰς Χριστὸν δῆθεν πεπιστευκέναι.
παρ᾽ αὐτοῖς γὰρ καὶ νεκρῶν ἀνάστασις ὁμολογεῖται καὶ ἐκ θεοῦ τὰ **3**
πάντα γεγενῆσθαι, ἕνα δὲ θεὸν καταγγέλλουσι καὶ τὸν τούτου παῖδα
Ἰησοῦν Χριστόν. Ἑβραϊκῇ δὲ διαλέκτῳ ἀκριβῶς εἰσιν ἠσκημένοι. **4**
παρ᾽ αὐτοῖς γὰρ πᾶς ὁ νόμος καὶ οἱ προφῆται καὶ τὰ γραφεῖα λεγό-
μενα, φημὶ δὲ τὰ στιχηρὰ καὶ αἱ Βασιλεῖαι | καὶ Παραλειπόμενα καὶ P123
Ἔσθηρ καὶ τἆλλα πάντα Ἑβραϊκῶς ἀναγινώσκεται, ὥσπερ ἀμέλει καὶ
παρὰ Ἰουδαίοις. ἐν τούτῳ δὲ μόνον πρὸς Ἰουδαίους διαφέρονται καὶ **5**
Χριστιανούς, Ἰουδαίοις μὲν μὴ συμφωνοῦντες διὰ τὸ εἰς Χριστὸν
πεπιστευκέναι, Χριστιανοῖς δὲ μὴ ὁμογνωμονοῦντες διὰ τὸ ἔτι νόμῳ
πεπεδῆσθαι, περιτομῇ τε καὶ σαββάτῳ καὶ τοῖς ἄλλοις. περὶ Χρι- **6**

7 etwas anders Irenaeus adv. haer. I 26, 2; I 213 Harvey (von den Ebionäern) *quae autem sunt prophetica curiosius exponere nituntur* — **12** vgl. Irenaeus adv. haer. I 26, 2; I 212 Harvey = Hippolyt refut. VII 34, 1; S. 221, 8f Wendland *ὁμολογοῦσι ⟨μὲν⟩ τὸν κόσμον ὑπὸ τοῦ ὄντως θεοῦ γεγονέναι* Ps. Tert. adv. omn. haer. 3 — **15** vgl. über den jüdischen Kanon oben haer. 8, 6, 1ff; S. 191, 9ff — **21** vgl. Irenaeus adv. haer. I 26, 2; I 213 Harvey *et circumciduntur ac perseverant in his consuetudinibus quae sunt secundum legem et Judaico charactere vitae, uti et Hierosolymam adorent quasi sit domus dei* u. Eusebius h. e. III 27, 5; S. 256, 16 Schwartz — **21**—S. **330**, **4** vgl. die widersprechenden Angaben Irenaeus adv. haer. I 26, 2 = Hippolyt refut. VII 34, 1; S. 221, 9 *τὰ δὲ περὶ τὸν Χριστὸν ὁμοίως τῷ Κηρίνθῳ καὶ Καροκράτει μυθεύουσιν* u. Origenes c. Cels. V 61; II 65, 7 Kötschau

V M

3 *αὐτοὺς* M **4** *ὀνόμασαν* M **5** *Ναζαρὲθ* V **7** *διαθήκῃ* getilgt V^{corr} **8** *γραφία* M | *παρ᾽* V **9** *ὥσπερ*] *καίπερ* M | *οὐδὲ*] *οὐδὲν* M **10** *οἱ* < M **14** *ἑβραϊκὴν . . . διάλεκτον* aus *ἑβραϊκῇ διαλέκτῳ* V^{corr} **15** *γραφία* M **16** *στιχήρη* V | *παραλειπόμεναι* V M **17** *τὰ ἄλλα* M **20** vor *πεπιστευκέναι* ein *μὴ* getilgt V

στοῦ δὲ οὐκ οἶδ' εἰπεῖν, εἰ καὶ αὐτοὶ τῇ τῶν προειρημένων περὶ Κήρινθον καὶ Μήρινθον μοχθηρίᾳ ἀχθέντες ψιλὸν ἄνθρωπον νομίζουσιν ἢ καθὼς ἡ ἀλήθεια ἔχει διὰ πνεύματος ἁγίου γεγεννῆσθαι ἐκ Μαρίας διαβεβαιοῦνται. ἔστιν δὲ αὕτη ἡ αἵρεσις ἡ Ναζωραίων ἐν τῇ Βε- 7
ροιαίων περὶ τὴν Κοίλην Συρίαν καὶ ἐν τῇ Δεκαπόλει περὶ τὰ τῆς *Πέλλης μέρη καὶ ἐν τῇ Βασανίτιδι ἐν τῇ λεγομένῃ Κωκάβῃ, Χωχάβῃ δὲ Ἑβραϊστὶ λεγομένῃ. ἐκεῖθεν γὰρ ἡ ἀρχὴ γέγονε, μετὰ τὴν ἀπὸ* 8
τῶν Ἱεροσολύμων μετάστασιν πάντων τῶν | μαθητῶν ἐν Πέλλῃ D88
ᾠκηκότων, Χριστοῦ φήσαντος καταλεῖψαι τὰ Ἱεροσόλυμα καὶ ἀνα-
χωρῆσαι δι' ἣν ἤμελλε πάσχειν πολιορκίαν. καὶ ἐκ τῆς τοιαύτης ὑποθέσεως τὴν Περαίαν οἰκήσαντες ἐκεῖσε, ὡς ἔφην, διέτριβον. ἐντεῦθεν ἡ κατὰ τοὺς Ναζωραίους αἵρεσις ἔσχεν τὴν ἀρχήν.

8. *Πεπλάνηνται δὲ καὶ οὗτοι περιτομὴν αὐχοῦντες, καὶ ἔτι οἱ τοι-* 8, 1
οῦτοι »ὑπὸ κατάραν εἰσί«, μὴ δυνάμενοι τὸν νόμον πληρῶσαι. πῶς
γὰρ δυνήσονται πληροῦν τὰ ἐν τῷ νόμῳ εἰρημένα, ὅτι »τρὶς τοῦ

οἱ διττοὶ Ἐβιωναῖοι, ἤτοι ἐκ παρθένου ὁμολογοῦντες ὁμοίως ἡμῖν τὸν Ἰησοῦν ἢ οὐχ οὕτω γεγεννῆσθαι ἀλλὰ ὡς τοὺς λοιποὺς ἀνθρώπους in Matth. tom. XVI 12; IV 37f Lommatzsch *ἐκ Μαρίας μὲν μόνης καὶ θείου πνεύματος, οὐ μὴν καὶ μετὰ τῆς περὶ αὐτοῦ θεολογίας* Eusebius h. e. III 27, 3; S. 256, 8ff *ἐκ παρθένου καὶ ἁγίου πνεύματος μὴ ἀρνούμενοι γεγονέναι τὸν κύριον, οὐ μὴν ἔθ' ὁμοίως καὶ οὗτοι προϋπάρχειν αὐτὸν θεὸν λόγον ὄντα καὶ σοφίαν ὁμολογοῦντες* Hieronymus ep. 112, 13, 2; CSEL 55 381, 26 Hilberg *quos vulgo Nazaraeos nuncupant, qui credunt in Christum filium dei natum de Maria virgine*

4f Beröa als Sitz der Nazoräer bestätigt durch Hieronymus vgl. insbes. de vir. ill. 3 *mihi quoque a Nazaraeis qui in Beroea urbe Syriae hoc volumine utuntur describendi facultas fuit* — **5f** für die Näherbestimmung *ἐν τῇ Δεκαπόλει* zu Pella vgl. Eusebius Onomasticon S. 80, 16f Klostermann (dadurch wird Zahn, Forsch. VI 270 A. 3 widerlegt) — **6** zu Kokaba vgl. Jul. Africanus bei Eusebius h. e. I 7, 14; S. 60, 18 Schwartz u. Eusebius Onomasticon S. 172, 1ff *ἔστιν δὲ καὶ Χωβὰ κώμη ἐν τοῖς αὐτοῖς μέρεσιν, ἐν ᾗ εἰσιν Ἑβραίων οἱ εἰς Χριστὸν πιστεύσαντες, Ἐβιωναῖοι καλούμενοι* (über die Lage Zahn, Forsch. I 330ff), dazu noch haer. 30, 2, 7 u. 18, 1 haer. 40, 1, 5 — **7ff** vgl. haer. 30, 2, 7 de mens. ac pond. 15; S. 167, 65ff Lagarde u. Eusebius h. e. III, 5, 3; S. 196, 13ff *τοῦ λαοῦ τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας κατά τινα χρησμὸν τοῖς αὐτόθι δοκίμοις δι' ἀποκαλύψεως ἐκδοθέντα πρὸ τοῦ πολέμου μεταναστῆναι τῆς πόλεως καί τινα τῆς Περαίας πόλιν οἰκεῖν κεκελευσμένον, Πέλλαν αὐτὴν ὀνομάζουσιν* — **14** Gal. 3, 10 — **15** vgl. Exod. 23, 14—17

V M

2 *καὶ Μήρινθον* < M **5** *Συρίας* M **6** *ἐν*[2] < V | *κωκὰβ ἢ χωχὰβ ἡ* M **7** *γὰρ ἡ* < M | *ἀπὸ* < M **8** *μαθητῶν*] *ἀποστόλων* M | *μαθητῶν* + *τῶν* V **10** *ἐπειδὴ* statt *δι' ἣν* auf Rasur V corr

ἔτους ὀφθήσῃ ἐνώπιον κυρίου τοῦ θεοῦ σου, κατά τε τὰ Ἄζυμα καὶ Σκηνοπηγίαν καὶ τὴν Πεντηκοστήν«, ἐν τῷ τόπῳ Ἱεροσολύμων. ἀποκλεισθέντος γὰρ τοῦ τόπου καὶ τῶν ἐν τῷ νόμῳ μὴ δυναμένων 2
πληροῦσθαι, παντὶ τῷ νοῦν ἔχοντι σαφὲς ἂν εἴη ὅτι Χριστὸς ἦλθεν πλη-
ρωτὴς τοῦ νόμου, οὐ τὸν νόμον καταλύσων, ἀλλὰ τὸν νόμον πληρώσων,
καὶ ἀφελεῖν τὴν κατάραν τὴν κατὰ τῆς παραβάσεως τοῦ νόμου ὁρι-
σθεῖσαν. μετὰ γὰρ τὸ ἐντείλασθαι τὸν Μωυσέα πᾶσαν ἐντολὴν ἦλθεν 3
ἐπὶ τὸ τέρμα τῆς βίβλου καὶ »συνέκλεισε τὸ πᾶν εἰς κατάραν« λέγων
»ἐπι|κατάρατος ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις λόγοις ἐν τῷ Ö240
βιβλίῳ τούτῳ τοῦ ποιῆσαι αὐτούς«. ἦλθεν οὖν λύων μὲν τὰ πε- 4
πεδημένα δεσμοῖς τῆς κατάρας, | χαριζόμενος δὲ ἡμῖν ἀντὶ τῶν μικρῶν P124
τῶν μὴ δυναμένων πληροῦσθαι τὰ μείζονα καὶ οὐ μαχόμενα θάτερον
θατέρῳ πρὸς τὴν τοῦ ἔργου πλήρωσιν ὡς τὰ πρότερα· οὕτως γὰρ 5
κατὰ πᾶσαν αἵρεσιν φθάνοντες ἐν τῇ περὶ σαββατισμοῦ καὶ περιτομῆς
καὶ τῶν ἄλλων σχέσει πολλάκις ἐπειργασάμεθα, πῶς ὁ κύριος ἡμῖν
τὰ ἐντελέστερα κεχάρισται. πῶς δὲ οἱ τοιοῦτοι δυνήσονται ἀπο- 6
λογίαν ἔχειν, μὴ τῷ πνεύματι τῷ ἁγίῳ ὑπακούσαντες τῷ διὰ τῶν
ἀποστόλων εἰρηκότι τοῖς ἐξ ἐθνῶν πεπιστευκόσι »μὴ βάρος ἐπιτίθε-
σθαι πλὴν τῶν ἐπάναγκες, ἀπέχεσθαι αἵματος | καὶ πνικτοῦ καὶ πορ- D89
νείας καὶ εἰδωλοθύτου;« πῶς δὲ οὐκ ἐκπεσοῦνται τῆς τοῦ θεοῦ χάρι- 7
τος, λέγοντος Παύλου τοῦ ἁγίου ἀποστόλου ὅτι »ἐὰν περιτέμνησθε,
Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει«, »οἵτινες ἐν νόμῳ καυχᾶσθε, τῆς
χάριτος ἐξεπέσατε«;

9. Ἀρκέσει γοῦν καὶ ἐν ταύτῃ τῇ αἱρέσει ἡ διὰ τῆς συντομίας 9, 1
παρ' ἡμῶν διάλεξις. εὐθυέλεγκτοι γὰρ οἱ τοιοῦτοι καὶ εὐάλωτοι, καὶ
Ἰουδαῖοι μᾶλλον καὶ οὐδὲν ἕτερον. πάνυ δὲ οὗτοι ἐχθροὶ τοῖς 2
Ἰουδαίοις ὑπάρχουσιν. οὐ μόνον γὰρ οἱ τῶν Ἰουδαίων παῖδες πρὸς

3 zu *ἀποκλεισθέντος* vgl. Justin apol. I 47 u. a. St. (gesammelt bei Schürer, Gesch. d. jüd. Volkes ⁴ I 699 Anm. 146) — **4** vgl. Matth. 5, 17 — **8** vgl. Gal. 3, 22 — **9** Deut. 27, 26 (Gal. 3, 10) — **13** vgl. oben haer. 8, 6, 5ff; S. 192, 9ff — **18** Act. 15, 28 — **21** Gal. 5, 2 — **22** Gal. 5, 4

V M

2 *σκηνο|||πηγίαν*, *ο* aus *ω* V corr **3** *τόπου* *] *νόμου* VM **5** *καταλύων* M **10** hinter *ἦλθεν* ein *μὲν* getilgt V corr **11** hinter *δεσμοῖς* angeflickt *τοῖς* V corr **12** *μείζονα*, *ο* aus *ω* V corr **13** *οὕτω* M **15** *σχέσει* ausradiert, jedoch nicht ersetzt V corr **16** *ἐντελέστερα*, *ρα* auf Rasur V corr | *οὖν* auf Rasur statt *δὲ* V corr **20** *θεοῦ*] *χριστοῦ* M **21** *ἁγίου* < M **23** *ἐξεπέσετε*, *ε* statt *α* V corr **24** *οὖν* V

τούτους κέκτηνται μῖσος, ἀλλὰ καὶ ἀνιστάμενοι ἕωθεν καὶ μέσης ἡμέρας καὶ περὶ τὴν ἑσπέραν, τρὶς τῆς ἡμέρας ὅτε εὐχὰς ἐπιτελοῦσιν ἑαυτοῖς ἐν ταῖς συναγωγαῖς ἐπαρῶνται αὐτοῖς καὶ ἀναθεματίζουσι, τρὶς τῆς ἡμέρας φάσκοντες ὅτι »ἐπικαταράσαι ὁ θεὸς τοὺς Ναζωραίους«. δῆθεν γὰρ τούτοις περισσότερον ἐνέχουσι, διὰ τὸ ἀπὸ Ἰουδαίων αὐτοὺς ὄντας Ἰησοῦν κηρύσσειν εἶναι ⟨τὸν⟩ Χριστόν, ὅπερ ἐστὶν ἐναντίον πρὸς τοὺς ἔτι Ἰουδαίους, τοὺς τὸν Ἰησοῦν μὴ δεξαμένους. ἔχουσι δὲ τὸ κατὰ Ματθαῖον εὐαγγέλιον πληρέστατον Ἑβραϊστί. παρ' αὐτοῖς γὰρ σαφῶς τοῦτο, καθὼς ἐξ ἀρχῆς ἐγράφη, Ἑβραϊκοῖς γράμμασιν ἔτι σῴζεται. οὐκ οἶδα δὲ εἰ καὶ τὰς γενεαλογίας τὰς ἀπὸ τοῦ Ἀβραὰμ ἄχρι Χριστοῦ περιεῖλον. ἀλλὰ καὶ ταύτην φωράσαντες

1—5 vgl. Hieronymus zu Jes. 5, 18f; Migne 24, 86 A *usque hodie perseverant in blasphemiis et ter per singulos dies in synagogis sub nomine Nazarenorum anathematizant vocabulum christianum*, ebenso zu Jes. 49, 7; Migne 24, 467 B/C u. zu Jes. 52, 4 ff; ebenda 498 B, auch Justin dial. c. 16 u. 47; dazu Schürer, Gesch. d. jüd. Volkes[4] II 544 Strack, Jesus die Häretiker u. die Christen S. 66*f — **8 ff** vgl. Irenaeus adv. haer. I 26, 2; I 213 Harvey *solo autem eo quod est secundum Matthaeum evangelio utuntur* III 11, 7; II 45 (Eusebius h. e. III 27, 4; S. 256, 15 Schwartz); bem., daß Epiph. das *solo* nicht wiedergibt (vgl. S. 329, 6) — *πληρέστατον* heißt nur »*ganz vollständig*« (vgl. den grammatischen Index) u. deutet in keiner Weise an, daß das Ev. der Nazoräer Überschüsse über den Text des kanonischen Matthäus enthielt (gegen Zahn, Gesch. d. neutest. Kan. II 2 S. 681) — **8** über den hebräisch u. mit hebräischen Buchstaben geschriebenen Urmatthäus vgl. Epiph. selbst haer. 30, 3, 7 u. haer. 51, 5, 3; dazu Papias bei Eusebius h. e. III 39, 16; S. 292, 5 Schwartz Eusebius h. e. III 24, 6; S. 246, 9 u. V 10, 3; S. 450, 26 ff Hieronymus de vir. ill. 3 — über die Sprache u. Schriftform des von den Nazoräern gebrauchten Evangeliums vgl. Eusebius Theophanie IV 12; S. 183*, 28 Greßmann u. das Bruchstück bei Mai, nova patr. bibl. IV 1, 155 Hieronymus c. Pelag. III 2; Migne 23, 570 B *in evangelio iuxta Hebraeos quod chaldaico quidem syroque sermone, sed hebraicis literis scriptum est, quo utuntur usque hodie Nazareni, secundum apostolos sive ut plerique autumant iuxta Matthaeum* — **10** anders drückt sich Epiph. über das Ev. der Kerinthianer u. der Ebioniten aus vgl. haer. 28, 5, 1; S. 317, 10 ff u. haer. 30, 13, 2. — Das *καὶ* (vor *τὰς γενεαλογίας*) weist teils zurück auf c. 7, 6; S. 329, 21 ff u. haer. 28, 5, 1; S. 317, 10 ff teils vorwärts auf haer. 30, 13, 2 ff

V M

1 *καὶ*[1] < V **2** *ἑσπέραν*, *ἑσπ* auf Rasur V | *τρὶς*] *τοῖς* M **3** *ἑαυτοῖς* < V | *ἐν ταῖς* + *αὐτῶν* V **4** *τρὶς τῆς ἡμέρας*] *τρεῖς ἡμέρας* getilgt V[corr] **5** *καὶ* statt *δῆθεν* auf Rasur V[corr] **6** ⟨*τὸν*⟩ * **7** *τὸν Ἰησοῦν*] *Χριστὸν* V

ὡς βληχρὸν καὶ ὀδύνης ἐμποιητικὸν διὰ τοῦ ἰοῦ σφηκίου, καταθλάσαντες τε τοῖς τῆς ἀληθείας λόγοις, ἐπὶ τὰς ἐξῆς ἴωμεν, ἐπιπόθητοι, παρὰ θεοῦ αἰτοῦντες τὴν βοήθειαν. | P125 D90

Κατὰ Ἐβιωναίων ῑ, τῆς δὲ ἀκολουθίας λ̄.

1. *Ἐβίων, ἀφ᾽ οὗπερ Ἐβιωναῖοι, καθεξῆς ἀκολουθῶν καὶ τὰ* **1, 1**
ὅμοια τούτοις φρονήσας, πολύμορφον τεράστιον καὶ ὡς εἰπεῖν τῆς | Ö242
μυθευομένης πολυκεφάλου ὕδρας ὀφιώδη μορφὴν ἐν ἑαυτῷ ἀνατυπωσάμενος, πάλιν ἐπανέστη τῷ βίῳ, ἐκ τῆς τούτων μὲν σχολῆς ὑπάρχων, ἕτερα δὲ παρὰ τούτους κηρύττων καὶ ὑφηγούμενος. ὡς γὰρ **2**
εἴ τις συνάξειεν ἑαυτῷ ἐκ διαφόρων λίθων τιμίων κόσμον καὶ ποικίλης ἐσθῆτος ἔνδυμα καὶ διαφανῶς ἑαυτὸν κοσμήσῃ, οὕτω καὶ οὗτος τὸ ἀνάπαλιν πᾶν ὁτιοῦν δεινὸν καὶ ὀλετήριον καὶ βδελυκτὸν κήρυγμα, ἄμορφόν τε καὶ ἀπίθανον, ἀ⟨ντι⟩ζηλίας ἔμπλεον παρ᾽ ἑκάστης αἱρέσεως λαβὼν ἑαυτὸν ἀνετύπωσεν εἰς ἅπασας. Σαμαρειτῶν μὲν γὰρ **3**
ἔχει τὸ βδελυρόν, Ἰουδαίων δὲ τὸ ὄνομα, Ὀσσαίων καὶ Ναζωραίων καὶ Νασαραίων τὴν γνώμην, Κηρινθιανῶν τὸ εἶδος, Καρποκρατιανῶν τὴν κακοτροπίαν, καὶ Χριστιανῶν βούλεται ἔχειν τὸ ἐπώνυμον μόνον (οὐ γὰρ δήπουθεν τήν τε πρᾶξιν καὶ τὴν γνώμην καὶ τὴν γνῶσιν καὶ τὴν τῶν εὐαγγελίων καὶ ἀποστόλων περὶ πίστεως συγκατάθεσιν)· μέσος δὲ ὡς εἰπεῖν ἁπάντων τυγχάνων οὐδὲν πέ- **4**

4ff vgl. mit Epiph. insbesondere Irenaeus adv. haer. I 26, 2; I 212f Harvey Origenes c. Cels. V 61; II 65, 8 Kötschau V 65; II 68, 11f in Matth. tom. XVI 12; IV 37f Lommatzsch Eusebius h. e. III 27, 1f; S. 256, 2ff Schwartz VI 17; S. 554, 18 Hieronymus zu Matth. 12, 2; Migne 26, 76 C zu Jes. 1, 12; Migne 24, 34 B ep. 112, 13, 1f u. namentl. die Pseudoclementinen (doch beachte, daß Epiph. nicht unseren Text der Pseudoclement. gelesen hat) — **5** Ebion als Stifter der Ebioniten bei Hippolyt refut. VII 35, 1; S. 222, 4 Wendland Tertullian de praescr. haer. 10. 33 de virg. vel. 6 de carne Chr. 14. 18. 24 Ps. Tertullian adv. omn. haer. 3 Filastrius haer. 37; S. 20, 14ff Marx Hieronymus adv. Lucif. 23 Doctr. patr. c. 41; S. 302, 21ff Diekamp

V M

1 *βληχρὰν* M | *ἐμποιητικὴν* M | *σφικίου* M **2** *τε* angeflickt V^{corr} < M | vor *ἐπιπόθητοι* + *ὦ* V^{corr} **3** Unterschrift *κατὰ ναζωραίων* V **4** *κατὰ ἐβιωνέων* (*αι* über *εων*) *δεκάτη ἡ καὶ λ̄* V *κατὰ Ἐβιωνίτων ῑ, τῆς δὲ ἀκολουθίας λ̄* M **6** *τούτοις, οις* auf Rasur V **7** *μορφὴν, ν* angeflickt V^{corr} **11** *κοσμήσει* V **12** *τὸ* < M **13** *ἀ⟨ντι⟩ζηλίας* * | *ἔμπλεων, ω* aus *ο* V^{corr} *ἔμπνεον* M **14** *εἰς ἅπασιν* M **16** *Καρποκρατιανῶν, τ* aus *σ* V^{corr} *Καρποκρατιανῶν* M **17** *τὸ ἐπώνυμον μόνον*] dafür am Rande *τὴν προσηγορίαν* V^{corr} **18** *δήπου* M

φυκεν, ἀλλὰ ἐπ᾽ αὐτὸν πληροῦται τὸ γεγραμμένον τό »παρ᾽ ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ, μέσον ἐκκλησίας καὶ συναγωγῆς«. Σαμαρείτης μὲν γὰρ ὢν διὰ τῆς βδελυρίας τοὔνομα ἀρνεῖται, Ἰουδαῖον δὲ ἑαυτὸν ὁμολογῶν Ἰουδαίοις ἀντίκειται, καίτοι συμφωνῶν αὐτοῖς ἐν μέρει, ὡς ὕστερον ἐν ταῖς περὶ τούτου ἀποδείξεσι τοῦ κατ᾽ αὐτῶν ἐλέγχου παραστήσομεν, θεοῦ ἐπιβοηθοῦντος.

2. Οὗτος γὰρ ὁ Ἐβίων σύγχρονος μὲν τούτων ὑπῆρχεν, ἀπ᾽ αὐτῶν δὲ σὺν αὐτοῖς ⟨ὢν⟩ ὁρμᾶται. τὰ πρῶτα δὲ ἐκ παρατριβῆς καὶ σπέρματος ἀνδρός, τουτέστιν τοῦ | Ἰωσήφ, τὸν Χριστὸν γεγεννῆσθαι D91
ἔλεγεν· ὡς καὶ ἤδη ἡμῖν προείρηται ὅτι τὰ | ἴσα τοῖς ἄλλοις ἐν ἅπασι P126
φρονῶν ἐν τούτῳ μόνῳ διεφέρετο, ἐν τῷ τῷ νόμῳ τοῦ Ἰουδαϊσμοῦ προσανέχειν κατὰ σαββατισμὸν καὶ κατὰ τὴν περιτομὴν καὶ κατὰ τὰ ἄλλα πάντα, ὅσαπερ παρὰ Ἰουδαίοις καὶ Σαμαρείταις ἐπιτελεῖται.

ἔτι δὲ πλείω οὗτος παρὰ τοὺς Ἰουδαίους ὁμοίως τοῖς Σαμαρείταις διαπράττεται. προσέθετο γὰρ τὸ παρατηρεῖσθαι ἅπτεσθαί τινος τῶν ἀλλοεθνῶν, καθ᾽ ἑκάστην δὲ ἡμέραν, εἴ ποτε γυναικὶ συναφθείη καὶ ἢ ἀπ᾽ αὐτῆς, βαπτίζεσθαι ἐν τοῖς ὕδασιν, εἴ που δᾶν εὐπορίη ἢ θαλάσσης ἢ ἄλλων ὑδάτων. ἀλλὰ καὶ εἰ σύναντήσειέν τινι ἀνιὼν ἀπὸ τῆς τῶν ὑδάτων καταδύσεως καὶ βαπτισμοῦ, ὡσαύτως πάλιν ἀνατρέχει βαπτίζεσθαι, πολλάκις καὶ σὺν τοῖς ἱματίοις. τὰ νῦν δὲ

1 Prov. 5, 14 — **8ff** vgl. Origenes in Matth. tom. XVI 12; IV 37f Lommatzsch *ἐκ Μαρίας καὶ τοῦ Ἰωσὴφ οἰομένων αὐτὸν εἶναι* Eusebius h. e. III 27, 2; S. 256, 4 Schwartz — **15** vgl. clement. Hom. XIII 4; S. 134, 15ff Lagarde *πρὸς τούτοις δὲ ἀδιαφόρως μὴ βιοῦντες τραπέζης ἐθνῶν οὐκ ἀπολαύομεν, ἅτε δὴ οὐδὲ συνεστιᾶσθαι αὐτοῖς δυνάμενοι διὰ τὸ ἀκαθάρτως αὐτοὺς βιοῦν* u. oben haer. 9, 3, 6; S. 200, 13f haer. 13, 1, 2; S. 206, 3 — **16** vgl. clement. Hom. VII 8; S. 84, 14 Lagarde *ἀπὸ κοίτης γυναικὸς λούεσθαι* XI 30; S. 118, 17 *ἀλλὰ καὶ μετὰ κοινωνίαν βαπτίζεσθαι δεῖ* — **20** zu *σὺν ἱματίοις* vgl. haer. 9, 3, 6; S. 200, 14f u. Hippolyt refut. IX 15, 3; S. 253, 26 Wendland *βαπτισθῆτε ἐκ δευτέρου σὺν τοῖς ἐνδύμασιν* u. ebenda 15, 5; S. 254, 6 *βαπτισάσθω ⟨σὺν⟩ παντὶ τῷ φορέματι αὐτοῦ* — **20ff** vgl. clement. Hom. ep. Clem. ad Jac. 7; S. 8, 14ff Lagarde *πρὸ πάντων τοὺς νέους πρὸς γάμον ζευγνύτωσαν ἐν τάχει, προλαμβάνοντες τῆς νεαζούσης ἐπιθυμίας τὰ παγιδεύματα. ἀλλὰ μηδὲ τῶν ἤδη γερόντων περὶ γάμου ἀμελείτωσαν· ἐνίοις γὰρ*

V M

1 *ἐπ᾽ αὐτῶ* aus *ἐπ᾽ αὐτὸν* Vcorr | *τὸ*² ausradiert Vcorr; lies wohl *ὅτι* * **3** *γὰρ*] *οὖν* V **5** *ὡς ὕστερον* hineingeflickt Vcorr **8** ⟨*ὢν*⟩ * **9** *τοῦ* < M **10** *ἐν* < M **11** *τῷ*¹ oben drüber Vcorr **13f** *ἐπιτελεῖται* — *Σαμαρείταις* < M **14** *οὗτος*, *ο* aus *ω* Vcorr **15** *τινὸς τῶν* *] *τινῶν* VM **17** *ἦπον* M

ἀπηγόρευται παν|τάπασι παρ᾽ αὐτοῖς παρθενία τε καὶ ἐγκράτεια, ὡς Ö244
καὶ παρὰ ταῖς ἄλλαις ταῖς ὁμοίαις ταύτῃ αἱρέσεσι. ποτὲ γὰρ παρθενίαν ἐσεμνύνοντο, δῆθεν διὰ τὸν Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου· ⟨διὸ⟩ καὶ τὰ αὐτῶν συγγράμματα πρεσβυτέροις καὶ παρθένοις γράφουσι. γέγονε δὲ ἡ ἀρχὴ τούτων μετὰ τὴν τῶν Ἱεροσολύμων 7
ἅλωσιν. ἐπειδὴ γὰρ πάντες οἱ εἰς Χριστὸν πεπιστευκότες τὴν Περαίαν κατ᾽ ἐκεῖνο καιροῦ κατῴκησαν τὸ πλεῖστον, ἐν Πέλλῃ τινὶ πόλει καλουμένῃ τῆς Δεκαπόλεως τῆς ἐν τῷ εὐαγγελίῳ γεγραμμένης πλησίον τῆς Βαταναίας καὶ Βασανίτιδος χώρας, τὸ τηνικαῦτα ἐκεῖ μεταναστάντων καὶ ἐκεῖσε διατριβόντων αὐτῶν, γέγονεν ἐκ τούτου πρόφασις τῷ Ἐβίωνι. καὶ ἄρχεται μὲν τὴν κατοίκησιν ἔχειν ἐν Κωκάβῃ τινὶ 8
κώμῃ ἐπὶ τὰ μέρη τῆς Καρναὶμ τῆς καὶ Ἀσταρὼθ ἐν τῇ Βασανίτιδι χώρᾳ, ὡς ἡ ἐλθοῦσα εἰς ἡμᾶς γνῶσις περιέχει. ἔνθεν ἄρχεται τῆς κακῆς αὐτοῦ διδασκαλίας, ὅθεν δῆθεν καὶ οἱ Ναζωραῖοι, οἳ ἄνω μοι προδεδήλωνται. συναφθεὶς γὰρ οὗτος ἐκείνοις καὶ ἐκεῖνοι | τούτῳ, 9 D92
ἑκάτερος ἀπὸ τῆς ἑαυτοῦ μοχθηρίας τῷ ἑτέρῳ μετέδωκε. καὶ διαφέρονται μὲν ἕτερος πρὸς τὸν ἕτερον κατά τι, ἐν δὲ τῇ κακονοίᾳ ἀλλήλους ἀπεμάξαντο. ἤδη δέ μοι καὶ ἐν ἄλλοις λόγοις καὶ κατὰ τὰς ἄλλας αἱρέσεις περὶ τῆς τοποθεσίας Κωκάβων καὶ τῆς Ἀραβίας διὰ πλάτους εἴρηται.

3. Καὶ τὸ μὲν πρῶτον οὗτος ὁ Ἐβίων, ὡς ἔφην, Χριστὸν ἐκ 3, 1
σπέρματος ἀνδρός, τουτέστι τοῦ Ἰωσήφ, ὡρίζετο· ἐκ χρόνου δέ τινος καὶ δεῦρο οἱ αὐτοῦ, ὡς εἰς ἀσύστατον καὶ ἀμήχανον τρέψαντες τὸν ἴδιον νοῦν | ἄλλοι ἄλλως παρ᾽ αὐτοῖς περὶ Χριστοῦ διηγοῦνται· P127

καὶ γηράσασιν ἀκμαία ἔνεστιν ἐπιθυμία III 26; S. 43, 19 γάμον νομιτεύει, ἐγκράτειαν συγχωρεῖ III 68; S. 54, 32; dazu unten c. 18, 2; S. 357, 16ff u. bei den Ossäern haer. 19, 1, 7; S. 218, 14f

4 Anspielung auf die clementinischen epp. de virginitate? — **5ff** vgl. zu haer. 29, 7, 7; S. 330, 4ff — **8** vgl. Matth. 4, 25 — **11** vgl. Zahn, Forschungen I 333 — **18** vgl. haer. 29, 7, 7; die »andern Schriften« sind nicht erhalten

V M

1 τε < M **2** καὶ < M | ταύτῃ + τῇ M **3** διὰ vor τὸν² wiederholt M **4** ⟨διὸ⟩ * **4f** lies ἐπιγράφουσι? * **5** τούτων *] τούτου V M **7** τὸ πλέον V **9** βανέας M **12** καρναΐμ, ι auf Rasur V corr | τῆς² Zahn] Ἀρνὲμ V M **14** Ναζαρηνοὶ V **15** ἐκεῖνοι///, ein Buchstabe wegradiert V **17** ἐν δὲ + καὶ M **22** ἀνδρός] ἀνάνδρως M | Ἰωσὴφ + ⟨γεγεννῆσθαι⟩? * **23** ὡς εἰς + ⟨τὸ μᾶλλον⟩? * **24** παρ᾽ αὐτοῖς aus παρὰ τοῖς V corr

τάχα δὲ οἶμαι ἀπὸ τοῦ συναφθῆναι αὐτοῖς Ἠλξαῖον τὸν ψευδοπρο- 2
φήτην τὸν παρὰ τοῖς Σαμψηνοῖς καὶ Ὀσσηνοῖς καὶ Ἐλκεσαίοις καλου-
μένοις ⟨μοι προδεδηλωμένον⟩, ὡς ἐκεῖνος φαντασίαν τινὰ περὶ Χρι-
στοῦ διηγοῦνται καὶ περὶ πνεύματος ἁγίου. τινὲς γὰρ ἐξ αὐτῶν καὶ 3
Ἀδὰμ τὸν Χριστὸν εἶναι λέγουσιν, τὸν πρῶτόν τε πλασθέντα καὶ
ἐμφυσηθέντα ἀπὸ τῆς τοῦ θεοῦ ἐπιπνοίας. ἄλλοι δὲ ἐν αὐτοῖς λέ- 4
γουσιν ἄνωθεν μὲν αὐτὸν ὄντα πρὸ πάντων δὲ αὐτὸν κτισθέντα,
πνεῦμα ὄντα καὶ ὑπὲρ ἀγγέλους ὄντα πάντων τε κυριεύοντα, καὶ

1 ff vgl. haer. 19, 5, 4; S. 222, 25 ff — für die Berührung der Ebioniten mit den Elkesaiten in der Christologie vgl. mit dem Folgenden Hippolyt refut. IX 14, 1; S. 252, 20 ff Wendland (über Elxai) *τὸν Χριστὸν δὲ λέγει ἄνθρωπον κοινῶς πᾶσι γεγονέναι, τοῦτον δὲ οὐ νῦν πρώτως ἐκ παρθένου γεγεννῆσθαι, ἀλλὰ καὶ πρότερον, καὶ αὖθις πολλάκις γεννηθέντα καὶ γεννώμενον πεφηνέναι καὶ φύεσθαι, ἀλλάσσοντα γενέσεις καὶ μετενσωματούμενον* — **3 f** vgl. haer. 19, 4, 1 f; S. 221, 6 ff — **4 f** vgl. clement. Hom. III 20; S. 41, 29 Lagarde *ἐὰν τῷ ὑπὸ χειρῶν θεοῦ κνοφορηθέντι ἀνθρώπῳ τὸ ἅγιον Χριστοῦ μὴ δῷ τις ἔχειν πνεῦμα κτἑ* III 21; S. 42, 4 *οὗτος αὐτὸς μόνος ἀληθὴς ὑπάρξας προφήτης* VIII 10; S. 88, 22 *ὁ γεγονὼς τῆς τοῦ πεποιηκότος αὐτὸν πνέων θειότητος, ἀληθὴς προφήτης ὤν* clement. Recogn. I 45 *hunc primum pater oleo perunxit, quod ex ligno vitae fuerat sumtum . ex illo ergo unguento Christus appellatur* I 47 *memini . . dixisse te de primo homine, quia propheta fuit . . . si primus, inquit, homo prophetavit, certum est, quod et unctus sit . . . quia sine unguento prophetare non poterat* (beachte auch clement. Hom. II 52; S. 36, 8 *οὔτε Ἀδὰμ παραβάτης ἦν ὁ ὑπὸ τῶν τοῦ θεοῦ χειρῶν κνοφορηθείς*) Victorinus Rhetor zu Gal. 1, 19; Migne 8, 1155 B *dicunt enim eum ipsum Adam esse et esse animam generalem* — 6—S. **337, 1** vgl. clement. Hom. III 19; S. 41, 17 *μέλλοντος γὰρ αἰῶνος βασιλεὺς εἶναι κατηξιωμένος* III 20; S. 41, 34 ff *διὰ τοὺς καμάτους θεοῦ ἐλέει χρισθείς . . . οὗτος ἄρχειν καὶ κυριεύειν πάντων τῶν ἐν ἀέρι καὶ γῇ καὶ ὕδασιν τετίμηται· πρὸς τούτοις δὲ αὐτοῦ τοῦ πεποιηκότος τὸν ἄνθρωπον τὴν πνοὴν ἔσχεν* XV 7; S. 148, 24 XX 2; S. 190, 6 clement. Recogn. IX 3 *usque ad nuptiarum tempus, quod est praesentia sacculi venturi, statuit virtutem quandam, quae ex his quae in hoc mundo nascuntur, eligat et custodiat meliores ac serret filio suo* II 42 *uni vero qui in archangelis erat maximus sorte data est dispensatio eorum, qui prae ceteris omnibus excelsi dei cultum atque scientiam receperunt*

V M

2 Ἐσσηνοῖς M **3** ⟨μοι προδεδηλωμένον⟩ * **4** διηγοῦνται *] διηγεῖται V M **5** λέγουσιν εἶναι M | τε ausradiert V corr | πλασθέντα + τε V **7** αὐτὸν beidemale < V

Χριστὸν λέγεσθαι, τὸν ἐκεῖσε δὲ αἰῶνα κεκληρῶσθαι· ἔρχεσθαι δὲ 5
ἐνταῦθα ὅτε βούλεται, ὡς καὶ ἐν τῷ Ἀδὰμ ἦλθε καὶ τοῖς πατριάρ-
χαις ἐφαίνετο ἐνδυόμενος τὸ σῶμα· πρὸς Ἀβραὰμ δὲ ἐλθὼν καὶ Ἰσαὰκ
καὶ Ἰακὼβ ὁ αὐτὸς ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν ἦλθεν καὶ αὐτὸ τὸ
5 *σῶμα τοῦ Ἀδὰμ ἐνεδύσατο καὶ ὤφθη ἀνθρώποις καὶ ἐσταυρώθη καὶ*
ἀνέστη καὶ ἀνῆλθεν. πάλιν δὲ ὅτε βούλονται λέγουσιν· οὐχί, ἀλλὰ | **6** Ö246
εἰς αὐτὸν ἦλθε τὸ πνεῦμα ὅπερ ἐστὶν ὁ Χριστὸς καὶ ἐνεδύσατο αὐτὸν
τὸν Ἰησοῦν καλούμενον. καὶ πολλὴ παρ᾽ αὐτοῖς σκότωσις, ἄλλοτε
ἄλλως καὶ ἄλλως αὐτὸν ὑποτιθεμένοις. καὶ δέχονται μὲν καὶ αὐτοὶ **7**
10 *τὸ κατὰ Ματθαῖον εὐαγγέλιον. τούτῳ γὰρ καὶ αὐτοί, ὡς καὶ οἱ κατὰ*
Κήρινθον καὶ | Μήρινθον χρῶνται μόνῳ. καλοῦσι δὲ αὐτὸ κατὰ D93

1 f vgl. clement. Hom. III 20; S. 41, 32 ff Lagarde = clement. Recogn. II 22 *ὃς ἀπ᾽ ἀρχῆς αἰῶνος ἅμα τοῖς ὀνόμασι μορφὰς ἀλλάσσων τὸν αἰῶνα τρέχει, μέχρις ὅτε ἰδίων χρόνων τυχὼν . . . εἰς ἀεὶ ἕξει τὴν ἀνάπαυσιν* (abgeschwächt I 52 *Christus qui ab initio et semper erat, per singulas quasque generationes piis, latenter licet, semper tamen aderat, his praecipue a quibus exspectabatur quibusque frequenter apparuit*) — **3 f** vgl. clement. Recogn. I 33 ff II 47 clement. Hom. XVII 4; S. 160, 10 ff Lagarde XVIII 13; S. 173, 30 ff — **6 ff** vgl. clement. Recogn. I 43 *de Jesu . . . qui est Christus aeternus* I 44 I 50 *nam quod venturus sit Christus norunt etiam ipsi* (sc. die Juden) *et exspectant*; *quod autem iam venerit in humilitate hic qui dicitur Jesus ignorant*; dazu Hippolyt refut. VII 34, 2; S. 221, 12 ff Wendland u. oben haer. 28, 1, 5; S. 314, 3 ff — **9 ff** vgl. oben haer. 28, 5, 1; S. 317, 10 u. Irenaeus adv. haer. I 26, 2; I 212 f Harvey *similiter ut Cerinthus et Carpocrates opinantur. solo autem eo quod est secundum Matthaeum evangelio utuntur* Eusebius h. e. III 27, 4; S. 256, 15 f Schwartz *εὐαγγελίῳ δὲ μόνῳ τῷ καθ᾽ Ἑβραίους λεγομένῳ χρώμενοι τῶν λοιπῶν σμικρὸν ἐποιοῦντο λόγον* III 25, 5; S. 252, 7 f — Wohl durch diese Eusebiusstellen veranlaßt hat Epiph. den sonst nur noch haer. 46, 1, 9 bei ihm erwähnten u. dort gleichfalls verkehrt angebrachten Titel „Hebräerevangelium" auf das ihm allein bekannte Ebionitenevangelium übertragen. Die umgekehrte Verwechslung bei Hieronymus c. Pelag. III 2; Migne 23, 570 B *in evangelio iuxta Hebraeos quod chaldaico quidem syroque sermone, sed hebraicis literis scriptum est, quo utuntur usque hodie Nazareni, secundum apostolos sive ut plerique autumant iuxta Matthaeum*, vgl. Zahn, Gesch. d. neutest. Kan. II 2, 730 Harnack, Lit. Gesch. II 1, 626 (die wilden Aufstellungen von A. Schmidtke TU XXXVII 1 bleiben überall außer Betracht)

V M

1 δὲ < M **3** δὲ *] τε V M **8** ἄλλοτε *] ἄλλοθι V < M

Ἑβραίους, ὡς τὰ ἀληθῆ ἔστιν εἰπεῖν, ὅτι Ματθαῖος μόνος Ἑβραϊστὶ καὶ Ἑβραϊκοῖς γράμμασιν ἐν τῇ καινῇ διαθήκῃ ἐποιήσατο τὴν τοῦ εὐαγγελίου ἔκθεσίν τε καὶ κήρυγμα.

ἤδη δέ που καί τινες πάλιν ἔφασαν καὶ ἀπὸ τῆς Ἑλληνικῆς διαλέκτου τὸ κατὰ Ἰωάννην μεταληφθὲν εἰς Ἑβραΐδα ἐμφέρεσθαι ἐν τοῖς τῶν Ἰουδαίων γαζοφυλακίοις, φημὶ δὲ τοῖς ἐν Τιβεριάδι, καὶ ἐναποκεῖσθαι ἐν ἀποκρύφοις, ὥς τινες τῶν ἀπὸ Ἰουδαίων πεπιστευκότων ὑφηγήσαντο ἡμῖν κατὰ λεπτότητα· οὐ μὴν ἀλλὰ καὶ τῶν Πράξεων τῶν ἀποστόλων τὴν βίβλον ὡσαύτως ἀπὸ Ἑλλάδος γλώσσης εἰς Ἑβραΐδα μεταληφθεῖσαν λόγος ἔχει ἐκεῖσε κεῖσθαι ἐν τοῖς γαζοφυλακίοις, ὡς καὶ ἀπὸ τούτου τοὺς ἀναγνόντας Ἰουδαίους τοὺς ἡμῖν ὑφηγησαμένους εἰς Χριστὸν πεπιστευκέναι. **8** **9**

4. Ἦν δέ τις ἐξ αὐτῶν Ἰώσηπος, οὐχ ὁ συγγραφεὺς καὶ ἱστοριογράφος καὶ παλαιὸς ἐκεῖνος, ἀλλ᾽ ὁ ἀπὸ Τιβεριάδος ὁ ἐν χρόνοις τοῦ μακαρίτου Κωνσταντίνου τοῦ βασιλέως τοῦ γέροντος ⟨γενόμενος⟩, ὃς καὶ παρ᾽ αὐτοῦ τοῦ βασιλέως ἀξιώματος κομήτων ἔτυχε καὶ ἐξουσίαν εἴληφεν ἐν αὐτῇ τῇ Τιβεριάδι ἐκκλησίαν Χριστῷ ἱδρῦσαι καὶ ἐν Διοκαισαρείᾳ καὶ ἐν Καπερναοὺμ καὶ ἐν ταῖς ἄλλαις, ὃς καὶ πολλὰ πέπονθεν ὑπ᾽ αὐτῶν τῶν Ἰουδαίων πρὶν ἢ τῷ βασιλεῖ ἐμφανισθῆναι. **4, 1** P128

οὗτος γὰρ ὁ Ἰώσηπος τῶν παρ᾽ αὐτοῖς ἀξιωματικῶν ἀνδρῶν ἐναρίθμιος ἦν. εἰσὶ δὲ οὗτοι ⟨οἱ⟩ μετὰ τὸν πατριάρχην, ἀπόστολοι καλούμενοι. προσεδρεύουσι δὲ τῷ πατριάρχῃ καὶ σὺν αὐτῷ πολλάκις καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ συνεχῶς διάγουσι, διὰ τὸ συμβουλεύειν καὶ ἀναφέρειν αὐτῷ τὰ κατὰ τὸν νόμον. ὁ δὲ πατριάρχης κατ᾽ ἐκεῖνο καιροῦ Ἑλλὴλ τοὔνομα ἦν (νομίζω γὰρ ὅτι οὕτως τὸ ὄνομα αὐτοῦ Ἰώσηπος ἔλεγεν, εἰ μὴ ἀπὸ τοῦ χρόνου σφάλλομαι), ἐκ γένους δὲ τοῦ **2** **3**

1 vgl. zu haer. 29, 9, 4; S. 332, 8ff — **21f** über die *ἀπόστολοι* u. ihr Verhältnis zum *πατριάρχης* vgl. Eusebius in Jes. 18, 1f; Migne 24, 213 A ff Hieronymus zu Gal. 1, 1; Migne 26, 311 B CJL IX 648 (vgl. 6220) cod. Theod. XVI 8, 14; dazu Schürer, Gesch. d. jüd. Volkes III⁴ 119f. 149 Harnack, Die Mission u. Ausbreitung des Christentums² I 274ff — **25** vgl. über diesen Hillel Ideler, Handbuch der Chronol. I 576ff Schürer, Gesch. des jüd. Volkes I⁴ 754

V M

5 vor *τὸ κατὰ* + *καὶ* V | *μεταλη////φθὲν*, *μ* ausradiert V corr **10** *μετα*$^{\beta}$*ληφθεῖσαν*, *β* oben hineingeflickt (*φ* nicht durchgestrichen) V corr | *ἔχει* + *καὶ* V **12** *ἀφηγησαμένους* M **13** *Ἰώσηππος* M **14** *ἀλλὰ* M | *ὁ*^{1} < M **15** *βασιλέως*] *βασιλεύσαντος* V | ⟨*γενόμενος*⟩ * **16** *κομήτων* V M **17** *τῇ* < M **18** *ἐν*^{2} < V | *ἄλλαις*] *πόλεσι* zu ergänzen ist überflüssig, vgl. S. 348, 27 **20** *Ἰώσηππος* M **21** ⟨*οἱ*⟩ *

Γαμαλιὴλ ἐτύγχανεν τοῦ παρ᾽ αὐτοῖς γενομένου πατριάρ|χου. ἔστι 4 D94
δὲ διανοηθῆναι, ὡς καὶ ἄλλοι οὕτως ὑπέθεντο, τούτους εἶναι γένους
ἐκείνου τοῦ πρώτου Γαμαλιὴλ τοῦ ἐπὶ τοῦ σωτῆρος, τοῦ κατὰ θεὸν
συμβουλεύσαντος ἀποσχέσθαι τῆς κατὰ τῶν ἀποστόλων ἐπηρείας.
τελευτῶν δὲ ὁ Ἑλλὴλ ἠξίωσε τὸν κατ᾽ ἐκεῖνο καιροῦ ἐπίσκοπον πλη- 5
σιόχωρον τῆς Τιβερι⟨έ⟩ων ὄντα καὶ ἐκομίσατο παρ᾽ αὐτοῦ τὸ ἅγιον
λουτρὸν ἐπὶ τῇ ἐξόδῳ αὐτοῦ διὰ προφάσεως ἰατρικῆς ὑποθέσεως.
μεταστειλάμενος γὰρ αὐτὸν διὰ τοῦ προειρημένου Ἰωσήπου ὡς 6
ἰατρὸν ὄντα καὶ ποιήσας πάντας ἔξω γενέσθαι παρεκάλεσε τὸν
ἐπίσκοπον λέγων »δώρησαί μοι τὴν ἐν Χριστῷ σφραγῖδα«. ὁ δὲ 7
μετακαλεσάμενος τοὺς ἐξυπηρετουμένους προσέταξεν ὕδωρ | ἑτοιμα- Ö248
σθῆναι, ὡς τῆς νόσου ἕνεκα βοήθημά τι προσφέρειν μέλλων δι᾽ ὑδά-
των νοσοῦντι βαρέως τῷ πατριάρχῃ. οἱ δὲ ἐποίησαν τὰ ἐπιτεταγμένα·
οὐ γὰρ ἐγνώκεισαν. αἰδοῦς δὲ χάριν προφασισάμενος τοὺς πάντας
ἔξω ποιήσας ὁ πατριάρχης τοῦ λουτροῦ καταξιοῦται καὶ μυστηρίων
ἁγίων.

5. Ὁ δὲ Ἰώσηπος ἐμοὶ αὐτῷ ⟨τοῦτο⟩ διελέχθη. ἐκ στόματος γὰρ 5, 1
αὐτοῦ ἀκήκοα ταῦτα πάντα καὶ οὐκ ἀπὸ ἄλλου τινός, ἐν τῇ γηραλέᾳ
αὐτοῦ ἡλικίᾳ, ὡς περί που ἐτῶν ἑβδομήκοντα γεγονότος αὐτοῦ ἢ καὶ
πλειόνων. παρ᾽ αὐτῷ γὰρ κατήχθην ἐν Σκυθοπόλει· μεταναστὰς 2
γὰρ τῆς Τιβεριάδος καὶ κτήσεις ἐκεῖ ἐν Σκυθοπόλει διαφανεῖς ἐκτή-
σατο. ἐν γὰρ τῇ | οἰκίᾳ αὐτοῦ ὁ μακαρίτης Εὐσέβιος ὁ τῆς Ἰταλίας P129
ἐπίσκοπος Βριγκέλλας πόλεως, ὡς ἐξωρίσθη ὑπὸ Κωνσταντίου διὰ
τὴν πίστιν τῆς ὀρθοδοξίας, ἐξενίζετο καὶ ἐπὶ τὴν ἐπίσκεψιν τούτου
ἐγώ τε καὶ οἱ ἄλλοι ἀδελφοὶ ἐκεῖσε γενόμενοι καὶ αὐτοὶ παρ᾽ αὐτῷ

3 vgl. Act. 5, 34ff — **5 ff** vielleicht ist das Folgende veranlaßt durch die Legende, die den älteren Gamaliel zum Christen machte; vgl. über sie Schürer, Gesch. d. jüd. Volkes II⁴ 430 A. 49 — **22** vgl. Hieronymus vir. ill. 96 *Eusebius . . . Vercellensis episcopus, ob confessionem fidei a Constantio principe* (nach der Synode von Mailand 355) *Scythopolim et inde Cappadociam relegatus* u. den Brief des Eusebius selbst an die Gemeinde in Vercelli Migne 12, 949ff sowie den an Patrophilus von Skythopolis ebenda 950ff

V M

1 *Γαμαλαλιὴλ*, *λα* getilgt V corr | *παρ᾽ αὐτοὺς* M | *ἔσται* M **2** *οὕτως*] *οὓς* M | *τούτους*, *σ* angeflickt V corr **4** *ἐπηρείας*, dazu am Rande ☞*ἐπιβουλῆς* V corr **6** *Τιβερι⟨έ⟩ων* *] *Τιβερείων*, *ει* aus *ι* V corr *Τιβερίων* M **7** *αὐτοῦ* < V **8** *αὐτὸν*] *τὸν ἐπίσκοπον* M **12** *νόσσου* M **17** *⟨τοῦτο⟩* * **20** *μεταστὰς* V **21** *καὶ* ausradiert V **23** *Βαρκέλλας* M | *ὡς* < V | *ἐξο||ρισθεὶς* aus *ἐξωρίσθη* hergestellt V corr **25** *οἱ* < M

κατήχθημεν. συντυχόντες δὲ τῷ Ἰωσήπῳ ἐπὶ τῆς αὐτοῦ οἰκίας 3
καὶ τὰ κατ᾽ αὐτὸν ἐρωτῶντες καὶ γνόντες ὅτι τῶν ἐμφανῶν ὑπῆρχεν
παρὰ Ἰουδαίοις, ἀνετάζοντες καὶ τὴν κατ᾽ αὐτὸν ὑπόθεσιν καὶ πῶς
εἰς τὸν Χριστιανισμὸν | μετῆλθεν, ἀκηκόαμεν ταῦτα πάντα σαφῶς D95
καὶ οὐκ ἀπὸ ἐνηχήσεως ἑτέρου τινός. ὅθεν καὶ ἀξιομνημόνευτα εἰς 4
οἰκοδομὴν πιστῶν νομίσαντες τὰ κατὰ τὸν ἄνδρα πραγματευθέντα
διὰ τὴν αἰτίαν τῶν ἐν τοῖς γαζοφυλακίοις εἰς Ἑβραΐδα μετατεθέν-
των *, οὐ παρέργως τὴν πᾶσαν αἰτίαν τοῦ προειρημένου Ἰωσήπου
παρεθέμεθα. ἦν γὰρ ὁ ἀνὴρ οὐ μόνον Χριστιανὸς πιστὸς κατα- 5
ξιωθεὶς γενέσθαι, ἀλλὰ καὶ Ἀρειανοὺς σφόδρα στηλιτεύων. ἐν γὰρ
τῇ πόλει ἐκείνῃ, Σκυθοπόλει φημί, μόνος οὗτος ὀρθόδοξος ὑπῆρχεν,
πάντες δὲ Ἀρειανοί. καὶ εἰ μὴ ὅτι κόμης ἦν καὶ τὸ τοῦ κόμητος 6
ἀξίωμα ἐκώλυεν ἀπ᾽ αὐτοῦ τὸν τῶν Ἀρειανῶν διωγμόν, [ἐπεὶ] οὐκ ἂν
ὑπέστη κἂν ἐν τῇ πόλει διατρίβειν ὁ ἀνήρ, μάλιστα ἐπὶ Πατροφίλου
τοῦ Ἀρειανοῦ ἐπισκόπου τοῦ πολλὰ ἰσχύσαντος πλούτῳ τε καὶ αὐ-
στηρίᾳ καὶ τῇ πρὸς τὸν βασιλέα Κωνστάντιον γνώσει τε καὶ παρρη-
σίᾳ. ἦν δὲ καὶ ἄλλος τις νεώτερος ἐν τῇ πόλει ἀπὸ Ἑβραίων ὀρθῶς 7
πιστεύων, ὃς οὔτε ἐτόλμα κατὰ τὸ φανερὸν *, ἀλλὰ κρυφίως ἡμᾶς
ἐπεσκέπτετο. πιθανὸν δέ τι ὁ Ἰώσηπος καὶ γελοιῶδες ὑφηγεῖτο, 8
οἶμαι δὲ τάχα ὅτι καὶ ⟨ἐν τούτῳ⟩ ἠλήθευεν. ἔφασκε γὰρ ὅτι τελευτησάσης
τῆς αὐτοῦ συμβίου, δεδιὼς μή πη ἄρα ἁρπάξωσιν αὐτὸν οἱ Ἀρειανοὶ καὶ
καταστήσωσι κληρικόν (πολλάκις γὰρ κολακεύσαντες αὐτὸν πεισθῆναι
τῇ αἱρέσει ὑπισχνοῦντο μείζονας προκοπάς, εἰ δέον, καὶ | ἐπίσκοπον Ö250
αὐτὸν καταστῆσαι) — ὁ δὲ ἔφασκε τούτου χάριν συνῆφθαι δευτέρᾳ
γυναικί, ὅπως διαδράσοι τὰς αὐτῶν χειροτονίας.
6. Ἀλλὰ ἐπάνειμι τὴν ὑφήγησιν τῆς κατὰ τὸν πατριάρχην ὑπο- 6, 1
θέσεως καὶ αὐτοῦ τοῦ Ἰωσήπου εἰς τοὐμφανὲς κατὰ λεπτότητα τοῖς
βουλομένοις ἐντυγχάνειν διὰ τῶν ὑπ᾽ ἐκείνου λόγων ἐμοὶ εἰρημένων
ποιησόμενος. καὶ ἤδη μέν, ὡς ἐκεῖνος ὑφηγεῖτο, τοῦ πατριάρχου 2
λουτροῦ κατα|ξιουμένου, διὰ τῶν ἐν ταῖς θύραις ἁρμογῶν | εἴσω P130I

14 vgl. über das Verhalten des Patrophilus den Brief des Eusebius von Vercelli Migne 12, 949ff — **24** vgl. den Index unter Ehelosigkeit des Klerus

V M

3 *αὐτὸν*, *o* aus *ω* V **8** * ⟨*βιβλίων*⟩ * **13** *ἐπεὶ* V M ausradiert V corr **14** *διατριβῆ* M **18** *οὐκ* aus *οὔτε* V corr | * etwa ⟨*ἡμῖν συγγενέσθαι*⟩ * | *ἀλλὰ* + *καὶ* V | *κρυφαίως* V **20** *τάχα*] *ταῦτα* V | ⟨*ἐν τούτῳ*⟩ * **21** *πως* M | *ἁρπάζωσιν* M **23f** *ἐπισκοπῆς αὐτὸν καταξιοῦν* V

παρακύπτων, φησίν, κατενόουν τὰ ὑπὸ τοῦ ἐπισκόπου τῷ πατριάρχῃ γινόμενα, εἰς νοῦν τε ἔλαβον καὶ παρ' ἐμαυτῷ ἐταμιευόμην. καὶ γὰρ 3
καὶ χρυσίου ὁλκήν τινα ἱκανωτάτην ἔχων παρὰ χεῖρα ὁ αὐτὸς πατριάρχης, ἐκτείνας τὴν χεῖρα, φησίν, ἐπέδωκεν τῷ ἐπισκόπῳ, φάσκων
5 ὅτι »πρόσφερε ὑπὲρ ἐμοῦ. γέγραπται γὰρ διὰ τῶν ἱερέων τοῦ θεοῦ δεσμεύεσθαι καὶ λύεσθαι ἐπὶ τῆς γῆς, καὶ ⟨ὅτι⟩ ἔσται ταῦτα λελυμένα καὶ δεδεμένα ἐν τῷ οὐρανῷ«. ὡς οὖν ταῦτα ἐπράχθη, φησίν, καὶ 4
ἠνοίγησαν αἱ θύραι, ἠρωτᾶτο ὑπὸ τῶν ἐπισκεπτομένων ὁ πατριάρχης πῶς ἔχοι διὰ τοῦ βοηθήματος, καὶ ὡμολόγει καλλίστως ἔχειν· καὶ
10 γὰρ ᾔδει ὃ ἔλεγεν. ἔπειτα δὲ ⟨μετὰ⟩ ἡμέρας δύο ἢ τρεῖς τὸν ἀριθμόν, 5
πολλάκις τοῦ ἐπισκόπου ἐπισκεπτομένου αὐτὸν ἐν ἰατροῦ προφάσει, ἐκοιμήθη ὁ πατριάρχης μετὰ καλῆς ἀποθέσεως, παραδοὺς τὸν ἴδιον υἱὸν κομιδῇ νέον ὄντα Ἰωσήπῳ τε καὶ ἄλλῳ τινὶ ἐπιεικεστάτῳ *.
τὰ πάντα τοίνυν ἐπράττετο διὰ τῶν δύο τούτων, διὰ τὸ ἔτι τὸν 6
15 πατριάρχην παῖδα ὄντα νηπιάζειν καὶ ἐν χειροῖν αὐτῶν ἀνατρέφεσθαι. ἐν τούτῳ τῷ καιρῷ τῆς διανοίας τοῦ Ἰωσήπου ἐνοχλουμένης 7
πολλάκις διὰ τῶν γενομένων μυστικῶν ἐν τῇ κατὰ τὸ λουτρὸν ὑποθέσει ἐσκέπτετο τί ἂν πράξειεν. καὶ ἦν ἐκεῖσε γαζοφυλακίου τις οἶκος ἐσφραγισμένος· γάζα δὲ ἑρμηνεύεται κατὰ τὴν Ἑβραΐδα θησαυρός.
20 πολλῶν δὲ πολλὰ διανοουμένων περὶ τοῦ γαζοφυλακίου τούτου διὰ 8
τὴν σφραγῖδα, ὁ Ἰώσηπος λεληθότως τολμήσας ἠνοιξεν καὶ εὗρεν οὐδὲν χρημάτων πλὴν βίβλους τὰς ὑπὲρ χρήματα. ἀναγινώσκων δὲ 9
ἐν ταύταις, ὡς ἤδη ἔφην, τὸ κατὰ Ἰωάννην εὐαγγέλιον ἀπὸ Ἑλλάδος εἰς Ἑβραΐδα φωνὴν μεταληφθὲν ηὕρατο καὶ τὰς τῶν ἀποστόλων
25 Πράξεις· οὐ μὴν ἀλλὰ καὶ τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, Ἑβραϊκὸν φύσει ὄν, ἐκ τούτων ἀναγνοὺς πάλιν τὴν διάνοιαν ἐτρύχετο, ἀσχάλλων μέν πως περὶ τῆς πίστεως τοῦ Χριστοῦ· ἤδη | δὲ ἐκ δύο ὑπο- D97
θέσεων ὑπονυττόμενος, τῆς τῶν βιβλίων ἀναγνώσεως καὶ τῆς τοῦ πατριάρχου μυσταγωγίας, ὅμως τῇ καρδίᾳ ἐσκληρύνετο, οἷα γίνεται.
30 7. Ὡς δὲ ἐν τούτοις κατετρίβετο, ἀδρύνεται ὁ παῖς ὁ κατα- 7, 1
λειφθεὶς ὑπὸ Ἑλλὴλ εἰς πατριαρχίαν τρεφόμενος· οὐδεὶς γὰρ ἄλλος

5 ff vgl. Matth. 18, 18 (Joh. 20, 22f)

V M

2 καὶ γὰρ < V **4** φησίν getilgt V^{corr} **6** ⟨ὅτι⟩ * **9** ὁμολόγει M **10** ⟨μετὰ⟩ * **13** * ⟨πρεσβύτῃ⟩ *, vgl. S. 342, 10 u. 343, 14. 19 **15** χερσὶν V | αὐτὸν M **17** γινομένων M **20** πολλὰ < M **24** ηὕρετο, ε aus α V^{corr} **25 f** τὸ κατὰ — φύσει ὄν] τὸ Ματθαίου ἑβραϊκὸν φυτὸν V **26 f** ἀσχολῶν M **30 f** καταληφθεὶς V M

ἁρπάζει τὰς ἀρχὰς παρὰ τοῖς Ἰουδαίοις, ἀλλὰ υἱὸς πατέρα διαδέχεται. ὡς οὖν ἐπὶ τὸ ἀκμαῖον | τῆς ἡλικίας ὁ νέος ἤρχετο, προσ- 2 P131
εφθείροντο αὐτῷ τινες ἥλικες ἀργοὶ καὶ ἐθάδες κακῶν· τάχα δέ, οἶμαι, Ἰούδας οὗτος ἐκαλεῖτο, οὐ | πάνυ δὲ σαφῶς ἐπίσταμαι διὰ τὸν Ö252
χρόνον. μετέφερον οὖν αὐτὸν οἱ συνηλικιῶται νεώτεροι εἰς πολλὰς 3
κακῶν ἐπιτηδεύσεις, φθοράς τε γυναικῶν καὶ λαγνείας ἀνοσίους, μαγγανείαις τισὶν μαγικαῖς ἐπιχειροῦντες αὐτῷ συνεργεῖν εἰς τὰ τῆς ἀκολασίας *, ἀγώγιμά τινα ἐπιτελοῦντες καὶ διὰ ἐπαοιδῶν βιαζόμενοι γυναῖκας ἐλευθέρας πρὸς τὴν τούτου φθορὰν ἐξ ἀνάγκης ἄγεσθαι.
ὁ δὲ Ἰώσηπος καὶ ὁ σὺν αὐτῷ πρεσβύτης ἀνάγκην ἔχοντες τῷ παιδὶ 4
συνέπεσθαι βαρέως μὲν ἔφερον, πολλάκις δὲ καὶ ἐγκλήματα προσέφερον διὰ λόγων καὶ παρήνουν αὐτῷ. ὁ δὲ μᾶλλον τοῖς νέοις ἐπείθετο, κρύπτων τὰ αἰσχρὰ καὶ ἀρνούμενος· οὔτε γὰρ ἐτόλμων οἱ περὶ Ἰώσηπον ἐξειπεῖν τὰ κατ' ἐκείνου φανερῷ τῷ λόγῳ, ἀλλ' ὡς δι' ἐπιστήμην παρήνουν. παραγίνονται γοῦν εἰς Γάδαρα εἰς τὰ θερμὰ 5
ὕδατα. πανήγυρις δὲ ἐκεῖ κατ' ἔτος ἄγεται· ἀπέρχονται γὰρ παντα-
χόθεν οἱ βουλόμενοι λούσασθαι ἡμέρας τινάς, νοσημάτων δῆθεν ἀποβολῆς ἕνεκεν, ὅπερ ἐστὶ διαβολικὸν στρατήγημα. ἔνθα γὰρ τὰ παρὰ τοῦ θεοῦ θαύματα γεγένηται, προὔλαβεν ὁ δι' ἐναντίας θεῖναι αὐτοῦ
τὰ ὀλετήρια δίκτυα. ἀνδρόγυνα γὰρ ἐκεῖσε λούονται. κατὰ συγκυ- 6
ρίαν δὲ γυνή τις ἐλευθέρα ἔτυχεν ἐν τῷ λουτρῷ, κάλλει διαπρέπουσα εὐμορφίας. καὶ ὁ νεώτερος θελχθεὶς τῷ ἔθει τῆς αὐτοῦ ἀκολασίας, διιὼν ἐν τῷ | ἀέρι παρενέτριψεν αὐτοῦ τὴν πλευρὰν τῇ πλευρᾷ τοῦ D98
γυναίου. ἡ δὲ ἑαυτὴν ἐσφραγίσατο εἰς ὄνομα Χριστοῦ οἷα δὴ Χρι- 7
στιανὴ οὖσα· ἦ οὔτε ἀνάγκη ἦν παρανομεῖν καὶ ἀνδρογύνως λούεσθαι. συμβαίνει δὲ ταῦτα τοῖς ἀφελέσι καὶ ἰδιώταις ἀνθρώποις παρὰ τὴν τῶν διδασκάλων ῥᾳθυμίαν μὴ ἀσφαλιζομένων διὰ τῆς διδασκαλίας.

15 über Gadara u. seine Quellen vgl. Schürer, Gesch. d. jüd. Volkes II⁴ 157ff — **18** vgl. Matth. 8, 28 — **20** zu *ἀνδρόγυνα λούεσθαι* vgl. Clemens Al. paedag. III 32, 2; I 255, 5 Stählin Cyprian de hab. virg. 19; I 200, 23 Hartel Didascalia S. 12, 1 Flemming-Achelis Const. apost. I 9, 1; I 27, 10ff Funk conc. Laodic. can. 30 conc. Trull. can. 77

V M

3 *ἥλικες*, ς angeflickt V corr **6** *ἀνοσίους*, *υ* oben drüber geflickt V corr **8** * ⟨*ἔργα*⟩ * | *ἀγώγι///μα*, *ι* aus *η* V corr *ἀγώγημα* M **12** *αὐτῷ* < V **13** *ἐτόλμων*, *ω* aus *ου* M **15** *Γάδαρα*] *τὰ δάρα* M **21** *ἔτυχεν ἐν*] *ἐτύγχανεν* M **22** *αὐτοῦ* am Rande nachgetragen V corr **25** *ἦ* Ausgg.] *ἡ* aus *ἦ* V *ἤ* M **27** *ἀσφαλιζομένων* + ⟨*τοὺς ἀκροατὰς*⟩? *

ὅμως ἵνα δείξῃ ὁ θεὸς τὰ αὐτοῦ θαυμάσια, τοῦ ἐπιχειρήματος τὸ 8
μειράκιον ἀπέτυχεν, φημὶ δὲ ὁ πατριάρχης. διεπέμψατο γὰρ πρὸς
τὴν γυναῖκα καὶ δῶρα ἐτάξατο· ἡ δὲ τοὺς διαπεμφθέντας ἐξυβρίσασα
οὐκ ἐκάμφθη τῇ τοῦ ἀκολάστου ματαιοεργίᾳ.

8. Ἐντεῦθεν οἱ συνεργοῦντες αὐτῷ γνόντες τὴν τοῦ παιδὸς ὀδύ- 8, 1
νην, ἣν εἰς τὸ γύναιον ἀπημπόλησεν, ἐπιχειροῦσιν αὐτῷ τινα μείζονα
μαγγανείαν κατασκευάσαι, ὡς αὐτὸς Ἰώσηπος ἐμοὶ | κατὰ λεπτότητα P132
ὑφηγήσατο. ἀπάγουσι γὰρ τὸν ἄθλιον παῖδα μετὰ δύσιν ἡλίου ἐν 2
τοῖς πλησιαίτερον τύμβοις· πολυάνδρια δέ ἐστιν οὕτως ἐν τῇ πατρίδι
καλούμενα σπήλαια ἐν πέτραις ὀρυκτὰ κατεσκευασμένα. ἐκεῖ παρα- 3
λαβόντες τὸν προειρημένον οἱ ἅμα αὐτῷ γόητες ἐπῳδάς τινας καὶ
ἐπιορκισμοὺς καὶ ἐπιτηδεύματα ἀσεβείας ἔμπλεα εἰς αὐτὸν ἐποιοῦντο
καὶ εἰς ὄνομα τῆς προειρημένης γυναικός. ἐκ θεοῦ δὲ βουλήσεως 4
εἰς νοῦν ταῦτα ἦλθεν τοῦ ἄλλου πρεσβύτου τοῦ σὺν Ἰωσήπῳ τυγχά-
νοντος· ὁ δὲ αἰσθόμενος | τῶν γινομένων τῷ Ἰωσήπῳ ἀνακοινοῦται. Ö254
καὶ πρῶτον μὲν ταλανίσας ἑαυτὸν ἔφη »τάλανες ἡμεῖς« φησίν, »ἀδελφέ,
καὶ ἀπωλείας σκεύη, τίνι προσεδρεύομεν;« ὁ δὲ Ἰώσηπος τὴν αἰτίαν 5
ἐρωτήσας οὐ πρότερον ἤκουσε παρ᾽ αὐτοῦ διὰ λόγων πρὶν αὐτοῦ
λαβόμενος τῆς χειρὸς ὁ πρεσβύτης ἀπήγαγε τὸν Ἰώσηπον, ἔνθα τὸ
ἄθροισμα οἱ φθοριμαῖοι μετὰ τοῦ νεωτέρου ἐν τοῖς μνήμασι μαγγα-
νείας ἕνεκα ἐποιοῦντο. καὶ ἔξω μὲν τῆς θύρας στάντες τὰ παρ᾽ 6
ἐκείνων γινόμενα κατηκροάσαντο, ἐκείνων δὲ | ἐξιόντων ὑπεχώρησαν. D99
οὔπω γὰρ πολλὴ ἑσπέρα ἦν, ἀλλὰ ὡς πρὸς αὐτὴν τὴν ἡλίου δύσιν, ἔτι
δυναμένου ὀφθαλμοῦ ἀμαυρῶς ἰδεῖν. μετὰ οὖν τὴν τῶν ἀσεβεστάτων 7
ἔξοδον ἀπὸ τοῦ μνημείου οἱ περὶ Ἰώσηπον εἰσῆλθον καὶ καταλαμβάνουσιν
τινὰ † ἐπιτηδεύματα καὶ ἄλλα τινὰ ἐπιτηδεύματα περιεργίας χαμαὶ
ἐρριμμένα, οἷς προσκενώσαντες οὖρα καὶ ἐπαμήσαντες κόνιν, ὡς ἐκεῖνος
ἔφη, ἐξῆλθον. ἔγνωσαν δὲ τὴν ἐπιβουλήν, διὰ ποίαν γυναῖκα αὐτοῖς 8

27 zu *οὖρα* vgl. haer. 9, 3, 6; S. 200, 13

V M

2 *δὲ*] *δὴ* M **3** *τὴν γυναῖκα*] *αὐτὴν* V **8** *ἄγουσι* M **9** *πλησιαίτερον*, *αι* aus *ε* V^{corr} *πλησιεστέροις* M **12** *ἐφορκισμοὺς* aus *ἐπιορκισμοὺς* V^{corr} *ἐπιορκισμοὺς* M **14** *ταῦτα* am Rande nachgetragen V^{corr} < M **14** *πρεσβυτέρου* V | *σὺν Ἰωσήπου* M **16** *ταλανίας*, *σ* oben drüber V^{corr} | *φησίν*, *ἡμεῖς* M **17** *ἀπολείας* M **22** *ἐξόντων*, *ι* oben drüber V^{corr} **24** *ἀμυδρῶς* M | *οὖν* hinter *ἀσεβεστάτων* M **26** † *ἐπιτηδεύματα*] *ἐπιτηδεύματα* getilgt, aber nicht ersetzt V^{corr}; lies etwa *σκεύη* * **27** *ἐπαμήσαντες κόνιν*] *αἷμα μί///ξαντες κόνιν* V **28** *δὲ* < V

ἐκακουργήθη ταῦτα, καὶ παρετηροῦντο εἰ κατισχύσουσιν. ὡς οὖν οὐ 9
κατίσχυσαν οἱ γόητες (διὰ γὰρ τῆς σφραγῖδος τοῦ Χριστοῦ καὶ πίστεως ἐβοηθήθη ἡ γυνή), ἔγνωσαν τὸν νεώτερον ἐν τρισὶ νυξὶν διὰ τὴν τοῦ γυναίου ἄφιξιν προσκαρτερήσαντα, εἰς ὕστερον δὲ μαχεσάμενον τοῖς τὴν περιεργίαν ποιησαμένοις, ὅτι οὐκ ἐπέτυχεν. τοῦτο 10
τρίτον τῷ Ἰωσήπῳ κατηχήσεως ἔργον ἐγίνετο, ὅτι οὐκ ἴσχυσεν, ἔνθα ὄνομα Χριστοῦ καὶ σφραγὶς σταυροῦ, φαρμακείας δύναμις. οὐ μὴν δὲ ἤδη ἐπείσθη Χριστιανὸς γενέσθαι.

9. Ἔπειτα φαίνεται αὐτῷ ἐν ὕπνοις ὁ κύριος, φάσκων ὅτι »ἐγώ 9, 1
εἰμι Ἰησοῦς, ὃν οἱ σοὶ γονεῖς ἐσταύρωσαν, ἀλλὰ πίστευε εἰς ἐμέ«. ὁ
δὲ οὐδ' οὕτως | πεισθεὶς ὑπέπεσεν νόσῳ μεγάλῃ καὶ ἀπηγορεύθη. ὁ P133
δὲ κύριος πάλιν ὀπτάνεται αὐτῷ, φήσας αὐτῷ πιστεύειν καὶ ἰαθήσεσθαι· ὁ δὲ ἐπαγγειλάμενος ἀνέσφηλεν καὶ πάλιν ἐνέμενεν τῇ σκληραυχενίᾳ. εἰς δευτέραν δὲ πάλιν ὑποπίπτει νόσον καὶ ὡσαύτως 2
ἀπηγορεύθη. ὑποληφθεὶς δὲ τελευτᾶν ὑπὸ τῶν συγγενῶν αὐτοῦ Ἰουδαίων τὸ παρ' αὐτοῖς ἀεὶ μυστηριωδῶς γινόμενον παρὰ τούτων ἤκουσε. τῶν γὰρ νομομαθῶν ἀνήρ τις πρεσβύτης ἐλθὼν εἰς τὸ οὖς 3
αὐτοῦ ἀπήγγειλε λέγων ὅτι »πίστευε ⟨εἰς⟩ Ἰησοῦν, τὸν ἐσταυρωμένον ἐπὶ Ποντίου Πιλάτου ἡγεμόνος, υἱὸν θεοῦ προόντα καὶ ἐκ Μαρίας ὕστερον γεγεννημένον, Χριστὸν δὲ ὄντα θεοῦ καὶ ἐκ νεκρῶν ἀναστάντα, | καὶ ὅτι αὐτὸς ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς«. ταῦτα D100
ὁ αὐτὸς Ἰώσηπος ἐν τῇ ὑφηγήσει σαφῶς μοι ἀνήγγειλεν, ὡς φιλαλήθως ἔστιν εἰπεῖν. ἀλλὰ καὶ ἀπὸ ἄλλου τινὸς τὸ τοιοῦτον ἤκουσα, 4
ἔτι ὄντος Ἰουδαίου διὰ τὸν τῶν Ἰουδαίων φόβον ἀνὰ μέσον δὲ Χριστιανῶν πολλάκις διατρίβοντος καὶ Χριστιανοὺς τιμῶντός τε καὶ ἀγαπῶντος, συνοδεύσαντός μοι ἐν τῇ ἐρήμῳ τῆς Βαιθὴλ καὶ Ἐφραὶμ Ö256
ἐπὶ τὴν ὀρεινὴν ἀνερχομένῳ ἀπὸ τῆς Ἱεριχοῦς καὶ ἀντιβάλλοντι πρὸς αὐτὸν περὶ τῆς τοῦ Χριστοῦ παρουσίας καὶ αὐτοῦ μὴ ἀντιλέγοντος. θαυμάζοντος δέ μου καὶ ἐρωτῶντος τὴν αἰτίαν (ἦν γὰρ καὶ νομο- 5
μαθὴς καὶ δυνάμενος ἀντιλέγειν), τίνος χάριν οὐκ ἀντιλέγει ἀλλὰ πείθεται περὶ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν, ἀκούων τὰ τοσαῦτα ἀπεκάλυψέν μοι καὶ οὗτος, ὡς μέλλων τελευτᾶν ἤκουσε παρ' αὐτῶν

9 f vgl. Act. 9, 5

V M

3 ἔγνωσαν + δὲ M | ἐν angeflickt V^{corr} **8** ἤδη] ηδε, aber getilgt V **9** ἐν ὕπνοις] ἐνύπνιος M **10** οἱ σοὶ] οἱ σοῦ M **12 f** ἰαθήσεται M **13** ἀνέσφηλεν, η über α V^{corr} ἀνέσφιλεν M | ἐνέμενεν] ἔμενεν ἐν M **16** αὐτοῖς] αὐτῶν V **17** πρεσβύτερος V **18** ⟨εἰς⟩ * **23** ἀπὸ ἄλλου] παλλου, ρα oben drüber V^{corr} **29** θαυμάζοντι, ι aus ος V^{corr} **31** Ἰησοῦ Χριστοῦ M

εἰς ἀκοὴν ὠτίου ἐν ψιθυρισμῷ ὅτι »Ἰησοῦς Χριστὸς ὁ σταυρωθεὶς υἱὸς τοῦ θεοῦ μέλλει σε κρίνειν«. ἀλλὰ ταῦτά μοι περὶ τούτων 6
καὶ κατὰ τοῦτον τὸν λόγον ἐνταῦθα [μοι] ἐξ ἀληθινῆς ἀκοῆς παρακείσθω.

10. Ἔτι δὲ ὁ Ἰώσηπος ἐν νόσῳ ἦν καὶ ἀκούσας παρὰ τοῦ πρεσβύ- 10, 1
του ὡς προεῖπον μετὰ τῶν ἄλλων ὅτι Ἰησοῦς Χριστός σε κρινεῖ, ἔτι ἐσκληρύνετο. ὁ δὲ κύριος πάλιν πρὸς αὐτὸν κατὰ τὴν αὐτοῦ φιλανθρωπίαν δι᾽ ὁράματος ἐνυπνίου »ἰδού« φησίν »ἰῶμαί σε, ἀλλὰ ἀναστὰς πίστευε«. ἀναστὰς δὲ πάλιν ἀπὸ τῆς νόσου οὐκ ἐπίστευσεν.
ὑγιαίνοντι δὲ αὐτῷ φαίνεται ὁ κύριος πάλιν κατ᾽ ὄναρ, ἐγκαλῶν 2
αὐτῷ δι᾽ ἣν αἰτίαν οὐκ ἐπίστευσεν. | ἐπαγγέλλεται δὲ αὐτῷ λέγων ὁ P134
κύριος ὅτι εἰς πληροφορίαν πίστεως εἴ τι βούλει ἐν ὀνόματί μου θεοσήμειον ἐργάσασθαι, ἐπικάλεσαί με κἀγὼ ποιήσω. μαινόμενος 3
δέ τις ἦν ἐν τῇ πόλει, ὃς γυμνὸς τὴν πόλιν περιῄει (φημὶ δὲ ἐν Τι-
βεριάδι) καὶ πολλάκις ἐνδιδυσκόμενος τὴν ἐσθῆτα διερρήγνυεν, ὡς ἔθος τοῖς τοιούτοις. | ὁ οὖν Ἰώσηπος βουλόμενος ἐν πείρᾳ γενέσθαι 4 D101
τοῦ ὁράματος, διστάζων δὲ ἔτι αἰδοῖ κατείχετο. παραλαμβάνει γοῦν τοῦτον ἔνδον καὶ ἀποκλείσας τὴν θύραν ὕδωρ τε λαβὼν εἰς τὴν χεῖρα καὶ σφραγίσας τὸ ὕδωρ, ἐρράντισεν ἐπὶ τὸν ἐμμανῆ ἄνθρωπον φήσας
»ἐν ὀνόματι Ἰησοῦ τοῦ Ναζωραίου τοῦ σταυρωθέντος ἔξελθε ἀπ᾽ αὐτοῦ τὸ δαιμόνιον καὶ ὑγιὴς γένηται«. ὁ δὲ ἄνθρωπος ἀνακράξας 5
μέγα καὶ χαμαὶ πεσών, ἀφρίσας πολλὰ καὶ σπαραχθεὶς ἔμεινεν πολλὴν ὥραν ἀκίνητος, Ἰώσηπος δὲ ὑπενόησε τὸν ἄνθρωπον τεθνάναι. ὁ δὲ 6
μετὰ ὥραν διατριψάμενος τὸ μέτωπον ἀνέστη καὶ ἀναστὰς καὶ θεασάμενος τὴν ἰδίαν γύμνωσιν ἑαυτὸν ἔκρυπτεν καὶ τὰς χεῖρας ἐπὶ τῇ αἰσχύνῃ ἐπετίθει, μηκέτι φέρων ἰδεῖν τὴν ἰδίαν γύμνωσιν. ἱμάτιον 7
δὲ παρ᾽ αὐτοῦ τοῦ Ἰωσήπου ἐξ ὧν εἶχεν ἐνδυθείς, εἰς κατάστασιν συνέσεως καὶ σωφρονισμοῦ ἐλθὼν τῷ τε ἀνδρὶ πολλὰ εὐχαριστήσας καὶ θεῷ, γνοὺς ὅτι δι᾽ αὐτοῦ ἔτυχε τῆς σωτηρίας, ἐν τῇ πόλει διε-
φήμιζε τὸν ἄνδρα, καὶ γνωστὸν ἐγένετο τοῖς ἐκεῖσε Ἰουδαίοις τοῦτο τὸ σημεῖον. θρύλλος δὲ πολὺς ἠκολούθησεν ἐν τῇ πόλει λεγόντων 8
ὅτι Ἰώσηπος τὰ γαζοφυλάκια ἀνοίξας καὶ εὑρὼν γεγραμμένον τὸ ὄνομα τοῦ θεοῦ καὶ ἀναγνούς, σημεῖα μεγάλα ἐργάζεται. ἦν δὲ ἀληθὲς τὸ ὑπ᾽ αὐτῶν λεγόμενον, οὐχ ὡς δὲ αὐτοὶ ὑπενόουν. | ἔτι δὲ 9 Ö258

20 vgl. Act. 3, 6 — **21 ff** vgl. Mark. 9, 20. 26 — **32 f** vgl. Heitmüller, Im Namen Jesu S. 135 ff

V M

3 [μοι] * **5** νόσσω M **5 f** πρεσβυτέρου V **9** νόσσου M **13** με < V
15 διερ̊ήγνυεν, ρ drüber V corr **19** ἐρ̊άντισεν, ρ drüber V corr ἐράντισεν M
24 μέτωπον *, vgl. haer. 69, 59, 2] πρόσωπον V M **31** θρύλ///ος, λ ausradiert V corr

ἐπέμενεν ὁ Ἰώσηπος σκληρυνόμενος τῇ καρδίᾳ. ἀλλὰ ὁ φιλάνθρωπος θεός, προφάσεις ἀεὶ ἐνεργῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἀγαθάς, ταύτας παρέχει τοῖς εἰς ζωὴν καταξιουμένοις ἀνθρώποις.

11. Συμβέβηκε γὰρ αὐτῷ τῷ Ἰωσήπῳ μετὰ τὸ ἁδρυνθῆναι Ἰούδαν 11, 1
τὸν πατριάρχην, ὃν προείπαμεν (τάχα γὰρ οὕτως ἐλέγετο), ἀμοιβῆς ἕνεκα γέρας τῷ Ἰωσήπῳ τῆς ἀποστολῆς δοῦναι τὴν ἐπικαρπίαν. καὶ 2
μετ' ἐπιστολῶν οὗτος ἀποστέλλεται εἰς τὴν Κιλίκων γῆν· ὃς ἀνελθὼν
ἐκεῖσε ἀπὸ ἑκάστης πόλεως τῆς Κιλικίας τὰ | ἐπιδέκατα | καὶ τὰς D102 P135
ἀπαρχὰς παρὰ τῶν ἐν τῇ ἐπαρχίᾳ Ἰουδαίων εἰσέπραττεν. ἐν τούτῳ 3
δὲ τῷ καιρῷ κατάγεται πλησιαίτερον τῆς ἐκκλησίας, οὐκ οἶδ' εἰπεῖν ἐν ποίᾳ πόλει. φιλ⟨ι⟩οῦται δὲ τῷ ἐκεῖσε ἐπισκόπῳ, † ὃς λεληθότως ἤτησε παρ' αὐτοῦ τὰ εὐαγγέλια καὶ ἀνέγνω. ἐπεὶ οὖν οἷα ἀπόστολος 4
(οὕτως γὰρ παρ' αὐτοῖς ὡς ἔφην τὸ ἀξίωμα καλεῖται), ἐμβριθέστατός ⟨τε ὢν⟩ καὶ καθαρεύων δῆθεν, τὰ εἰς κατάστασιν εὐνομίας οὗτος διετέλει προβαλλόμενος, πολλοὺς τῶν κατασταθέντων ἀρχισυναγώγων καὶ ἱερέων καὶ πρεσβυτέρων καὶ ἀζανιτῶν (τῶν παρ' αὐτοῖς διακόνων ἑρμηνευομένων ἢ ὑπηρετῶν) καθαιρῶν τε καὶ μετακινῶν τοῦ ἀξιώματος, ὑπὸ πολλῶν ἐνεκοτεῖτο, οἵτινες ὥσπερ ἀμύνασθαι αὐτὸν πειρώμενοι πολυπραγμονεῖν τοῦτον καὶ ἰχνηλατεῖν τὰ παρ' αὐτοῦ γινόμενα οὐ μικρὸν ἐσπούδαζον. διὰ τοιαύτην δὲ αἰτίαν πολυπραγ- 5
μονήσαντες ἀθρόως εἰσέφρησαν οἴκαδε εἰς τὸ αὐτοῦ ἐφέστιον καὶ καταλαμβάνουσιν αὐτὸν τὰ εὐαγγέλια διερχόμενον, τήν τε βίβλον κατέχουσι τὸν δὲ ἄνδρα ἁρπάζουσι, σύροντες χαμαὶ καὶ βοῶντες, καὶ αἰκίας ἐπιφέροντες οὐ τὰς τυχούσας ἀπάγουσι μὲν εἰς τὴν συναγωγὴν καὶ μαστίζουσι τοῦτον κατὰ τὸν νόμον. καὶ οὗτος αὐτῷ πρῶτος 6
ἀγὼν γίνεται· ἐπέστη δὲ ὁ ἐπίσκοπος τῆς πόλεως καὶ ἀφείλετο αὐτόν. ἄλλοτε δὲ καταλαμβάνουσιν αὐτὸν ἐν ὁδοιπορίᾳ τινί, ὡς ἡμῖν ὑφηγήσατο, καὶ ῥίπτουσιν αὐτὸν εἰς Κύδνον τὸν ποταμόν. τῷ δὲ ῥεύματι αὐτὸν ἁφαρπαχθέντα * ἐτόπασαν μή πη ἄρα ὅλωλεν ὑπο-
βρύχιος γενόμενος τοῖς ὕδασι καὶ ἔχαιρον ἐπὶ τούτῳ. ὁ δὲ μικρῷ 7

16 über die ἀζανῖται vgl. Schürer, Gesch. d. jüd. Volkes II⁴ 515

V M

1 ὁ < V **2** ἐνεργῶν getilgt, dafür am Rande διδοὺς σωτηρίας V corr **4** αὐτῷ τῷ Ἰωσήπῳ *] αὐτὸν τὸν Ἰώσηπον V M **7** lies ἀπελθών? * **9** ἔπραττεν M **11** φιλ⟨ι⟩οῦται * | † ὃς] lies καὶ oder etwa ⟨καὶ πρὸς αὐτὸν γενόμεν⟩ος * | λεληθότως M **14** ⟨τε ὢν⟩ * | οὕτως V **15** διετέλει *] ἐπιτελεῖν V ἐπετέλει M | κακῶν hinter τῶν am Rande nachgetragen V corr < M **22** τε < M **23** δὲ Ausgg.] τε V M **25** vor κατὰ + καὶ, dafür καὶ vor οὗτος < V **29** ἁφαρπαγ///έντα, γ statt χθ V corr ἀπαρχθέντα M | * ⟨ὁρῶντες⟩ * | μή πη ἄρα ὅλωλεν] μὴ παραπόλωλεν M **30** γινόμενος M

ὕστερον λουτροῦ ἁγίου καταξιοῦται (ἐσώθη γάρ), ἄνεισι δὲ ἐπὶ τὸ κομιτάτον καὶ βασιλεῖ Κωνσταντίνῳ φιλιοῦται καὶ ἀνέθετο αὐτῷ τὰ καθ' ἑαυτὸν ἅπαντα, ὡς ἦν τῶν κατ' Ἰουδαίους ἐξοχωτάτης ἀξίας καὶ ὡς αἱ θεοπτίαι αὐτῷ πάντῃ ἐπεφαίνοντο, τοῦ κυρίου αὐτὸν προσ-
5 καλουμένου εἰς τὴν | ἁγίαν κλῆσιν καὶ σωτηρίαν τῆς κατ' αὐτὸν D103
πίστεώς τε καὶ γνώσεως. ὁ δὲ ἀγαθὸς βασιλεύς, δοῦλος ὢν Χριστοῦ 8
ἐν ἀληθείᾳ καὶ τὸν κατὰ θεὸν ζῆλον ἐν βασιλεῦσι μετὰ Δαυὶδ καὶ Ἐζεκίαν καὶ Ἰωσίαν κεκτημένος, γέρας αὐτῷ δίδωσιν, | ὡς ἤδη προεῖ- Ö260
πον, ἀξιώματος ἐν τῇ αὐτοῦ βασιλείᾳ. κόμητα γὰρ αὐτὸν κατέστησε, 9
10 φήσας αὐτῷ αἰτεῖν πάλιν ὃ βούλεται· | ὁ δὲ οὐδὲν ἠτήσατο πλὴν P136
τοῦτο μέγιστον χάρισμα τυχεῖν παρὰ τοῦ βασιλέως τὸ ἐπιτραπῆναι [καὶ] διὰ προστάγματος βασιλικοῦ οἰκοδομῆσαι Χριστοῦ ἐκκλησίας ἐν ταῖς πόλεσι καὶ κώμαις τῶν Ἰουδαίων, ἔνθα τις οὐδέποτε ἴσχυσεν προστήσασθαι ἐκκλησίας διὰ τὸ μήτε Ἕλληνα μήτε Σαμαρείτην μήτε
15 Χριστιανὸν μέσον αὐτῶν εἶναι. τοῦτο δὲ μάλιστα ἐν Τιβεριάδι καὶ 10
ἐν Διοκαισαρείᾳ τῇ καὶ Σεπφουρὶν καὶ ἐν Ναζαρὲτ καὶ ἐν Καπερναοὺμ φυλάσσεται ⟨τὸ⟩ παρ' αὐτοῖς [τοῦ] μὴ εἶναι ἀλλόεθνον.

12. Λαβὼν δὲ ὁ Ἰώσηπος τὰ γράμματα καὶ τὴν ἐξουσίαν μετὰ 12, 1
τοῦ ἀξιώματος ἐπὶ τὴν Τιβεριάδα ἦκεν, ἔχων καὶ ἐπιστολὰς ἀπὸ τῶν
20 βασιλικῶν ἀναλίσκειν, ἀλλὰ καὶ αὐτὸς ὀψωνίοις παρὰ τοῦ βασιλέως τετιμημένος. ἄρχεται γοῦν ἐν Τιβεριάδι κτίζειν. ναὸς δὲ μέγιστος 2
ἐν τῇ πόλει προϋπῆρχε· τάχα, οἶμαι, Ἀδριανεῖον τοῦτο ἐκάλουν· ἀτελὲς δὲ τοῦτο τὸ Ἀδριανεῖον διαμεῖναν τάχα οἱ πολῖται εἰς δημόσιον λουτρὸν ἐπειρῶντο ἐπισκευάσαι. ὅπερ εὑρὼν ὁ Ἰώσηπος ἐκ 3
25 τούτου τὴν πρόφασιν ἔσχε, καὶ ὡς ἤδη τετραχῆ τοὺς τοίχους διὰ τετραπόδων λίθων εὗρεν ἕως ὕψους τινὸς ἀνεγηγερμένους, ἐντεῦθεν ἄρχεται ποιεῖσθαι τῆς ἐκκλησίας τὴν ἐπιμέλειαν. ἀσβέστου δὲ ἦν 4
χρεία καὶ τῆς ἄλλης ὕλης. καμίνους τοίνυν ἔξωθεν τῆς πόλεως πολλὰς προσέταξε γενέσθαι, τάχα τὸν ἀριθμὸν ἑπτά (φούρνακας δὲ

V M

2 *φιλοῦται* M **3** *καθ'*] *κατὰ* M **4** *παντὶ* M | *τοῦ* < V **5** *ἁγίαν* angeflickt V^{corr} | *σωτήριον* M **9** *κόμιτα* V M **12** [*καὶ*] * | *χ̄ω̄*, *ω̄* aus *οῦ* V^{corr} **14** *προστήσασθαι*, dazu am Rande ⁊ *οἰκοδομῆσαι* V^{corr} **16** *Σε///πφουρὶν*, 1 Buchstabe ausradiert V | *Ναζαρὲθ* V | *Καφαρναοὺμ* V M **17** ⟨*τὸ*⟩ * | [*τοῦ*] * | hinter *εἶναι* am Rande nachgetragen *τινα* V^{corr} < M | *ἄλλον ἔθνους* aus *ἀλλόεθνον* V^{corr} **18** *ὁ* < M **19** *Τιβερειάδα* V | *τῶν* < M **21** *Τιβερειάδι*, *ει* aus *ι* V^{corr} **22** *προυπῆρχεν*, *προ* oben drüber V^{corr} | *ἀδριανόν*, *ει* oben drüber V^{corr} *ἀδριάνιον* M **23** *διαμένον* V **25** *τετραχῆ τοὺς τοίχους*] *τετραπήτους λίθους* V **27 f** *ποιεῖσθαι — ὕλης* < M **28** *καμίνους*] *ποιμίνους* M

ἐπιχωρίως ταύτας καλοῦσιν). οἱ δὲ δεινοὶ καὶ πρὸς πᾶν ἐπιχείρημα
εὔτολμοι Ἰουδαῖοι τῆς παρ' αὐτοῖς ἀεὶ | γινομένης μαγγανείας οὐκ D104
ἀπέσχοντο. μαγείαις γάρ τισι καὶ περιεργίαις τὸ πῦρ καταδῆσαι οἱ
γεννάδαι Ἰουδαῖοι ἐπετρίβησαν, ἀλλ' οὐκ εἰς τέλος ἴσχυσαν. ἤργει 5
γοῦν τὸ πῦρ καὶ οὐκ ἔπραττεν ἀλλὰ τῆς ἰδίας ὡς εἰπεῖν φύσεως
ἐκτὸς ἐγένετο. ὡς δὲ οἱ τὴν καυστικὴν ὕλην παραβάλλειν τῷ πυρὶ
ἐπιτεταγμένοι (φημὶ δὲ ῥῶπας εἴτ' οὖν φρύγανα) τῷ Ἰωσήπῳ τὸ
πραχθὲν ἐσήμαναν, δηχθεὶς τὴν φρένα ὁ ἀνὴρ καὶ ζήλῳ ἀρθεὶς τῷ
πρὸς τὸν κύριον ἔδραμεν ἔξω τῆς πόλεως καὶ ὕδωρ κελεύσας ἐνεχθῆ- 6
ναι ἐν ἀγγείῳ, ἐν καψάκῃ φημί (κακούβιον δὲ τοῦτο οἱ ἐπιχώριοι
καλοῦσι), λαβών ⟨τε⟩ τὸ αὐτὸ ἄγγος τοῦ ὕδατος ἐνώπιον πάντων
(συνηθροίσθη δὲ πλῆθος Ἰουδαίων ἐπὶ τὴν θέαν, καὶ τὸ ἀποβησό-
μενον ἰδεῖν σπουδάζοντες καὶ ὅ τι ἐπιχειρήσειεν Ἰώσηπος πράττειν) | P137
μεγάλῃ τῇ φωνῇ ὁ ἀνὴρ σταυροῦ σφραγῖδα ἐπιθεὶς τῷ ἀγγείῳ διὰ
τοῦ ἰδίου δακτύλου καὶ ἐπικαλεσάμενος τὸ ὄνομα Ἰησοῦ εἶπεν οὕτως
»ἐν ὀνόματι Ἰησοῦ τοῦ Ναζωραίου, οὗ ἐσταύρωσαν οἱ πατέρες μου 7
καὶ τούτων πάντων τῶν περιεστώτων, γένηται δύναμις ἐν τούτῳ
τῷ ὕδατι εἰς ἀθέτησιν πάσης φαρμακείας καὶ μαγείας ἧς οὗτοι ἔπρα-
ξαν καὶ εἰς ἐνέργειαν δυνάμεως τῷ πυρὶ εἰς τὸ ἐπιτε|λεσθῆναι τὸν Ö262
οἶκον κυρίου«. καὶ οὕτως λαμβάνει τὸ ὕδωρ ἐν τῇ χειρὶ καὶ ῥαίνει 8
ἑκάστῳ φούρνακι ἐκ τοῦ ὕδατος. καὶ ἀνελύετο μὲν τὰ φάρμακα, τὸ
πῦρ δὲ ἐνώπιον πάντων ἀνεβλύστανεν. οἱ δὲ παρόντες ὄχλοι κραυ-
γάσαντες »εἷς θεός, ὁ βοηθῶν τοῖς Χριστιανοῖς« ἀνεχώρησαν.
πολλάκις δὲ κακούντων τὸν ἄνδρα ἐκείνων, εἰς ὕστερον μέρος τι τοῦ 9
ναοῦ ἐν Τιβεριάδι οἰκοδομήσας καὶ μικρὰν ἐκκλησίαν ἀποτελέσας οὕ-
τως ἐκεῖθεν ἀνεχώρησεν, ἐν Σκυθοπόλει δὲ ἐλθὼν κατέμεινεν. ἐν
Διοκαισαρείᾳ δὲ καὶ ἄλλαις τισὶ τελείως ᾠκοδόμησε. ταῦτα δὲ 10
πραχθέντα καὶ ἐνταῦθά μοι ἐπιμνησθέντα ἕνεκεν | τῆς τῶν βίβλων D105
ἑρμηνείας, πῶς ἀπὸ Ἑλληνίδος τὸ εὐαγγέλιον τὸ κατὰ Ἰωάννην εἰς
Ἑβραΐδα μετέπεσε καὶ αἱ Πράξεις τῶν ἀποστόλων, ἕως ὧδε τὰ τῆς
ἱστορίας καὶ ὑφηγήσεως ἐχέτω.

13. Ἐπάνειμι δὲ τὴν κατὰ Ἐβίωνος ποιούμενος ἀκολουθίαν· διὰ 13, 1
γὰρ τὸ κατὰ Ματθαῖον εὐαγγέλιον προϊὼν ὁ λόγος τὴν ἀκολουθίαν

V M

2 τῆς, ῆς auf Rasur u. nachher Rasur v. 4—5 Buchstaben V | γενομέ-
νης M | μαγκανείας M **4** γεννᾶδες M **6** ἐγίνετο M **7** ῥῶπας εἴτουν]
οὐ πᾶσι τοῦν M **8** φρέναν M **10** κα//ψάκη, μ ausradiert V^{corr} καμψάκη M
11 ⟨τε⟩ * **14** ἄγγει V **21f** vor τὸ πῦρ ein καὶ ausradiert V **22** ἀνε-
βλύσθανεν V **27** ἀκολουθίαν] ἱστορίαν M

τῆς εἰς ἡμᾶς ἐλθούσης γνώσεως παραθέσθαι ἠνάγκασεν. ἐν τῷ 2
γοῦν παρ' αὐτοῖς εὐαγγελίῳ κατὰ Ματθαῖον ὀνομαζομένῳ, οὐχ ὅλῳ
δὲ πληρεστάτῳ, ἀλλὰ νενοθευμένῳ καὶ ἠκρωτηριασμένῳ (Ἑβραϊκὸν
δὲ τοῦτο καλοῦσιν) ἐμφέρεται ὅτι »ἐγένετό τις ἀνὴρ ὀνόματι Ἰησοῦς,
καὶ αὐτὸς ὡς ἐτῶν τριάκοντα, ὃς ἐξελέξατο ἡμᾶς. καὶ ἐλθὼν εἰς Καφαρ-
ναοὺμ εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος τοῦ ἐπικληθέντος Πέτρου καὶ
ἀνοίξας τὸ στόμα αὐτοῦ εἶπεν· παρερχόμενος παρὰ τὴν λίμνην Τιβεριάδος 3
ἐξελεξάμην Ἰωάννην καὶ Ἰάκωβον, υἱοὺς Ζεβεδαίου, καὶ Σίμωνα καὶ
Ἀνδρέαν καὶ * Θαδδαῖον καὶ Σίμωνα τὸν ζηλωτὴν καὶ Ἰούδαν τὸν Ἰσκα-
ριώτην, καὶ σὲ τὸν Ματθαῖον καθεζόμενον ἐπὶ τοῦ τελωνίου ἐκάλεσα καὶ

1—4 die Wortstellung verbietet es keineswegs, *παρ' αὐτοῖς* zu *ὀνομαζομένῳ* zu ziehen u. zu übersetzen »*in dem bei ihnen sogenannten Matthäusevangelium*«, vgl. die Beispiele im Index (gegen Zahn, Forsch. I 24 A. 1 Gesch. d. neutest. Kan. II 2, 729). Der Titel Matthäusevangelium taucht neben dem von Origenes (hom. I in Luc. bei Zahn, Gesch. d. neutest. Kan. II 2, 625. 627) bezeugten »Evangelium der Zwölf« auch bei Hieronymus auf c. Pelag. III 2; Migne 23, 570 B *secundum apostolos sive ut plerique autumant iuxta Matthaeum* (beachte auch unten c. 23, 1; S. 364, 19). — Der von Epiph. nachgebrachte Titel *Ἑβραϊκὸν* (vgl. das *ipsum Hebraicum* des Hieronymus vir. ill. 3) ist wohl nur Folge des bei S. 337, 9 festgestellten Mißverständnisses, daß das Ebionitenevangelium mit dem Hebräerevangelium zusammenfalle u. auf den hebräischen Matthäus zurückgehe. Übrigens ist nicht sicher, ob *οἱ Ἐβιωναῖοι* zu *καλοῦσιν* zu ergänzen ist; das Subjekt kann auch unbestimmt = *man* sein. — Der sprachlich unanstößige Ausdruck *οὐχ ὅλῳ δὲ πληρεστάτῳ* (= *nicht in allem ganz vollständig*) blickt zurück auf haer. 29, 9, 4 u. 28, 5, 1; zur Sache vgl. c. 14; S. 351, 12ff — **4ff** vgl. Zahn, Gesch. d. neutest. Kan. II 724ff — **5** vgl. Luk. 3, 23 — **5f** vgl. Matth. 8, 14. 5; 4, 18 — **7** vgl. Matth. 5, 2 — Luk. 5, 1 Matth. 4, 18—22 — **8ff** vgl. Matth. 10, 3ff — **10** vgl. Matth. 9, 9 u. beachte, daß auch in dem Apostelverzeichnis clement. Recogn. I 55ff Matthäus voransteht

V M

2f die Dative *ὅλῳ, πληρεστάτῳ, νενοθευμένῳ, ἠκρωτηριασμένῳ* aus Genitiven hergestellt V^{corr} *ὅλου, πληρεστάτου* usw. M **9** * 4 Namen sind ausgefallen. Das aus clement. Recogn. I 55ff zu erhebende Apostelverzeichnis schließt sich an Matth. 10, 3f an; nur, daß statt Judas Ischarioth *Barnabas qui et Matthias* eingesetzt u. Thaddäus *Lebbäus* (übrigens schwankt hier bei Matth. selbst die Lesart) genannt wird. Darnach wäre zu ergänzen ⟨*Φίλιππον καὶ Βαρθολομαῖον, Ἰάκωβον Ἁλφαίου καὶ Θωμᾶν*⟩ * **9f** *καὶ Ἰούδαν τὸν Ἰσκαριώτην* < M

ἠκολούθησάς μοι. ὑμᾶς οὖν βούλομαι εἶναι δεκαδύο ἀποστόλους εἰς μαρτύριον τοῦ Ἰσραήλ« καί »ἐγένετο Ἰωάννης βαπτίζων, καὶ ἐξῆλθον πρὸς 4
αὐτὸν Φαρισαῖοι | καὶ ἐβαπτίσθησαν καὶ πᾶσα Ἱεροσόλυμα. καὶ εἶχεν ὁ P138
Ἰωάννης ἔνδυμα ἀπὸ τριχῶν καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν
ὀσφὺν αὐτοῦ. καὶ τὸ βρῶμα αὐτοῦ, *φησί*, μέλι ἄγριον, οὗ ἡ γεῦσις ἡ τοῦ
μάννα, ὡς ἐγκρὶς ἐν ἐλαίῳ«· *ἵνα δῆθεν μεταστρέψωσι τὸν τῆς ἀληθείας* 5
λόγον εἰς ψεῦδος καὶ ἀντὶ ἀκρίδων ποιήσωσιν ἐγκρίδα ἐν μέλιτι. ἡ δὲ 6
ἀρχὴ τοῦ παρ' αὐτοῖς εὐαγγελίου ἔχει ὅτι »ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρῴδου βασιλέως τῆς Ἰουδαίας ⟨ἐπὶ ἀρχιερέως Καϊάφα⟩, ἦλθέν ⟨τις⟩ Ἰωάννης
⟨ὀνόματι⟩ βαπτίζων βάπτισμα μετανοίας ἐν τῷ Ἰορδάνῃ ποταμῷ, ὃς ἐλέγετο εἶναι ἐκ γένους Ἀαρὼν τοῦ ἱερέως, | παῖς Ζαχαρίου καὶ Ἐλισάβετ, D106
καὶ ἐξήρχοντο πρὸς αὐτὸν πάντες«. *καὶ μετὰ τὸ εἰπεῖν πολλὰ ἐπιφέρει* 7
ὅτι »τοῦ λαοῦ βαπτισθέντος ἦλθεν καὶ Ἰησοῦς καὶ ἐβαπτίσθη ὑπὸ τοῦ Ἰωάννου. καὶ ὡς ἀνῆλθεν ἀπὸ τοῦ ὕδατος, ἠνοίγησαν οἱ οὐρανοὶ καὶ εἶδεν
τὸ πνεῦμα τὸ ἅγιον ἐν εἴδει | περιστερᾶς, κατελθούσης καὶ εἰσελθούσης Ö264
εἰς αὐτόν. καὶ φωνὴ ἐκ τοῦ οὐρανοῦ λέγουσα· σύ μου εἶ ὁ υἱὸς ὁ ἀγαπητός, ἐν σοὶ ηὐδόκησα, καὶ πάλιν· ἐγὼ σήμερον γεγέννηκά σε. καὶ

1 vgl. Mark. 3, 14; vgl. clement. Recogn. I 40 *nos ergo primos elegit duodecim sibi credentes quos apostolos nominavit* u. praedic. Petri bei Clemens Al. strom. VI 48, 2; II 456, 5ff Stählin *ἐξελεξάμην ὑμᾶς δώδεκα, μαθητὰς κρίνας ἀξίους ἐμοῦ, οὓς ὁ κύριος ἠθέλησεν, καὶ ἀποστόλους πιστοὺς ἡγησάμενος εἶναι πέμπων ἐπὶ τὸν κόσμον εὐαγγελίσασθαι τοὺς κατὰ τὴν οἰκουμένην ἀνθρώπους* — **1f** vgl. Matth. 10, 18 — **2** vgl. Matth. 3, 5 — **2f** vgl. Matth. 3, 5 — **3—5** vgl. Matth. 3, 4 — **5f** vgl. Num. 11, 8; dazu clement. Recogn. I 35 *manna . . . quae species cibi per virtutem dei in quem quisque desiderasset verteretur saporem* — **7** vgl. Exod. 16, 31 — **8—10** wiederholt S. 351, 14—16 — **8f** vgl. Luk. 1, 5; zu *ἐπὶ ἀρχιερέως Καϊάφα* vgl. die Rolle, die Kaiphas in den clement. Recogn. spielt I 44. 53ff. 68. 71 — **9f** vgl. Luk. 3, 3 Act. 19, 4 Matth. 3, 5 — **11** vgl. Luk. 1, 5 — **12** vgl. Matth. 3, 5 — **13** vgl. Matth. 3, 13 — **14ff** vgl. Matth. 3, 16 — **16f** vgl. Luk. 3, 22 (Matth. 3, 17) — **17** vgl. Luk. 3, 22 nach cod. D Justin dial. c. 88 (u. anderen Zeugen s. Resch, Agrapha² S. 222f) — **17f** Justin dial. c. 88 *κατελθόντος τοῦ Ἰησοῦ ἐπὶ τῷ Ἰορδάνῃ καὶ πῦρ ἀνήφθη ἐν τῷ Ἰορδάνῃ* Tatian nach Ephrem Syrus praedic. Pauli nach Ps. Cypr. de rebapt. 17; III 90, 24 Hartel *cum baptizaretur, ignem super aquam esse visum* cod. Sangerm. u. Verc. *et cum baptizaretur, lumen magnum fulgebat* (*ingens circumfulsit* Verc.) *de aqua ita ut timerent omnes qui advenerant*

V M

1 *μοι*] *μου* M **3** *ὁ* < M **5** *ἡ*²] *ἦν* V **6f** *τῆς ἀληθείας τὸν λόγον* M **9** vor *βασιλέως* + *τοῦ* M | ⟨*ἐπὶ ἀρχιερέως Καϊάφα*⟩ nach S. 351, 15 **9f** ⟨*τις*⟩ . . . ⟨*ὀνόματι*⟩ nach S. 351, 15f **16** *εἶ ὁ υἱός μου* M | *ὁ*² hineingeflickt Vcorr

εὐθὺς περιέλαμψε τὸν τόπον φῶς μέγα. ὃ ἰδών, *φησίν*, ὁ Ἰωάννης λέγει αὐτῷ· σὺ τίς εἶ, κύριε; καὶ πάλιν φωνὴ ἐξ οὐρανοῦ πρὸς αὐτόν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐφ' ὃν ηὐδόκησα. καὶ τότε, *φησίν*, ὁ Ἰωάννης προσπεσὼν αὐτῷ ἔλεγεν· δέομαί σου, κύριε, σύ με βάπτισον. ὁ δὲ ἐκώλυσεν αὐτὸν λέγων· ἄφες, ὅτι οὕτως ἐστὶ πρέπον πληρωθῆναι πάντα«.

14. *Ὅρα δὲ τὴν παρ' αὐτοῖς παραπεποιημένην πανταχόθεν διδασκαλίαν, πῶς πάντα χωλά, λοξὰ καὶ οὐδεμίαν ὀρθότητα ἔχοντα. ὁ μὲν γὰρ Κήρινθος καὶ Καρποκρᾶς, τῷ αὐτῷ χρώμενοι δῆθεν παρ' αὐτοῖς εὐαγγελίῳ *, ἀπὸ τῆς ἀρχῆς τοῦ κατὰ Ματθαῖον εὐαγγελίου διὰ τῆς γενεαλογίας βούλονται παριστᾶν ἐκ σπέρματος Ἰωσὴφ καὶ Μαρίας εἶναι τὸν Χριστόν. οὗτοι δὲ ἄλλα τινὰ διανοοῦνται. παρακόψαντες γὰρ τὰς παρὰ τῷ Ματθαίῳ γενεαλογίας ἄρχονται τὴν ἀρχὴν ποιεῖσθαι ὡς προείπομεν, λέγοντες ὅτι »ἐγένετο« *φησίν* »ἐν ταῖς ἡμέραις Ἡρῴδου βασιλέως τῆς Ἰουδαίας ἐπὶ ἀρχιερέως Καϊάφα, ἦλθέν τις Ἰωάννης ὀνόματι βαπτίζων βάπτισμα μετανοίας ἐν τῷ Ἰορδάνῃ ποταμῷ« καὶ τὰ ἑξῆς· ἐπειδὴ γὰρ βούλονται τὸν μὲν Ἰησοῦν ὄντως ἄνθρωπον εἶναι, ὡς προεῖπον, | Χριστὸν δὲ ἐν αὐτῷ γεγενῆσθαι τὸν ἐν εἴδει περιστερᾶς καταβεβηκότα (καθάπερ ἤδη καὶ παρ' ἄλλαις αἱρέσεσιν εὑρήκαμεν) συναφθέντα ⟨τε⟩ αὐτῷ, καὶ εἶναι | αὐτὸν τὸν Χριστὸν * ἐκ σπέρματος ἀνδρὸς καὶ γυναικὸς γεγεννημένον. πάλιν δὲ ἀρνοῦνται εἶναι αὐτὸν ἄνθρωπον, δῆθεν ἀπὸ τοῦ λόγου οὗ εἴρηκεν ὁ σωτὴρ ἐν τῷ ἀναγγελῆναι αὐτῷ ὅτι »ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασιν«, ὅτι »τίς μού ἐστι μήτηρ καὶ ἀδελφοί; καὶ ἐκτείνας τὴν χεῖρα ἐπὶ τοὺς μαθητὰς ἔφη· οὗτοί εἰσιν οἱ ἀδελφοί μου καὶ ἡ μήτηρ καὶ ἀδελφαὶ οἱ ποιοῦντες τὰ θελήματα τοῦ πατρός μου«. ἐν-* 14, 1 2 3 4 P139 5 D107 6

2f vgl. Matth. 3, 17 — **3f** vgl. Matth. 3, 14f — **9** vgl. haer. 28, 5, 1; S. 317, 10ff — **14—16** vgl. S. 350, 8—10 — **19** vgl. haer. 28, 1, 5; S. 314, 1ff — **22** ob Epiph. das Folgende wörtlich aus dem Ebionitenev. herübernimmt, ist angesichts des *δῆθεν* unsicher — **23** Matth. 12, 47ff

V M

1 δ Tischendorf] *ὃν* V M **2** *κύριε* < M **7f** die Reihenfolge *πανταχόθεν διδασκαλίαν* durch Zahlen hergestellt V^{corr} *διδασκαλίαν πανταχόθεν* M **9** *χρόμενοι* M **10** * ⟨*κατὰ Ματθαῖον λεγομένῳ*⟩ *, vgl. S. 349, 2 **15** *ἐπὶ ἀρχιερέως Καϊάφα* < S. 350, 9 **15 u. 16** *τις* u. *ὀνόματι* < S. 350, 9 u. 10 **17f** *εἶναι ἄνθρωπον* M **18** *γεγεννῆσθαι* V **20** *εὑρήκαμεν* *] *εὑρίσκομεν* V M | ⟨*τε*⟩ * | * ergänze etwa nach haer. 28, 1, 5 ⟨*ἐκ τοῦ ἄνω θεοῦ, τὸν δὲ Ἰησοῦν*⟩ * **25** *τὴν χεῖρα* hinter *τοὺς μαθητὰς* V **26** *ἀδελφαὶ*] *ἀδελφοὶ* V

τεῦθεν, ὡς ἔφην, τῆς πάσης κυβείας μεμεστωμένος ὁ Ἐβίων διὰ πολλῶν μορφῶν ὑποφαίνει ἑαυτόν, ὡς εἶναι τεράστιον κατὰ τὰ ἄνω μοι προδεδηλωμένα.

15. Χρῶνται δὲ καὶ ἄλλαις τισὶ βίβλοις, δῆθεν ταῖς Περιόδοις **15, 1** καλουμέναις Πέτρου ταῖς διὰ Κλήμεντος γραφείσαις, νοθεύσαντες μὲν τὰ ἐν αὐταῖς, ὀλίγα δὲ ἀληθινὰ ἐάσαντες, ὡς αὐτὸς Κλήμης αὐτοὺς **2** κατὰ πάντα ἐλέγχει ἀφ' ὧν ἔγραψεν ἐπιστολῶν ἐγκυκλίων τῶν ἐν ταῖς ἁγίαις ἐκκλησίαις ἀναγινωσκομένων, ὅτι ἄλλον ἔχει χαρακτῆρα ἡ αὐτοῦ πίστις καὶ ὁ λόγος παρὰ τὰ ὑπὸ τούτων εἰς ὄνομα αὐτοῦ ἐν ταῖς Περιόδοις νενοθευμένα. αὐτὸς γὰρ παρθενίαν διδάσκει καὶ αὐτοὶ οὐ δέχονται· αὐτὸς ἐγκωμιάζει Ἠλίαν καὶ Δαυὶδ καὶ Σαμψών | Ö266 καὶ πάντας προφήτας, οὓς οὗτοι βδελύττονται. ἐν ταῖς οὖν Πε- **3** ριόδοις τὸ πᾶν εἰς ἑαυτοὺς μετήνεγκαν, καταψευσάμενοι Πέτρου κατὰ πολλοὺς τρόπους, ὡς αὐτοῦ καθ' ἡμέραν βαπτιζομένου ἁγνισμοῦ ἕνεκεν, καθάπερ καὶ οὗτοι· ἐμψύχων τε τὸν αὐτὸν ἀπέχεσθαι καὶ

2 vgl. S. 333, 6ff — **4ff** gemeint sind die Pseudoclementinen. Wenn Epiph. den Text der Ebioniten für verfälscht erklärt, so gebraucht er selbst eine katholische Bearbeitung; Bruchstücke einer solchen in den Sacra parallela, vgl. Holl, Fragmente vornicänischer Kirchenväter (TU N. F. V 2) S. 2ff — **7** gemeint sind wohl die pseudoclementinischen epp. ad virgines, vgl. I 4. 6f II 14f; S. 6, 1ff 46, 31ff Funk - Diekamp u. I 6, 5; S. 11, 5f II 9; S. 42, 11ff II 10; S. 43, 13ff — **10** Verwerfung der Jungfräulichkeit vgl. oben c. 2, 6; S. 334, 20ff — **11** Verwerfung des Elias usw. vgl. unten S. 357, 27ff u. S. 359, 5ff; auf David bezieht sich wohl clement. Hom. III 25; S. 43, 8ff Lagarde *διὸ καὶ ἡ τῶν ἐγγόνων προφητεία, μοιχῶν καὶ ψαλτηρίων γέμουσα λανθανόντως διὰ τῶν ἡδυπαθειῶν ὡς τοὺς πολέμους ἐγείρει* — **12** Verwerfung der Propheten vgl. clement. Hom. III 53; S. 51, 1ff Lagarde *καὶ πρὸς τούτοις ἐπὶ πλεῖον αὐτοὺς πεπλανημένους ἐλέγξαι θέλων τοὺς προφήτας παρ' ὧν δὴ μεμαθηκέναι ἐβεβαίουν, ἐπιθυμοῦντας ἀληθείας καὶ μὴ μεμαθηκότας τελευτήσαντας ἀπεφήνατο εἰπών· πολλοὶ προφῆται καὶ βασιλεῖς κτέ* (Matth. 13, 17); beachte auch wie in den clement. Recogn. I 38f die Geschichtserzählung sofort von Josua zu Jesus überspringt — **14** vgl. S. 334, 16ff u. clement. Hom. VIII 2; S. 86, 11 Lagarde X 1; S. 100, 25 XI 1; S. 108, 14 clement. Recogn. IV 3 V 36 VIII 1 — **15ff** vgl. clement. Hom. VIII 15; S. 90, 16ff Lagarde *ἐπὶ τὴν παρὰ φύσιν τῶν ζῴων βορὰν τρεπόμενοι, . . οἱ δ' ὑπὸ νόθον φύσεως τῷ καθαρῷ τῆς τροφῆς οὐκ ἀρεσκόμενοι μόνης τῆς τῶν αἱμάτων γεύσεως ἐγλίχοντο. διὸ καὶ πρῶτοι σαρκῶν ἐγεύσαντο* u. clement. Hom. XII 6; S. 122, 26 = clement. Recogn. VII 6 *ἄρτῳ μόνῳ καὶ ἐλαίαις χρῶμαι καὶ σπανίως λαχάνοις*

V M

2 *ὑποφαίνειεν αὐτὸν* M **9** *ὑπὸ* am Rande nachgetragen V corr

κρεῶν, ὡς καὶ αὐτοί, καὶ πάσης ἄλλης ἐδωδῆς τῆς ἀπὸ σαρκῶν πεποιημένης λέγουσιν, ἐπειδήπερ καὶ αὐτὸς Ἐβίων καὶ Ἐβιωνῖται παντελῶς τούτων ἀπέχονται. ὅταν δὲ ἐρωτήσῃς ἕνα τῶν αὐτῶν, τίνος **4**
ἕνεκεν ἐμψύχων οὐ μεταλαμβάνουσι, μὴ ἔχοντές τι διηγήσασθαι ἀποκρίνονται ἀσυνέτως καὶ λέγουσι· διὰ τὸ ἐκ συνουσίας καὶ ἐπιμιξίας
σωμάτων εἶναι αὐτὰ οὐ μεταλαμβάνομεν, ὡς εἶναι αὐτοὺς ὅλους τοὺς D108
ἀπὸ ἐπιμιξίας ἀνδρός τε καὶ γυναικὸς βδελυκτοὺς κατὰ τὰ ὑπὸ τοῦ στόματος αὐτῶν ληρωδῶς ἐξεμεθέντα.

16. *Βάπτισμα δὲ καὶ αὐτοὶ λαμβάνουσι χωρὶς ὧν καθ' ἡμέραν* **16, 1**
βαπτίζονται. μυστήρια δὲ δῆθεν τελοῦσι κατὰ μίμησιν τῶν ἁγίων
ἐν τῇ ἐκ|κλησίᾳ ἀπὸ ἐνιαυτοῦ εἰς ἐνιαυτὸν διὰ ἀζύμων καὶ τὸ ἄλλο P140
μέρος τοῦ μυστηρίου δι' ὕδατος μόνου. δύο δέ τινας, ὡς ἔφην, **2**
συνιστῶσιν ἐκ θεοῦ τεταγμένους, ἕνα μὲν τὸν Χριστὸν ἕνα δὲ τὸν διάβολον. καὶ τὸν μὲν Χριστὸν λέγουσι τοῦ μέλλοντος αἰῶνος εἰληφέναι τὸν κλῆρον, τὸν δὲ διάβολον τοῦτον πεπιστεῦσθαι τὸν αἰῶνα,
ἐκ προσταγῆς δῆθεν τοῦ παντοκράτορος κατὰ αἴτησιν ἑκατέρων αὐτῶν. καὶ τούτου ἕνεκα Ἰησοῦν γεγεννημένον ἐκ σπέρματος ἀνδρὸς **3**

11 etwas anders clement. Hom. *Διαμαρτυρία* c. 4; S. 5, 27 Lagarde *ἄρτου καὶ ἅλατος μετὰ τοῦ παραδιδόντος μεταλαβέτω* vgl. XIV 1; S. 141, 10 — Abendmahl mit Wasser vgl. haer. 42, 3, 3 (Marcion) haer. 46, 2, 3 (Tatian) haer. 47, 1, 7 (Enkratiten) haer. 61, 1, 2 (Apostoliker) — **12ff** vgl. clement. Hom. XX 2; S. 189, 31ff Lagarde *ὁ θεὸς δύο βασιλείας ὁρίσας καὶ δύο αἰῶνας συνεστήσατο, κρίνας τῷ πονηρῷ δεδόσθαι τὸν παρόντα κόσμον διὰ τὸ μικρόν τε αὐτὸν εἶναι καὶ παρέρχεσθαι ὀξέως, τῷ δὲ ἀγαθῷ δώσειν ὑπέσχετο τὸν μέλλοντα αἰῶνα, ἅτε δὴ μέγαν ὄντα καὶ ἀίδιον .... καὶ δύο βασιλεῖς ἐτάχθησαν, ὧν ὁ μὲν τοῦ παρόντος καὶ προσκαίρου κόσμου νόμῳ βασιλεύειν χειροτονεῖται, ὃς καὶ ἐπ' ὀλέθρῳ πονηρῶν χαίρειν ἐκράθη, ὁ δὲ ἕτερος καὶ αὐτὸς βασιλεὺς ὑπάρχων — τοῦ ἐσομένου αἰῶνος — στέργει πᾶσαν ἀνθρώπων φύσιν* III 19; S. 41, 17 VIII 21; S. 92, 2ff XV 7; S. 148, 21ff clement. Recogn. I 24 IX 3f — **17—S. 354, 5** vgl. clement. Recogn. I 45 *deus cum fecisset mundum, tanquam universitatis dominus singulis quibusque creaturis principes statuit ... statuit ergo angelis angelum principem et spiritibus spiritum, sideribus sidus .... hominibus hominem, qui est Christus Jesus. Christus autem dicitur eximio quodam religionis ritu ... causa autem huius appellationis haec est: quoniam quidem cum esset filius dei et initium omnium,*

V M

1 *αὐτοὶ*] *οὗτοι* V **3** *τούτων* hinter *ἀπέχονται* angeflickt V^{corr} | *ἐρωτήσῃ* M **5** *συνετῶς* M | *ἐπιμιξίας*] *ἐκσυμμίξεως* V, *ἐκσυμ* wieder durchgestrichen V^{corr} **7** *γυναικὸς* + ⟨*γεγεννημένους*⟩? * **9** *χωρὶς ὧν*, ergänze *βαπτισμάτων* **15** *πεπιστεῦθαι* M

λέγουσι καὶ ἐπιλεχθέντα καὶ οὕτω κατὰ ἐκλογὴν υἱὸν θεοῦ κληθέντα ἀπὸ τοῦ ἄνωθεν εἰς αὐτὸν ἥκοντος Χριστοῦ ἐν εἴδει περιστερᾶς. οὐ φάσκουσι δὲ ἐκ θεοῦ πατρὸς αὐτὸν γεγεννῆσθαι, ἀλλὰ κεκτίσθαι 4
ὡς ἕνα τῶν ἀρχαγγέλων [καὶ ἔτι περισσοτέρως], αὐτὸν δὲ κυριεύειν καὶ
5 *ἀγγέλων καὶ πάντων ⟨τῶν⟩ ὑπὸ τοῦ παντοκράτορος πεποιημένων, καὶ ἐλθόντα καὶ ὑφηγησάμενον *, ὡς τὸ παρ᾽ αὐτοῖς εὐαγγέλιον καλού-* 5
μενον περιέχει, ὅτι »ἦλθον καταλῦσαι τὰς θυσίας, καὶ ἐὰν μὴ παύσησθε τοῦ θύειν, οὐ παύσεται ἀφ᾽ ὑμῶν ἡ ὀργή«. καὶ ταῦτα καὶ τοιαῦτά τινά
ἐστι τὰ παρ᾽ αὐτοῖς δόλια ἐπινοήματα.
10 *Πράξεις δὲ ἄλλας καλοῦσιν ἀποστόλων, ἐν αἷς πολλὰ τῆς ἀσε-* 6
βείας ἔμπλεα, ἔνθεν οὐ παρέργως κατὰ τῆς ἀληθείας ἑαυτοὺς ὥπλι-
σαν. Ἀναβαθμοὺς δέ τινας καὶ ὑφηγήσεις δῆθεν ἐν τοῖς Ἀνα- 7

homo factus est, hunc primum pater oleo perunxit, quod ex ligno vitae fuerat sumtum. ex illo ergo unguento Christus appellatur; vgl. auch Hippolyt refut. VII 34, 1f; S. 221, 11f Wendland

6f vgl. clement. Recogn. I 37 *ante adventum veri prophetae qui esset hostias cum loco pariter repudiaturus* I 39 *et propheta . . . appareret qui eos primo per misericordiam dei moneret cessare a sacrificiis* clement. Hom. III 56; S. 51, 34ff Lagarde *τοῖς δὲ προλαβοῦσιν ὅτι θυσιῶν ὀρέγεται ὁ θεὸς ἔφη· ὁ θεὸς ἔλεος θέλει κτέ.* (Matth. 9, 13) III 24; S. 42, 28 III 26; S. 43, 17; auch III 51; S. 50, 21ff *τὸ δὲ καὶ εἰπεῖν αὐτὸν »οὐκ ἦλθον καταλῦσαι τὸν νόμον« καὶ φαίνεσθαι αὐτὸν καταλύοντα σημαίνοντος ἦν ὅτι ἃ κατέλυεν οὐκ ἦν τοῦ νόμου* — **12ff** unter *Ἰάκωβος* ist sicher nicht der Erzvater gemeint — dieser würde *Ἰακὼβ* heißen — sondern der Apostel (vgl. S. 364, 18). Daher kann die hier gemeinte Schrift nicht mit der slavisch erhaltenen »Leiter Jakobs« (Bonwetsch Nachr. d. Gött. Ges. 1900 S. 76ff; dazu Schürer, Gesch. d. jüd. Volkes III⁴ 370) zusammenfallen. — Zum Titel *ἀναβαθμοί* vgl. clement. Recogn. IV 36 *hic ergo vobis sit primus gradus ex tribus, qui gradus triginta ex se gignit mandata, secundus vero qui sexaginta, tertius qui centum, sicut alias*(!) *vobis de his plenius exponemus.* — Zum Inhalt vgl. clement. Recogn. I 36f u. 64 (Gegensatz gegen Tempel u. Opfer) I 48 (*Jesus namque est, qui ignem illum quem accendebat pontifex pro peccatis, restinxit per baptismi gratiam*) u. I 69 (Rede des Jakobus vor Kaiphas)

V M

1 *καὶ οὕτω* am Rande nachgetragen V^{corr} < M **3** *ἐκτίσθαι* aus *κεκτῆσθαι* V^{corr} **4** [*καὶ ἔτι περισσοτέρως*] *, gehört viell. nach Z. 5 hinter *πεποιημένων*; V^{corr} setzt dazu am Rande ☞ *μείζονα δὲ αὐτῶν ὄντα* **5** ⟨*τῶν*⟩ * | *ὑπὸ* aus *ἀπὸ* V^{corr} *ἐκ* M | *πεποιημένοι* V M **6** * etwa ⟨*καταργῆσαι τὰς θυσίας*⟩ * | *εὐαγγέλιον* + ⟨*κατὰ Ματθαῖον*⟩? *, vgl. S. 349, 2 **7** *ἦλθεν* M **9** *ἐπιτηδεύματα* V **10** *ἐν αἷς*] *εἶναι* V | *πολλῆς* aus *πολλὰ* V^{corr} **12** *δὲ*] *γὰρ* V

βαθμοῖς Ἰακώβου ὑποτίθενται, ὡς ἐξηγουμένου κατά τε τοῦ ναοῦ καὶ
τῶν θυσιῶν, κατά τε τοῦ πυρὸς τοῦ ἐν τῷ θυσιαστηρίῳ καὶ ἄλλα
πολλὰ κενοφωνίας ἔμπλεα· ὡς καὶ τοῦ Παύλου ἐνταῦθα κατη- 8
γοροῦντες οὐκ αἰσχύνονται ἐπιπλάστοις τισὶ τῆς | τῶν ψευδαποστόλων D109
αὐτῶν κακουργίας καὶ πλάνης λόγοις πεποιημένοις, Ταρσέα μὲν αὐτόν,
ὡς αὐτὸς ὁμολογεῖ καὶ οὐκ ἀρνεῖται, λέγον | τες, ἐξ Ἑλλήνων δὲ αὐτὸν Ö268
ὑποτίθενται, λαβόντες τὴν πρόφασιν ἐκ τοῦ τόπου διὰ τὸ φιλαλήθως
ὑπ' αὐτοῦ ῥηθὲν ὅτι »Ταρσεύς εἰμι, οὐκ ἀσήμου πόλεως πολίτης«.
εἶτα φάσκουσιν αὐτὸν εἶναι Ἕλληνα καὶ Ἑλληνίδος μητρὸς καὶ Ἕλληνος 9
πατρὸς παῖδα, ἀναβεβηκέναι δὲ εἰς τὰ Ἱεροσόλυμα καὶ χρόνον ἐκεῖ
μεμενηκέναι, ἐπιτεθυμηκέναι δὲ θυγατέρα τοῦ ἱερέως πρὸς γάμον
ἀγαγέσθαι καὶ τούτου ἕνεκα προσήλυτον γενέσθαι καὶ περιτμηθῆναι,
καὶ μηκέτι λαβόντα τὴν τοιαύτην κόρην ὠργίσθαι καὶ κατὰ περι-
τομῆς γεγραφέναι καὶ κατὰ σαββάτου καὶ νομοθεσίας.

17. Ἀλλὰ κατὰ πάντα τρόπον συκοφαντεῖ ὁ δεινὸς οὗτος ὅφις **17, 1**
καὶ πτωχὸς τῇ διανοίᾳ. | Ἐβίων γὰρ ἔχει ἀπὸ Ἑβραϊκῆς εἰς Ἑλλάδα P141
φωνὴν τὴν ἑρμηνείαν πτωχός. πτωχὸς γὰρ ὡς ἀληθῶς καὶ τῇ
διανοίᾳ καὶ τῇ ἐλπίδι καὶ τῷ ἔργῳ ⟨ὁ⟩ Χριστὸν ἄνθρωπον ψιλὸν νο-

3 ff vgl. clement. Recogn. I 70f u. Irenaeus adv. haer. I 26, 2; I 213 Harvey *apostolum Paulum recusant, apostatam eum legis dicentes* Origenes c. Cels. V 65; II 68, 11 Kötschau *εἰσὶ γάρ τινες αἱρέσεις τὰς Παύλου ἐπιστολὰς τοῦ ἀποστόλου μὴ προσιέμεναι ὥσπερ Ἐβιωναῖοι ἀμφότεροι* hom. XIX in Jerem. zu 18, 12; S. 167, 19f Klostermann *καὶ μέχρι νῦν ὑπὸ παρανόμου ἀρχιερέως λόγου προστασσόμενοι Ἐβιωναῖοι τύπτουσι τὸν ἀπόστολον Ἰησοῦ Χριστοῦ λόγοις δυσφήμοις.* — Wegen des Folgenden beachte auch Origenes in ps. 82 bei Eusebius h. e. VI 38; S. 592, 22 Schwartz (über Elxai) *τὸν ἀπόστολον τέλεον ἀθετεῖ* — **8** Act. 21, 39 — **16** vgl. Origenes de princ. IV 3, 8; S. 334, 1 Kötschau *οἱ πτωχοὶ τῇ διανοίᾳ Ἐβιωναῖοι, τῆς πτωχῆς διανοίας ἐπώνυμοι· ἐβίων γὰρ ὁ πτωχὸς παρ' Ἑβραίοις ὀνομάζεται* c. Cels. II 1; I 126, 17ff Kötschau Eusebius h. e. III, 27, 1 u. 6; S. 256, 1ff Schwartz *Ἐβιωναίους τούτους οἰκείως ἐπεφήμιζον οἱ πρῶτοι, πτωχῶς καὶ ταπεινῶς τὰ περὶ τοῦ Χριστοῦ δοξάζοντας . . . . ὅθεν παρὰ τὴν τοιαύτην ἐγχείρησιν τῆς τοιᾶσδε λελόγχασι προσηγορίας, τοῦ Ἐβιωναίων ὀνόματος τὴν τῆς διανοίας πτωχείαν αὐτῶν ὑποφαίνοντος· ταύτῃ γὰρ ἐπίκλην ὁ πτωχὸς παρ' Ἑβραίοις ὀνομάζεται*

V M

4 τῆς < M **5** lies ⟨παρα⟩πεποιημένους? * **7** φιλαλήθως *] φιλάληθες VM **11** lies ⟨ἀρχ⟩ιερέως? * **12** ἀγαγέσθαι] γεγενῆσθαι, aber getilgt u. am Rande ἀγαγέσθαι gesetzt V corr **13** εἶτα μὴ aus καὶ μηκέτι V corr | τοιαύτην ausradiert V corr **15** ὅφις οὗτος V **17** πτωχὸς[2] angeflickt V corr < M **18** ⟨ὁ⟩ *

μίσας καὶ οὕτως ἐν πτωχείᾳ πίστεως τὴν ἐλπίδα περὶ αὐτοῦ κεκτημένος. αὐτοὶ δὲ δῆθεν σεμνύνονται ἑαυτοὺς φάσκοντες πτωχοὺς διὰ 2
τό, φασίν, ἐν χρόνοις τῶν ἀποστόλων πωλεῖν τὰ αὐτῶν ὑπάρχοντα καὶ τιθέναι παρὰ τοὺς πόδας τῶν ἀποστόλων καὶ εἰς πτωχείαν
καὶ ἀποταξίαν μετεληλυθέναι· καὶ διὰ τοῦτο καλεῖσθαι ὑπὸ πάντων, φησί, πτωχοί. οὐδὲ τοῦτο δὲ ἀληθὲς παρ' αὐτοῖς, ἀλλὰ φύσει τῷ 3
ὄντι Ἐβίων ἐκαλεῖτο, κατὰ προφητείαν οἶμαι ὁ πτωχὸς καὶ τάλας τὸ ὄνομα ἐκ πατρὸς αὐτοῦ καὶ μητρὸς αὐτοῦ κεκληρωμένος. πόσα δὲ 4
ἄλλα δεινὰ καὶ παραπεποιημένα καὶ μοχθηρίας γέμοντα παρ' αὐτοῖς φυλάττεται; ὅταν γάρ τις ἐξ αὐτῶν ἢ νόσῳ περιπέσοι ἢ ὑπὸ ἑρπετοῦ δηχθείη, κάτεισιν εἰς τὰ ὕδατα καὶ ἐπικαλεῖται τὰς ἐπωνυμίας τὰς ἐν τῷ Ἠλξαΐ τοῦ τε οὐρανοῦ καὶ τῆς | γῆς, τοῦ τε ἁλὸς καὶ τοῦ ὕδα- D110
τος, τῶν τε ἀνέμων καὶ ἀγγέλων τῆς δικαιοσύνης, ⟨ὥς⟩ φασι, καὶ τοῦ ἄρτου καὶ τοῦ ἐλαίου, καὶ ἄρχεται λέγειν »βοηθεῖτέ μοι καὶ ἀπαλ-
λάξατε ἀπ' ἐμοῦ τὸ ἄλγημα«. ἤδη δέ μοι καὶ ἀνωτέρω προδεδή- 5
λωται ὡς ταῦτα μὲν Ἐβίων οὐκ ἤδει, μετὰ καιρὸν δὲ οἱ ἀπ' αὐτοῦ συναφθέντες τῷ Ἠλξαΐ ἐσχήκασι μὲν τοῦ Ἐβίωνος τὴν περιτομὴν καὶ τὸ σάββατον καὶ τὰ ἔθη, τοῦ δὲ Ἠλξαΐ τὴν φαντασίαν, ὥστε νομίζειν 6
μὲν τὸν Χριστὸν εἶναί τι ἀνδροείκελον ἐκτύπωμα ἀόρατον ἀνθρώ-

3ff vgl. Act. 4, 34f — **10ff** vgl. Hippolyt refut. IX 15, 4ff; S. 254, 2ff Wendland *λέγει δὲ οὕτως· ἄν τιν' οὖν ἄνδρα ἢ γυναῖκα ἢ νεώτερον ἢ νεωτέραν κύων λυσσῶν καὶ μαινόμενος ἐν ᾧ ἐστι πνεῦμα διαφθορᾶς δάκῃ ἢ περι(σχ)ίσῃ ἢ προσψαύσῃ, ἐν αὐτῇ τῇ ὥρᾳ δραμέτω σὺν παντὶ τῷ φορέματι καὶ καταβὰς εἰς ποταμὸν ἢ εἰς πηγήν, ὅπου ἐὰν ᾖ τόπος βαθύς, βαπτισάσθω ⟨σὺν⟩ παντὶ τῷ φορέματι αὐτοῦ καὶ προσευξάσθω τῷ μεγάλῳ καὶ ὑψίστῳ θεῷ ἐν καρδίας πίστει, καὶ τότε ἐπιμαρτυρη⟨σά⟩σθω τοὺς ἑπτὰ μάρτυρας τοὺς γεγραμμένους ἐν τῇ βίβλῳ ταύτῃ· ἰδοὺ μαρτύρομαι τὸν οὐρανὸν καὶ τὸ ὕδωρ καὶ τὰ πνεύματα τὰ ἅγια καὶ τοὺς ἀγγέλους τῆς προσευχῆς καὶ τὸ ἔλαιον καὶ τὸ ἅλας καὶ τὴν γῆν*; dazu W. Brandt, Die jüd. Baptismen S. 105 — beachte auch die Schwurzeugen clement. Hom. *Διαμαρτυρία* 2 u. 4; S. 4, 29f Lagarde u. 5, 17 *μάρτυρας ἔχοιμι οὐρανὸν γῆν ὕδωρ, ἐν οἷς τὰ πάντα περιέχεται, πρὸς τούτοις δ' ἅπασιν καὶ τὸν διὰ πάντων διήκοντα ἀέρα οὗ ἄνευ οὐκ ἀναπνέω* — **12** vgl. haer. 19, 1, 6; S. 218, 10ff — **15** vgl. haer. 19, 5, 4; S. 222, 25ff; dazu oben S. 336, 1ff — **18** vgl. haer. 19, 4, 1ff; S. 221, 6ff

V M

9 *γέντα*, *μο* oben drüber Vcorr **10** *φυλάττεται* getilgt, dafür am Rande *ἐπιτηδεύεται* V **11** *εἰς τὰ* angeflickt Vcorr **13** *τῆς* hineingeflickt Vcorr | ⟨ὥς⟩ * **14** *τοῦ* < V **16** *ἀπ' αὐτοῦ*] *σὺν αὐτῷ* V **17** *ηλξα///ἰ*, *ι* aus *ει* Vcorr **18** *ἔθ///η*, *ν* ausradiert Vcorr | *ὡς* M | *νομίζει* V **19** *ἀνδρο///ίκελον*, *ι* aus *ει* Vcorr

ποις, μιλίων ἐνενήκοντα ἓξ τὸ μῆκος, δῆθεν σχοίνων εἴκοσι τεσσάρων, τὸ δὲ πλάτος σχοίνων ἓξ, μιλίων εἴκοσι τεσσάρων, τὸ πάχος δὲ κατὰ μέτρησιν ἄλλην τινά. ἀντικρὺ δὲ αὐτοῦ ἑστάναι καὶ τὸ ἅγιον πνεῦμα ἐν εἴδει θηλείας ὁράτως, καὶ [τὸ] αὐτὸ τοῦ αὐτοῦ μέτρου.
5 »καὶ πόθεν, φησίν, ἔγνων τὰ μέτρα; ἐπειδή, φησίν, εἶδον ἀπὸ τῶν ὀρέων 7
ὅτι αἱ κεφαλαὶ ἔφθανον αὐτῶν, καὶ τὸ μέτρον τοῦ ὄρους καταμαθὼν
ἔγνων Χριστοῦ τε καὶ τοῦ ἁγίου πνεύματος τὰ μέτρα.« ἤδη δέ μοι 8
περὶ τούτων εἴρηται ἐν τῇ | κατὰ Ὀσσαίων αἱρέσει. ἐν παρεξόδῳ δὲ Ö270
ταῦτα πεποίημαι νῦν, ἵνα μὴ τὰ παρ᾽ ἑκάστῳ ἔθνει τε καὶ αἱρέσει
10 ὄντα, εὑρισκόμενα δὲ καὶ παρ᾽ ἑτέροις, νομισθείη κατὰ λήθην ὑφ᾽
ἡμῶν μὴ εἰρῆσθαι. | P142

18. Οὗτος μὲν οὖν ὁ Ἐβίων καὶ αὐτὸς ἐν τῇ Ἀσίᾳ ἔσχεν τὸ 18, 1
κήρυγμα καὶ Ῥώμῃ, τὰς δὲ ῥίζας τῶν ἀκανθωδῶν παραφυάδων ἔχουσιν ἀπό τε τῆς Ναβαταίας καὶ Πανεάδος τὸ πλεῖστον, Μωαβίτιδός
15 τε καὶ Κωκάβων ἐν τῇ Βασανίτιδι γῇ ἐπέκεινα Ἀδραῶν, ἀλλὰ καὶ
ἐν τῇ Κύπρῳ. ἀναγκάζουσι δὲ καὶ παρ᾽ ἡλικίαν ἐκγαμίζουσι τοὺς 2
νέους, ἐξ ἐπιτροπῆς δῆθεν τῶν παρ᾽ αὐτοῖς διδασκάλων (πρεσβυτέρους
γὰρ οὗτοι ἔχουσι καὶ ἀρχισυναγώγους, συναγωγὴν δὲ καλοῦσι τὴν ἑαυτῶν ἐκκλησίαν καὶ οὐχὶ ἐκκλησίαν, τῷ Χριστοῦ δὲ | ὀνόματι μόνον D111
20 σεμνύνονται) καὶ οὐ μόνον ἑνὶ τῷ γάμῳ ἐπιτρέπουσι τὰς συναφείας 3
ποιεῖσθαι, ἀλλ᾽ εἰ καὶ θελήσειέν τις τοῦ πρώτου γάμου διαζεύγνυσθαι,
ἑτέρῳ δὲ συνάπτεσθαι, ἐπιτρέπουσιν — πάντα γὰρ παρ᾽ αὐτοῖς ἀδεῶς
ἐφίεται — ἄχρι καὶ δευτέρου καὶ τρίτου καὶ ἑβδόμου γάμου. Ἀβραὰμ 4
δὲ ὁμολογοῦσι καὶ Ἰσαὰκ καὶ Ἰακώβ, Μωυσέα τε καὶ Ἀαρών, Ἰησοῦν
25 τε τὸν τοῦ Ναυῆ, ἁπλῶς διαδεξάμενον Μωυσέα, οὐδὲν δὲ ὄντα. μετὰ
τούτους δὲ οὐκέτι ὁμολογοῦσί τινα τῶν προφητῶν, ἀλλὰ καὶ ἀναθεματίζουσι καὶ χλευάζουσι Δαυίδ τε καὶ Σολομῶν⟨τ⟩α, ὁμοίως δὲ τοὺς

13 ff vgl. oben c. 2, 7; S. 335, 5 ff u. haer. 29, 7, 7 haer. 40, 1, 5 — **16 ff** vgl. oben c. 2, 6; S. 334, 20 ff — **23 ff** vgl. oben S. 352, 11 u. haer. 18, 1, 3; S. 215, 21 ff

V M

4 [τὸ] * **6** ἔφθαναν V **10** ἑτέρῳ M **11** μὴ < V **14** *Ναβαταίας*] ναβατέας, να oben drüber V corr ναβατείας M; oben S. 335, 9 *Βαταναίας*, aber vgl. haer. 19, 1, 2 u. 10; S. 217, 21 u. 219, 7 **15** *Κωχάβων* V M | vor *ἐν τῇ* + τῆς M | γῆς M **18** vor *καλοῦσι* + οὗτοι M **19** *καὶ οὐχὶ ἐκκλησίαν*] am Rande beigesetzt V corr < M **20** *ἑνί τινι* aus *ἑνί τω* V *ἐν τῷ* M | *ἐπιτρέπουσι* getilgt V corr | *συναφείας* aus *συγγραφὰς* V corr **22** *ἐπιτρέπουσιν* < M **22 f** *πάντα γὰρ — ἐφίεται* hinter *ἑβδόμου γάμου* (Z. 23) verwiesen V corr **24** *Μωυσέα* *] *Μωυσῆν* V M **25** *οὐδὲν δὲ ὄντα* < M **26** *οὐκέτι* < M

περὶ Ἡσαΐαν καὶ Ἰερεμίαν, Δανιὴλ καὶ Ἰεζεκιήλ, Ἠλίαν τε καὶ Ἐλισσαῖον ἀθετοῦσιν· οὐ γὰρ συντίθενται, βλασφημοῦντες τὰς αὐτῶν προφητείας, ἀλλὰ μόνον τὸ εὐαγγέλιον δέχονται. τὸν δὲ Χριστὸν 5
προφήτην λέγουσι τῆς ἀληθείας καὶ Χριστόν, υἱὸν ⟨δὲ⟩ θεοῦ κατὰ προ-
5 *κοπὴν καὶ κατὰ συνάφειαν ἀναγωγῆς τῆς ἄνωθεν πρὸς αὐτὸν γεγενημένης· τοὺς δὲ προφήτας λέγουσι * συνέσεως εἶναι προφήτας καὶ οὐκ ἀληθείας. αὐτὸν δὲ μόνον θέλουσιν εἶναι καὶ προφήτην καὶ ἄν-* 6
θρωπον καὶ υἱὸν θεοῦ καὶ Χριστὸν καὶ ψιλὸν ἄνθρωπον ὡς προείπαμεν, διὰ δὲ ἀρετὴν βίου ἥκοντα εἰς τὸ καλεῖσθαι υἱὸν θεοῦ.
10 *οὔτε δὲ δέχονται τὴν πεντάτευχον Μωυσέως ὅλην, ἀλλά τινα ῥητὰ* 7
ἀποβάλλουσιν. ὅταν δὲ αὐτοῖς εἴπῃς περὶ ἐμψύχων βρώσεως· »πῶς οὖν Ἀβραὰμ παρέθετο τοῖς ἀγγέλοις τὸν μόσχον καὶ τὸ γάλα; ἢ πῶς ἔφαγεν Νῶε καὶ ἤκουσεν ἀπὸ θεοῦ λέγοντος, θῦσον καὶ φάγε, πῶς δὲ Ἰσαὰκ καὶ Ἰακὼβ ἔθυσαν τῷ θεῷ, ὁμοίως δὲ καὶ Μωυσῆς ἐν τῇ

4 *προφήτης τῆς ἀληθείας* allerwärts in den Clementinen — **6** vgl. zu S. 352, 12; dazu clement. Hom. III 52; S. 50, 27 Lagarde *αἱ ἐν »γεννητοῖς γυναικῶν« προφητεῖαι* u. Methodius conviv. VIII 10 *Ἐβιωναῖοι, ἐξ ἰδίας κινήσεως τοὺς προφήτας φιλονεικοῦντες λελαληκέναι* — **7 ff** vgl. außer den zu S. 336, 6 ff angeführten Stellen clement. Hom. XVI 15; S. 156, 13 Lagarde *ὁ κύριος ἡμῶν οὔτε θεοὺς εἶναι ἐφθέγξατο παρὰ τὸν κτίσαντα τὰ πάντα οὔτε ἑαυτὸν θεὸν εἶναι ἀνηγόρευσεν, υἱὸν δὲ θεοῦ τοῦ τὰ πάντα διακοσμήσαντος τὸν εἰπόντα αὐτὸν εὐλόγως ἐμακάρισεν* u. III 20; S. 41, 34 *διὰ τοὺς καμάτους θεοῦ ἐλέει χρισθείς*; dazu Hippolyt refut. VII, 34, 1 f S. 221, 11 ff Wendland *καὶ τὸν Ἰησοῦν λέγοντες δεδικαιῶσθαι ποιήσαντα τὸν νόμον· διὸ καὶ Χριστὸν αὐτὸν τοῦ θεοῦ ὠνομάσθαι καὶ Ἰησοῦν* (lies *υἱόν*? *), *ἐπεὶ μηδεὶς τῶν ⟨ἑτέρων⟩ ἐτέλεσε τὸν νόμον· εἰ γὰρ καὶ ἕτερός τις πεποιήκει τὰ ἐν νόμῳ προστεταγμένα, ἦν ἂν ἐκεῖνος ὁ Χριστός . . . καὶ γὰρ καὶ αὐτὸν ὁμοίως ἄνθρωπον εἶναι πᾶσι λέγουσιν* — **10 ff** vgl. clement. Hom. II 41; S. 33, 35 ff Lagarde II 51; S. 35, 37 ff *εἰ οὖν τῶν γραφῶν ἃ μέν ἐστιν ἀληθῆ ἃ δὲ ψευδῆ, εὐλόγως ὁ διδάσκαλος ἡμῶν ἔλεγεν »γίνεσθε τραπεζῖται δόκιμοι«, ὡς τῶν ἐν ταῖς γραφαῖς τινῶν μὲν δοκίμων ὄντων λόγων, τινῶν δὲ κιβδήλων* III 18; S. 41, 1 ff III 50; S. 50, 12 ff XVIII 19 ff; S. 175, 20 ff clement. Recogn. I 21 — **11 f** vgl. Gen. 18, 8 — **13 f** vgl. Gen. 8, 20 u. 9, 3 Act. 10, 13 — **14 f** vgl. Exod. 5, 1

V M

1 vor *Δανιὴλ* + *καὶ* V **4** ⟨*δὲ*⟩ * **6** *, lies wohl ⟨*ἰδίας*⟩ *; vgl. die oben angeführte Methodiusstelle u. clement. Hom. XVII 17; S. 167, 7 ff Lagarde, wo es von der wahren Prophetie heißt *ἀναβλύζει τῷ νῷ τὸ ἀληθές, οὐκ ὀνείρῳ σπουδαζόμενον, ἀλλὰ συνέσει ἀγαθοῖς διδόμενον* **8** *καὶ Χριστὸν* am Rande nachgetragen V corr < M **10** *δὲ* < M | *ῥήματα* V **11** *περὶ ἐμψύχων βρώσεως* am Rande nachgetragen V corr

ἐρήμῳ;«, ἐκείνοις μὲν ἀπιστεῖ καί φησι »τίς χρεία με ἀναγινώσκειν
τὰ ἐν τῷ νόμῳ, | ἐλθόντος τοῦ εὐαγγελίου;«. »πόθεν σοι τοίνυν τὰ 8 P143
περὶ Μωυσέως καὶ Ἀβραὰμ εἰδέναι; οἶδα γὰρ ὡς ὁμολογεῖτε αὐτοὺς
εἶναι, | δικαίους καὶ πατέρας ἑαυτῶν ἐπιγράφεσθε«. εἶτα ἀποκρίνεται 9 Ö272
καὶ λέγει, ὅτι | Χριστός μοι ἀπεκάλυψε, καὶ βλασφημεῖ τὰ πλείω τῆς D112
νομοθεσίας καὶ τοὺς περὶ Σαμψὼν καὶ Δαυὶδ καὶ Ἠλίαν καὶ Σαμουὴλ
καὶ Ἐλισσαῖον καὶ τοὺς ἄλλους.

19. Ἐλέγχεται δὲ πανταχόθεν ὁ ἀγύρτης ὑπὸ τοῦ σωτῆρος, διαρ- **19**, 1
ρήδην καὶ ὡς ἐν συντόμῳ ἀπὸ μιᾶς λέξεως τὸ πᾶν αὐτοῦ ἐλέγχοντος
τῆς ἀπατηλῆς διδασκαλίας καὶ λέγοντος »ἦλθεν Ἰωάννης ἐν ὁδῷ δικαιο-
σύνης μήτε ἐσθίων μήτε πίνων, καὶ λέγουσι, δαιμόνιον ἔχει· ἦλθεν
ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων ⟨καὶ λέγουσιν, ἰδοὺ ἄνθρωπος
φάγος καὶ οἰνοπότης⟩«. καὶ οὐ πάντως ὅτι κἂν τὸ τυχὸν οὐκ ἤσθιεν 2
Ἰωάννης ἢ πᾶν ὁτιοῦν ἤσθιεν ὁ σωτήρ, ἵνα τις ὑπολάβῃ καὶ τὰ
ἀπηγορευμένα· ἡ γραφὴ δὲ τὴν ἔμφασιν δηλοῖ τῆς ἀληθείας, ὡς τό 3
»φάγον αὐτὸν εἶναι καὶ οἰνοπότην« οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ κρέας
ἐσθίειν καὶ οἶνον πίνειν, καὶ τό »μὴ ἐσθίων μήτε πίνων«, ὅτι κρεῶν
οὐ μετείληφε καὶ οἴνου, ἀλλ᾽ ἢ ἀκρίδων μόνον ὁ Ἰωάννης καὶ μέλιτος
μετελάμβανε, δῆλον δὲ ὡς καὶ ὕδατος. τίς δὲ οὐκ οἶδε τὸν σωτῆρα 4
ἀναστάντα ἐκ τῶν νεκρῶν καὶ φαγόντα; καθάπερ ἔχει τὰ ἅγια εὐαγ-
γέλια τῆς ἀληθείας, ὅτι »ἐπεδόθη αὐτῷ ἄρτος καὶ μέρος ὀπτοῦ ἰχθύος,
καὶ λαβὼν ἔφαγε καὶ ἔδωκε τοῖς μαθηταῖς«· ὡς καὶ ἐπὶ τῆς θα-
λάσσης τῆς Τιβεριάδος ἐποίησεν καὶ φαγὼν καὶ δοὺς. καὶ πολλὰ 5
ἔστι περὶ τούτου λέγειν. δεῖ δέ με κατὰ λεπτότητα εἰς τὸν τούτων
τῶν ῥημάτων τῶν ἑώλων τε καὶ σαθρῶν παρ᾽ αὐτοῖς κηρυττομένων
ἥκειν ἔλεγχον καὶ τὴν αὐτῶν ποιεῖσθαι ἀνατροπήν.

20. Καὶ πρῶτον μὲν περὶ τοῦ Χριστοῦ ὅτι οὐ ψιλὸς ἄνθρωπος **20**, 1
ῥητέον. οὐ δύναται γὰρ ὁ γεννηθεὶς κατὰ πάντα ⟨ὡς⟩ ἄνθρωπος σημείου

5 über Offenbarungen bei den Ebioniten vgl. clement. Hom. XVII 17f; S. 167, 6ff Lagarde XVIII 6; S. 171, 1ff — **6** vgl. S. 352, 11 — **10** Matth. 11, 18f; das Wort spielte auch bei den Ebioniten selbst eine Rolle vgl. clement. Recogn. I 40 — **21** Luk. 24, 42f — **22f** vgl. Joh. 21, 13

V M **10—20** in lat. Übersetzung bei Corderius, Catena in Luc. p. 212

5 ὅτι] ὁ M **6** Σαμψῶ M **8** δὲ] γὰρ M **10** ἀπατηλοῦ M **11** καὶ < M **12f** ⟨καὶ λέγουσιν, ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης⟩ *, vgl. Z. 16 **14** ἢ πᾶν] εἶπαν M **15** ὡς] ὥστε M **18** μόνων V **23** Τιβερειάδος, ει aus ι Vcorr | διαδούς V **25** τῶν² < M **26** ἔλεγχρν, ο aus ω Vcorr ἐλέγχων M **28** ⟨ὡς⟩ *

ἕνεκα τῷ κόσμῳ δοθήσεσθαι, ὡς περὶ αὐτοῦ προεθέσπιζε τὸ ἅγιον πνεῦμα, ὅτε τῷ Ἄχαζ ἔλεγεν »αἴτησαι σεαυτῷ σημεῖον« · κἀκείνου μὴ αἰτήσαντος, τότε φησὶν ὁ προφήτης »αὐτὸς κύριος δώσει ὑμῖν σημεῖον· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ | ἕξει«. παρθένος δὲ οὐ καλεῖται ἡ συν- 2 D113
αφθεῖσα ἀνδρὶ καὶ γαμηθεῖσα γυνή, παρθένος δὲ ἐκείνη κυρίως λέγοιτ' ἂν ἡ ἄνευ ἀνδρὸς τὴν σύλληψιν τοῦ θεοῦ Λόγου κατὰ ἀλήθειαν ἐσχηκυῖα, | ὡς καὶ αὐτὸς Ἡσαΐας ἐν ἄλλῳ τόπῳ φησί »φωνὴ κραυγῆς 3 P144
ἐκ πόλεως, φωνὴ ἐκ ναοῦ, φωνὴ κυρίου ἀνταποδόσεως, ἀνταποδιδόντος τοῖς ἀντικειμένοις· πρὶν ἢ τὴν ὠδίνουσαν τεκεῖν, πρὶν ἢ ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων ἐξέφυγε καὶ ἔτεκεν ἄρσεν. τίς ἤκουσε τοιοῦτο ἢ τίς ἑώρακε τοιαῦτα; εἰ ὤδινεν ἡ γῆ ἐν μιᾷ ἡμέρᾳ καὶ ἔτεκεν ἔθνος εἰς ἅπαξ; ὅτι ὤδινεν καὶ ἔτεκεν Σιὼν τὰ παιδία αὐτῆς· ἐγὼ δὲ ἔδωκα τὴν προσδοκίαν ταύτην καὶ οὐκ ἐμνήσθησαν, λέγει κύριος«. ποία δὲ προσδοκία καὶ ποῖα παιδία ἀλλ' ἢ τὸ παρθένον 4
γεννῆσαι ἄνευ ὠδίνων, ὅπερ οὐδαμοῦ γεγένηται, καὶ τὸ τὸν δι' αὐτὸν ἀπὸ | Ἐλισάβετ κατὰ ἐπαγγελίαν γεννηθέντα Ἰωάννην παῖδα *, εἰ καὶ ὁ Ö274
Ἰωάννης δι' ὠδίνων γεγέννηται; πῶς οὖν οὗτοι ἐκ σπέρματος 5
ἀνδρὸς ψιλὸν ἄνθρωπον ὁρίζονται τὸν σωτῆρα; πῶς δὲ οὐ γνωσθήσεται ὡς καὶ Ἱερεμίας περὶ αὐτοῦ φησιν ὅτι »ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν«; διηγούμενος γὰρ ὁ προφήτης περὶ αὐτοῦ ἔλεγεν 6
»τίς γνώσεται αὐτόν;«. εἰ δὲ περὶ ψιλοῦ ἔλεγεν ἀνθρώπου, πάντως ἂν καὶ ὁ πατὴρ αὐτὸν ἐγίνωσκεν καὶ ἡ μήτηρ, συγγενεῖς τε καὶ γείτονες, σύσκηνοί τε καὶ συμπολῖται· ἀλλ' ἐπειδὴ ἐκ Μαρίας μέν ἐστι 7
τὸ γέννημα, ἄνωθεν δὲ ἦλθεν ὁ θεὸς Λόγος, οὐκ ἀπὸ σπέρματος ἀνδρός, ἀλλ' ἐκ πατρὸς μὲν ἄνωθεν γεννηθεὶς ἐν ἀληθείᾳ ἀχρόνως καὶ ἀνάρχως, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν εὐδοκήσας ἐν μήτρᾳ γενέσθαι παρθένου καὶ ἐξ αὐτῆς ἀναπλάσαι εἰς ἑαυτὸν τὴν σάρκα, διὰ τοῦτό φησι »καὶ ἄνθρωπος μέν ἐστι, τίς δὲ γνώσεται αὐτόν;« ὅτι θεὸς ἄνωθεν ἦλθεν, ὁ μονογενὴς θεὸς Λόγος. πολλὴ δὲ ταλαι- 8
πωρία τῶν πεπλανημένων, τῶν καταλειψάντων μὲν προφητῶν μαρτυρίας | καὶ ἀγγέλων, καὶ ἀνασχομένων Ἐβίωνος τοῦ πεπλανημένου. D114

2 Jes. 7, 11 — **3** Jes. 7, 14 — **7** Jes. 66, 6—9 — **15f** vgl. Luk. 1, 41 — **17ff** vgl. Ancoratus c. 32, 3ff; S. 41, 10ff — **19** Jerem. 17, 9 — **28** Jerem. 17, 9

V M

1 ἐθέσπισε M **5** ἐλέγοιτ' M **11** τοιοῦτον M | ἡ γῆ] ἤ, < γῆ M **14** ἀλλ' ἢ] ἀλλὰ M | vor παρθένον + τὴν M **16** * etwa ⟨πρὶν γεννηθῆναι σκιρτᾶν ἐν τῇ κοιλίᾳ⟩ * | εἰ καὶ] κἂν M **17** διὰ M **18** ἀνδρὸς < V **21** ἀνθρώπου] οὐ M **23** σύ//σκηνοι, ν ausradiert V **29** vor θεὸς + ὁ M

τοῦ τὴν ἑαυτοῦ ἡδονὴν βουλομένου πληροῦν καὶ τὰ Ἰουδαϊκὰ μεταχειριζομένου καὶ ἀπὸ Ἰουδαίων ἠλλοτριωμένου. ὁ μὲν ⟨γὰρ⟩ Γαβριὴλ 9
εὐθὺς τῇ παρθένῳ εὐαγγελιζόμενος, αὐτῆς λεγούσης »πῶς ἔσται ταῦτα,
ὅτι ἄνδρα οὐ γινώσκω«, τὸ ἀσφαλὲς ὑποτιθέμενος ἔφη »πνεῦμα κυρίου
ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ
γεννώμενον ἐκ σοῦ ἅγιον κληθήσεται υἱὸς θεοῦ«. ἐν τῷ γὰρ εἰπεῖν | 10 P145
»τὸ γεννώμενον« ἔδειξε μὲν τὴν σάρκα ἀπ᾽ αὐτῆς ⟨εἶναι⟩ καὶ τὴν ἄλλην
ἐνανθρώπησιν, ἄνωθεν δὲ ἀπ᾽ οὐρανῶν τὴν δύναμιν τοῦ ὑψίστου
καὶ τὸ ἅγιον πνεῦμα ἐπισκιάσαι τῇ ἁγίᾳ παρθένῳ καὶ ἄνωθεν κατα-
βεβηκέναι τὸν μονογενῆ υἱὸν θεὸν Λόγον, * καὶ ὡς ἐνηνθρώπησε καὶ
ὡς ἀπ᾽ αὐτῆς ἐν ἀληθείᾳ ἐγεννήθη. πόσα δὲ ἄλλα ἐστὶ τοιαῦτα; 11
εἴωθα δέ, ὡς ὑπεσχόμην, μὴ διὰ πλάτους φέρεσθαι, ἵνα μὴ εἰς ὄγκον
πολὺν ἀγάγω τὴν πραγματείαν.

21. Περὶ δὲ τῶν ἄλλων ἑξῆς διηγήσομαι, ὧν τε κατὰ Πέτρου καὶ 21, 1
τῶν ἄλλων ἀποστόλων καταψεύδονται· ὅτι, φησίν, ὁ Πέτρος καθ᾽
ἑκάστην ἡμέραν βαπτισμοῖς ἐκέχρητο, πρὶν ἢ καὶ ἄρτου αὐτὸν μετα-
λαμβάνειν. καὶ ὅρα τὸ πᾶν αὐτῶν συκοφάντημα καὶ τὸ ὕπουλον 2
τῆς ἀγυρτώδους αὐτῶν διδασκαλίας. ἀπὸ τοῦ γὰρ αὐτοὺς μεμιάνθαι
καὶ λαγνιστέρως πολλάκις πολλὰ πράττειν ἐπὶ τῆς γῆς, εἰς πεισμονὴν
τῆς ἑαυτῶν πληροφορίας τῷ ὕδατι δαψιλῶς χρῶνται, ἵνα δῆθεν
ἑαυτοὺς ἀπατήσωσι, διὰ βαπτισμῶν ἔχειν τὴν κάθαρσιν νομίζοντες.
καὶ ταῦτα εἰς τοὺς ἀποστόλους ἐμπαροινεῖν οὐκ αἰσχύνονται, καίτοι 3
τοῦ κυρίου | ἐλέγχοντος αὐτῶν τὴν κακοτροπίαν ἐν τῷ τὸν Πέτρον Ö276
εἰρηκέναι, ὅτε ἦλθεν τοὺς πόδας αὐτοῦ νίψαι, ὅτι »οὐ μὴ νίψῃς τοὺς
πόδας μου εἰς τὸν αἰῶνα«, καὶ τὴν ἀνθυποφορὰν ὑπὸ τοῦ σωτῆ-
ρος ἐξενεχθῆναι ὅτι »ἐὰν μὴ νίψω σου τοὺς πόδας, | οὐκ ἔχεις μέρος D115
μετ᾽ ἐμοῦ«, κἀκείνου πάλιν ἀνταποκρινομένου ὅτι »οὐ μόνον τοὺς 4
πόδας, ἀλλὰ καὶ τὴν κεφαλήν«, τοῦ δὲ κυρίου πάλιν λέγοντος ὅτι

3 Luk. 1, 34 — **4** Luk. 1, 35 — **15** vgl. zu S. 352, 14 — **24** Joh. 13, 8 — **26** Joh. 13, 8 — **27** Joh. 13, 9

V M

1 f *χειριζομένου* M **2** vor *ὁ* hineingeflickt *ὡς* V corr | *⟨γὰρ⟩* * **3** *εὐθὺς* getilgt, dafür gesetzt *ὅτε* V corr | *εὐηγγελίζετο* aus *εὐαγγελιζόμενος* V corr **7** *⟨εἶναι⟩* * **8** *δὲ* < M **10** *υἱὸν θεὸν* *] *θεὸν υἱὸν* V M | * etwa *⟨σημαίνων⟩* * **11** *ὡς* < M | *ἄλλα* + *τε* M **17** *πᾶν* < V **19** *λαγνεστέρως*, *ε* aus *ι* V corr | *πεισμονὴν*, *ει* auf Rasur V corr *πλησμονὴν* M **22** *ἐνπαροινεῖν* M **23** *ἐν τῷ*] *ἔν τε* M **24** *αὐτοῦ* aus *αὐτῶν* V corr **28** *φησὶν ὁ κύριος* aus *τοῦ δὲ κυρίου πάλιν λέγοντος* V corr

»ὁ λουσάμενος ἅπαξ οὐ χρείαν ἔχει τὴν κεφαλὴν ⟨νίψασθαι⟩, εἰ μὴ τοὺς πόδας μόνον· ἔστιν γὰρ καθαρὸς ὅλος«. ἔδειξεν οὖν ὅτι οὐ χρὴ βαπτισμοῖς χρῆσθαι καὶ ἔθεσιν ἀνωφελέσι καὶ ἐντάλμασιν ἀνθρώπων καὶ διδασκαλίαις, ὡς καὶ ἐν τῷ εὐαγγελίῳ συνῳδὰ τῷ προφήτῃ λέγει »ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾽ ἐμοῦ. μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων«. ἐπεὶ κατὰ ποίαν αἰτίαν ἐμέμφετο τοὺς Φαρισαίους καὶ Γραμματεῖς, τοὺς βαπτισμοῖς πυγμῇ χρωμένους ἑαυτῶν ⟨τε⟩ καὶ ξεστῶν καὶ ποτηρίων καὶ τῶν ἄλλων; καὶ τελείως ἀποφαίνεται ὅτι »τὸ ἀνίπτοις χερσὶν ἐσθίειν οὐ κοινοῖ τὸν ἄνθρωπον«; ὥστε οὐ μόνον τὸ βαπτίζεσθαι τούτων ἀνέτρεψεν, | ἀλλὰ καὶ τὸ P146
νίψαι χεῖρας περιττὸν εἶναι ἔδειξε καὶ τῷ ⟨μὴ⟩ βουλομένῳ τὰς χεῖρας νίπτεσθαι μὴ εἶναι βλάβην.

22. Πῶς δὲ περὶ κρεοφαγίας οὐκ εὐθὺς ἡ αὐτῶν ἄνοια ἐλεγχθήσεται; πρῶτον μὲν τοῦ κυρίου ἐσθίοντος τὸ Πάσχα τῶν Ἰουδαίων. Πάσχα δὲ τῶν Ἰουδαίων πρόβατον ἦν καὶ ἄζυμα, κρέα προβάτου ὀπτὰ πυρὶ ἐσθιόμενα· ὡς καὶ οἱ μαθηταὶ αὐτῷ λέγουσι »ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα;« καὶ αὐτὸς ὁ κύριος λέγει »ἀπέλθετε εἰς τὴν πόλιν καὶ εὑρήσετε ἄνθρωπον βαστάζοντα κεράμιον ὕδατος καὶ ἀκολουθήσατε αὐτῷ ὅπου ὑπάγει καὶ εἴπατε τῷ οἰκοδεσπότῃ, ποῦ ἐστι τὸ κατάλυμα ὅπου ποιήσω τὸ Πάσχα μετὰ τῶν μαθητῶν μου; καὶ δείξει ὑμῖν ὑπερῷον ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε«. 22, 1 2

πάλιν δὲ αὐτὸς ὁ κύριος λέγει »ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ᾽ ὑμῶν«· καὶ οὐκ εἶπεν ἁπλῶς Πάσχα, ἀλλὰ | τοῦτο D116
τὸ Πάσχα, ἵνα μή τις μεθοδεύσῃ εἰς τὴν ἑαυτοῦ ὑπόνοιαν. Πάσχα 3

1 Joh. 13, 10 — **3 f** vgl. Kol. 2, 22 (Jes. 29, 13) — **5** Matth. 15, 8 = Jes. 29, 13 — **7 ff** vgl. Mark. 7, 4 — **10** Matth. 15, 20 — **14 ff** vgl. zu S. 352, 15 ff — **17** Mark. 14, 12 — **18 ff** Mark. 14, 13 ff — **23** Luk. 22, 15

V M **14**—S. **363**, **14** verkürzt angeführt Concil. Nymphaeae hab. Mansi XIII 303 B; dasselbe bei Corderius, Catena in Luc. p. 551

1 ⟨νίψασθαι⟩ * **2** ὅλως M **4** ἐν ἑτέρῳ aus ἐν τῷ V corr **6** διδάσκοντες < M **6 f** διδασκαλίαις M **8** πυγμῇ ausradiert V corr **8 f** ἑαυτῶν ⟨τε⟩ καὶ *] ἑαυτοῖς καὶ V M ausradiert V corr **9** nach τῶν ἄλλων am Rande nachgetragen καὶ πυγμῇ τὰς χεῖρας νιπτομένους V corr < M **10** τὸ nachgetragen V corr **12** ⟨μὴ⟩ Corn. **14** περὶ < M | κρεωφαγίας V **16** πάσχα δὲ τῶν Ἰουδαίων am Rande nachgetragen V corr | ἦν < M **18** τὸ πάσχα φαγεῖν M **18 f** ἀπέλθατε, ε drüber V corr **25** ἵνα μήτις — ὑπόνοιαν am Rande nachgetragen V corr < M

δὲ ἦν, ὡς εἶπον, κρέα ὀπτὰ πυρὶ καὶ τὰ ἄλλα. αὐτοὶ δὲ ἀφανί- 4
σαντες ἀφ' ἑαυτῶν τὴν τῆς ἀληθείας ἀκολουθίαν ἤλλαξαν τὸ ῥητόν,
ὅπερ ἐστὶ πᾶσι φανερὸν ἐκ τῶν συνεζευγμένων λέξεων, καὶ ἐποίησαν
τοὺς μαθητὰς μὲν λέγοντας »ποῦ θέλεις ἑτοιμάσωμέν σοι τὸ Πάσχα
φαγεῖν«, καὶ αὐτὸν δῆθεν λέγοντα »μὴ ἐπιθυμίᾳ ἐπεθύμησα κρέας
τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν«. πόθεν δὲ οὐ φωραθήσεται ἡ 5
αὐτῶν ῥᾳδιουργία, τῆς ἀκολουθίας κραζούσης ὅτι τὸ μῦ καὶ τὸ ἦτά
ἐστι πρόσθετα; ἀντὶ τοῦ γὰρ εἰπεῖν »ἐπιθυμίᾳ ἐπεθύμησα« αὐτοὶ
προσέθεντο τὸ »μή« ἐπίρρημα. αὐτὸς δὲ ἀληθῶς ἔλεγεν »ἐπιθυμίᾳ
ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν«· αὐτοὶ δὲ ἐπιγρά- Ö278
ψαντες τὸ κρέας ἑαυτοὺς ἐπλάνησαν, ῥᾳδιουργήσαντες καὶ εἰπόντες
»μὴ ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ Πάσχα κρέας φαγεῖν μεθ' ὑμῶν«·
σαφῶς δὲ δείκνυται ὅτι καὶ Πάσχα ἐπετέλεσε καὶ κρέα βέβρωκεν, ὡς
προεῖπον. ἀλλὰ καὶ ἀπὸ τοῦ ὁράματος ἐλεγχθήσονται τοῦ ἀπο- 6
καλυφθέντος τῷ ἁγίῳ Πέτρῳ διὰ τῆς ὀθόνης τῆς ἐχούσης πάντα ἐν
αὐτῇ θηρία τε καὶ κτήνη καὶ ἑρπετὰ καὶ πετεινὰ καὶ φωνῆς κυρίου
λεγούσης »ἀναστὰς θῦσον καὶ φάγε«· | καὶ τοῦ Πέτρου λέγοντος »μη- P147
δαμῶς, κύριε· οὐδὲν κοινὸν ἢ ἀκάθαρτον εἰσῆλθεν εἰς τὸ στόμα
μου«, φησὶν ὁ κύριος »ἃ ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου«. εὑρε- 7
θήσεται γὰρ ἐκ δύο τρόπων τῆς ἀληθείας ἡ σύστασις. εἰ μὲν γὰρ
ἐροῦσι κατὰ πάντων τῶν βρωμάτων διεξεληλυθέναι ⟨τὸν⟩ λόγον τοῦ
ἁγίου Πέτρου λέγοντος ὅτι οὐδέποτε κοινὸν ἢ ἀκάθαρτον ⟨εἰσῆλθεν
εἰς τὸ στόμα μου⟩, ὡς καὶ βόας καὶ αἶγας καὶ πρόβατα καὶ ὄρνεις
κοινὰ λέγεσθαι παρ' αὐτῷ, εὐθὺς ἐλεγχθήσονται ἐκ τῆς προτέρας
αὐτοῦ ἀναστροφῆς. μετὰ γὰρ τὸ γῆμαι καὶ τέκνα κεκτῆσθαι καὶ 8
πενθερὰν ἔχειν συνέτυχε τῷ σωτῆρι, ἐξ Ἰουδαίων ὁρμώμενος. Ἰου- D117
δαῖοι δὲ καὶ | σάρκας ἐσθίουσι καὶ κρεοφαγία παρ' αὐτοῖς οὐκ ἐβδέ-

17 Act. 10, 13 — **17 f** Act. 10, 14 — **19** Act. 10, 15 — **25 f** vgl. Matth. 8, 14; das *τέκνα κεκτῆσθαι* setzt die Legende von der Tochter des Petrus (Petrusakten) voraus

V M **19—S. 364, 15** Catena in Acta S. 178, 17ff Cramer (= cat.)

9 *προσέθηκαν* aus *προσέθεντο* V corr | *ἐπίρρημα*, *ρ* drüber V corr **12** *τὸ* getilgt M **13** *καὶ*[1]] *τὸ* M | *κρέας* M **17** *ἀνάστα* M **19** *ἐκαθάρισεν*, *ά* V orr **20** *γὰρ*[1] < cat. **21** *κατὰ*] *διὰ*, aber getilgt u. *κατὰ* dafür am Rande V corr | *τῶν* < V | ⟨*τὸν*⟩ * **21 f** *τοῦ ἁγίου Πέτρου λέγοντος* *, vgl. S. 364, 3] *τὸν ἅγιον Πέτρον καὶ λέγειν* V M cat. **22 f** ⟨*εἰσῆλθεν εἰς τὸ στόμα μου*⟩ * **23** *καὶ ὄρνεις* < M **25** vor *μετὰ γὰρ* + *ὁ δὲ Πέτρος*, jedoch getilgt V **27** *κρεοφαγία*, *ο* aus *ω* V u. M **27 f** *οὐ βεβδέλυκται* M *οὐκ ἔστι βδελυκτὴ* cat.

λυκται οὐδὲ ἀπηγόρευται. ἆρα γοῦν αὐτοῦ βεβρωκότος ἀπ᾽ ἀρχῆς — 9
εἰ καὶ ἕως τοῦ συναντῆσαι τῷ σωτῆρι εἴποιμεν — δειχθήσεται ὅτι οὐδὲν
κοινὸν ἡγήσατο τῶν οὐ κοινῶν λεγομένων. καὶ γὰρ οὐ κατὰ πάν-
των διεξήγαγε τὸ κοινὸν καὶ ἀκάθαρτον, ἀλλὰ περὶ ὧν ἔλεγεν ὁ
νόμος κοινῶν καὶ ἀκαθάρτων. πάλιν δὲ τούτου δειχθέντος ὅτι οὐ 10
περὶ πάντων τῶν κρεῶν αὐτῷ ἤγετο ὡς κοινῶν πάντων ὄντων,
ἀλλὰ περὶ τῶν ἐν τῷ νόμῳ κοινῶν τε καὶ ἀκαθάρτων, ὁ θεὸς τῆς
ἁγίας Χριστοῦ ἐκκλησίας τὸν χαρακτῆρα παραδιδοὺς ἔλεγεν αὐτῷ
μηδὲν κοινὸν ἡγεῖσθαι· »πάντα γάρ ἐστι καθαρὰ μετὰ εὐχαριστίας
καὶ εὐλογίας θεοῦ λαμβανόμενα.« ἀλλ᾽ εἰ καὶ περὶ τῆς κλήσεως τῶν 11
ἐθνῶν τὸ αἴνιγμα εἶχεν, ἵνα μὴ ἡγήσηται τοὺς ἐν ἀκροβυστίᾳ κοι-
νοὺς ἢ ἀκαθάρτους, ὅμως ἡ ἔμφασις τοῦ Πέτρου οὐ περὶ ἀνθρώπων
εἶχε τὴν ὑπόνοιαν, ἀλλὰ περὶ τῶν ἐν τῷ νόμῳ ἀπηγορευμένων, ὡς
καὶ παντί τῳ σαφὲς ἂν εἴη· καὶ ἐξέπεσεν αὐτῶν πανταχόθεν ὁ ληρώ-
δης λόγος.

23. Τῶν δὲ ἀποστόλων τὰ ὀνόματα εἰς τὴν τῶν ἠπατημένων 23, 1
ὑπ᾽ αὐτῶν πειθὼ προσποιητῶς δέχονται βίβλους τε ἐξ ὀνόματος
αὐτῶν πλασάμενοι ἀνεγράψαντο, δῆθεν ἀπὸ προσώπου Ἰακώβου καὶ
Ματθαίου καὶ ἄλλων μαθητῶν. ἐν οἷς ὀνόμασι καὶ τὸ ὄνομα 2
Ἰωάννου τοῦ ἀποστόλου ἐγκαταλέγουσιν, ἵνα πανταχόθεν φωρατὴ
γένηται ἡ αὐτῶν ἄνοια. | οὐ μόνον γὰρ ἐλέγχει αὐτοὺς κατὰ πάντα Ö280
τρόπον, λέγων ὅτι »ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν
θεὸν καὶ θεὸς ἦν ὁ Λόγος«, ἀλλὰ καὶ ὅτι τὰς τῶν ἁγίων προφητῶν 3
μαρτυρίας *, ἐν ᾧ | ἐκ πνεύματος ἁγίου ὁρμώμενος καὶ τὰ ὑπὸ τοῦ P148
σωτῆρος εἰρημένα καλῶς ἀκριβολογήσας περὶ ἑκάστης ὑποθέσεως
τῆς εἰς Χριστὸν πληρωθείσης, ὡς εἶπον, τὰς μαρτυρίας ἐξέθετο, ἀφ᾽
ὧν προφητῶν οὗτοι ἑαυτοὺς ἀπηλλοτρίωσαν. | καὶ εὐθὺς ἔδειξεν 4 D11
ὡς τοῖς πρὸς Ἰωάννην τὸν βαπτιστὴν ὑπὸ τῶν Φαρισαίων πεμφ-

9f vgl. Röm. 14, 20 u. I Tim. 4, 3 — **19f** gemeint sind wohl Johannesakten; vielleicht dieselben wie bei den Enkratiten vgl. haer. 47, 1, 4 — **22** Joh. 1, 1

V M cat. (bis Z. 14 *σαφὲς ἂν εἴη*)

1 *οὖν* cat. **2** *εἰ καὶ* + ⟨*μόνον*⟩? * | *ἕως*] *εὐθέως* cat. | *εἴποιμεν* cat.] *εἴποιμ᾽ ἂν* V M **3** *ἡγήσατο κοινὸν* cat. **4** *διεξήγαγε*] *ἀπεφήνατο* cat. **6** *αὐτῷ* < cat. | *ἤγετο* getilgt, dafür am Rande *ἔλεγεν* V corr *ἔλεγεν* cat. | *πάντων ὄντων* < cat. **8** *παραδοὺς* cat. **9** vor *ἐστὶ* + *αὐτῷ* cat. **11** *εἶχεν* < cat. **12** *ἡ ἔμφασις*] *ὁ λόγος* cat. | *ἀνθρώπων* cat.] *ἀνθρώπου* V M **13** *τὴν ὑπόνοιαν*] *τὴν ἔμφασιν* cat. **14** *τω* aus *τὸ* V corr *τὸ* M < cat. **24** * etwa ⟨*δέχεται, δῆλον ἐκ τοῦ αὐτοῦ εὐαγγελίου*⟩ * **26** *τὰς μαρτυρίας* + ⟨*τῶν προφητῶν*⟩? *

θεῖσιν αὐτὸς Ἰωάννης ἀποκρίνεται λέγων »ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, εὐθύνατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης«. καὶ πάλιν αὐτὸς Ἰωάννης λέγει, ἀπὸ τῶν προφητῶν λαβὼν τὴν μαρτυρίαν (φημὶ δὲ ἀπὸ τοῦ Δαυίδ), ὅτε ὁ κύριος τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψε καὶ εἶπεν· μὴ ποιῆτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου, »ἐμνήσθησαν ὅτι ἦν γεγραμμένον ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέν με«. καὶ πάλιν αὐτὸς Ἰωάννης εἶπεν ὅτι »Ἡσαΐας εἶδεν ὧν ἐν πνεύματι ἁγίῳ«.

24. *Πάλιν δὲ ὁ αὐτὸς ἅγιος Ἰωάννης κηρύττων ἐν τῇ Ἀσίᾳ* **24, 1** *ἱστορεῖται παράδοξον ἔργον τι πεποιηκὼς εἰς ὑπογραμμὸν τῆς ἀληθείας. πολιτείαν γὰρ ἔχων θαυμασιωτάτην καὶ συμπρέπουσαν αὐτοῦ τῷ ἀξιώματι τῆς ἀποστολῆς καὶ μηδ' ὅλως λουόμενος, ἠναγκάσθη ὑπὸ τοῦ ἁγίου πνεύματος προελθεῖν ἕως τοῦ βαλανείου, εἰπὼν ὅτι »λάβετέ μοι τὰ πρὸς βαλανεῖον«. καὶ τῶν συνεπομένων θαυμαζόντων* **2** *ἦλθεν εἰς αὐτὸ τὸ λουτρὸν καὶ γεγονὼς πρὸς τὸν εἰωθότα ὑποδέχεσθαι τῶν λουομένων τὰ ἱμάτια ἤρετο τίς ἔνδον ἐστὶν ἐν τῷ βαλανείῳ· ὁ δὲ ὀλεάριος ⟨ὁ⟩ ἐπὶ τῷ φυλάττειν τὰ ἱμάτια προσκαρτερῶν (ἐν τοῖς γὰρ γυμνασίοις ἔργον τοῦτό τισιν ὑπάρχει παρισμοῦ* **3** *ἕνεκα τῆς ἐφημέρου τροφῆς) ἔφη τῷ ἁγίῳ Ἰωάννῃ ὅτι Ἐβίων ἔνδον ἐστίν. Ἰωάννης δὲ εὐθὺς συνεὶς τὴν τοῦ ἁγίου πνεύματος ὁδηγίαν,* **4** *δι' ἣν αἰτίαν προὐτρέψατο αὐτὸν ἕως τοῦ βαλανείου ἥκειν, ὡς ἔφην, μνήμης ἕνεκα τοῦ καταλιπεῖν ἡμῖν τὴν τῆς ἀληθείας ὑπόθεσιν, ὅτι τίνες εἰσὶν οἱ δοῦλοι Χριστοῦ καὶ ἀπόστολοι καὶ υἱοὶ τῆς αὐτῆς ἀληθείας, τίνα δέ ἐστι τὰ σκεύη τοῦ πονηροῦ καὶ πύλαι Ἅιδου, μὴ κατισχύουσαι τῆς πέτρας καὶ τῆς ἐπ' αὐτῇ οἰκοδομηθείσης ἁγίας θεοῦ ἐκκλησίας, εὐθὺς ταράξας ἑαυτὸν καὶ οἰμώξας,* | *ἠρέμα εἰς τὸ πάντας* **5** D119
ἀκοῦσαι εἰς μαρτύριον παραστάσεως ἀχράντου διδασκαλίας | *»σπεύσατε,* P149
ἀδελφοί« ἔφη »ἐξέλθωμεν ἐντεῦθεν, μὴ πέσῃ τὸ βαλανεῖον καὶ κατορύξῃ ἡμᾶς μετὰ Ἐβίωνος τοῦ ἔνδον ἐν τῷ βαλανείῳ διὰ τὴν αὐτοῦ

1 Joh. 1, 23 — **6** Joh. 2, 17 — **8** vgl. Joh. 12, 41 — **9ff** Verwechslung mit Kerinth, vgl. Irenaeus III 3, 4; II 13 Harvey — **24f** vgl. Matth. 16, 18

V M

1 *αὐτὸς* am Rande nachgetragen V^{corr} < M **4** *ὁ κύριος* am Rande nachgetragen V^{corr} < M **5** *ποιεῖτε* V **7** *αὐτὸς* + *ὁ* M **10** *ἔργον* < M **11** *γὰρ ἔχων*] *παρέχων* M **14** *τὰ* oben hineingeflickt V^{corr} | *ἑπομένων* M **15** *γενόμενος* aus *γεγονὼς* V^{corr} **17** ⟨*ὁ*⟩ * | *ἐπὶ τῷ* U] *ἐπὶ τὸ* V *ἐπὶ τῶν* M **18** *γὰρ* oben hineingeflickt V^{corr} **24f** *κατισχύσαι* M **25** *ἐπ' αὐτῆς* V **27** *παρατάσεως* M **28f** *κατορύξῃ ἡμᾶς* getilgt, dafür am Rande *ἀπολώμεθα* V

ἀσέβειαν«. καὶ μηδεὶς θαυμαζέτω ἐπὶ τῷ ἀκοῦσαι Ἐβίωνα Ἰωάννῃ 6
συντετυχηκέναι. πολυχρόνιος γὰρ καταμείνας τῷ βίῳ ὁ μακάριος
Ἰωάννης διήρκεσεν ἄχρι τῆς τοῦ Τραϊανοῦ βασιλείας. πάντες δὲ 7
οἱ ἀπόστολοι ὅτι ἀπαλλοτριοῦσι τὴν τοῦ Ἐβίωνος πίστιν καὶ ἀλλο-| Ö282
τρίαν ἠγήσαντο τοῦ αὐτῶν κηρύγματος τοῦ χαρακτῆρος, παντί τῳ
δῆλον.

25. Περὶ δὲ τοῦ ἁγίου Παύλου ὡς βλασφημοῦντες αὐτὸν λέγουσι 25, 1
πόσα ἔχω λέγειν; πρῶτον μὲν γὰρ λέγουσιν αὐτὸν Ἕλληνά τε καὶ
ἐξ ἐθνῶν ὑπάρχειν, προσήλυτον δὲ γεγονέναι ὕστερον. πῶς οὖν 2
αὐτὸς λέγει περὶ ἑαυτοῦ ὅτι »Ἑβραῖος ἐξ Ἑβραίων, ἐκ σπέρματος
Ἀβραάμ, φυλῆς Βενιαμίν, κατὰ νόμον Φαρισαῖος, περισσοτέρως ζηλω-
τὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων«· καὶ ἐν ἄλλῳ τόπῳ 3
λέγει »Ἰσραηλῖταί εἰσι, κἀγώ· σπέρμα Ἀβραάμ εἰσι, κἀγώ«, καί φησι
»περιτομῇ ὀκταήμερος καὶ ἀνατεθραμμένος παρὰ τοὺς πόδας Γαμα-
λιὴλ καὶ Ἑβραῖος ἐξ Ἑβραίων«. καὶ ὧ τῶν δεινῶν ἑρπετῶν τὰ 4
δεινὰ κωκύματα καὶ τὰ δρακοντοειδῆ συρίγματα καὶ τῆς κενοφωνίας
τὰ δηλητήρια. τίνος δὲ λήψομαι τὴν μαρτυρίαν; Ἐβίωνος καὶ τῶν
κατ' αὐτὸν ἢ τοῦ ἁγίου Πέτρου τοῦ λέγοντος »ὡς ἔγραψεν ὑμῖν ὁ
ἀδελφός μου Παῦλος, ἅτινά ἐστι βαθέα καὶ δυσερμήνευτα, ἃ οἱ ἀμα-
θεῖς καὶ ἀστήρικτοι διαστρέφουσι τῇ ἑαυτῶν ἀγνωσίᾳ«; πάλιν δὲ 5
ὁ ἅγιος Παῦλος μαρτυρεῖ καὶ αὐτὸς τοῖς περὶ Πέτρον λέγων »Ἰάκω-
βος καὶ Ἰωάννης καὶ Κηφᾶς, οἱ δοκοῦντες στῦλοι εἶναι, δεξιὰς ἔδω-
καν ἐμοί τε καὶ Βαρνάβᾳ κοινωνίας«. κἂν τε γὰρ Ταρσέα ἑαυτὸν
εἴποι, οὐκ ἀπὸ τούτου πάντως δέδοται πρόφασις τοῖς λεξι|θηροῦσι D120
τὰ εἰς ἑαυτῶν καταστροφὴν καὶ τῶν πειθομένων * οὕτως ἔχειν.
καὶ γὰρ καὶ Βαρνάβαν λέγει, Ἰωσήφ ποτε καλούμενον Βαρνάβαν δὲ 6
μετακληθέντα, υἱὸν παρακλήσεως ἑρμηνευόμενον, Λευίτην Κύπριον

2f vgl. Irenaeus III 3, 4; II 15 Harvey — **10** Phil. 3, 5 Gal. 1, 14 — **13** II Kor. 11, 22 — **14** Phil. 3, 5 Act. 22, 3 — **18** II Petr. 3, 15f — **21** Gal. 2, 9 — **23** vgl. Act. 22, 3 — **26** Act. 4, 36

V M

1 ἐπὶ τὸ M **2** συντετυχέναι M | γὰρ] δὲ M **3** ἄχρι] ἕως M **5** τω aus τὸ V τὸ M **7** ὡς — λέγουσιν am Rande nachgetragen V^{corr} < M **8** γὰρ angeflickt V^{corr} **10** αὐτοῦ M **11** Βενιαμεὶν M **12** παραδό|σεων, ο aus ω V^{corr} παραδώσεων M **14f** Γαμαλιήλου M **16** δεινὰ < M | κωκύματα aus κνήματα V^{corr} κνήματα M **17** λή|||ψομαι, μ ausradiert V **18** τοῦ^{2} < M **21** καὶ angeflickt V^{corr} **23** αὐτὸν M **24** λεξιθηροῦσι aus λέξεσι θηροῦσι V^{corr} **25** * etwa (αὐτοῖς ὑπ' αὐτῶν πεπλασμένα) * **26** καὶ^{2} < M

τῷ γένει. καὶ οὐ πάντως ἐπειδὴ Κύπριος ἦν, οὐκ ἦν ἀπὸ τοῦ Λευί, ὡς καὶ ὁ ἅγιος Παῦλος, εἰ καὶ ἀπὸ Ταρσοῦ ὡρμᾶτο, οὐκ ἦν ἀλλότριος τοῦ Ἰσραήλ. διασπαρέντων γὰρ | πολλῶν ἐν τοῖς χρόνοις 7 P150
Ἀντιόχου τοῦ Ἐπιφανοῦς καὶ ἐν χρόνοις ἄλλοις, καθότι συνέβαινε
πόλεμος, καὶ αἰχμαλωτισθέντων καὶ †δοθέντων εἰς πολιορκίαν, οἱ μὲν αἰχμάλωτοι ἀρθέντες ἐπέμειναν ἔν τισι τόποις, οἱ δὲ ἀπὸ τῆς τοιαύτης αἰτίας ἀναχωρήσαντες κατῴκουν ἕκαστος ὅπου κατείληφεν. ὡς καὶ ὁ ἅγιος Ἱερεμίας ἔλεγε· περὶ τοῦ Ἰσραήλ, καθάπερ πολλάκις 8
τοῦτο αὐτὸ συμβέβηκε τὸ ἀποδιδράσκειν ἀπὸ προσώπου τῶν πολε-
μίων, ὅτι »καὶ εἰς Κιτιεῖς ἐὰν ἀπέλθῃς, οὔτε ἐκεῖ σοι ἀνάπαυσις ἔσται«. παντὶ δέ τῳ δῆλόν ἐστιν ὅτι Κίτιον ἡ Κυπρίων νῆσος κα- 9
λεῖται· Κίτιοι γὰρ Κύπριοι καὶ Ῥόδιοι. ἀλλὰ καὶ ἐν τῇ Μακεδονίᾳ τὸ γένος κατῴκηκε Κυπρίων τε καὶ Ῥοδίων· ὅθεν δὴ καὶ Ἀλέξανδρος ὡρμᾶτο ὁ Μακεδών. καὶ τούτου ἕνεκεν ἐμφέρεται ἐν τοῖς
Μακκαβαίοις ὅτι »ἐξῆλθεν [σπέρμα] ἐκ γῆς Κιτιέων«· καὶ γὰρ ἐκ σπέρματος τῶν Κιτιέων Ἀλέξανδρος ὁ Μακεδών. ἀλλὰ γενόμενος 10
πάλιν ἐν τῷ τόπῳ |, διὰ τὸν ὑποπεσόντα λόγον διεξελθὼν τὴν περὶ Ö284
τούτων ἱστορίαν, φημὶ ὅτι ἀπὸ τῆς μετοικήσεως πολλοὶ τὰς ἄλλας χώρας κατοικήσαντες τοῦ Ἰσραὴλ ἦσαν σπέρματος κατὰ διαδοχήν.
ἐλέγοντο γὰρ καὶ ἑκάστης χώρας πατριῶται, ὡς καὶ αἱ θυγατέρες 11
τοῦ Ἰοθὸρ τὴν ἀντίληψιν τοῦ Μωυσέως τῷ πατρὶ ἀπήγγειλαν, ὡς ἀποστήσας τοὺς ποιμένας ἐπότισεν αὐτῶν τὰ πρόβατα, καὶ πορευθεῖσαι περὶ τούτου ὑφηγοῦντο τῷ ἰδίῳ πατρί, τοῦ δὲ λέγοντος ὅτι »διὰ τί ἐταχύνατε σήμερον τοῦ ἐλθεῖν;« πρὸς αὐτὸν ἔφασαν ὅτι 12
»ἀνὴρ Αἰ|γύπτιος ἐρύσατο ἡμᾶς ἀπὸ τῶν ποιμένων καὶ ἤντλησε καὶ D121
ἐπότισεν ἡμῶν τὰ θρέμματα«, καὶ εὐθὺς ὁ αὐτὸς ἔφη πρὸς αὐτάς »διὰ τί οὐκ ἠγάγετε αὐτὸν ὧδε, ἵνα φάγῃ ἄρτον;« τίς δὲ οὐκ 13

8—11 vielmehr Jes. 23, 12 — **15** I Makk. 1, 1 — **24 ff** Exod. 2, 18f — **27** Exod. 2, 20 — **27 ff** vgl. Exod. 6, 16ff

V M

4 εἴποτε aus *καθότι* V corr **5** *καὶ*[1] < V | † *δοθέντων εἰς πολιορκίαν*] lies wohl *ἀποδράντων διὰ πολιορκίαν* *, vgl. Z. 7 *ἀναχωρήσαντες* u. Z. 9 *ἀποδιδράσκειν* **6** lies *ἀχθέντες*? * | *τῆς* < V **9** *αὐτῶ* M | *ἀποδράσκειν* V **9 f** *πολέμων* M **10** *εἰς σκιτιεῖς* M **11** *τῳ*] *τὸ* M **15** [*σπέρμα*] * **16** *Κιτιέων* *] *Ἑλλήνων* V M **17** *ἐμπεσόντα*, *ἐμ* aus *ὑπο* V corr | *διεξῆλθον* aus *διεξελθὼν* V corr **18** *φημὶ* *] *πλὴν* V M **19** ///*οικήσαντες*, *κατ* wegradiert V corr *κατωκήσαντες* M **21** *ἀντίλη*///*ψιν*, *μ* wegradiert V corr **22** vor *ἀποστήσας* + *ὁ* M | *πρόβατα*] *θρέμματα* M **23 f** *τί ὅτι* aus *ὅτι διὰ τί* V corr **24** *πρὸς*] *ἐπ᾽* V

οἶδεν ὅτι Μωυσῆς υἱὸς μὲν γίνεται τοῦ Ἀμρὰμ καὶ τῆς Ἰωχαβέτ, Ἀμρὰμ δὲ τοῦ Καάθ, Καὰθ δὲ τοῦ Λευί, Λευὶ δὲ τοῦ Ἰακώβ, Ἰακὼβ δὲ τοῦ Ἰσαάκ, Ἰσαὰκ δὲ τοῦ Ἀβραάμ; καὶ οὐκ ἀπὸ τοῦ καλεῖσθαι τὸν Μωυσέα Αἰγύπτιον πάντως ἡ τῆς εὐγενείας καὶ τοῦ σπέρματος διέπεσεν ἀκολουθία. οὗτοι δὲ καταλείψαντες τὴν ὁδὸν οἱ ἀπὸ τοῦ **14** Ἐβίωνος πεπλανημένοι ἐπὶ πολλὰς διεστραμμένας ὁδοὺς καὶ ἀνάντη τρίβον τὸν νοῦν ἐκδεδώκασιν.

26. Αὐχοῦσι δὲ πάλιν περιτομὴν ἔχοντες καὶ σεμνύνονται δῆθεν **26,1** ταύτην εἶναι σφραγῖδα καὶ χαρακτῆρα τῶν τε πατριαρχῶν καὶ δικαίων τῶν κατὰ τὸν νόμον πεπολιτευμένων, | δι' ἧς ἐξισοῦσθαι P151 ἐκείνοις νομίζουσι· καὶ δῆτα ἀπ' αὐτοῦ τοῦ Χριστοῦ τὴν σύστασιν ταύτης βούλονται φέρειν, ὡς καὶ οἱ περὶ Κήρινθον. φασὶ γὰρ καὶ **2** οὗτοι κατὰ τὸν ἐκείνων ληρώδη λόγον »ἀρκετὸν τῷ μαθητῇ εἶναι ὡς ὁ διδάσκαλος«· »περιετμήθη, φησίν, ὁ Χριστός, καὶ σὺ περιτμήθητι«. * καὶ ἵνα κατὰ πάντα τρόπον καταισχύνηται τῆς πλάνης **3** τὰ σπέρματα· καθάπερ χαλινὸς τῇ θαλάσσῃ ἐκ θεοῦ ὁρισθείς, κλεῖθρα καὶ πύλαι, ψάμμος ὅριον θαλάσσῃ καὶ πρόσταγμα τό »ἕως τούτου

8ff vgl. Irenaeus adv. haer. I 26, 2; I 213 Harvey *et circumciduntur ac perseverant in his consuetudinibus quae sunt secundum legem* u. Hippolyt refut. VII 34, 1f; S. 221, 10ff Wendland ἔθεσιν Ἰουδαϊκοῖς ζῶσι, κατὰ νόμον φάσκοντες δικαιοῦσθαι καὶ τὸν Ἰησοῦν λέγοντες δεδικαιῶσθαι ποιήσαντα τὸν νόμον· διὸ καὶ Χριστὸν αὐτὸν τοῦ θεοῦ ὠνομάσθαι καὶ Ἰησοῦν (lies υἱόν? *), ἐπεὶ μηδεὶς τῶν ⟨ἑτέρων⟩ ἐτέλεσε τὸν νόμον· εἰ γὰρ καὶ ἕτερός τις πεποιήκει τὰ ἐν νόμῳ προστεταγμένα, ἦν ἂν ἐκεῖνος ὁ Χριστός. δύνασθαι δὲ καὶ ἑαυτοὺς ὁμοίως ποιήσαντας Χριστοὺς γενέσθαι· καὶ γὰρ καὶ αὐτὸν ὁμοίως ἄνθρωπον εἶναι πᾶσι λέγουσιν — **11ff** vgl. haer. 28, 5, 1ff; S. 317, 11ff u. Ps. Tertullian adv. omn. haer. 3 *et quia scriptum sit: nemo discipulus super magistrum nec servus super dominum, legem etiam proponit* (sc. Ebion) — **13** Matth. 10, 25 — **16** vgl. Hiob 38, 10 — **17f** Hiob 38, 11

V M

1 u. **2** Ἀμ$^{\beta}$ρὰμ, β oben drüber V^{corr} **5** vor *οὗτοι* ein *οὐκοῦν* hineingeflickt, dafür *γὰρ* getilgt V^{corr} | *δὲ* *] *γὰρ* V M **9** hinter *σφραγῖδα* am Rande nachgetragen *ἡγούμενοι* V^{corr} < M **10** *δι' οὗς — νομίζουσι* am Rande nachgetragen V^{corr} < M | *ἧς* *] *οὗς* V **14** hinter *περιετμήθη* ein *γὰρ* hineingeflickt V^{corr} **15** *] es muß ein Satz ausgefallen sein, in dem Christus Subjekt war: so fordert es das *καταισχύνηται* u. die Wiederaufnahme S. 369, 20 * **16** *τῆς θαλάσσης* M **17** *θαλάσσῃ* getilgt V^{corr} | *πρόσταγμα τὸ ἕως* aus *προστάγματος ἕως* V^{corr} *προστάγματος ὡς* M

ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, ἀλλὰ ἐν σεαυτῇ συντριβήσονταί σου τὰ κύματα« ⟨ὥς⟩ φησιν, οὕτω καὶ οὗτοι ἐν ἑαυτοῖς καταδαπανηθήσονται. ἀλλὰ ἐκεῖ μὲν ἐκ θεοῦ προστάγματος εἰς εὐταξίαν θαλάσσης ἐκ θεοῦ 4
εἴρηται ὁ τοῦ ὄρου λόγος, ἐνταῦθα δὲ ἀφ' ἑαυτῆς ἡ κακία καὶ ἡ
5 πλάνη τυφλώττουσα τὸν νοῦν καὶ τὸν εὐσεβῆ λογισμὸν ἀποστρεφομένη προὔλαβε καθ' ἑαυτῆς ὥσπερ κύματα ἐγείρειν, τὰ σχέτλια τῶν προαπαγγελλομένων αὐτῆς ὑπολήψεων ἑτέροις κύμασιν ἑαυτῆς συγ|- D122
κρούουσα καὶ ἐν ἑαυτῇ ἀεὶ συντριβομένη ἑαυτήν ⟨τε⟩ διαλύουσα, — ἢ 5
καθάπερ ἑρπετὸν δεινὸν ἑαυτὸ λυμαινόμενον καὶ ἀντιστρεφόμενον
10 ἀπὸ τῆς κέρκου καὶ ἑαυτὸ βιβρῶσκον αὐτὸ ἑαυτοῦ ἀναλωτικὸν | γινό- Ö286
μενον. τοῦτο γάρ φασι γεγενῆσθαι καιρῷ ὑπὸ ἀσπίδων συγκλει- 6
σθεισῶν ἐν πίθοις, καὶ ἑκάστης τὴν ἑτέραν καταναλωσάσης τὴν δὲ ἰταμωτέραν καὶ χαλεπωτέραν εἰς ὕστερον μεμενηκέναι· μόνην ⟨δὲ⟩ καταλειφθεῖσαν καὶ εἰς πεῖναν ἐλθοῦσαν ἀπὸ τῆς ἰδίας κέρκου ἀρξα-
15 μένην ἑαυτὴν καταβεβρωκέναι ἱστοροῦσί τινες φυσιολόγοι κατὰ τὴν Αἰγυπτίων χώραν. ὅθεν καὶ ἁρμοδίως τὸ ὄνομα αὐτῆ ἐπέθεντο, διὰ τὴν κεφαλὴν τῆς Γοργόνος καὶ ταύτην ἀσπιδογοργόνα καλοῦντες.
οὕτω καὶ ὁ ματαιόφρων Ἐβίων καὶ οἱ ἀμφ' αὐτὸν προὔλαβον ἑαυ- 7
τοὺς κατατέμνοντες καὶ ἀναιροῦντες ἀπ' ἀρχῆς ἐκεῖνα ἐφ' οἷς καὶ
20 σεμνύνονται. Χριστὸς γὰρ ἑαυτὸν οὐ περιέτεμεν, παιδίον γεννηθείς· 8
δόξα δὲ τῷ ἐλεήμονι θεῷ, ὅτι ἑαυτὸν προέλαβεν ὁ Ἐβίων, ἵνα τὰ ἀληθινὰ μὴ ὁμολογήσῃ, εἰς τὸ καὶ ἔλεγχον αὐτῷ τοῦτο γενέσθαι.
εἰ μὲν γὰρ ἔλεγεν αὐτὸν θεὸν ἄνωθεν ἥκοντα περιτετμῆσθαι τὴν 9
ὀκταήμερον ⟨περιτομὴν⟩ ὑπὸ τῆς Μαρίας, τὸ τηνικαῦτα (θεὸς ὢν καὶ
25 συγχωρῶν κατὰ ἰδίαν εὐδοκίαν) παρεῖχεν ἂν τῷ ἀγύρτῃ τὴν περὶ τῆς περιτομῆς πιθα|νολογίαν. ὁπότε δὲ ψιλὸν ἄνθρωπον αὐτὸν γεγε- P152
νῆσθαι ἀπὸ ἀνθρώπων παρεισφέρει, οὐκέτι αἰτιός ἐστιν ὁ παῖς, εἰ καὶ τὴν ὀκταήμερον περιτομὴν περιετμήθη. οὐ γὰρ ἑαυτὸν περιέ- 10

11ff vgl. haer. 22, 2, 2ff; S. 246, 19ff

V M

2 ⟨ὥς⟩ * | ἑαυτοῖς, ἑ oben drüber V^{corr} **3** ἀλλ' M | θεοῦ^{1} in θείου verändert V^{corr} **6** ἐγείρουσα aus ἐγείρειν V^{corr} **8** ⟨τε⟩ * | διαλύουσα *] διαλύει V M **9** ἑαυτοῦ M **10** ἑαυτῶ^{1} M | βιβρῶσκον getilgt, dafür am Rande κατεσθίον V^{corr} | αὐτὸ nachgetragen V^{corr} < M | ἑαυτῶ^{2} M **10f** γίνεται aus γινόμενον V^{corr} **12** [δὲ]? * **13** ⟨δὲ⟩ * **15** καταβρωκέναι M **16** ἁρμο//δίως, ο aus ω V **20** γεννηθεὶς getilgt u. dafür am Rande γὰρ ἦν V^{corr} **23** ἄνωθεν θεὸν M **24** ⟨περιτομὴν⟩ *, vgl. Z. 28 **25** τὴν περὶ < V; τινὰ statt τὴν? * **26** δὲ oben hinein V^{corr} **27** ἀπὸ *] ὑπὸ V M

τεμεν, ἀλλὰ ὑπὸ ἀνθρώπων περιετμήθη. καὶ γὰρ οἱ παῖδες οὐχ ἑαυτοὺς περιτέμνουσι καὶ οὐδὲ αἴτιοί εἰσι τῆς ἑαυτῶν περιτομῆς, ἀλλ' οἱ αὐτῶν γονεῖς. ἐκεῖνοι γὰρ ἀδαεῖς ὄντες νηπιάζουσιν ἀγνοοῦντες καὶ οὐδὲ οἴδασι τί αὐτοῖς ἀπὸ τῶν γονέων γίνεται.

27. Ἡμεῖς δὲ καὶ θεὸν αὐτὸν λέγομεν ἀπ' οὐρανοῦ ἐλθόντα καὶ ἐν μήτρᾳ παρθένου Μαρίας τὸν χρόνον | τῶν ἐγκυμονουμένων παίδων παραμεμενηκότα, ὅπως τελείως ἀπὸ τῆς παρθενικῆς μήτρας τὴν ἔνσαρκον ἐνανθρώπησιν ἑαυτῷ καὶ οἰκονομίαν οἰκονομήσῃ, ἐν ᾗ καὶ περιετμήθη ἀληθινῶς καὶ οὐ δοκήσει ἡμέρᾳ τῇ ὀγδόῃ. »ἦλθεν γὰρ πληρῶσαι τὸν νόμον καὶ τοὺς προφήτας, καὶ οὐ καταλῦσαι«, οὐ τὸν νόμον ἀλλότριον ἀποφῆναι, ἀλλὰ ἐξ αὐτοῦ μὲν δεδωρημένον ἕως δὲ αὐτοῦ ἐν τύποις μεμενηκότα, ὅπως ἐν αὐτῷ καὶ δι' αὐτοῦ πάλιν ὅπερ ἐνέλιπεν ἐν τῷ νόμῳ πληρωθῇ, ἵνα οἱ τύποι εἰς πνευματικὴν τελείωσιν ἐλθόντες ἐν ἀληθείᾳ ὑπ' αὐτοῦ τε καὶ τῶν αὐτοῦ ἀποστόλων κηρυχθῶσιν, οὐκέτι ὄντες τύποι ἀλλὰ ἀλήθεια. ἐπὶ τούτῳ γὰρ ἐπληροῦτο τὸ ἐν τῷ νόμῳ εἰρημένον, ἕως αὐτοῦ τοῦ χρόνου διαρκέσαν καὶ ἐν αὐτῷ ἀφιστάμενον, εἰς πλήρωμα δὲ μεθιστάμενον, ὅπερ ἔφη ἡ Σεπφώρα, ὅτι »ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου«. καὶ οὐκ εἶπεν ὅτι »περιέτεμόν μου τὸ παιδίον«· οὐ γὰρ ᾠκονόμει ὁ ἀποσταλεὶς ἄγγελος, ἵνα περιτομὴ γένηται, ἀλλὰ οὐδὲ τὸ αἷμα τῆς περιτομῆς φοβηθεὶς ἀπέστη, ἀλλὰ | ὑπομνήσεως χάριν τοῦ μέλλοντος παιδίου τὸ αἷμα τῆς περιτομῆς ἱστᾶν *, ὅπερ ἀκούσας καὶ οἰκονομήσας ἀπέστη. καὶ ποίου παιδίου, ἄκουε, ἀλλ' ἢ περὶ οὗ εἶπεν ὁ προφήτης ὅτι »θελήσουσιν εἰ ἐγένοντο πυρίκαυστοι· ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν«, τὸ μὲν γεννηθὲν παιδίον δεικνὺς ἐν ἀληθείᾳ, ὅπως σημάνῃ τὴν ἀληθινὴν ἐνανθρώπησιν, τὸ δὲ »υἱὸς ἐδόθη ἡμῖν«, ὅπως δείξῃ τὸν ἄνωθεν θεοῦ Λόγον καὶ υἱὸν θεοῦ αὐτὸν δοθέντα καὶ ἐν μήτρᾳ γενόμενον ἐνανθρωπήσαντα, ἔχοντα ἀμφό|τερα θεὸν καὶ ἄνθρωπον, αὐτὸν θεὸν αὐτὸν ἄνθρωπον, αὐτὸν υἱὸν ἄνωθεν δοθέντα αὐτὸν παιδίον γεννηθέντα. ἐφ' οὗ ἔστη λοιπὸν τὸ αἷμα τῆς περιτομῆς, ὡς καὶ ἐν τῷ εὐαγγελίῳ λέγει, ὅτε

27, 1 D123 2 Ö288 3 4 5 6 P153 7

9 Matth. 5, 17 — **18** Exod. 4, 26 — **24** Jes. 9, 5f — **31 ff** vgl. Joh. 12, 20f

V M

3 ἀδαεῖς getilgt, dafür am Rande *βραχεῖς* Vcorr **4** ὑπὸ V **7** ὅπως *] ἕως V M **8** οἰκονομήσει M **10** vor οὐ τὸν + καὶ V **11** ὑποφῆναι M **22** * etwa ⟨ᾠκονόμει αὐτὴν εἰπεῖν ὅτι τὸ αἷμα τοῦ παιδίου μου ἔστη⟩ * **25** υἱὸς καὶ — ἡμῖν < M **28** δοθέντα zu δειχθέντα verändert Vcorr **31** ὅτε aus ὅτι Vcorr

ἀνῆλθον Ἕλληνες θεάσασθαι αὐτὸν καὶ ἦλθον πρὸς Φίλιππον καὶ
λέγουσιν | αὐτῷ· δεῖξον ἡμῖν τὸν Ἰησοῦν, καὶ ὁ Φίλιππος τῷ Ἰωάννῃ D124
καὶ ὁ Ἰωάννης τῷ Ἰησοῦ ἔφη ὅτι »τινὲς Ἕλληνες βούλονταί σε θεά-
σασθαι«, καὶ εὐθὺς ὁ κύριος ἀποκρίνεται λέγων »νῦν ἐδοξάσθη ἡ 8
δόξα τοῦ θεοῦ«, ἵνα δείξῃ περιτομὴν μὲν παρερχομένην τὴν ἔνσαρκον
καὶ τύπῳ ὑπηρετήσασαν ἄχρι χρόνου, τὴν δὲ ἐν σαρκὶ ἀκροβυστίαν
ἐν πνεύματι ἔχουσαν μείζονα περιτομήν, θεωροῦσαν Χριστὸν καὶ
αὐτὸν ἐν ἀληθείᾳ κατειληφυῖαν.

28. Εἰ δὲ βούλονται οὗτοι λέγειν· πῶς οὖν Χριστὸς περιετμήθη, 28, 1
ἤδη μὲν οὖν, ὦ πεπλανημένοι, ἐδείξαμεν ὑμῖν δι' ἣν αἰτίαν περιε-
τμήθη. περιετμήθη γὰρ διὰ πολλοὺς τρόπους. καὶ πρῶτον, ἵνα 2
δείξῃ ἐν ἀληθείᾳ σάρκα ⟨ἑαυτὸν ἀνειληφέναι⟩, διὰ Μανιχαῖον καὶ
τοὺς λέγοντας ἐν δοκήσει πεφηνέναι· ἔπειτα, ἵνα δείξῃ ὡς οὐκ ἦν 3
ὁμοούσιον τὸ σῶμα τῇ θεότητι, ὥς φησιν Ἀπολλινάριος, ἀλλ' οὔτε
ἄνωθεν αὐτὸ κατενήνοχεν, ὡς λέγει Οὐαλεντῖνος· καὶ ἵνα βεβαιώσῃ 4
ἣν πάλαι ἔδωκε περιτομὴν δικαίως ὑπηρετήσασαν ἕως τῆς αὐτοῦ
παρουσίας καὶ διὰ τὸ μὴ ἔχειν τοὺς Ἰουδαίους ἀπολογίαν. εἰ γὰρ μὴ
περιετμήθη, εἶχον λέγειν, οὐκ ἠδυνάμεθα Χριστὸν δέξασθαι ἐν ἀκρο-
βυστίᾳ. ἄλλως τε καὶ ἔδει αὐτὸν ἐντειλάμενον τῷ Ἀβραὰμ πε- 5
ριτμηθῆναι, σφραγῖδος ἕνεκα φαινομένης εἰς τύπον δὲ ἀληθινῆς καὶ
ἀοράτου δοθείσης, ταύτην Χριστὸν περιτμηθέντα βεβαιῶσαι. ἐγένετο 6
γὰρ ἡ φαινομένη περιτομὴ ἕνεκεν διισταμοῦ τοῦ Ἀβραάμ, ὅτε εἶπεν
ὁ ἅγιος καὶ δίκαιος ὡς ἐν διισταμῷ »εἰ τῷ ἑκατονταετεῖ υἱὸς γεννη-

23 Gen. 17, 17

V M **21**—S. **372, 6** verkürzt bei Anastasius Sin. quaest. 28; Migne 89, 556 C
Lemma *Τοῦ ἁγίου Ἐπιφανίου ἐκ τῶν Παναρίων*

1 *ἦλθον* V | *Ἕλληνες* + *βουλόμενοι* V | *αὐτὸν θεάσασθαι* V **2** *Ἰωάννῃ* getilgt, dafür am Rande *Ἀνδρέα* V^{corr} **3** *Ἰωάννης* getilgt, dafür am Rande *Ἀνδρέας* V^{corr} | *Ἕλληνες* < M **8** *κατειληφυῖαν* + *καταμανθάνουσαν* V M (doppelte Lesart) *καταμανθάνουσαν* getilgt V^{corr} **10** *ὦ* < V **12** ⟨*ἑαυτὸν ἀνειληφέναι*⟩ U **14** *Ἀπόλινάριος*, λ oben drüber V^{corr} *Ἀπολινάριος* M **15** *αὐτῶ* V *κατενηνοχέναι* M | *βαλεντῖνος* M **16** *δέδωκε* M **19** *ἄλλως τε* am Rande nachgetragen V^{corr} < M **21** *Χριστὸν* ausradiert, dafür gesetzt *νῦν* V^{corr}
21—S. 372, 2 *ἡ μὲν περιτομὴ διὰ τὴν παροικίαν δίδοται, ἡ δὲ παροικία διὰ τὸν διισταμὸν τοῦ Ἀβραὰμ ὥρισται. Εἰπὼν γὰρ ἐν διισταμῷ ὁ δίκαιος πρὸς τὸν θεόν· κατὰ τί γνώσομαι τοῦτο ὅτι κληρονομήσω τὴν γῆν ταύτην; φησὶ πρὸς αὐτὸν ὁ θεός κτἑ* Anast. Sin. **23 f** *γενήσεται* aus *γεννηθήσεται* V^{corr}

θήσεται« καὶ »εἰ Σάρρα ἡ πρεσβῦτις γεννήσει υἱόν«, καὶ εὐθὺς τοῦ κυρίου λέγοντος »λάβε μοι κριὸν τριετίζοντα καὶ αἶγα καὶ δάμαλιν« καὶ τὰ ἑξῆς, καὶ περὶ τὴν τοῦ ἡλίου δύσιν, ὡς εἶδεν λαμπάδας πυρὸς καὶ κλίβανον καὶ τἄλλα, | φήσας αὐτῷ ὁ θεὸς κατὰ ἐπιτίμησιν 7 Öz
| »πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ ἀλλοτρίᾳ καὶ δουλώσουσιν D128
αὐτὸ ἔτη τετρακόσια« ἀσφαλείας ἕνεκα διὰ τὸν δισταγμὸν | δι' ὃν P154
εἶπεν »εἰ τῷ ἑκατονταετεῖ υἱὸς γεννηθήσεται«, ἵνα μὴ καταδουλωθὲν τὸ σπέρμα ὑπὸ εἰδωλολατρῶν καὶ ἀπίστων Αἰγυπτίων ἐπιλάθηται θεοῦ τῶν πατέρων αὐτοῦ, ἐπέθηκεν αὐτῷ καὶ αὐτοῖς τὴν ἔνσαρκον περιτομήν, ἵνα ὁρῶντες ὑπομιμνήσκωνται καὶ δυσωπῶνται καὶ μὴ ἀρνῶνται αὐτόν. καὶ διήρκεσεν ἄχρι Χριστοῦ τοῦτο, καὶ τούτου 8
ἕνεκα καὶ αὐτὸς εὐδοκεῖ περιτμηθῆναι καὶ ἄνθρωπος γέ[illegible]νεν ἐν ἀληθείᾳ, ἄνωθεν ἐλθὼν ἐκ πατρὸς θεὸς Λόγος καὶ οὐκ ἀποθέμενος τὴν θεότητα, ἀλλὰ σάρκα φορέσας ἐν ἀληθείᾳ· τελείαν δὲ ἐνανθρώ- 9
πησιν ἔχων περιτέμνεται, τὰ πάντα οἰκονομῶν ἐν ἀληθείᾳ, ἵνα καὶ Ἰουδαῖοι ὡς προεῖπον ἀναπολόγητοι ὦσιν καὶ Μανιχαῖοι καὶ ἄλλοι ἐλεγχθήσονται καὶ ἵνα περιτμηθεὶς εὐλόγως καταλύσῃ τὴν περιτομὴν καὶ ἄλλην μείζονα ὑποδείξῃ, οὐχ ὡς μὴ ἔχων καὶ ἑαυτῷ συνιστάμενος, ἀλλὰ ἔχων μὲν δεικνὺς δὲ ὅτι ταύτης οὐκέτι ἐστὶν χρεία, ἀλλὰ τῆς μείζονος.

29. Καὶ ὅτι μὲν εὐθὺς γεννηθεὶς θεὸς ἦν καὶ οὐ ψιλὸς ἄνθρω- 29,
πος, οἱ μάγοι σαφῶς δείξουσι. μετὰ γὰρ δύο ἐτῶν χρόνον, ὡς ἔδειξαν τῷ Ἡρῴδῃ τὸν χρόνον τοῦ ἀστέρος »ἀπὸ διετοῦς καὶ κατωτέρω« ἐλθόντες εἰς Ἱερουσαλὴμ καὶ ἐρωτήσαντες οἱ αὐτοὶ μάγοι καὶ γνόντες ὅτι ἐν Βηθλεὲμ ὁ Χριστὸς γεννᾶται, ἐξῆλθον πάλιν τοῦ ἀστέρος ὁδηγοῦντος αὐτοὺς καὶ ἦλθον ἀπὸ Ἱεροσολύμων εἰς Βηθλεέμ. καὶ 2
εἰσελθόντες εὗρον αὐτὸν μετὰ τῆς μητρὸς αὐτοῦ Μαρίας καὶ πεσόντες

2 Gen. 15, 9 — **3** vgl. Gen. 15, 17 — **5** Gen. 15, 13 — **6ff** vgl. haer. 8, 4, 1; S. 189, 10ff — **7** Gen. 17, 17 — **16** vgl. Röm. 2, 1 — **22** vgl. Matth. 2, 1ff — **23** Matth. 2, 16 — **25** vgl. Matth. 2, 4 — **27** vgl. Matth. 2, 11

V M

1 *πρεσβύτη* M **1f** *εὐθὺς ὁ κύριος* aus *εὐθὺς τοῦ κυρίου λέγοντος* V corr **2** *κριὸν τριετίζοντα — δάμαλιν*] *δάμαλιν τριετίζουσαν* Anast. Sin. **3** *λαμπάδα* Anast. Sin. **4** *τὰ ἄλλα* V < Anast. Sin. | *φήσας — ἐπιτίμησιν*] *ἐπάγει κατὰ ἐπιτίμησιν ὁ θεὸς λέγων* Anast. Sin. **5** *καὶ δουλώσουσιν αὐτὸ* < Anast. Sin. | vor *δουλώσουσιν* ein *κατα* am Rande zugesetzt V corr **6** *αὐτῷ* V M | *τετρακόσια τριάκοντα* Anast. Sin. **7** *γενήσεται* aus *γεννηθήσεται* V corr **9** *αὐτῷ καὶ* < M **11** *μέχρι* M **14** *δὲ* *] *τε* V M **16** *ὦσιν* *] *ὄντες* V M **18** *ἔχων*] *ἐκὼν* V **25** *ὁ* < V **26** *αὐτοῖς* V

προσεκύνησαν αὐτῷ καὶ προσήνεγκαν τὰ δῶρα. εἰ τοίνυν εὐθὺς 3
προσκυνεῖται, οὐ ψιλὸς ἄνθρωπος ὁ γεννηθείς, ἀλλὰ θεὸς καὶ οὐ
μετὰ τριάκοντα ἔτη καὶ οὐ μετὰ τὸ βάπτισμα Χριστὸς γίνεται,
ἀλλὰ εὐθὺς Χριστὸς ἐγεννήθη ἀπὸ παρθένου θεὸς καὶ ἄν-
θρωπος. διὸ καὶ οἱ | ἄγγελοι εὐθὺς ὑμνοῦσι λέγοντες »δόξα ἐν 4 D126
ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία« καὶ
εὐαγγελίζονται τοὺς ποιμένας λέγοντες »ἐγεννήθη ὑμῖν Χριστὸς
κύριος σήμερον ἐν πόλει Δαυίδ«. καὶ οὐ μόνον τοῦτο, ὦ 5
ἠπατημένε Ἐβίων, δείκνυται, ἀλλὰ καὶ ἀπὸ δωδεκαετοῦς εὑρίσκεται
»καθήμενος ἀνὰ μέσον τῶν ἱερέων καὶ πρεσβυτέρων, ἐρωτῶν τε
αὐτοὺς | καὶ ζητῶν μετ᾽ αὐτῶν«, καὶ »ἐξεπλήττοντο ἐπὶ τῷ λόγῳ τῆς P155
χάριτος τῷ ἐκπορευομένῳ ἐκ τοῦ στόματος αὐτοῦ«. καὶ οὐχὶ μετὰ 6
τὸ τριακοστὸν ἔτος ἐποίει τοῦτο, ἵνα εἴπῃς ὅτι ὅτε ἦλθεν τὸ πνεῦμα
εἰς αὐτὸν Χριστὸς ἐγένετο, ἀλλὰ εὐθὺς ἀπὸ δωδεκαετοῦς ὡς προ-
εἶπον, ὡς γέγραπται ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ. ἀλλὰ καὶ ἔτι| 7 Ö292
ἀνωτέρω, ὅτε νηπιάζοντος αὐτοῦ ἀνῆλθον (φησὶν) οἱ περὶ Ἰωσὴφ
καὶ Μαριὰμ εἰς Ἱερουσαλὴμ προσκυνῆσαι ἐν τῇ ἑορτῇ καὶ ἀνέκαμπτον,
ἔμεινεν Ἰησοῦς καὶ ἐζήτουν αὐτὸν ἐν τῇ ὁδοιπορίᾳ καὶ ἐν τοῖς συ-
γγενέσιν αὐτῶν καὶ οὐχ ηὕρισκον (εἶχεν γὰρ ἡ Μαρία συγγένειαν)· ἀνα- 8
κάμψασα δὲ καὶ εὑροῦσα αὐτὸν ἔφη αὐτῷ »τί ἡμῖν ἐποίησας, τέκνον;
ἰδοὺ ἐγὼ καὶ ὁ πατήρ σου ὀδυνώμενοι ἐζητοῦμέν σε« (ἐν τάξει γὰρ
πατρὸς ὁ Ἰωσὴφ αὐτῷ ὑπῆρχεν, οὐ γὰρ ἦν αὐτοῦ πατὴρ κατὰ φύσιν).
εἶτα ὁ κύριος πρὸς αὐτήν »τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε ὅτι ἐν 9
τοῖς τοῦ πατρός μου δεῖ εἶναί με;« σημαίνων ὅτι ὁ ναὸς εἰς ὄνομα
θεοῦ τουτέστιν πατρὸς τοῦ ἰδίου ᾠκοδομήθη. εἰ τοίνυν ἀπὸ νηπίου 10
οἶδε τὸν ναὸν καὶ τὸν πατέρα, οὐκ ἄρα ψιλὸς ἄνθρωπος ὁ γεννηθεὶς
Ἰησοῦς οὐδὲ μετὰ τὸ τριακοστὸν ἔτος, μετὰ τὸ ἐλθεῖν εἰς αὐτὸν τὸ

5 Luk. 2, 14 — **7** Luk. 2, 11 — **10** Luk. 2, 46 — **11** vgl. Luk. 4, 22 — **16ff** vgl. Luk. 2, 41ff — **19** vgl. Luk. 1, 36 — **20** Luk. 2, 48 — **23** Luk. 2, 49

V M

1 *αὐτῷ* angeflickt V^{corr} < M **3** *οὐ* ausradiert V^{corr} **6** *εὐδο//κία*, *ο* aus *ω* V **7** vor *Χριστὸς* ein *υἱὸς* getilgt V^{corr} **13** *ὅτε* ausradiert, dafür *ἀφ᾽ οὗ* gesetzt V^{corr} | *ἐξῆλθεν* M **14** *αὐτὸν* aus *ἑαυτὸν* V^{corr} | vor *Χριστὸς* + *καὶ* V M ausradiert V^{corr} **16** *ἀνῆλθον*, *ο* aus *α* V^{corr} **18f** *συγγενεῦσιν* M **19** *εὕρισκον* M | *γὰρ* am Rande nachgetragen V^{corr} < M **22** *αὐτοῦ*^{2} aus *αὐτῷ* V **24** *με εἶναι* M **25** *πατρὸς τοῦ ἰδίου* ausradiert, dafür *τοῦ αὐτοῦ πατρὸς* gesetzt V^{corr} | *οἰκοδομήθη* M **26** *ὁ γεννηθεὶς*] *ἐγεννήθη* M

εἶδος τῆς περιστερᾶς, υἱὸς καὶ Χριστὸς ἐκαλεῖτο, ἀλλὰ καὶ εὐθὺς καὶ θαρραλεωτέρως ἐν τοῖς τοῦ πατρὸς αὐτοῦ δεῖν αὐτὸν εἶναι ἐδίδασκεν.

καὶ ὅτι δὲ ὁ Ἰωσὴφ οὐχὶ πατὴρ αὐτοῦ ἦν, ἀλλὰ ἐν τάξει πατρὸς 11
⟨ὑπῆρχεν⟩, ἄκουε τοῦ αὐτοῦ εὐαγγελιστοῦ λέγοντος, τοῦ γράψαντος
ἀπὸ προσώπου | Μαρίας ὅτι »ἐγὼ καὶ ὁ πατήρ σου ὀδυνώμενοι D12
ἐζητοῦμέν σε«· πάλιν πῶς γράφει λέγων »ἦν δὲ Ἰησοῦς ἀρχόμενος
εἶναι ὡς ἐτῶν τριάκοντα, ὢν υἱός, ὡς ἐνομίζετο, Ἰωσήφ«. ἐν δὲ τῷ
εἰπεῖν »ὡς ἐνομίζετο« ἔδειξεν αὐτὸν μὴ εἶναι αὐτοῦ υἱόν, ἀλλὰ νομί-
ζεσθαι.

30. Ἐπιλείψει δέ μοι ὁ καιρὸς διηγουμένῳ εἰς παράστασιν ἀλη- 30,
θείας καὶ εἰς ἔλεγχον τῆς ματαιοφροσύνης Ἐβίωνος καὶ τοῦ αὐτοῦ
παραπεποιημένου ματαιοφροσύνης διδασκαλείου. πόθεν γὰρ οὐ 2
σαφὲς ἂν εἴη ὅτι οὐ πατὴρ ἦν Ἰωσήφ, ἀλλ' ἐν τάξει πατρὸς ἐνο-
μίζετο; »ἰδού« φησίν »ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν«·
καὶ οὐκ εἶπεν »ἰδού, ἡ γυνή«. καὶ πάλιν ἐν ἑτέρῳ τόπῳ λέγει 3
»καὶ | τέξεται ἡ δάμαλις καὶ ἐροῦσιν, οὐ τέτοκεν«. ἐπειδὴ γάρ τινες P15
τῶν Μανιχαίων καὶ Μαρκιωνιστῶν λέγουσιν αὐτὸν μὴ τετέχθαι, διὰ
τοῦτο τό »τέξεται καὶ ἐροῦσιν, οὐ τέτοκεν«· ἐπειδὴ οὐ τέτοκεν ἡ
Μαρία ἐκ σπέρματος ἀνδρὸς καὶ οὗτοι μανέντες λέγουσι ψευδῶς ἐκ
σπέρματος ἀνδρὸς αὐτὴν γεγεννηκέναι. γεγέννηκεν οὖν ἡ δάμαλις ἐν
ἀληθείᾳ θεόν, ἄνθρωπον ἐν ἀληθείᾳ. καὶ ὅτι μὲν δάμαλις ἡ παρθέ- 4
νος καλεῖται καὶ τὸ ταύτης λείψανον καθαρισμὸς ἦν τῶν κεκοινω-
μένων, ἄκουε τοῦ νόμου λέγοντος »λάβε σοι δάμαλιν πυρράν«, ἵνα
δείξῃ τὸ ἐκλεκτὸν σκεῦος τῆς Μαρίας * διὰ τὸ πυροειδὲς τῆς τοῦ
σωτῆρος θεότητος χωρηθὲν ἐν τῇ παρθένῳ· »πῦρ γὰρ ὁ θεός« φησί
»καταναλίσκον«. καί φησιν ὁ νόμος »δάμαλιν πυρράν, ἐφ' ἧς ζυγὸς 5
οὐκ ἀναβέβηκεν ἐπὶ τὸν τράχηλον«, | ἵνα δείξῃ τὴν παρθένον δάμαλιν Ö29

5 Luk. 2, 48 — **6** Luk. 3, 23 — **10** vgl. Hebr. 11, 32 — **14** Jes. 7, 14 — **16** Agraphon aus dem Apokryphon Ezechiel, vgl. Zahn, Forsch. VI 309 A. 3 Resch, Agrapha² S. 305f — **23** Num. 19, 2 — **25** Deut. 4, 24 — **26** Num. 19, 2

V M

1 *υἱὸς*] Ἰησοῦς M | *καὶ*² ausradiert V corr **1f** *καὶ θαρραλεωτέρως* getilgt V corr **4** ⟨*ὑπῆρχεν*⟩ *, vgl. S. 373, 22 **7** vor *Ἰωσὴφ* + *τοῦ* M | *τῷ*] *τὸ* M **10** *δέ μοι*] *δῆμοι* M | *καιρὸς* getilgt, dafür *χρόνος* gesetzt V corr **12f** *πόθεν γὰρ οὐ σαφὲς ἂν εἴη*] *πῶς γὰρ οὐκ ἂν σαφὲς εἴη ἢ πόθεν οὐ δείξομι᾽ ἂν* V corr **14** *φησίν* getilgt V corr **18** *τὸ* < M | vor *ἐπειδὴ* einzuschieben ⟨*λέγει δέ· τέξεται ἡ δάμαλις καὶ ἐροῦσιν, οὐ τέτοκεν*⟩ Jül. **22f** *κεκοινωνημένων, νη* durchgestrichen V corr **23** *σοι*] *μοι* V | *πυρράν* + ⟨*ἄμωμον καὶ τὰ ἑξῆς*⟩ Jül. **24** * etwa ⟨*εἰπών· λάβε σοι δάμαλιν, πυρρὰν δὲ λέγει*⟩ * | *πυρροειδὲς* M

μὴ γνοῦσαν ζυγὸν γάμου ἀνδρός. ἀλλὰ τί μοι τὰ πλεῖστα διαλέγεσθαι; ὡς πάλιν Ἡσαΐας ἔφη ἐκ προσώπου κυρίου ὅτι »λάβε σοι τόμον χάρτου καινοῦ μεγάλου«, τόμον διὰ τὸ εἶναι μὲν τὴν παρθένον ἐκ σπέρματος ἀνδρός, τετμῆσθαι δὲ ἀπὸ μίξεως ἀνδρῶν καὶ τμηθῆναι ἀπὸ τῆς τῶν ἀνθρώπων κατὰ | φύσιν συνηθείας. πάντες γὰρ ἄνθρωποι ἐκ σπέρματος ἀνδρὸς γεννῶνται· ἡ δὲ τοῦ Χριστοῦ γέννησις κατὰ φύσιν μὲν ἐκ γυναικὸς παρθένου Μαρίας τὴν ἐνανθρώπησιν ἔσχηκεν, παρὰ φύσιν δὲ ἐτμήθη ἀπὸ τῆς κατὰ τὴν ἀνθρωπότητα ἀκολουθίας, ὡς καὶ Ἰακὼβ περὶ αὐτοῦ λέγει »ἐκ βλαστοῦ υἱέ μου ἀνέβης«, καὶ οὐκ εἶπεν »ἐκ σπέρματος ἀνέβης«. καὶ τούτου χάριν φησὶν ὁ ἅγιος Ἡσαΐας ὁ προφήτης, μᾶλλον δὲ ὁ κύριος αὐτῷ λέγει »λάβε σεαυτῷ τόμον χάρτου«, τὸ εἶδος τῆς συνηθείας σημαίνων, ἐν ᾧ τὰ πάντα γράφουσιν οἱ υἱοὶ τῶν ἀνθρώπων· ὡς καὶ ἐν τῷ ἑκατοστῷ τριακοστῷ ὀγδόῳ ψαλμῷ λέγει »ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται· ἡμέρας πλασθήσονται, καὶ οὐθεὶς ἐν αὐτοῖς«· βιβλίῳ γὰρ ἀπείκασε τὴν μήτραν. διὰ τοῦτο ὁ Δαυὶδ λέγει »τὸ ἀκατέργαστόν μου εἴδοσαν οἱ ὀφθαλμοί σου«, τουτέστιν σπαρέντα πρὶν ἀπεικονισθῆναί με ἔγνως με καὶ ἔτι πρότερον, πρὶν τοῦ σπαρῆναί με. 31. ὁ δὲ Ἑβραῖος θαυμαστῶς τὸ ῥῆμα σαφηνίζει. τὸ ἀκατέργαστον γὰρ γολμὶ ἐκάλεσεν, ὅπερ ἑρμηνεύεται χόνδρος ἢ σεμιδάλεως κόκκος, δῆθεν τὸ μηδέπω εἰς ἄρτον συνελθὸν καὶ φυραθέν, ἀλλ' | ὡς ἀπὸ κόκκου σίτου τμηθὲν χονδρ⟨ί⟩ον ἢ χονδρίτης ἢ λεπτὴ ψηφίς, ἥτις ἐκ σεμιδάλεως γίνεται. οὕτως τὸ ἰσότυπον τοῦ εἴδους τὸ τεμνόμενον ἐξ ἀνθρώπου εἰς τὴν σποράν ἀκριβολογῶν ἀπέδειξε καί φησιν, εἰς Ἑλλάδα διάλεκτον ἑρμηνευομένου τοῦ λόγου, »τὸ ἀκατέργαστον« τουτέστιν τὸ ἄπλαστον ἔτι ἐν κοιλίᾳ ἢ πρὸ κοιλίας »εἶδον οἱ ὀφθαλμοί σου« (»οἶδεν γὰρ πάντα ὁ θεὸς πρὶν γενέσθαι«, ὡς γέγραπται)· πλὴν βιβλίον καὶ τόμος μήτρα ἐστὶν ἡ σημαινομένη. καὶ οὐκ εἶπεν »λάβε σεαυτῷ βιβλίον« ἢ »λάβε σεαυτῷ χάρτην«, ἀλλὰ »τόμον« παρὰ τὸ ἰδιάζον τῆς τῶν ἀνθρώπων συνηθείας, »χάρτου« διὰ τὸ γραφικὸν τῆς μήτρας. 6 7 D128 8 9 31, 1 P157 2 3

2 Jes. 8, 1 — **9** Gen. 49, 9 — **11** Jes. 8, 1 — **14** Psal. 138, 16 — **16** Psal. 138, 16 — **27** Sus. v. 42

V M

5 vor *τμηθῆναι* oben drüber *τὸ* V^{corr} *τετμῆθαι* M **10** *καὶ οὐκ — ἀνέβης* < M **13** *οἱ* < V **18** *ἑβραϊκὸς* aus *ἑβραῖος* V^{corr} **19** *γολμὴ* M **20** *δῆθεν*] *δηλοῖ δὲ* M **22** *χονδρ⟨ί⟩ον* * | *ἐκ* oben hinein V^{corr} < M **26** *πλαστὸν* M **27** *πλὴν*] *πρὶν* V **28** *ἡ* < M **29** *διὰ* aus *παρὰ* hergestellt V **30** *παρὰ τὴν . . . συνήθειαν* aus *τῆς . . . συνηθείας* V^{corr}

»καινοῦ« διὰ τὸ καινὸν τῆς παρθένου | καὶ ἄχραντον, ⟨»μεγάλου«⟩· 4 D129
μεγάλη γὰρ ὡς ἀληθῶς Μαριὰμ ἡ ἁγία παρθένος ἐνώπιον θεοῦ καὶ
ἀνθρώπων. πῶς γὰρ οὐκ ἂν εἴποιμεν ταύτην μεγάλην, χωρήσασαν
τὸν ἀχώρητον, ὃν οὐρανὸς καὶ γῆ χωρεῖν οὐ δύνανται; αὐτὸς δὲ
ἀχώρητος ὢν κατὰ ἰδίαν προαίρεσιν καὶ εὐδοκίαν ἐχωρήθη, βουλό-
μενος καὶ οὐ κατὰ ἀνάγκην. διὸ μέγας ὁ τόμος καὶ καινός· μέγας
διὰ τὸ θαῦμα, καινὸς ὅτι παρθένος. »καὶ γράψον«, φησίν, »ἐν 5
αὐτῷ γραφίδι ἀνθρώπου«, καὶ οὐκ εἶπεν· γράψει ἐν αὐτῷ τις γρα-
φίδι ἀνθρώπου, οὐδὲ εἶπεν· γράψει | ἐν αὐτῷ ἄνθρωπος, ἵνα μὴ εὕρῃ Ö 296
πρόφασιν ὁ Ἐβίων. εἰ γὰρ εἶπε· γράψει ἐν αὐτῷ ἄνθρωπος, εἶχεν
εἰπεῖν ὅτι ἄνθρωπος Ἰωσὴφ ἔσπειρεν καὶ ἐκ σπέρματος ἀνδρὸς ἐγεν-
νήθη Χριστός. τῷ δὲ Ἡσαΐᾳ πρὸ ἑπτακοσίων πεντήκοντα τριῶν 6
ἐτῶν πλείω ἐλάσσω ἔλεγε »γράψον«, ἵνα ἀπὸ τοῦ καιροῦ τοῦ διαστή-
ματος ὀφθῇ πᾶσιν ἡ ἀλήθεια, ὅτι οὐδεὶς ἠδύνατο πρὸ ἑπτακοσίων
πεντήκοντα τριῶν ἐτῶν σπεῖραι τὸν μέλλοντα γεννᾶσθαι. ἆρα οὖν 7
μάτην λέγει τῷ προφήτῃ »γράψον«; οὐχί, ἀλλὰ ἵνα δείξῃ τὸ πνεῦμα
τὸ ἅγιον τὸ ἐν τῷ προφήτῃ, αὐτὸ ἐνεργητικὸν γινόμενον τῆς συλ-
λήψεως τῆς ἐνσάρκου Χριστοῦ παρουσίας ἐν ἀληθείᾳ· »πνεῦμα γὰρ
ἅγιον ἐπελεύσεται ἐπὶ σέ« φησὶν ὁ ἄγγελος Γαβριὴλ τῇ Μαρίᾳ καὶ
τὰ ἑξῆς. τὸ δέ »γραφίδι ἀνθρώπου« τουτέστιν εἰκόνι ἀνθρώπου· 8
»ἄνθρωπος γὰρ Χριστὸς Ἰησοῦς, μεσίτης δὲ θεοῦ καὶ ἀνθρώπων«,
ἐπειδὴ ἄνωθεν ἦλθεν θεὸς Λόγος, ἐκ Μαρίας δὲ ἄνθρωπος, οὐκ ἀπὸ
σπέρματος ἀνδρὸς γεγεννημένος. καὶ διὰ τοῦτο | εὐθύς φησιν ὁ προ- 9 P 150
φήτης »καὶ εἰσῆλθεν πρὸς τὴν προφῆτιν«, ἵνα δείξῃ προφῆτιν τὴν
Μαρίαν, καὶ οὐχὶ τὴν γυναῖκα Ἄχαζ, ὥς τινες πλανῶνται φάσκοντες
διὰ τὸν Ἐζεκίαν εἰρῆσθαι. ἤδη γὰρ ὁ Ἐζεκίας ἔνδεκα ἔτη εἶχεν γε- 10

7 Jes. 8, 1 — **12** die Zahl ruht auf der Chronik des Eusebius: 2015 (= die Jahre zwischen Abraham u. Christus, vgl. Eusebius-Hieronymus Chronik S. 169, 14f Helm) weniger 753 ergibt als Rest 1262 = Ol. 6, 3 (6, 2 Hieron.) = 3. Jahr des Ahas. Dazu stimmen die 11 Jahre in Z. 26, wenn Hiskia bei der Thronbesteigung 25jährig war — **18** Luk. 1, 35 — **21** I Tim. 2, 5 — **23ff** vgl. haer. 78, 16, 4 — **24** Jes. 8, 3 — **25** vgl. Eusebius ecl. proph. IV 4; Migne 22, 1204C *τινὸς τῶν ἐκ περιτομῆς εἰρηκότος ἀκούσας μέμνημαι, ταῦτα τῷ Ἄχαζ προφητεύεσθαι περὶ Ἐζεκίου* (ebenso Hieronymus zu Jes. 7, 14; Migne 24, 109B)

V M

1 ⟨*μεγάλου*⟩ * **4** vor *γῇ* ein *ἡ* getilgt V^{corr} | *οὐκ ἠδύναντο* V **8** *καὶ* hineingeflickt V^{corr} | *γράψει ἐν*] *γράψειεν* M | *τις* < M **12** *χιλίων* vor *ἑπτακοσίων* ausradiert V^{corr} *χιλίων ἑπτακοσίων* M, vgl. Z. 14f **13** *πλείω* + *ἢ* V **14** *πᾶσα* V **16** *ἀλλ'* M **17** *γενόμενον* V **19** *ἐπὶ σὲ* < M **21** *γὰρ* *] *δὲ* V M **24** *εἰσῆλθον* M; über den Sinn der Lesart *εἰσῆλθεν* vgl. S. 377, 13ff u. haer. 78, 16, 4 **25** *Μαριὰμ* V | *Ἀχαὰζ*, erstes *α* getilgt V^{corr}

γεννημένος. τῷ γὰρ τρίτῳ ἔτει τῆς τοῦ πατρὸς αὐτοῦ βασιλείας τὸ
ῥῆμα ἐπροφητεύετο ὅτι »ἰδού, ἡ | παρθένος ἐν γαστρὶ ἕξει«. καὶ μετὰ τὸ D130
ἀποθανεῖν τὸν Ἄχαζ, βασιλεύσαντα δεκατέσσαρα ἔτη καὶ τελευτήσαντα,
εὐθὺς φησιν ἡ γραφή »καὶ ἐβασίλευσεν Ἐζεκίας, καὶ ἦν εἴκοσι ⟨πέντε⟩
ἐτῶν ἐν τῷ βασιλεύειν αὐτόν«. πῶς οὖν ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς 11
αὐτοῦ, τεσσαρεσκαίδεκα ἔτη αὐτοῦ βασιλεύσαντος, προφητευομένου τοῦ
ἐκ παρθένου γεννωμένου Ἐμμανουὴλ Ἐζεκίας γεννηθήσεται, ὁ εἴκοσι
ἐτῶν βασιλεύσας μετὰ τὸν αὐτοῦ πατέρα, καὶ οὐχὶ μᾶλλον φανή-
σεται τοῖς συνετοῖς ὅτι ἤδη ὑπῆρχεν γεννηθείς, ὅτε ὁ προφήτης
προεφήτευσε τὸ ῥῆμα ἐπὶ τῆς τοῦ Ἄχαζ πατρὸς τοῦ Ἐζεκίου βασι- 12
λείας; μάλιστα οὐδὲ προφήτιδος οὔσης τῆς τοῦ Ἄχαζ γυναικός, ὡς
παντί τῳ δῆλόν ἐστιν. Μαρία δὲ ἔστιν, ἡ εἰποῦσα καὶ προφητεύουσα
»ὅτι ἀπὸ τοῦ νῦν μακαριοῦσίν με πᾶσαι αἱ γενεαὶ τῆς γῆς«· πρὸς
ἣν εἰσῆλθε Γαβριὴλ καὶ εὐηγγελίσατο ὡς τὸ πνεῦμα ἐλεύσεται ἐπ'
αὐτὴν τὸ ἐν Ἡσαΐᾳ λαλῆσαν καὶ γεννήσει υἱόν, τὸν κύριον ἡμῶν
Ἰησοῦν Χριστόν, διὰ πνεύματος ἁγίου καὶ οὐκ ἀπὸ σπέρματος ἀν-
δρός, ὡς οὗτοι ἀφραίνοντες καὶ σφαλλόμενοι βλασφημοῦσιν.

32. Ἐλήλεγκται δὲ τοῦ ματαιόφρονος καὶ ὁ σαββατισμὸς καὶ ἡ περι- 32, 1
τομὴ καὶ οἱ καθ' ἡμέραν βαπτισμοὶ ὑπ' αὐτοῦ γινόμενοι· ἐν γὰρ σαβ-
βάτῳ φιλοτιμεῖται τὰ πλεῖστα θεραπεύειν Ἰησοῦς. καὶ οὐ μόνον | ὅτι Ö298
θεραπεύει, ἀλλὰ καὶ κατὰ δύο τρόπους ἰᾶται. παραγγέλλει γὰρ τοῖς 2
ἰατρευθεῖσιν ἐν τῷ σαββάτῳ αἴρειν τὸν κράββατον καὶ βαδίζειν,
ἀλλὰ καὶ ἐν σαββάτῳ πηλὸν φυράσας ἐπέθηκεν τοῖς τοῦ τυφλοῦ ὀφ-
θαλμοῖς· ἔργον δέ ἐστι πηλὸν φυρᾶσαι. ὅθεν γνόντες οἱ ἀπόστολοι 3
ὅτι λέλυται τὸ σάββατον ἀπὸ τῆς αὐτοῦ ἅμα αὐτοῖς συνδιατριβῆς καὶ
διδασκαλίας, τίλλουσι στάχυας σαββάτῳ καὶ ψώχουσι καὶ ἐσθίουσιν.
ἦν δὲ σάββατον δευτερόπρωτον, ὡς ἔχει τὸ εὐαγγέλιον. σάββατα 4

1 *τρίτῳ*] Eusebius (ecl. proph. IV 4; Migne 22, 1204 C) u. Hieronymus (zu Jes. 7, 14; Migne 24, 109 C) setzen den frühest möglichen Fall: das 1. Jahr des Ahas — **2** Jes. 7, 14 — **3** vgl. II Kön. 16, 2 (*ἑκκαίδεκα ἔτη*); die 14 Jahre des Epiph. sind vom Zeitpunkt der Weissagung an gerechnet — **4 f** vgl. II Kön. 18, 2 II Chron. 29, 1 — **12** vgl. Eusebius ecl. proph. IV 5; Migne 22, 1205 C *διὸ καὶ προφῆτις οὐκ ἀπεικότως καὶ αὐτὴ* (Maria) *ἂν λεχθείη*, ebenso Hieronymus zu Jes. 8, 1—4; Migne 24, 115 A/B — **13** Luk. 1, 48 — **22** vgl. Joh. 5, 8 — **23** vgl. Joh. 9, 6 — **26** vgl. Luk. 6, 1

V M **19**—S. **378**, **23** in lat. Übersetzung bei Corderius Catena in Lucam p. 175 (= cat.)

1 *τρίτῳ* Jül.] *ἑνάτῳ* V *ἐννάτῳ* M **2** *προφητεύετο*, *ε* oben hinein V corr *ἐπροφητεύετο* M **3** *βασιλεύσαντα* + ⟨*ἕτερα*⟩? * **4** ⟨*πέντε*⟩ Jül. **9** *ὁ* < M **10** *τῷ ῥήματι* M | *ἐπὶ* < M | *Ἀχαὰζ*, *α* getilgt V corr | vor *τοῦ Ἐζεκίου* + *τῆς* V **11** *Ἀχ///ὰζ*, *α* getilgt V corr **12** *τῳ*] *τὸ* M | *ἡ* < M | *καὶ προφητεύουσα* < M **14** *εἰσελεύσεται*, *εἰς* getilgt V corr **22** *κράβατον* V **26** *ψώχουσιν*, *ω* aus *υ* V corr

γὰρ διάφορα ὥριζεν ὁ νόμος, τὸ μὲν κατὰ ἑβδομάδα ἀνακυκλούμενον | D131
φύσει σάββατον, | τὸ δὲ διὰ τὰς ὑποπιπτούσας τῆς κατὰ σελήνην P159
νεομηνίας καὶ τὰς καθεξῆς ἑορτάς, οἷον ἡμέρας σκηνοπηγίας καὶ
ἡμέρας Πάσχων, ὅτε τὸ πρόβατον θύουσι καὶ ἄζυμα λοιπὸν ἐσθί-
ουσιν· ἔτι δὲ ὅτε τὴν μίαν νηστείαν νηστεύουσι τοῦ ἔτους, τὴν λεγο- 5
μένην μεγάλην, καὶ τὴν ἄλλην, ἣν λέγουσι μικράν. ὅτε γὰρ ὑπο-
πίπτουσιν αὗται αἱ ἡμέραι, ἤτοι ἐν δευτέρᾳ σαββάτων ἢ ἐν τρίτῃ ἢ
ἐν τετράδι, σάββατον καὶ αὐτὸ αὐτοῖς ὁρίζεται. διὸ μετὰ τὴν τῶν 6
ἀζύμων γενομένην ἡμέραν καὶ ὁρισθεῖσαν ἡμέραν σαββάτου, τῷ σαβ-
βάτῳ φύσει τῷ μετὰ τὴν ἡμέραν τῶν ἀζύμων εἰς σάββατον λελο-
γισμένην, εὑρέθησαν διαβαίνοντες διὰ τῶν σπορίμων καὶ ἔτιλλον
στάχυας καὶ ἔψωχον καὶ ἤσθιον, δεικνύντες ὅτι λέλυται ὁ δεσμὸς ὁ 7
ἐν τῷ σαββάτῳ ὁριζόμενος, ἐλθόντος τοῦ μεγάλου σαββάτου τουτέστιν
Χριστοῦ, τοῦ ἀναπαύσαντος ἡμᾶς ἀπὸ τῶν ἁμαρτημάτων ἡμῶν, οὗ
τύπος ἦν ὁ Νῶε, ὃν ὁ πατὴρ αὐτοῦ γεννηθέντα ἑωρακὼς κατὰ προ-
φητείαν ἐπέθετο αὐτῷ ὄνομα Νῶε, λέγων ὅτι »οὗτος ἀναπαύσει
ἡμᾶς ἐκ τῶν ἁμαρτιῶν ἤτοι σκληρῶν ἔργων ἡμῶν«. ὁ Νῶε δὲ ἀπὸ 8
ἁμαρτιῶν οὐκ ἀνέπαυσεν, ἀλλὰ εἰς Χριστὸν προεφήτευσεν ὁ Λάμεχ
τὴν προφητείαν, τὸν Νῶε ἑρμηνευόμενον ἐν ἀληθείᾳ (Νῶε γὰρ ἀνά-
παυσις ἑρμηνεύεται) καὶ Σεβέθ, ὅπερ ἀνάπαυσις καὶ σάββατον ἑρμη-
νεύεται· ὅ ἐστιν Χριστός, ἐν ᾧ ἀναπέπαυται ὁ πατὴρ καὶ τὸ ἅγιον 9
αὐτοῦ πνεῦμα, καὶ πάντες ἄνθρωποι ἅγιοι ἐν αὐτῷ ἀνεπαύσαντο,
παυσάμενοι ἀπὸ ἁμαρτημάτων. οὗτός ἐστι τὸ μέγα σάββατον καὶ
ἀίδιον, οὗ τύπος ἦν τὸ μικρὸν καὶ πρόσκαιρον σάββατον, ἐξυπη-
ρετούμενον ἄχρι τῆς αὐτοῦ παρουσίας, προσταχθὲν ὑπ' αὐτοῦ κατὰ
τὸν νόμον καὶ ἐν αὐτῷ λυθὲν καὶ πληρωθὲν ἐν τῷ εὐαγγελίῳ· οὕτως
γὰρ εἶπεν ὅτι »κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου«.
ὅθεν θαρσαλέως οἱ μαθηταὶ λύουσι τὸ σάββατον, ἐπειδὴ καὶ | 10 D132
οἱ πρὸ αὐτῶν ἱερεῖς ἔλυον ἐν τῷ ναῷ τὸ σάββατον θύοντες καὶ θεῷ

5 vgl. haer. 12, 2; S. 205, 10 — **8ff** vgl. Luk. 6, 1 — **16** Gen. 5, 29 — **19f** Theophilus ad Aut. III 19; S. 232 Otto — **23** vgl. haer. 8, 6, 8; S. 192, 20ff — **27** Matth. 12, 8 — **29** vgl. Matth. 12, 5

V M cat. (bis Z. 25)

5f *τὴν λεγομένην — μικράν* nachgetragen V^{corr} < M **6f** *ἐμπίπτουσιν* aus *ὑποπίπτουσιν* V^{corr} **14** *ἡμᾶς* < M **15** *ἑο///ρακὼς*, *ο* aus *ω* V^{corr} **17** hinter *ἁμαρτιῶν* + *ἡμῶν* nachgetragen V^{corr} < M **18** *ἀλλ'* M | *προ*^{ε}*φήτευσεν*, *ε* oben drüber V^{corr} *ἐπροφήτευσεν* M; vgl. S. 377, 10 **19** *τὸν* Pet.] *τῷ* V M **19f** *νῶε γάρ — ἑρμηνεύεται* am Rande nachgetragen V^{corr} < M **21** *δ* < M **23f** *καὶ ἀίδιον* am Rande nachgetragen V^{corr} < M **24** *καὶ πρόσκαιρον* am Rande nachgetragen V^{corr} < M

θυσίας προσφέροντες, ἵνα μὴ ἀργήσῃ θυσία ἡ ἐνδελεχὴς | καὶ καθ' Ö300
ἡμέραν προσφερομένη. οὐ μόνον δὲ αὐτοὶ προεφήτευον οἱ ἱερεῖς λυθήσεσθαι τὸ σάββατον διὰ τοῦ μὴ ἀργεῖν, ἀλλὰ καὶ αὐτὴ ἡ περιτομὴ ἔλυε τὸ σάββατον. γεννωμένου γὰρ παιδὸς πολλάκις ἐν σαββάτῳ 11 P160
ἀναίρεσις σαββάτου καὶ περιτομῆς ἐγίνετο· οὕτω ταῖς ἀμφοτέραις ἡ λύσις προεθεσπίζετο. δείκνυται γὰρ ὅτι οἱ περιτέμνοντες αὐτὸ τὸ γεννηθὲν ἐν σαββάτῳ, ἐὰν θελήσωσιν ἀκριβολογήσασθαι τὴν ὀγδόην ἡμέραν, εὑρίσκοντες ἐμπίπτουσαν ἐν σαββάτῳ καὶ περιτέμνοντες ἔργον εἰργάσαντο καὶ τὸ σάββατον ἔλυσαν· ἐὰν δὲ ὑπερθῶνται διὰ τὸ μὴ 12
λῦσαι τὸ σάββατον, ἐνάτῃ λοιπὸν περιτέμνουσι τὴν περιτομὴν καὶ ἔλυσαν αὐτὴν τὴν περιτομὴν καὶ τὸν περὶ αὐτῆς τῶν ὀκτὼ ἡμερῶν ὅρον τοῦ προστάγματος.

33. Ἀλλὰ οὔτε ἦν τελεία ἡ πρώτη περιτομή, ἀλλὰ σημείου χάριν **33, 1**
ἐδόθη, εἴς τε ὑπόμνησιν τῶν μετὰ ταῦτα καὶ διὰ τὸν δισταγμὸν τοῦ ἁγίου Ἀβραὰμ ὡς προείρηται ἐπιτιμηθέντος καὶ τύπου ἕνεκα τῆς μεγάλης τῆς τὰ πάντα κατ' ἰσότητα πληρούσης ἐν τοῖς καταξιουμένοις. ἐκείνη μὲν γὰρ εἰ ἦν ἁγιαστείας ἕνεκα καὶ κληρονομίας οὐρα- 2
νῶν βασιλείας χάριν, ἆρα ἐστέρηται Σάρρα τῆς βασιλείας καὶ Ῥεβέκκα καὶ Λεία καὶ Ῥαχὴλ καὶ Ἰωχαβὲτ καὶ Μαρία ἡ ἀδελφὴ Μωσέως καὶ πᾶσαι αἱ ἅγιαι γυναῖκες, καὶ οὐ δυνήσονται κληρονομεῖν βασιλείαν οὐρανῶν, μὴ δυνηθεῖσαι τὴν περιτομὴν τοῦ Ἀβραὰμ ἔχειν, ἣν θεὸς αὐτῷ δεδώρηται κατὰ τὸν τούτων λόγον. εἰ δὲ οὐκ ἐστέρηνται αὗται τῆς βασιλείας τῶν οὐρανῶν, καίτοι οὐ μετεσχηκυῖαι περιτομῆς, οὐδὲν ἄρα ἰσχύει ἡ νῦν ἔνσαρκος περιτομή. τί δὲ καυχᾶ- 3
ται Ἐβίων περὶ περιτομῆς, ὁπότε καὶ οἱ εἰδωλολάτραι καὶ ἱερεῖς τῶν Αἰγυπτίων περιτομὴν ἔχουσιν; ἀλλὰ καὶ οἱ | Σαρακηνοὶ οἱ καὶ Ἰσμα- D133

14 vgl. S. 371, 21ff — **25ff** vgl. clement. Recogn. I 33 VIII 53 Origenes c. Cels. I 22; I 72, 23ff Kötschau V 41; II 45, 4ff V 48; II 52, 11ff u. bei Eusebius praep. ev. VI 11; Migne 21, 501 A

V M

1 ἐνδελεχὴ M | καὶ < M **2** προεφήτευον, ε oben drüber V^{corr} ἐπροφήτευον M **4** γὰρ] δὲ V **8** περιτέμοντες V **10** ἐν///άτῃ, ν ausradiert V ἐννάτῃ M **11** αὐτὴν getilgt V^{corr} | περὶ αὐτῆς τῶν ὀκτὼ ἡμερῶν am Rande angeflickt V^{corr} < M **14** τῶν *] αὐτῶν V M | τὸν aus τῶν V^{corr} **16** τὰ aus κατὰ V^{corr} **17** ἁγιαστείας, α getilgt V^{corr} **18** χάριν + ⟨δοθεῖσα⟩? * **19** Λεία aus ἡλία hergestellt V^{corr} λία M | Ἰωχαβὲθ aus Ἐλισαβὲτ hergestellt V^{corr} Ἐλισαβὲτ M **25** περὶ <, περιτομὴν aus περιτομῆς V^{corr} | ἱερεῖς Pet.] μιαρεῖς V μηρεῖς M **26** οἱ^{2}] εἰ M

ηλῖται περιτομὴν ἔχουσι καὶ Σαμαρεῖται [καὶ Ἰουδαῖοι] καὶ Ἰδουμαῖοι καὶ Ὁμηρῖται. τούτων δὲ οἱ πλείους οὐ διὰ νόμον τοῦτο ποιοῦσιν, ἀλλὰ ἀλόγῳ τινὶ συνηθείᾳ.

Καὶ ἁπλῶς πολὺν χρόνον ἀναλώσω κατατριβόμενος εἰς τὴν τού- 4
του ληρῳδίαν, διὰ τὸ ἐπηρεῖσθαι αὐτὸν μάτην τῷ ῥητῷ ᾧ εἴρηκεν ὁ σωτήρ »ἀρκετὸν τῷ μαθητῇ εἶναι ὡς ὁ διδάσκαλος«, ἵνα καὶ αὐτὸς σεμνύνηται τὴν ἰδίαν περιτομὴν ἀπὸ τῆς τοῦ Χριστοῦ περιτομῆς τῆς ἐν αὐτῷ καλῶς περιτμηθείσης καὶ δι' αὐτοῦ καταλυθείσης. ὅμως 5
ἐπειδὴ βούλεται ὁ κτηνώδης διὰ τὴν πρὸς τὸν Χριστὸν μίμησιν λαμ-
βάνειν τοῦτον τὸν λόγον, οὐκ ὀκνήσω δεῖξαι ὅτι οὐ διὰ τοῦτο
εἴρηται. | εὐθὺς γὰρ φράζει ὁ κύριος λέγων ὅτι οὐ διὰ τοῦτο 6 P1
εἶπεν, ἀλλὰ διὰ τοὺς διωγμοὺς καὶ τὴν τῶν Ἰουδαίων εἰς αὐτὸν
παροινίαν, καί φησιν | »εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ ἐμὲ Ö302
ἐμίσησαν, καὶ ὑμᾶς μισήσουσιν«. »οὐκ ἐμὲ λέγετε κύριον καὶ διδά-
σκαλον; καὶ καλῶς λέγετε, εἰμὶ γάρ«· »εἰ οὖν τὸν οἰκοδεσπότην
Βεελζεβοὺλ ἐκάλεσαν, πόσῳ γε μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ;« καί 7
»οὐ δύναται δοῦλος εἶναι ὑπὲρ τὸν κύριον αὐτοῦ οὐδὲ μαθητὴς
ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ· ἤτω δὲ κατηρτισμένος κατὰ πάντα ὁ
μαθητής, ὡς ὁ διδάσκαλος« τουτέστιν ἕτοιμος εἰς διωγμὸν καὶ κακο-
λογίαν καὶ πᾶν ὁτιοῦν ἐπιφερόμενον. ὅθεν καὶ ὁ ἅγιος Παῦλος 8
ἔλεγεν »μιμηταί μου γένεσθε καθὼς κἀγὼ Χριστοῦ«. καὶ οὐχ ὅτι
ἐκεῖνος ἐμιμεῖτο τὸν αὐτοῦ δεσπότην ὡς οὐκ ἔδει· οὐδὲ γὰρ ἔλεγεν
ὅτι θεός εἰμι ἢ υἱὸς θεοῦ εἰμι ἢ Λόγος ὁ θεός εἰμι· λέγει γὰρ ὅτι
»ἐγώ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων« καὶ »ὡσπερεί τῳ ἐκτρώματι
ὤφθη κἀμοί«.

34. Εἰ δὲ σύ, Ἐβίων, λαμβάνεις τὸ ῥητὸν τοῦτο ἐπὶ μιμήσει 34, 1
Χριστοῦ καὶ ἀπὸ τῆς περιτομῆς ⟨περὶ⟩ ἧς ματαιοφρονεῖς θέλεις εἶναι
ὡς ὁ διδάσκαλος, μᾶλλον δὲ | ὡς ὁ κύριος, μὴ ἐν τῇ περιτομῇ αὐτῷ D134
ὁμοιοῦ· οὐ γάρ σε ὠφελήσει. παρήνεγκε γὰρ ὁ κύριος τὸν ταύτης
χρόνον, ὡς διὰ πολλῶν μαρτυριῶν σαφῶς ἀπεδείξαμεν. ἦλθεν γὰρ 2

5 vgl. S. 368, 11ff — **6** Matth. 10, 25 — **13** Joh. 15, 20 — **14** Joh. 13, 13 — **15** Matth. 10, 25 — **17—19** Matth. 10, 25 Luk. 6, 40 — **21** I Kor. 11, 1 — **24** I Kor. 15, 9. 8

V M

1 [καὶ Ἰουδαῖοι] * **5** ᾧ] ὃ M **7** ἀπὸ verändert zu διὰ u. demgemäß die folgenden Genitive in Accusative verwandelt V corr **21** ἔλεγεν < V **23** λόγος θεοῦ aus λόγος ὁ θεὸς hergestellt V corr **27** ⟨περὶ⟩ * | ματαίως φρονεῖς aus ματαιοφρονεῖς V corr **29** κύριος] Χριστὸς M **30** μαρτύρων (von späterer Hand verbessert) V

καὶ ἐπλήρωσεν, δοὺς τὴν τελείαν περιτομὴν τῶν αὐτοῦ μυστηρίων
οὐκ ἐν ἑνὶ μέλει μόνῳ, ἀλλ᾽ ὅλον σῶμα σφραγίσας καὶ περιτεμὼν
ἀπὸ ἁμαρτίας, καὶ οὐχ ἓν μέρος λαοῦ σῴζων τουτέστιν ἄνδρας μό-
νους, ἀλλὰ [καὶ] ὅλον λαὸν τὸν τῶν Χριστιανῶν κατὰ ἀλήθειαν ἄν-
δρας τε καὶ γυναῖκας ὁμοῦ σφραγίζων καὶ εἰς οὐρανῶν βασιλείας
κληρονομίαν ἀφθόνως *, καὶ οὐκ ἐλλιπῶς ἑνὶ τάγματι τῶν ἀνδρῶν
μόνον κατὰ ἀσθένειαν τὴν σφραγῖδα παρέχων, ἀλλὰ λαῷ ὁλοτελεῖ
διὰ τῆς σφραγῖδος καὶ ἐντολῶν καὶ ἀγαθῆς διδασκαλίας τὴν βασι-
λείαν τῶν οὐρανῶν ἀποκαλύπτων. εἰ δὲ ὡς ὁ κύριος βούλει εἶναι, 3
ὦ Ἐβίων, τουτέστιν ὡς ὁ διδάσκαλος, πολὺ ἠπάτησαι. μὴ ἐν τῇ
περιτομῇ ἀπεικάζου, ἀλλὰ κάλεσον τὸν Λάζαρον ἀπὸ μνημείου ἢ
ἄλλον νεκρὸν ἔγειρον, | λεπροὺς καθάρισον ἢ τυφλοῖς χάρισαι τὸ P162
βλέπειν ἢ ἐκ γενετῆς παραλυτικὸν ἴασαι, εἰ δύνῃ· οὐ δύνῃ δέ, ὅτι
ἐναντίως πράττεις, ἀπιστίᾳ κατεχόμενος καὶ δεσμοῖς σαρκὸς καὶ
δικαιώμασι νόμου ἀπληρώτοις. εἰ δὲ καὶ ταῦτα ἠδυνήθης ποιῆσαι, 4
ὅπερ οὐ δύνῃ διὰ τὴν κακοπιστίαν σου, οὐ λέγω * ὡς ὁ Χριστός.
οὐ γὰρ δύνῃ ἀπεικασθῆναι θεῷ, φθαρτὸς ὢν ἄνθρωπος καὶ ἠπατη-
μένος, ἀλλ᾽ οὔτε Χριστοῦ τὸ ὄνομα ἐπὶ θεοσημείοις δύνασαι ἐπι-
καλέσασθαι, κἂν τε ἐπικαλέσῃ, οὐκ ἐνεργεῖς. εἰ δὲ καὶ ὅλως ἐνεργεῖς 5
παραλυτικὸν ἀναστῆσαι, εἶχεν ἄν, διὰ τοῦ ὀνόματος τοῦ Ἰησοῦ ἀνα-
στάς, καὶ | σύνεσιν παρ᾽ αὐτοῦ λαβεῖν, ἵνα σοῦ μὴ ἀνάσχηται σαβ- Ö304
βατίζειν, ἀλλὰ παρὰ τοῦ ὀνόματος τοῦ ἰασαμένου * μαθεῖν ὅτι »ἆρον
τὸν κράββατόν σου καὶ πορεύου εἰς τὸν οἶκόν σου ἐν σαββάτῳ«.
ἤδη δέ μοι εἴρηται ὡς διαφόρως ἕκαστος αὐτῶν περὶ Χριστοῦ ὑπο- 6
βάλλει, ποτὲ μὲν | αὐτὸς ὁ Ἐβίων λέγων ἐκ παρατριβῆς ψιλὸν ἄν- D135
θρωπον αὐτὸν γεγενῆσθαι, ἄλλοτε δὲ οἱ ἀπ᾽ αὐτοῦ Ἐβιωναῖοι ἄνω
δύναμιν ἐκ θεοῦ κεκτῆσθαι τὸν υἱόν, καὶ τοῦτον κατὰ καιρὸν τὸν
Ἀδὰμ ἐνδύεσθαί τε καὶ ἐκδύεσθαι, ὧν τὰς διαφόρους γνώμας ἐν δυ-
νάμει θεοῦ ἀνετρέψαμεν.

22 Joh. 5, 8 — **24** vgl. S. 335, 21ff

V M

3 *οὐχ* aus *οὐκ* V *οὐκ* M **4** [*καὶ*] * **6** * etwa ⟨*προάγων*⟩ * | *ἐλλιπῶς*, *ι* statt *ει* Vcorr **13** *γεννητῆς* M **16** * etwa ⟨*εἶναί σε*⟩ * **18** *τὸ ὄνομα Χριστοῦ* V **18f** *ἐπικαλεῖσθαι* M **20** *εἶχες* M | *ἄν* hineingeflickt Vcorr < M **21** *οὐ* vor *σύνεσιν* getilgt Vcorr **22** *διὰ* auf Rasur statt *παρὰ* Vcorr | * etwa ⟨*δύνηται*⟩ * **26** *αὐτὸν γεγενῆσθαι* am Rande nachgetragen Vcorr < M **27** *τὸν* < V | *υἱὸν*] *Χριστὸν*? *, nach S. 337, 1 u. 7

Καὶ τί μοι ἔτι διατρίβειν ἐν ἁλίμοις καὶ ἀμπώτεσι τόποις, πῇ μὲν 7
ἐπικλυζομένοις πῇ δὲ καταξηραινομένοις, ἐξ ὧνπερ ἰχθύων ἐκβρά-
σματα πολλάκις γίνεται καὶ τοῖς ποσὶ τῶν τὰς ὄχθας τούτων μετι-
όντων τῶν τόπων (ἐκ τοῦ ἀνὰ μέσον τῶν ἰχθύων τινὰ ὀβόλα εἶναι,
τρυγόνας δέ φημι καὶ δρακαίνας καὶ καρχαρίας καὶ σμυραίνας, ὡς
καὶ ἤδη προείρηται) βλάβην ἐμποιεῖ. παρελεύσομαι τοίνυν τὸν 8
τόπον αὖθις, θεῷ εὐχαριστῶν ὅτι καὶ ταύτην τὴν αἵρεσιν εἰς τοὐ-
πίσω ἐτρέψαμεν, οὐ παρέργως ἀλλὰ καὶ ἐπιμελῶς ἐλέγξαντες. ἐπ' 9
ἄλλας δὲ καθεξῆς ἑαυτοὺς ἐπιδῶμεν, ἀγαπητοί, θεὸν αἰτούμενοι βοη-
θόν, ὅπως τῆς ἐπαγγελίας τὸ πλήρωμα αὐτὸς δι' ἡμῶν τελειώσῃ. | P163

Κατὰ Οὐαλεντίνων τῶν καὶ Γνωστικῶν ιβ, τῆς δὲ ἀκολουθίας λα.

1. *Μετὰ τούτους τοὺς Ἐβιωναίους καλουμένους, ⟨αὐτ⟩ῶν τὴν* 1, 1
*μοχθηρίαν διοδεύσαντες τάς τε ἄλλας ἐπαγγειλάμενοι θεοῦ δυνάμει **
τὰς ἑξῆς, ἑτέρων θηρῶν μορφὰς καὶ ἰοὺς ἑρπετῶν δήγματά τε καὶ
δηλητήρια ἐχούσας, ὅσαπερ ἐν ταῖς αὐτῶν διδασκαλίαις ὡς ἀπὸ
χάσματος ἰδεῖν ἔνεστι, πυρβόλου ἢ ἑρπετοῦ δεινοῦ καὶ βασιλίσκου †κεκνη-
μένας, ἐπὶ τὴν τῶν Οὐαλεντίνων αἵρεσιν διέξειμι, τὸν ἔλεγχον αὐτῶν
κατὰ δύναμιν ποιούμενος, τῶν | δὴ καὶ Γνωστικῶν ἑαυτοῖς ἐπιθέντων D136
ὄνομα, ὧν διαφοραὶ μέν εἰσι δέκα ἐν μιᾷ πληγῇ τῆς αὐτῶν ὀνειρο- 2

4 vgl. Aelian de nat. anim. II 50 — **11 ff** zur Darstellung des Epiph. vgl. insbesondere (Justin dial. 35 Hegesipp bei Eusebius h. e. IV 22, 5; S. 372, 1 Schwartz) Irenaeus adv. haer. I 1, 1ff; I 8ff Harvey u. I 11, 1ff; I 98ff Hippolyt refut. VI 3. 21ff Tertullian adv. Valentinianos u. sonst Ps. Tertullian adv. omn. haer. 4 Filastrius haer. 38; S. 20, 23ff Marx, sowie die bei Clemens Al. u. Origenes erhaltenen Bruchstücke

V M

1 $\overset{\mu}{\text{ἀ}}$πώτεσι, *μ* oben drüber V^{corr} **3f** *τῶν ... μετιόντων* *] *τοῖς ... μετιοῦσι* VM **4** *τόπων*] *τούτων* M | *ἀναμέσων* M | *τῶν*^{2} < M **6** *καὶ* getilgt V^{corr} **10** Unterschrift *κατὰ Ἐβιωναίων αι*(!) *καὶ*/// *λα* V (die Zahlen gehören eigentlich zur folgenden Überschrift) **11** *κατὰ Οὐαλεντίνων τῶν καὶ Γνωστικῶν* V *κατὰ Οὐαλεντίνων τῶν καὶ Γνωστικῶν ιβ ἢ καὶ λβ* M **12** *⟨αὐτ⟩ῶν* * **13** *τάς τε ἄλλας* getilgt, dafür hinter *ἐπαγγειλάμενοι* ein *τε* angeflickt V^{corr} | * *⟨ἐλέγχειν⟩* * **15** *ὅσαπερ* zu *ὡς* verändert V^{corr}; lies wohl *ὥσπερ* * **16** *ἔνεστι*] *ἔστι* M **17** † *κεκνημένας*] lies wohl *⟨τρόπους⟩ κεκτημένας* * *ἔλεγχον*] *λόγον* getilgt u. *ἔλεγχον* am Rande gesetzt V^{corr} **18** *ἑαυτοὺς* V

πολίας συζυγιῶν τε καὶ ὀγδοάδων καὶ ἀρρενοθηλείων αἰώνων ⟨κατ'⟩ ἄλλην ἄλλης ἰσορρόπως πεπληγμένων, οὐκέτι μὲν κατὰ χρόνους τάττων διαδοχῆς τὴν σύνταξιν, ἀλλὰ κατὰ πρόβασιν ἀφ' ἑτέρας εἰς ἑτέραν διερχόμενος. ἐν ἑνὶ γὰρ χρόνῳ οὗτοι πάντες ὡς μύκητες ἐκ γῆς **3**
ἐβλάστησαν καὶ ὥσπερ κακόρ⟨ρ⟩εκτα καὶ δυσώδη βοτανῶν βλαστήματα καὶ χόρτος ἀκανθώδης καὶ | ὡς φωλεὸς πολλῶν σκορπίων ἐξ Ö 306
ἑνὸς πάντες καιροῦ τῷ βίῳ ἐβλάστησαν καί, ὡς προεῖπον, δίκην μυκήτων ἀμορφίας ὑπὸ μίαν θῆξιν πεφήνασιν, ὡς καὶ ἤδη τῷ ἁγιωτάτῳ Εἰρηναίῳ περὶ αὐτῶν προείρηται. σύγχρονοι γὰρ γεγόνασιν **4**
οὗτοι πάντες, ἕκαστος δὲ ἀπὸ τοῦ ἑτέρου τὴν κακὴν πρόφασιν ἐρανισάμενοι, ἄλλος [ἀπὸ] ἄλλου ἔτι περισσότερόν ⟨τι⟩ βουλόμενος * ἐπιδείξεως χάριν ἑαυτῷ προετύπωσε διαφορὰν κακῆς ἐξευρέσεως. καὶ **5**
πάντες Γνωστικοὺς ἑαυτοὺς ὠνόμασαν, Οὐαλεντῖνός τε φημὶ καὶ οἱ πρὸ αὐτοῦ Γνωστικοί, ἀλλὰ καὶ Βασιλείδης καὶ Σατορνῖλος καὶ
Κολόρβασος, Πτολεμαῖός τε καὶ Σεκοῦνδος, Καρποκρᾶς καὶ ἄλλοι πλείους. ἀλλὰ τὰς πάσας ἐνταῦθα ὀνομάσαντες διὰ τὴν ἐν ἑνὶ **6**
καιρῷ σχέσιν πάντων τῆς ἀναδύσεως καὶ κακοβλάστου *, ὅμως τῆς ἑκάστου σπορᾶς κακόνοιαν ἰδίᾳ ἀφηγησόμεθα. τέως δὲ ἐπὶ τὸν προκείμενον αἱρεσιάρχην καὶ τραγῳδοποιὸν ἐλεύσομαι, φημὶ δὲ Οὐα-
λεντῖνον καὶ τὴν αὐτοῦ διδασκαλίαν, τὴν ἀπὸ τῆς μεγάλης ταύτης Γνωστικῆς ἐπαγγε|λίας ὑπάρχουσαν, καταγνωστικῆς δὲ ληρῳδίας *, P 164
ὡς τοῖς συνετοῖς καταγινωσκομένη εὑρίσκεται καὶ καταγέλαστος.

2. Οὐαλεντῖνος μὲν οὖν οὗτος τῷ χρόνῳ διαδέχεται τοὺς πρὸ **2, 1**
αὐτοῦ προτεταγμένους, Βασιλείδην τε καὶ Σατορνῖλον, Ἐβίωνά τε

4 ff vgl. Iren. I 29, 1; I 221f Harvey *super hos autem ex his qui praedicti sunt Simoniani multitudo Gnosticorum Barbelo exsurrexit et velut a terra fungi manifestati sunt*

V M

1 *αἰωνίων* V | *⟨κατ'⟩* * **2** *ἄλλης* *] *ἄλλως* V M **3** *πρόβασιν* Dind. Öh.] *πρόσβασιν* V M **8** *τῇ ἀμορφίᾳ* aus *ἀμορφίας* hergestellt V^{corr} | *θι///ξιν*, *ι* aus *η* V^{corr} *θίξιν* M **9** *περὶ αὐτῶν* am Rande nachgetragen V^{corr} < M **11** *[ἀπὸ]* * | *⟨τι⟩* * | * *⟨ἐξευρεῖν⟩* * **11f** *ἐπιδείξεως* *] *ἐπιδειξίας* aus *ἐπιδεξιᾶς* V^{corr} *ἐπιδεξιᾶς* M **12** *ἐξευρήσεως* M **13** *ὀνόμασαν* M **15** *Σεκοῦνδος* am Rande statt *Σεδοῦκτος* gesetzt V^{corr} **17** *σύσχεσιν* aus *σχέσιν* V^{corr} *σχέσιν* M | *τῆς*[1]] *τὴν* V | * etwa *⟨διδασκαλίας⟩* * | *ὅμως* *] *ὁμοῦ* V M **19** *τραγωδοποιὸν*, *ὸν* aus *ῶν* V^{corr} | *ἐλευσόμεθα* V | vor *φημὶ* ein *καὶ* getilgt V^{corr} **20** *διδασκαλίαν* + *⟨ἐκθήσομαι⟩*? * **21** *γνωστικὴν* V | *ὑπάρχουσαν*, *αν* auf Rasur V^{corr} | * *⟨μεστὴν οὖσαν⟩* * **23** *οὗτος* + *οὐ* M

καὶ Κήρινθον καὶ Μήρινθον καὶ τοὺς ἀμφ᾽ αὐτούς· οὗτοι γὰρ πάντες
ἐν ἑνὶ καιρῷ | τῷ βίῳ κακῶς ἐφύησαν, ὀλίγῳ δὲ πρόσθεν μᾶλλον οἱ D137
περὶ Κήρινθον καὶ Μήρινθον καὶ Ἐβίωνα· ἅμα γὰρ τοῖς ἤδη μοι πρὸ
αὐτῶν δεδηλωμένοις ἀνεφύησαν. τὴν μὲν οὖν αὐτοῦ πατρίδα ἢ 2
πόθεν οὗτος γεγέννηται, οἱ πολλοὶ ἀγνοοῦσιν· οὐ γάρ τινι ῥᾴδιον
τῶν συγγραφέων μεμέληται τούτου δεῖξαι τὸν τόπον. εἰς ἡμᾶς δὲ
ὡς ἐνηχήσει φήμη τις ἐλήλυθε· διὸ οὐ παρελευσόμεθα, καὶ τὸν τούτου
τόπον μὴ ὑποδεικνύντες, ἐν ἀμφιλέκτῳ μέν (εἰ δεῖ τὰ ἀληθῆ λέγειν),
ὅμως τὴν εἰς ἡμᾶς ἐλθοῦσαν φάσιν οὐ σιωπήσομεν. ἔφασαν γὰρ 3
αὐτόν τινες γεγενῆσθαι Φρεβωνίτην, τῆς Αἰγύπτου Παραλιώτην, ἐν
Ἀλεξανδρείᾳ δὲ πεπαιδεῦσθαι τὴν τῶν Ἑλλήνων παιδείαν. ὅθεν 4
κατὰ μίμημα τῆς κατὰ τὸν Ἡσίοδον Θεογονίας τῶν ⟨τε⟩ παρ᾽ αὐτῷ
τῷ Ἡσιόδῳ τριάκοντα θεῶν λεγομένων καὶ αὐτὸς τὴν ἐθνόμυθον
ποίησιν εἰς τὸν ἑαυτοῦ νοῦν λαβὼν καὶ ἀπὸ τῶν σὺν αὐτῷ καὶ πρὸ
αὐτοῦ | τῆς ἀληθείας ἐκπεπτωκότων τὴν ὑπόνοιαν κτησάμενος, καὶ Ö308
αὐτὸς τὰ ἴσα τῷ Ἡσιόδῳ ἀπὸ ἑτέρων ὀνομάτων εἰς ἕτερα μετα-
ποιήσας ἠθέλησε φαντάσαι τὸν κόσμον. τριάκοντα γὰρ καὶ οὗτος 5
θεοὺς καὶ αἰῶνας καὶ οὐρανοὺς βούλεται παρεισάγειν· ὧν ὁ μὲν
πρῶτός ἐστι Βυθός, ὡς καὶ αὐτὸς ἔφη ἀφραίνων τῇ διανοίᾳ ὁποῖα
ἀμέλει καὶ ὁ αὐτοῦ προβολεὺς τῆς ἐννοίας Ἡσίοδος »Χάος πρώτιστα
θεῶν« ἔφη· Χάος δὲ καὶ Βυθὸς τίνι οὐκ ἂν σαφῆ εἴη τὸ ὁμώνυμον
κεκτημένα; ὅρα δὲ τὴν τοῦ ἀγύρτου τετραγῳδημένην μυθοποιίαν 6
καὶ μοχθηρὰν διδασκαλίαν. τριάκοντα γὰρ οὗτος, ὡς ἔφην, αἰῶνας
βούλεται παριστᾶν, οὓς καὶ θεοὺς ὀνομάζει, δεκαπέντε ἄρρενας καὶ
θηλείας τοσαύτας εἶναι λέγων. ἕκαστον δὲ αἰῶνα ἀρρενόθηλυν καὶ 7
ζεῦγός φησιν αὐτὸς καὶ οἱ αὐτοῦ· δεκαπέντε δὲ δυάδας φασὶν εἶναι,
ἃς συζυγίας καλοῦσι. τὸν ἀριθμὸν δὲ εἶναι τριάκοντα αἰῶνας, ἑκά-
στην δὲ θήλειαν γεννᾶν ἀπὸ τοῦ ἄρρενος τοὺς καθεξῆς αἰῶνας· | D138
εἶναι δὲ τούτους ὡς ὑποτέτακται, κατὰ ἀντιπαράθεσιν ἑκάστου ἀρ|- P165

20 Hesiod Theogonie 116 (vgl. Theophilus ad Aut. II 6; S. 60 Otto clement. Hom. VI 3; S. 74, 15f Lagarde)

V M

1 hinter *Κήρινθον* von späterer Hand *τὸν* hinzugesetzt V | *καὶ Μήρινθον* < M **5** *οὗτος*] *αὐτὸς* M | *ῥᾴδιον* getilgt V^{corr} **6** *μεμελέτηται* M **7** vor *ἐνηχήσει* + *ἐν* M | [*καὶ*]? * **8** *εἰ δεῖ*] *ἤδη* V | *τὴν ἀλήθειαν* V **9** *σιωπήσαιμεν* V **11** *ὅθεν*] *ὅμως* M **12** *κατὰ*[1] *] *καὶ τὸ* V M | ⟨*τε*⟩ * **13** *Ἡσιώδω* M **20** *Ἡσίοδος*, *ο* aus *ω* V **21** [*ἔφη*]? * | *σαφὲς εἴη* V *σαφῆ ἢ* M | *ὡς* vor *τὸ ὁμώνυμον* oben drüber V^{corr} < M **22** *κέκτηται* aus *κεκτημένα* V^{corr} *κεκτημένα* M | *μυθολογίαν* M **23** *μοχθηρὰν* aus *μοχθηρίαν* V^{corr}

ρενικοῦ ὀνόματος τεταγμένου ἄντικρυς τοῦ θηλυκοῦ ὀνόματος, καὶ ἔστιν· Ἀμψίου Αὐραὰν Βουκοῦα Θαρδουοῦ Οὐβουκοῦα Θαρδεδδεὶν 8
Μερεξὰ Ἀτὰρ Βαρβὰ Οὐδουὰκ Ἐστὴν [Οὐδουουὰκ Ἐσλὴν] [Ἀμφαὶν Ἐσ-
σουμὲν] Οὐανανὶν Λαμερτάρδε Ἀθαμὲς Σουμὶν Ἀλλωρὰ Κουβιαθὰ
Δαναδαρία Δαμμὼ Ὠρὴν Λαναφὲκ Οὐδινφὲκ Ἐμφιβοχὲ Βάρρα Ἀσ-
σίου Ἀχὲ Βελὶμ Δεξαριχὲ Μασεμών. *καὶ οὕτως μὲν σύγκεινται ὡς* 9
κατὰ συζυγίαν ἀρρενοθήλεος, ἐν δὲ τῇ ἀκολουθίᾳ κατὰ διαδοχὴν
οὕτως· Ἀμψίου Αὐραὰν Βουκοῦα Θαρδουοῦ Οὐβουκοῦα Θαρδεδδεὶν
Μερεξὰ Ἀτὰρ Βαρβὰ Οὐδουὰκ Ἐστὴν [Οὐδουουὰκ Ἐσλὴν] [Ἀμφαὶν Ἐσ-
σουμὲν] Οὐανανὶν Λαμερτάρδε Ἀθαμὲς Σουμὶν Ἀλλωρὰ Κουβιαθὰ
Δαναδαρία Δαμμὼ Ὠρὴν Λαναφὲκ Οὐδινφὲκ Ἐμφιβοχὲ Βάρρα Ἀσ-
σίου Ἀχὲ Βελὶμ Δεξαριχὲ Μασεμών· *ὧν ὀνομάτων ἑρμηνεῖαί εἰσιν* 10

2 vgl. dieselbe Formel Z. 8ff u. S. 395, 9ff (= V¹M¹ u. V²M²). Die Sprache des Stücks ist ein (jüdisch gefärbtes) Aramäisch. Die einzelnen Wortformen sind jedoch so stark verderbt, daß eine vollständige Wiederherstellung als unmöglich erscheint. Immerhin glauben J. Marquart u. H. Greßmann mit annähernder Sicherheit zu erkennen, daß *Ἀτὰρ* (lies *Ἀγὰρ*) *Βαρβὰ* = חגר בחרבא (er gürtete mit dem Schwert), *Ἔσλὴν* (lies *Ἔσδλὴν*) *Οὐανανὶν* = חסדין וחננין (Gnade u. Erbarmen), *Λαναφὲκ Οὐδινφὲκ* = לנפק ודנפק (für den, der ausgeht u. der ausgegangen ist) aufzufassen ist. Daraus erhellt bereits, daß die Formel jedenfalls keine Äonennamen, sondern einen zusammenhängenden Satz (Sätze?) enthält. Die »Übersetzung« des Epiph. ist daher genau so wertlos, wie die haer. 19, 4, 3; S. 221, 13ff vorgetragene

V M

2 *ἔστιν* + ⟨*οὕτως*⟩? * | *Αὐρὰν* V² *Οὐρὰν* M² | *Θαρδόου* M² | *Θαρδεδδὶν* M² *Θαρδεασδὶν* M *Θαρδεασδίη* VV¹ *Θαρδεασδίη* M¹ **3** *Οὐδοῦα*¹ getilgt V^corr *Οὐδονκᾶ* V² | *Οὐδονουα*² V¹M¹ *Οὐδουὰχ* V²; [*Οὐδουουὰκ Ἐσλὴν*] Marquart, Randverbesserung zu *Οὐδουὰκ Ἐστὴν* | *Ἔσλὴν*] *Σελὴν* M² **3f** [*Ἀμφαὶν Ἐσσουμὲν*] Marquart, Randverbesserung zu *Ἀθαμὲς Σουμὶν*] *ἀμφεναισ/////ουμὲν* V² *ἀμφαινεσγουμὲν* M² **4** *Οὐανανὶ* M² | *Λαμερτάδε*, *ρ* drüber V^corr *Λαμερτάδε* MM¹M² | *Σουμὶν*] *Σουσὶν* V *Σουεὶν* M *Σουμὶν*, *μ* aus *ν* V¹ *Σουμὴν* M¹ V² | *Ἀλώρα* V | *Βουκιάθα* V M **5** *Δαναδαρία Δαμμὼ*] *Δαναδδαρία Ἀλλώρα Δαμμὼ* V *Δαναδαλρία Ἀλλώρα Λαδμὼ* M *Δαμὼ Δανναδαρίαν* V¹ *Δαμὼ Δανμαδδαρὶν* M¹ *Ναδδαρία Δαμμὼ* V² *Δαναδαρία Δαμμὼ* M² | *Λαναφὲχ* VM | *Αὐδαμφὲχ* V *Οὐδαμφὲχ* M V¹M¹ *Οὐδανφὲχ* V² | *Νεφιβοχὲ* M *Ἐνφιθιβοχὲ* V² *Ἐνφειβοχὲ* M²; lies *Ἐνθιβοχὲ* Marquart | *Βανδ* V M *Βαρὰ* V¹M¹ **5f** *Ἀσίου* V¹M¹ **6** *Ἀχὲ*] *Χε* M *Χαβε* V¹ | *Βελεὶμ* M | *Δεξαριχὲμ* V²M² | *Μασὲμ* V² *Μασεὶν* M *Μασὲν* VM² **8ff** nach der Einleitungsformel wäre eine im Vergleich mit der ersten anders angeordnete Liste zu erwarten. Die Wiederholung geht wohl auf den Schreiber zurück, der es bequemer fand, die schon einmal nachgemalte Liste noch einmal herzusetzen

αἵδε· *Βυθὸς ⟨καὶ⟩ Σιγή, Νοῦς καὶ Ἀλήθεια, Λόγος καὶ Ζωή, Ἄνθρωπος καὶ Ἐκκλησία, Παράκλητος καὶ Πίστις, Πατρικὸς καὶ Ἐλπίς, Μητρικὸς καὶ Ἀγάπη, Ἀείνους καὶ Σύνεσις, Θελητὸς (ὁ καὶ Φῶς) καὶ Μακαριό|της, Ἐκκλησιαστικὸς καὶ Σοφία, Βύθιος καὶ Μῖξις, Ἀγήρατος* Ö31
καὶ *Ἕνωσις, Αὐτοφυὴς καὶ Σύγκρασις, Μονογενὴς καὶ Ἑνότης, Ἀκίνητος καὶ Ἡδονή. κατὰ δὲ ἀριθμὸν διαδοχῆς καὶ ἀκολουθίας ἀπὸ* **11**
τοῦ ἀνωτάτου ἀκατονομάστου Πατρὸς καὶ Βυθοῦ παρ' αὐτοῖς ὀνομαζομένου ἕως τούτου τοῦ καθ' ἡμᾶς οὐρανοῦ ὁ τῶν τριάκοντα ἀριθμὸς οὕτως ἔχει· Βυθὸς Σιγὴ Νοῦς Ἀλήθεια Λόγος Ζωὴ Ἄνθρωπος Ἐκκλησία Παράκλητος Πίστις Πατρικὸς Ἐλπὶς Μητρικὸς Ἀγάπη Ἀείνους Σύνεσις Θελητὸς (ὁ καὶ Φῶς) Μακαριότης Ἐκκλησιαστικὸς Σοφία Βύθιος Μῖξις Ἀγήρατος Ἕνωσις Αὐτοφυὴς Σύγκρασις Μονογενὴς Ἑνότης Ἀκίνητος Ἡδονή.

3. *Καὶ αὕτη μὲν ἡ τῶν τριάκοντα Αἰώνων παρ'* | *αὐτοῖς μυθο-* **3,1**
ποιουμένη τραγῳδία καὶ ἡ κατὰ συζυγίαν πνευματικοῦ δῆθεν Πληρώματος κενοφωνία· ἣν ἐάν τις συγκρίνων τῇ παρὰ Ἡσιόδῳ καὶ Στησι- **2**
χόρῳ καὶ τοῖς ἄλλοις ποιηταῖς τῶν Ἑλλήνων παραθῆται, εὕροι ἂν ἐκ παραλλήλου τὰ αὐτὰ ὄντα καὶ οὐδὲν ἕτερον, καὶ ἐκ τούτου γνώσεται ὡς οὐδὲν θαυμαστὸν οἱ τῶν δογμάτων αἱρεσιάρχαι μυστηριωδῶς ἐπαγγέλλονται λέγειν. | *οὐδὲν γὰρ ἄλλο ἢ Ἑλλήνων ἀπεμάξαντο* **3** P1
τὴν ἐπίπλαστον ποιητικὴν ἕξιν τῆς ἐθνομύθου πλάνης καὶ διδασκαλίας,

1 ff die Namen der 30 Äonen entsprechen der Aufzählung bei Irenaeus adv. haer. I 1 f; I 8 ff Harvey (doch sind an unserer Stelle, wie in dem S. 390, 5 ff mitgeteilten Stück, die Dekas u. die Dodekas vertauscht). Bei Irenaeus heißt es nach der Vorführung der Ogdoas (*Βυθὸς καὶ Σιγή, Νοῦς καὶ Ἀλήθεια, Λόγος καὶ Ζωή, Ἄνθρωπος καὶ Ἐκκλησία*): *τὸν μὲν Λόγον καὶ τὴν Ζωὴν μετὰ τὸ προβαλέσθαι τὸν Ἄνθρωπον καὶ τὴν Ἐκκλησίαν* (sc. *προβαλεῖν*) *ἄλλους δέκα αἰῶνας, ὧν τὰ ὀνόματα λέγουσι ταῦτα· Βύθιος καὶ Μῖξις, Ἀγήρατος καὶ Ἕνωσις, Αὐτοφυὴς καὶ Ἡδονή, Ἀκίνητος καὶ Σύγκρασις, Μονογενὴς καὶ Μακαρία . . . . τὸν δὲ Ἄνθρωπον καὶ αὐτὸν προβαλεῖν μετὰ τῆς Ἐκκλησίας αἰῶνας δώδεκα, οἷς ταῦτα τὰ ὀνόματα χαρίζονται· Παράκλητος καὶ Πίστις, Πατρικὸς καὶ Ἐλπίς, Μητρικὸς καὶ Ἀγάπη, Ἀείνους καὶ Σύνεσις, Ἐκκλησιαστικὸς καὶ Μακαριότης, Θελητὸς καὶ Σοφία* (ebenso Tertullian adv. Valent. 8 Hippolyt refut. VI 30, 4 f; S. 157, 15 ff Wendland) — **15** vgl. Irenaeus adv. haer. I 1, 3; I 11 Harvey *τοῦτο τὸ ἀόρατον καὶ πνευματικὸν κατ' αὐτοὺς πλήρωμα* — **16** vgl. clement. Hom. VI 3; S. 74, 19 ff Lagarde clement. Recogn. X 30

V M

1 ⟨*καὶ*⟩ Ausgg. **4** *ἀγηράρατος* M **7** *ἀκατωνομάστου* M **9 ff** auch hier müßte eigentlich eine von der Z. 1 ff gegebenen in der Reihenfolge abweichende Liste stehen. Die Wiederholung ist Folge des bei S. 385, 8 ff eingeschlagenen Verfahrens **15** *συ///ζυγίαν*, *ν* ausradiert V corr **19** *δογμάτων*] *θαυμάτων* V **20** *ἀπεδέξαντο* M

οὐδὲν ἀλλοιώσαντες πλὴν τῆς παρ᾽ αὐτοῖς μεταπεποιημένης βαρβαρικῆς ὀνοματοποιίας. οὕτω γάρ φασι καὶ οἱ περὶ Ἡσίοδον· πρῶτον 4
πάντων γίνεται Χάος, ἵνα εἴπωσι Βυθόν, εἶτα Νὺξ Ἔρεβος Γῆ Αἰθὴρ
Ἡμέρα Ἔρως Μῆτις Μόρος Ὀϊζὺς Πότμος Νέμεσις Μῶμος Φιλότης
Θάνατος Δυσνομία Γήρως Ἄτη Ἵμερος Λήθη Ὕπνος Ὑσμίνη Λυσιμελὴς
Ὕβρις Εὐφρόνιος Αἴγλη Παυσιμέριμνος Ἀπάτη Ἡδυμελὴς Ἔρις. καὶ 5
οὗτος μὲν ὁ ἀριθμὸς κατὰ ἀκολουθίαν ἀρρενοθήλεος οὕτως ἔχει τὴν
τριακοντάδα. εἰ δέ τις θελήσειεν ἰδεῖν πῶς πλαττόμενοι οὗτοι συνάπτουσιν ἓν πρὸς τὸ ἕν, εὕροι ἂν οὕτως συναπτόμενα καὶ συζευγνύ-
μενα ἀλλήλοις ἃ τοῖς ποιηταῖς ἔδοξεν, ὡς τὸν μὲν Βυθὸν Νυκτί τε 6
καὶ Σιγῇ συνάψαντες ἐποίησαν Γῆν γεννᾶσθαι· ἄλλοι δὲ Οὐρανόν,
ὃν δὴ καὶ Ὑπερίονα κεκλήκασι, τὸν [δὲ] αὐτὸν τῇ Γῇ συναφθέντα
φασὶ γεγεννηκέναι ἄρσενάς τε καὶ θηλείας, καὶ τοὺς καθεξῆς ὁμοίως
ἕως τῆς πάσης αὐτῶν ποιήσεως, ὡς ἔχει ἡ ἀπέραντος τοῦ μύθου
ληρώδης φλυαρία. εὕροι δ᾽ ἂν οὕτως συναπτόμενά τε καὶ συζευ- 7
γνύμενα καὶ δυνάμενα οὕτως συντίθεσθαι· Χάος Νύξ, Ἔρεβος Γῆ,
Αἰθὴρ Ἡμέρα, Ἔρως Μῆτις, Μόρος Ὀϊζύς, Πότμος Νέμεσις, Μῶ|μος Ö 312
Φιλότης, Θάνατος Δυσνομία, Γήρως Ἄτη, Ἵμερος Λήθη, Ὕπνος
Ὑσμίνη, Λυσιμελὴς Ὕβρις, Εὐ|φρόνιος Αἴγλη, Παυσιμέριμνος Ἀπάτη, D 140
Ἡδυμελὴς Ἔρις. εἰ δὲ προσέχοι τις τῷ αὐτῶν πλάσματι καὶ βου- 8
ληθείη γνῶναι ὡς ἀπὸ τῶν κοσμικῶν καὶ Ἑλληνικῶν ποιητῶν, ἐξ
ὧν οὗτοι ἐνεβροντήθησαν, μάτην ἐνθουσιῶντες ⟨εἰς⟩ ἃ μὴ δεῖ, εἰς
ματαιοπονίαν τε καὶ κάματον ἀνωφελῆ, *, εὕροι ἂν αὐτοὺς τοσούτῳ
μᾶλλον πεπλανημένους.

4. Ὅθεν καὶ ἔτι ὑψηλοτέρως δῆθεν ἐξερευνῶντες ᾠήθησαν καὶ 4, 1
Ὑστέρημα τῷ ἰδίῳ αὐτῶν δαιμονισθέντι διανοήματι ἐξευρεῖν, ὅπερ

2 ff vgl. Hesiod, Theogonie 116 ff — **25**—S. **388**, **2** etwas anders, mit Unterscheidung zwischen der Achamoth u. dem Demiurgen, Irenaeus adv. haer. I 5, 1; I 42 Harvey *πάντα γὰρ τὰ μετ᾽ αὐτὸν φάσκουσι ⟨αὐτὸν⟩ μεμορφωκέναι, λεληθότως κινούμενον ὑπὸ τῆς Μητρός· ὅθεν καὶ Μητροπάτορα καὶ Ἀπάτορα καὶ Δημιουργὸν αὐτὸν καὶ Πατέρα καλοῦσιν*; ebenso Tertullian adv. Valent. 18, vgl. auch Exc. ex Theod. 33, 3; III 117, 26 f Stählin — zu *Ὑστέρημα* vgl. Irenaeus adv. haer. I 16, 3; I 163 Harvey *οἱ τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς μόνον θεὸν παντοκράτορα ... ἐξ ὑστερήματος καὶ αὐτοῦ ἐξ ἄλλου ὑστερήματος γεγονότος προβεβλῆσθαι λέγοντες* Exc. ex Theod. 22, 7; III 114, 14 Stählin Hippolyt refut. VI 30, 6 f; S. 159, 13 Wendland

V M

1 *παραπεποιημένης* V **5** *δύσνομα* M **8** *πλαττώμενοι* M **9 f** *συνέζευγμένα* aus *συνζευγνύμενα* V corr *συνεζευγμένα* M **12** [δὲ] * **14** *ὡς* < M | *μύθου*] *βυθοῦ* V **15 f** *συ///ζευγνύμενα, ν* ausradiert V **17** *Πότμος*] *ποταμὸς* V **22** ⟨εἰς⟩ * **23** * etwa ⟨*οὗτοι τὴν αὐτῶν πλάνην μετεποίησαν*⟩ *

Ὑστέρημα καὶ Παντοκράτορα καὶ Δημιουργὸν καλοῦσι καὶ κτιστὴν οὐσιῶν· ἀφ᾽ οὗπερ πάλιν καὶ ὑστέραν Ὀγδοάδα μετὰ ἑπτὰ οὐρανῶν, 2 κατὰ τὴν πρώτην Ὀγδοάδα ἀφομοιωθεῖσαν, ἐκτίσθαι λέγουσιν, | αὐτοῦ P16
ὄντος ἐν τῇ Ὀγδοάδι καὶ ἑπτὰ οὐρανοὺς μετ᾽ αὐτὴν πεποιηκότος.
ᾧπερ Ὑστερήματι βούλονται συνάπτειν μὲν ἀμιγῆ τινα Αἰῶνα 3
καὶ ἀθήλυντον, ἀπὸ Πληρώματος δὲ ἐνταῦθα ἐλθόντα κατ᾽ ἀναζήτησιν τῆς ψυχῆς τῆς ἄνωθεν ἀπὸ τῆς μητρὸς Σοφίας ἐλθούσης, ἧς δὴ καὶ Ἀχαμὼθ βούλονται τὸ ὄνομα ἀνατυποῦν τε καὶ πλάττειν, ὃν δὴ καὶ Σωτῆρα καλεῖν * καὶ Ὅρον καὶ Σταυρὸν καὶ Ὁροθέτην
καὶ Μεταγωγέα καὶ Ἰησοῦν τὸν διὰ Μαρίας ὡς διὰ σωλῆνος παρελθόντα. εἶναι δὲ αὐτὸν φῶς ἀπὸ τοῦ ἄνω Χριστοῦ καὶ διὰ τοῦτο 4

2—4 vgl. Irenaeus adv. haer. II praef.; I 249 Harvey *conditionem secundum imaginem invisibilis apud eos pleromatis factam dicunt* ebenda I 5, 2; I 44 Harvey ἑπτὰ γὰρ οὐρανοὺς κατεσκευακέναι ὧν ἐπάνω τὸν Δημιουργὸν εἶναι λέγουσι· καὶ διὰ τοῦτο Ἑβδομάδα καλοῦσιν αὐτόν, τὴν δὲ μητέρα τὴν Ἀχαμὼθ Ὀγδοάδα, ἀποσῴζουσαν τὸν ἀριθμὸν τῆς ἀρχεγόνου καὶ πρώτης τοῦ Πληρώματος Ὀγδοάδος I 5, 4; I 48 Tert. adv. Valent. 20 Hippolyt refut. VI 32, 8f; S. 161, 13ff Wendland 36, 1; S. 165, 20f Exc. ex Theod. 46, 2ff; III 121, 17ff Stählin — **5—8** vgl. Irenaeus adv. haer. I 2, 4; I 17f Harvey ὁ δὲ Πατὴρ τὸν προειρημένον Ὅρον . . . προβάλλεται . . . ἀσύζυγον ἀθήλυντον u. I 8, 4; I 73 ἐπλανήθη ἡ Ἀχαμὼθ ἐκτὸς τοῦ Πληρώματος . . καὶ ἀνεζητήθη ὑπὸ τοῦ Σωτῆρος Tertullian adv. Valent. 10; etwas anders Hippolyt refut. VI 32, 4f; S. 160, 17ff Wendland — **9—11** vgl. Irenaeus adv. haer. I 2, 4; I 18 Harvey τὸν δὲ Ὅρον τοῦτον καὶ Σταυρὸν καὶ Λυτρωτὴν καὶ Καρπιστὴν καὶ Ὁροθέτην καὶ Μεταγωγέα καλοῦσιν I 3, 1; I 24 Tertullian adv. Valent. 10 Hippolyt refut. 30, 5f: S. 159, 7ff Wendland; davon unterschieden der Ἰησοῦς Irenaeus adv. haer. I 2, 6; I 23 Harvey τέλειον καρπὸν τὸν Ἰησοῦν ὃν καὶ Σωτῆρα προσαγορευθῆναι, vgl. dazu I 11, 1; I 101 Tertullian adv. Valent. 12 Hippolyt refut. VI 32, 6; S. 160, 8 Wendland Exc. ex Theod. 35, 1 u. 42, 1ff; III 118, 10ff Stählin u. 120, 1ff — zu διὰ σωλῆνος vgl. Irenaeus adv. haer. I 7, 2; I 60 Harvey Ps. Tertullian adv. omn. haer. 4 — **11**—S. **389**, **3** vgl. Irenaeus adv. haer. I 2, 6; I 23 Harvey τὸν Ἰησοῦν ὃν καὶ Σωτῆρα προσαγορευθῆναι καὶ Χριστὸν καὶ Λόγον πατρωνυμικῶς I 7, 2; I 62 Harvey ὁ ψυχικὸς Χριστὸς καὶ ὁ ἐκ τῆς οἰκονομίας κατεσκευασμένος μυστηριωδῶς, ἵν᾽ ἐπιδείξῃ ⟨δι᾽⟩ αὐτοῦ ἡ Μή-

V M

2 οὐρανῶν *] οὐρανοὺς V M **3** ἀφομοιωθεῖσαν aus ἀφομοιώσας V corr ἀφομοιώσας M **4** αὐτὴν *] αὐτὸν V M **5** ὧ///περ aus ὥσπερ V corr ὥσπερ M **6** θηλυντὸν M | ἀπὸ πληρώματος Pet.] εἰς πλήρωμα V M | κατ᾽ Pet.] καὶ V M **7f** ἧς δὴ] ἤδη V **8** ἀχαμὼθ V **9** καλεῖ V | * etwa ⟨θέλουσιν⟩ * **11** Χριστοῦ] κυρίου M

πατρωνυμικῶς καλεῖσθαι Φῶς διὰ τὸ ἄνω Φῶς καὶ Χριστὸν διὰ τὸν ἄνω Χριστὸν καὶ Λόγον διὰ τὸν ἄνω Λόγον καὶ Νοῦν ὡσαύτως ⟨καὶ⟩ Σωτῆρα λέγεσθαι. ἀεὶ δὲ ὑπερβαίνειν τὸν αὐτοῦ πατέρα τὸν Δημιουργόν, συναναφέρειν δὲ τοὺς αὐτῷ πειθομένους ἅμα αὐτῷ πρὸς τὰς ἄνω συζυγίας τοῦ Πληρώματος. καὶ ὦ τῆς τούτων ληρῳδίας **6** καὶ τοσαύτης ματαιολογίας. παραθήσομαι δὲ (ὡς προεῖπον) καὶ ὡς αὐτοὶ συνέζευξαν τοῖς ποιητικοῖς καὶ ἐθνομύθοις πλάσμασι τὴν αὐτῶν ληρολογίαν. μετὰ τὴν τριακοντάδα γὰρ * τὸ ἓν ὄνομα μέσον καὶ | **7** D141
ἀθήλυντον καὶ μετ' αὐτὸ τὴν κατὰ συζυγίαν πάλιν Ὀγδοάδα εὑρεθεῖσαν ἀπὸ τοῦ Δημιουργοῦ, δυναμένην καὶ οὕτως συντίθεσθαι, καὶ ἔστιν τὰ ὀνόματα τάδε· πρῶτος Ἐξέπαφος, Πορφυρίων Κλωθὼ Ῥύακος Λάχεσις Ἐπιφάων Ἄτροπος Ὑπερίων Ἀστεροπή. καὶ αὕτη **8**
μὲν ἡ τῶν ποιητῶν τούτων σκηνή, ἔχουσα καὶ ἄλλας πολλὰς ὀνομασίας θεῶν παρ' αὐτοῖς ὀνομαζομένων, ἀρρένων τε καὶ θηλειῶν, ἄλλως
καὶ ἄλλως παρά τισι λεγομένων, δυναμένων ποιῆσαι καὶ τριακοσίων | Ö314
ἑξήκοντα πέντε ἀριθμὸν καὶ ἔτι εἰς πρόφασιν τῶν ἄλλων αἱρέσεων τῶν ταύτην πάλιν τὴν τραγικὴν ὑπόθεσιν ἐνστησαμένων ὀνειρωττομένων. μετὰ γὰρ τὰ προειρημένα ὀνόματά φασιν οἱ περὶ Ἡσίοδον καὶ **9**
Ὀρφέα καὶ Στησίχορον γεγενῆσθαι Οὐρανόν τε καὶ Τάρταρον, Κρόνον τε καὶ Ῥέαν, Δία τε καὶ Ἥραν καὶ Ἀπόλλωνα, Ποσειδῶνά τε καὶ Πλούτωνα, καὶ μυρίους λοιπὸν τοὺς παρ' αὐτοῖς ὀνομαζομένους ⟨θεούς⟩. πολλὴ γὰρ τούτων ἡ ἀπατηλὸς ἐξ ὑπονοίας πλάνη, ἥτις κενοφωνίαν ἐγκισσήσασα καὶ ἐξευραμένη πολλοὺς μύθους ἐποιητεύσατο.

Καὶ αὕτη ἐστὶν ἡ δο|κοῦσα φαντάζειν τὴν τῶν ἀπατωμένων **10** P168
τούτων διάνοιαν. γελοῖα δὲ εὐθὺς πᾶσιν εὑρίσκεται ταῦτα τοῖς κατὰ

τηρ τὸν τύπον τοῦ ἄνω Χριστοῦ ἐκείνου τοῦ ἐπεκταθέντος τῷ σταυρῷ, vgl. dazu I 11, 1; I 100 Tertullian adv. Valent. 12 Hippolyt refut. VI 36, 3; S. 166, 5ff Wendland Exc. ex Theod. 35, 1; III 118, 10 *ὁ Ἰησοῦς τὸ φῶς ἡμῶν* 40, 2; III 119, 19ff 47, 3; IV 121, 22 *τὸν ψυχικὸν Χριστὸν υἱοῦ εἰκόνα* 59, 2; III 126, 19ff

11f aus einem mythologischen Handbuch — **18** vgl. clement. Hom. VI 3ff; S. 74, 15ff Lagarde clement. Recogn. X 30ff

V M

6 nach *προεῖπον* vielleicht etwas ausgefallen, etwa ⟨*εἰς σύγκρισιν τὰ τοῦ Ἡσιόδου, ἐλέγχων αὐτοὺς* [*καὶ*]⟩ * **7** *συνέζευξαν* + ⟨*ἑπόμενοι*⟩? * *αὐτὴν* M **8** *γὰρ* *] *δὲ* V M | * etwa ⟨*καὶ οἱ περὶ Ἡσίοδον παρεισφέρουσιν*⟩ * | *τὸ* < M **9** *μετ' αὐτὸν* V **10** vor *δυναμένην* + *πάλιν* V **16** *ἀριθμὸν*, *ο* aus *ω* V corr **17** *ὀνειρωττομένων* *] *ὀνειρωττόντων* V M **20** *Δίαν* M **22** ⟨*θεούς*⟩ * | *ἀπατηλὴ* aus *ἀπατηλὸς* V corr **26** *γελοῖον* V

θεὸν τὸν νοῦν πεφωτισμένοις. παρελθὼν δὲ ταῦτα αὖθις ταῖς 11
*ἀπὸ τῶν βιβλίων αὐτῶν ἀκολουθίαις * πρὸς ἔπος καὶ κατὰ λέξιν*
τὴν παράθεσιν τῆς παρ' αὐτοῖς ἀναγνώσεως, λέγω δὴ τῆς αὐτῶν
βίβλου, ἐνταῦθα ποιήσομαι, καὶ ἔστιν τάδε·

5. Παρὰ φρονίμοις, παρὰ δὲ ψυχικοῖς, παρὰ δὲ σαρκικοῖς, παρὰ δὲ κοσ- 5, 1
μικοῖς, παρὰ δὲ τῷ Μεγέθει * νοῦς ἀκατάργητος τοῖς ἀκαταργήτοις χαίρειν.
Ἀνονομάστων ἐγὼ καὶ ἀρρήτων καὶ ὑπερουρανίων μνείαν ποιοῦμαι 2
μυστηρίων πρὸς ὑμᾶς, οὔτε ἀρχαῖς οὔτε ἐξουσίαις | οὔτε ὑποταγαῖς οὔτε D14
πάσῃ συγχύσει περινοηθῆναι δυναμένων, μόνῃ δὲ τῇ τοῦ Ἀτρέπτου Ἐννοίᾳ
πεφανερωμένων. ὅτε γὰρ ⟨ἐπ'⟩ ἀρχῆς ὁ Αὐτοπάτωρ αὐτὸς ἐν ἑαυτῷ 3
περιεῖχε τὰ πάντα, ὄντα ἐν ἑαυτῷ ἐν ἀγνωσίᾳ, ὃν καλοῦσί τινες Αἰῶνα
ἀγήρατον, ἀεὶ νεάζοντα, ἀρρενόθηλυν, ὃς πάντοτε περιέχει τὰ πάντα καὶ
οὐκ ἐνπεριέχεται, τότε ἡ ἐν αὐτῷ Ἔννοια ἠθέλησεν — ἐκείνη, ἣν τινες Ἐν- 4

5 ff vgl. O. Dibelius, Z. neutest. Wiss. 9 (1908) S. 329 ff — Im Unterschied von Dibelius halte ich das Stück für eine der ältesten Urkunden des Valentinianismus. Der monistische Grundzug des ursprünglichen Valentinianismus tritt darin so deutlich hervor wie in dem Gedicht bei Hippolyt refut. VI 36, 7; S. 167, 17 ff Wendland. Am bezeichnendsten ist die Rolle, die die *Σιγή* (u. der *Βυθός* selbst) spielt; sie deckt sich z. T. mit derjenigen, die sonst der Achamoth zugewiesen wird. Damit hängt es zusammen, daß die *Σοφία* hier nicht am Schluß der Äonenreihe steht. — Zur Form vgl. das Gesicht Valentins Hippolyt refut. VI 42, 2; S. 173, 22 Wendland, die Offenbarungen der *Σιγή* an Marcus Irenaeus I 14, 1 ff; I 128 ff Harvey, insbesondere auch I 14, 6; I 140 (= Hippolyt refut. VI 47, 4; S. 179, 12 Wendland) *τὸν γὰρ τέλειον νοῦν, ἐπιστάμενον τὸν τῶν ἓξ ἀριθμόν, . . . φανερῶσαι τοῖς υἱοῖς τοῦ φωτὸς τὴν . . . δι' αὐτοῦ ἐπιγενομένην ἀναγέννησιν* u. Tertullian adv. Valent. 4 *si aliquid novi adstruxerint, revelationem statim appellant praesumptionem et charisma ingenium* — **6** *Μέγεθος* als valentinianischer Ausdruck (jedoch nicht überall im selben Sinn gebraucht), vgl. außer S. 391, 2. 4. 5 Irenaeus adv. haer. (I 1, 1; I 9 Harvey I, 2, 1; I 13 I 2, 2 f; I 15) I 13, 3; I 118 I 13, 6; I 124 I 14, 7; I 141 I 21, 4; I 186 Herakleon bei Origenes in Joh. VI 198; S. 148, 10 Preuschen — **12** zu *ἀρρενόθηλυν* vgl. Irenaeus adv. haer. I 11, 5; I 107 f Harvey *καὶ γὰρ περὶ αὐτοῦ τοῦ Βυθοῦ πολλαὶ καὶ διάφοροι γνῶμαι παρ' αὐτοῖς . . . ἄλλοι δὲ ἀρρενόθηλυν αὐτὸν λέγουσιν εἶναι, ἑρμαφροδίτου φύσιν αὐτῷ περιάπτοντες*

V M

2 *βίβλων* M | * ⟨*ἑπόμενος*⟩ * **3** *παρ' αὐτοῖς*] *κατ' αὐτῶν* M **5 f** *παρὰ δὲ σαρκικοῖς — κοσμικοῖς* < M **6** * etwa ⟨*ἀνεξιχνίαστος*⟩ * | *ἀκατάργητος τοῖς* < M | *τοῖς*] *νοῖς* Reitzenstein, Die hell. Mysterienrell. S. 134 **7** *ἀνο|||νομάστων*, *ο* aus *ω* V *ἀνωνομάστων* M **9** *τρεπτοῦ* M **10** *ὅτι* M | ⟨*ἐπ'*⟩ *] ⟨*ἐξ*⟩ Pet **13** *ἐμπεριέχεται*, *μ* aus *ν* V corr *ἐνπεριέχεται* M | *ἐκείνη* * Dibelius] *ἐκείνην* V M

νοιαν ἔφασαν, ἕτεροι Χάριν· οἰκείως, διὰ τὸ ἐπικεχορηγηκέναι αὐτὴν θησαυρίσματα τοῦ Μεγέθους τοῖς ἐκ τοῦ Μεγέθους, οἱ δὲ ἀληθεύσαντες Σιγὴν προσηγόρευσαν, ὅτι δι' ἐνθυμήσεως χωρὶς λόγου τὰ ἅπαντα τὸ Μέγεθος ἐτελείωσεν — ὡς οὖν προεῖπον, ἡ ἄφθαρτος ⟨Ἔννοια⟩ αἰώνια βου- 5
5 ληθεῖσα δεσμὰ ῥῆξαι ἐθήλυνε τὸ Μέγεθος ἐπ' ὀρέξει ἀναπαύσεως αὐτοῦ. καὶ αὕτη αὐτῷ μιγεῖσα ἀνέδειξε τὸν Πατέρα τῆς ἀληθείας, ὃν οἰκείως οἱ τέλειοι Ἄνθρωπον ὠνόμασαν, ὅτι ἦν ἀντίτυπος τοῦ προόντος Ἀγεννήτου.

μετὰ τοῦτο δὲ ἡ Σιγή, φυσικὴν ἑνότητα Φωτὸς προενεγκαμένη σὺν 6
τῷ Ἀν|θρώπῳ (ἦν δὲ αὐτῶν ἡ συνέλευσις τὸ θέλειν), [καὶ] ἀναδείκνυσι Ö 316
10 τὴν Ἀλήθειαν. Ἀλήθεια δὲ ὑπὸ τῶν τελείων οἰκείως ὠνομάσθη, ὅτι ἀληθῶς ὁμοία ἦν τῇ ἑαυτῆς μητρὶ Σιγῇ, τῆς Σιγῆς τοῦτο βουληθείσης, ἀπομερισμὸν φώτων τοῦ τε ἄρρενος καὶ τῆς θηλείας ἴσον εἶναι, ὅπως δι' ἑαυτῶν καὶ ἡ ἐν αὐτοῖς * φανερωθῇ τοῖς ἐξ αὐτῶν [ἐν αὐτῷ] εἰς αἰσθη-

1 ff vgl. Irenaeus adv. haer. I 1, 1; I 8f Harvey *συνυπάρχειν δ' αὐτῷ καὶ Ἔννοιαν, ἣν δὴ καὶ Χάριν καὶ Σιγὴν ὀνομάζουσιν* u. dazu I 13, 2; I 116 u. 117 I 13, 3; I 118 *μεταδοῦναί σοι θέλω τῆς ἐμῆς Χάριτος . . . . ὁ δὲ τόπος τοῦ Μεγέθους ἐν ἐμοῖ ἐστι . . . ἰδοὺ ἡ Χάρις κατῆλθεν ἐπί σε* — **3** zu *ἐνθύμησις* vgl. Exc. ex Theod. 7, 1ff; III 108, 1ff Stählin *ἄγνωστος οὖν ὁ πατὴρ ὢν ἠθέλησεν γνωσθῆναι τοῖς αἰῶσι καὶ διὰ τῆς ἐνθυμήσεως τῆς ἑαυτοῦ, ὡς ἂν ἑαυτὸν ἐγνωκώς, πνεῦμα γνώσεως οὔσης προέβαλε τὸν Μονογενῆ· γέγονεν οὖν καὶ ὁ ἀπὸ γνώσεως, τουτέστι τῆς πατρικῆς ἐνθυμήσεως, προελθὼν γνῶσις* — **6 f** *Πατὴρ* u. *Ἀλήθεια* als Namen des zweiten Paars bei Valentin (Irenaeus I 11, 1; I 100 Harvey) u. Marcus (I 15, 1; I 145); zu *Ἄνθρωπος* vgl. Irenaeus adv. haer. I 12, 4; I 113 Harvey *ἄλλοι δὲ . . . τὸν Προπάτορα τῶν ὅλων καὶ Προάρχην καὶ Προανεννόητον Ἄνθρωπον λέγουσι καλεῖσθαι* u. I 14, 3; I 134 Harvey *καὶ καλεῖ τὸ στοιχεῖον τοῦτο Ἄνθρωπον· εἶναί τε πηγὴν φησιν αὐτὸ παντὸς λόγου καὶ ἀρχὴν πάσης φωνῆς καὶ παντὸς ἀῤῥήτου ῥῆσιν καὶ τῆς σιωπωμένης Σιγῆς στόμα* — **9** zu *θέλειν* vgl. unten S. 392, 13 u. die etwas anders angelegte Ableitung bei Ptolemaeus Irenaeus I 12, 1; I 110 Harvey *τοῦ μὲν Θελήματος* (sc. *εἰκόνα εἶναι*) *τὴν Ἀλήθειαν, τῆς δὲ Ἐννοίας τὸν Νοῦν, καὶ διὰ τούτου τοῦ Θελήματος ὁ μὲν ἄῤῥην εἰκὼν τῆς ἀγεννήτου Ἐννοίας γέγονεν, ὁ δὲ θῆλυς τοῦ Θελήματος· τὸ Θέλημα τοίνυν δύναμις ἐγένετο τῆς Ἐννοίας*

V M

1 *Χάριν· οἰκείως*] *χαριοικῶς* M | *ἐπικεχωρηγηκέναι* M **2** *θησαύρισμα* M | *τοῖς ἐκ τοῦ Μεγέθους* < M **3** *ἅπαντα, ἅ* getilgt V^{corr} **4** ⟨*Ἔννοια*⟩ ***, *Ἔννοια* st. *ἄφθαρτος* Dibelius | *αἰώνια* **] *αἰωνία* V < M **5** *ἐπ' ὄρεξιν* M **7** *Ἀγεν///ήτου, ν* ausradiert V^{corr} *Ἀγεννήτου* M **8** *προσενεγκαμένη* M **9** [*καὶ*] Dind. **10** *ὀνομάσθη* M **12** *ἀπὸ μερισμῶν* V **13** * etwa ⟨*ἕνωσις*⟩ * | *ἐξ αὐτῶν* **] *ἐξ αὐτοῦ* VM | [*ἐν αὐτῷ*] **

τικὰ φῶτα μερισθεῖσι. μετὰ τοῦτο ἡ Ἀλήθεια μητρικὴν προενεγκαμένη 7
προυνικίαν ἐθήλυνε τὸν Πατέρα ἑαυτῆς εἰς | ἑαυτὴν καὶ συνήεσαν ἑαυτοῖς, P169
ἀφθάρτῳ μίξει καὶ ἀγηράτῳ συγκράσει καὶ ἀναδεικνύ⟨ου⟩σι τετράδα πνευ-
ματικὴν ἀρρενόθηλυν, ἀντίτυπον τῆς προούσης τετράδος (ἥτις ἦν Βυθὸς
Σιγὴ Πατὴρ Ἀλήθεια). αὕτη δὲ ἡ ἐκ τοῦ Πατρὸς καὶ τῆς Ἀληθείας
τετράς· Ἄνθρωπος Ἐκκλησία Λόγος Ζωή. τότε τοῦ πάντα περιέχοντος 8
Βυθοῦ θελήματι ὁ Ἄνθρωπος καὶ ἡ Ἐκκλησία πατρικῶν μνη|σθέντες D143
λόγων συνήεσαν ἑαυτοῖς καὶ ἀναδεικνύουσι δωδεκάδα προυνίκων ἀρρενο-
θηλύν⟨των⟩. οἱ οὖν ἄρρενές εἰσι· Παράκλητος Πατρικὸς Μητρικὸς Ἀείνους
Θελητός, ὅ ἐστι Φῶς, Ἐκκλησιαστικός, αἱ δὲ θήλειαι· Πίστις Ἐλπὶς
Ἀγάπη Σύνεσις Μακαρία Σοφία. μετέπειτα δὲ Λόγος καὶ Ζωή, καὶ 9
αὐτοὶ τὸ τῆς ἑνώσεως μεταπλάσαντες δώρημα, ἑαυτοῖς ἐκοινώνησαν (ἦν δὲ
ἡ κοινωνία αὐτῶν τὸ θέλημα) καὶ συνελθόντες ἀνεδείξαντο δεκάδα πρου-
νίκων καὶ αὐτῶν ἀρρενοθηλύντων. οἱ μὲν ἄρρενές εἰσι· Βύθιος Ἀγήρατος
Αὐτοφυὴς Μονογενὴς Ἀκίνητος (οὗτοι τὴν προσωνυμίαν ⟨εἰς⟩ τὴν δόξαν
τοῦ πάντα περιέχοντος ⟨περι⟩εποιήσαντο), αἱ δὲ θήλειαι· Μῖξις Ἕνωσις
Σύγκρασις Ἑνότης Ἡδονή, καὶ αὗται τὴν προσωνυμίαν εἰς δόξαν τῆς Σιγῆς
περιεποιήσαντο.

6. Τετελειωμένης οὖν τῆς κατὰ Πατέρα Ἀληθείας τριακάδος, ἣν οἱ 6, 1
ἐπίγειοι μὴ ἐπιστάμενοι ἀριθμοῦσι καὶ ὁπόταν ἔλθωσιν ἐπ᾽ αὐτήν, μηκέτι
ἀριθμὸν εὑρίσκοντες ἀνακυκλοῦσι, πάλιν ἀριθμοῦντες αὐτήν — ἔστι δὲ Βυθὸς
Σιγὴ Πατὴρ Ἀλήθεια Ἄνθρωπος Ἐκκλησία Λόγος Ζωὴ Παράκλητος Πατρι-
κὸς Μητρικὸς Ἀείνους Θελητὸς Ἐκκλησιαστικὸς Πίστις Ἐλπὶς Ἀγάπη,

1 zu *μερισθεῖσι* vgl. Exc. ex Theod. 36, 2; III 118, 21f Stählin *ἡμεῖς . . οἱ μεμερισμένοι* — **1ff** die Ableitung der zweiten Tetras aus dem *Βυθὸς* u. der *Ἀλήθεια* nur hier — **4** vgl. Irenaeus adv. haer. I 1, 1; I 9 Harvey *καὶ εἶναι ταύτην πρώτην καὶ ἀρχέγονον Πυθαγορικὴν τετρακτύν, ἣν καὶ ῥίζαν τῶν πάντων καλοῦσιν· ἔστι γὰρ Βυθὸς καὶ Σιγή, ἔπειτα Νοῦς καὶ Ἀλήθεια* — **6ff** vgl. zu S. 386, 1ff

V M

1 *μερισθεῖσι* * Dibelius] *μερισθεῖσα* V M **3** *ἀναδεικνύ⟨ου⟩σι* Corn. **5** *Ἀληθείας* * Dibelius] *Σιγῆς* V M **8** *ἀναδείκνυσι* V | *προυνείκων ει* aus *ι*, *ω* aus *ο* V corr **8f** *ἀρρενοθηλύν⟨των⟩* *, vgl. Z. 14 u. S. 395, 6] *ἀρρενόθηλυν* V M **10** *ὅ ἐστι*] *ὁ καὶ* S. 386, 7 u. 15 **11** *Ἀγάπη Σύνεσις* am Rande nachgetragen V corr | *Μακαρία*] *Μακαριότης* S. 386, 8 u. 15 **12** *ἑνώσεως* *] *αἰνέσεως* V M | *ἀναπλάσαντες* V **13f** *προυνείκων* V **14** *ἀρρενοθηλύντων* * vgl. S. 395, 6] *ἀρρενοθηλει///ῶν* aus *ἀρρενοθηλύνων* V corr *ἀρρενοθηλύνων* M **15** *⟨εἰς⟩* Pet. **16** *⟨περι⟩εποιήσαντο* * **22f** *Παράκλητος* hinter *Μητρικὸς* (Z. 23) V M

Σύνεσις Μακαρία Σοφία Βύθιος Ἀγήρατος Αὐτοφυὴς Μονογενὴς Ἀκίνητος
Μῖξις Ἕνωσις Σύγκρασις Ἑνότης Ἡδονή —, τότε ὁ τὰ πάντα περιέχων 2
συνέσει τῇ ἀνυπερβλήτῳ δογματίσας τε κληθῆναι ἑτέραν Ὀγδοάδα ἀντὶ
τῆς προούσης αὐθεντικῆς Ὀγδοάδος, ἥτις ἐν τῷ ἀριθμῷ τῆς Τρια | κάδος Ö318
μείνῃ (οὐ γὰρ ἦν Μεγέθους φρόνημα εἰς ἀριθμὸν πίπτειν), ἀντέστησεν
ἀντὶ τῶν ἀρρένων τοὺς ἄρρενας· Μόνον Τρίτον Πέμπτον Ἕβδομον καὶ
τὰς θηλείας· Δυάδα Τετράδα Ἑξάδα Ὀγδοάδα. | αὕτη οὖν ἡ Ὀγδοάς 3 P170
[ἐστιν], ἡ ἀντικληθεῖσα ἀντὶ τῆς προούσης Ὀγδοάδος (Βυθοῦ Πατρὸς
Ἀνθρώπου Λόγου καὶ Σιγῆς Ἀληθείας Ἐκκλησίας | Ζωῆς), ἡνώθη D144
τοῖς φωσὶ καὶ ἐγένετο Τριακὰς ἀπηρτισμένη. καὶ ⟨ἦν⟩ ἡ προοῦσα Ὀγ- 4
δοὰς ἀναπαυομένη. ὁ δὲ Βυθὸς ἐξῆλθεν Μεγέθους στηρίγματι ἑνωθῆναι τῇ
Τριακάδι· συνήει γὰρ τῇ Ἀληθείᾳ καὶ ὁ Πατὴρ τῆς Ἀληθείας συνήρχετο
τῇ Ἐκκλησίᾳ καὶ ὁ Μητρικὸς εἶχε τὴν Ζωὴν καὶ ὁ Παράκλητος τὴν Ἑνάδα
καὶ ἡ Ἑνὰς ἡνοῦτο τῷ Πατρὶ τῆς Ἀληθείας καὶ ὁ Πατὴρ τῆς Ἀληθείας
ἦν μετὰ τῆς Σιγῆς, ὁ Λόγος δὲ ὁ πνευματικὸς ἐκοινώνει * πνευματικῇ μίξει

3 eine obere u. untere *Ὀγδοὰς* nach Epiph. auch bei Herakleon u. Marcus vgl. haer. 36, 2, 1; dazu auch (trotz der andern Grundauffassung) Irenaeus adv. haer. I 3, 4; I 28 Harvey *ἣν* (sc. die Achamoth) *δὴ καὶ δευτέραν Ὀγδοάδα καλοῦσιν* I 5, 2; I 44 *τὴν δὲ μητέρα τὴν Ἀχαμὼθ Ὀγδοάδα* (sc. *καλοῦσιν*), *ἀποσῴζουσαν τὸν ἀριθμὸν τῆς ἀρχεγόνου καὶ πρώτης τοῦ πληρώματος Ὀγδοάδος* I 5, 3; I 45f Hippolyt refut. VI 31, 7; S. 159, 17 Wendland *ἡ καλουμένη κατ' αὐτοὺς Ὀγδοάς, ἥτις ἐστὶν ἡ ἐκτὸς πληρώματος Σοφία* — **6** vgl. Irenaeus adv. haer. I 5, 2; I 44 Harvey *ἑπτὰ γὰρ οὐρανοὺς κατεσκευακέναι, ὧν ἐπάνω τὸν Δημιουργὸν εἶναι λέγουσι καὶ διὰ τοῦτο Ἑβδομάδα καλοῦσιν αὐτόν, τὴν δὲ μητέρα τὴν Ἀχαμὼθ Ὀγδοάδα . . . τοὺς δὲ ἑπτὰ οὐρανοὺς εἶναι νοητοὺς φασιν, ἀγγέλους δὲ αὐτοὺς ὑποτίθενται . ., ὡς καὶ τὸν παράδεισον ὑπὲρ τρίτον οὐρανὸν ὄντα τέταρτον ἄγγελον λέγουσι δυνάμει ὑπάρχειν*

V M

1 *Μακαρία*] *Μακαριότης* S. 386, 8 u. 15 | *Μονογενής* Corn.] *ὁλογενὴς* V M **2** *Ἕνωσις* vgl. S. 392, 16] *Γνῶσις* V M **3** *δογματίσασθαι* aus *δογματίσας τε* V corr **8** [*ἐστιν*] * **10** *ἀπηρτισμένη* wohl aus *ἀπελπισμένη* V corr *ἀπελπισμένη* M | ⟨*ἦν*⟩ * **11** *ὁ δὲ* *] *ὅ τε* V M **12** *συνήει γὰρ τῇ Ἀληθείᾳ* *] *ἡ αὐτὴ ἦν τῇ γὰρ Ἀληθεία* V M **12ff** die von Dibelius S. 331 A. 4 versuchte Ergänzung des Textes geht von der Annahme aus, daß ein strenges Schema durchgeführt sein müsse. Das trifft jedoch weder hier noch S. 395, 1ff zu **14** *ἡνοῦτο* aus *ἦν οὕτω* V corr *ἦν οὕτω* M **15** * irgend ein Name ausgefallen * | *πνευματικῇ* *] *πνεύματι καὶ* V M

καὶ ἀφθάρτῳ συγκράσει, ποιοῦντος τὸ τέλος τοῦ Αὐτοπάτορος ἀδιχοτόμητον τὴν ἑαυτοῦ ἀνάπαυσιν.

ἡ οὖν .Τριακὰς ἀπαρτίσασα βύθια μυστήρια, τελειώσασα γάμον ἐν ἀφθάρτοις ἀνέδειξε φῶτα ἄφθαρτα, ἅτινα Μεσότητος ὠνομάσθησαν τέκνα καὶ ἀχαρακτήριστα ἦσαν, τοῦ νοϊκοῦ μὴ παρακειμένου, ἐκτὸς φρονήσεως ἀναπαυόμενα χωρὶς Ἐννοίας. περὶ γὰρ οὗ τις πράσσει, ἐὰν μὴ νοῇ καθολικῶς, οὐ πράσσει. τότε γενομένων τῶν φώτων, ὧν τὴν πολυπληθίαν πρὸς ἀριθμὸν ἐξειπεῖν οὐκ ἀναγκαῖον, περινοεῖν δέ (ἕκαστον γὰρ τὸ ἴδιον ὄνομα κεκλήρωται δι᾽ ἐπίγνωσιν ἀρρήτων μυστηρίων), ἡ οὖν Σιγὴ βουληθεῖσα εἰς ἐκλογὴν γνώσεως ἅπαντα σῶσαι συνῆγε τῇ δευτέρᾳ ἀντιτεθείσῃ Ὀγδοάδι ἀφθάρτῳ μίξει, νοϊκῇ δὲ βουλήσει· ἦν δὲ αὐτῆς ἡ νοϊκὴ βούλησις Πνεῦμα τὸ ἅγιον, τὸ ἐν μέσῳ τῶν ἁγίων ἐκκλησιῶν. τοῦτο οὖν εἰς τὴν δευτέραν Ὀγδοάδα πέμψασα ἔπεισε καὶ αὐτὴν ἑνωθῆναι αὐτῇ.

3 ff vgl. Hippolyt refut. VI 34, 2f; S. 162, 16ff Wendland *τοὺς ἐντὸς πληρώματος αἰῶνας τριάκοντα πάλιν ἐπιπροβεβληκέναι αὐτοῖς κατὰ ἀναλογίαν αἰῶνας ἄλλους, ἵν᾽ ᾖ τὸ πλήρωμα ἐν ἀριθμῷ τελείῳ συνηθροισμένον . . . ὑποδιήρηται δὲ καὶ τὰ ἐν τῇ Ὀγδοάδι καὶ προβεβλήκασιν ἡ Σοφία, ἥτις ἐστὶ μήτηρ πάντων τῶν ζώντων κατ᾽ αὐτούς, καὶ ὁ κοινὸς τοῦ πληρώματος καρπὸς ὁ λόγους, οἵτινές εἰσιν ἄγγελοι ἐπουράνιοι, πολιτευόμενοι ἐν Ἱερουσαλὴμ τῇ ἄνω, τῇ ἐν οὐρανοῖς* u. Irenaeus adv. haer. I 2, 6; I 23 Harvey *δορυφόρους τε αὐτῷ εἰς τιμὴν [τὴν] αὐτοῦ ἀγγέλους συμπροβεβλῆσθαι* I 4, 5; I 41 *τήν τε Ἀχαμὼθ ἐκτὸς πάθους γενομένην καὶ συλλαβοῦσαν τῇ χαρᾷ τῶν ἐν αὐτῷ φώτων τὴν θεωρίαν, τουτέστι τῶν ἀγγέλων τῶν μετ᾽ αὐτοῦ, καὶ ἐγκισσήσασαν αὐτοὺς κεκυνηκέναι καρποὺς κατὰ τὴν εἰκόνα διδάσκουσιν, κύημα πνευματικὸν γεγονὸς τῶν δορυφόρων τοῦ σωτῆρος* — **4** zu *Μεσότης* als stehendem valentinianischen Ausdruck für das Gebiet der untern Ogdoas vgl. Irenaeus adv. haer. I 5, 3; I 46 Harvey I 6, 4; I 5S Hippolyt refut. VI 32, 7; S. 161, 6 Wendland — **12** zu *Πνεῦμα ἅγιον* vgl. Irenaeus adv. haer. I 2, 5; I 21 Harvey I 2, 6; I 22f *τὸ δὲ ἓν Πνεῦμα τὸ ἅγιον ἐξισωθέντας αὐτοὺς πάντας εὐχαριστεῖν ἐδίδαξε καὶ τὴν ἀληθινὴν ἀνάπαυσιν εἰσηγήσατο* I 11, 1; I 101 *καὶ τὸ Πνεῦμα δὲ*

V M

1 *ποιοῦντος* *] *ποιῶν* V M | *τοῦ Αὐτοπάτορος* * Dibelius] *τοῦ*(!) *αὐτομήτορος* V M **3** *ἡ οὖν*] *ἦν* M | *τριακαὰς* M | *τελειώσασα γάμον*] *τελείως ἄγαμον* V **4** *ἀνέδειξε* *, vgl. S. 395, 6] *ἀπέδειξε* V M | *Μεσότητος* Dibelius vgl. S. 395, S] *Ἑνότητος* V M **5** *ἀχαρακτήρι///στα*, *α* ausradiert V *χαρακτηριαστὰ* M | *τοῦ νοϊκοῦ* *, vgl. Z. 6 u. 11] *οὖν μικροῦ* V M **6** *νοεῖ* M **8** *περινοεῖν δὲ* + ‹*χρὴ*›? * **9** *ἡ οὖν Σιγὴ*] *νοῦν ἡ γῆ* M **13** *πέμψασα ἔπεισε*] *πέμψας ἔπεισε* V *πέμψασαί σε* M

γάμος οὖν ἐτελειοῦτο ἐν τοῖς τῆς Ὀγδοάδος μέρεσιν, ἑνουμένου τοῦ ἁγίου 8
Πνεύματος τῷ Μόνῳ καὶ τῆς Δυάδος τῷ Τρίτῳ καὶ τοῦ Τρίτου τῇ Ἑξάδι
καὶ τῆς Ὀγδοάδος τῷ Ἑβδόμῳ καὶ τοῦ Ἑβδόμου τῇ Δυάδι καὶ τῆς Ἑξά-
δος τῷ Πέμπτῳ. ὅλη δὲ ἡ Ὀγδοὰς συνῆλθε μετὰ ἡδονῆς ἀγηράτου 9
καὶ ἀφθάρτου μίξεως (οὐ γὰρ ἦν χωρισμὸς ἀλλήλων· ἦν δὲ σύγκρασις
μεθ' ἡδονῆς ἀμώμου) | καὶ ἀνέδειξε πεντάδα προυνίκων ἀθηλύντων, ὧν | P171
τὰ | ὀνόματά ἐστι ταῦτα· Καρπιστὴς Ὀροθέτης Χαριστήριος Ἄφετος D145
Μεταγωγεύς. οὗτοι τῆς Μεσότητος ὠνομάσθησαν υἱοί.

βούλομαι δὲ ὑμᾶς γινώσκειν· Ἀμψίου Αὐραὰν Βουκοῦα Θαρδουοῦ 10
Οὐβουκοῦα Θαρδεδδεὶν Μερεξὰ Ἀτὰρ Βαρβὰ Οὐδουὰκ Ἐστὴν [Οὐδουουὰκ
Ἐσλὴν] [Ἀμφαὶν Ἐσσουμὲν] Οὐανανὶν Λαμερτάρδε Ἀθαμὲς Σουμὶν Ἀλλωρὰ
Κουβιαθὰ Δαναδαρία Δαμμὼ Ὠρὴν Λαναφὲκ Οὐδινφὲκ Ἐμφιβοχὲ Βάρρα
Ἀσσίου Ἀχὲ Βελὶμ Δεξαριχὲ Μασεμών.

Καὶ ταῦτα μὲν ἀπὸ μέρους ⟨ἐκ⟩ τῶν βιβλίων αὐτῶν παρατε-
θέντα ἕως ὧδέ μοι εἰρήσθω.

Ἐποιήσατο δὲ οὗτος τὸ κήρυγμα καὶ ἐν Αἰγύπτῳ, ὅθεν δὴ καὶ 7, 1
ὡς λείψανα ἐχίδνης ὀστέων ἔτι ἐν Αἰγύπτῳ περιλείπεται τούτου ἡ
σπορά, ἔν τε τῷ Ἀθριβίτῃ καὶ Προσωπίτῃ καὶ Ἀρσινοΐτῃ καὶ Θη-
βαΐδι καὶ τοῖς κάτω μέρεσι τῆς Παραλίας καὶ Ἀλεξανδρειοπολίτῃ·

τὸ ἅγιον ὑπὸ τῆς Ἀληθείας φησὶ προβεβλῆσθαι εἰς ἀνάκρισιν καὶ καρποφορίαν τῶν αἰώνων ἀοράτως εἰς αὐτοὺς εἰσιόν· δι' οὗ τοὺς αἰῶνας καρποφορεῖν τὰ φυτὰ τῆς Ἀληθείας; etwas anders bei Hippolyt refut. VI 31, 4; S. 159, 2ff, vgl. dazu Irenaeus adv. haer. I 4, 1; I 33 Harvey *διὸ καὶ αὐτὴν τοῖς ἀμφοτέροις ὀνόμασι καλεῖσθαι, Σοφίαν τε πατρωνυμικῶς . . . καὶ Πνεῦμα ἅγιον ἀπὸ τοῦ περὶ τὸν Χριστὸν πνεύματος* u. I 4, 5; I 38 Harvey *τὸν Παράκλητον δὲ ἐξέπεμψεν εἰς αὐτὴν τουτέστι τὸν Σωτῆρα . . . ἐκπέμπεται δὲ πρὸς αὐτὴν μετὰ τῶν ἡλικιωτῶν αὐτοῦ τῶν ἀγγέλων*

7 vgl. die zu S. 388, 9ff angeführten Stellen — **9—13** vgl. zu S. 385, 2ff

V M

1 *οὖν ἐτελειοῦτο*] *συνετελειοῦτο* M **4** *ὀγδοάδος, δο*^{2} getilgt V^{corr} **5** *ἦν δὲ*] *ἡ δὲ* M **6** *προυνείκων* V **13** Unterschrift *πεπλήρωται τὰ ἀπὸ Οὐαλεντίνων* V *κατὰ Οὐαλεντίνων τῶν γνωστικῶν*, dann nach einer Leiste *πεπλήρωται τὰ ἀπὸ Οὐαλεντίνων* M **14** ⟨*ἐκ*⟩ * **15** *εἰρήσθω*] *ἠγείσθω* M **16f** *ὅθεν δὴ — ἐν Αἰγύπτῳ* < M **17** vor *ὡς* ein *τῶ* getilgt V **18** *ἀβριθίτη* M | *ἀρσε-νοΐτη, τη* auf Rasur V^{corr} **19** vor *Ἀλεξανδρειοπολίτῃ* + ⟨*ἐν τῷ*⟩? Jül. | *Ἀλε-ξανδρεισπολίτη* M

ἀλλὰ καὶ ἐν Ῥώμῃ ἀνελθὼν κεκήρυχεν. εἰς Κύπρον δὲ ἐληλυθώς, 2
†ὡς ναυάγιον ὑποστὰς φύσει σωματικῶς, τῆς πίστεως ἐξέστη καὶ
τὸν νοῦν ἐξετράπη. ἐνομίζετο γὰρ πρὸ τούτου μέρος ἔχειν εὐσεβείας
καὶ ὀρθῆς πίστεως ἐν τοῖς προειρημένοις τόποις. ἐν δὲ τῇ Κύπρῳ
5 λοιπὸν εἰς ἔσχατον ἀσεβείας ἐλήλακεν καὶ ἐβάθυνεν ἑαυτὸν ἐν ταύτῃ
τῇ καταγγελλομένῃ ὑπ᾽ αὐτοῦ μοχθηρίᾳ.

λέγει δὲ αὐτός τε καὶ οἱ αὐτοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, 3
ὡς ἔφην, καὶ Σωτῆρα καὶ Χριστὸν καὶ Λόγον καὶ Σταυρὸν καὶ Μετα-
γωγέα καὶ Ὁροθέτην καὶ Ὅρον. φασὶ δὲ ἄνωθεν κατενηνοχέναι 4
10 τὸ σῶμα καὶ ὡς διὰ σωλῆνος ὕδωρ διὰ Μαρίας τῆς παρθένου διε-
ληλυθέναι, μηδὲν δὲ ἀπὸ τῆς παρθενικῆς μήτρας εἰληφέναι, ἀλλὰ
ἄνωθεν τὸ σῶμα ἔχειν, ὡς προεῖπον. μὴ εἶναι δὲ αὐτὸν τὸν πρῶτον 5
Λόγον μηδὲ τὸν μετὰ τὸν Λόγον Χριστὸν τὸν ἄνω ὄντα ἐν τοῖς
ἄνω Αἰῶσι, ἀλλὰ τοῦτον φάσκουσι προβεβλῆσθαι δι᾽ οὐδὲν ἕτερον ἢ
15 μόνον εἰς τὸ ἐλθεῖν καὶ ἀνασῶσαι τὸ γένος τὸ ἄνωθεν πνευ|ματικόν. D 146
τὴν δὲ τῶν νεκρῶν ἀνάστασιν ἀπαρνοῦνται, φάσκοντές τι μυ- 6

1 vgl. Irenaeus adv. haer. III 4, 3; II 17 Harvey *Οὐαλεντῖνος μὲν γὰρ ἦλθεν εἰς Ῥώμην ἐπὶ Ὑγίνου, ἤκμασε δὲ ἐπὶ Πίου καὶ παρέμεινεν ἕως Ἀνικήτου* Tertullian de praescr. 30 adv. Valent. 4 — **1 ff** die Nachricht des Epiph. (Filastrius h. 38, 2; S. 21, 4 schöpft aus ihm) von einer Wirksamkeit des Valentin in Cypern nach seinem römischen Aufenthalt steht im Widerspruch mit Irenaeus; denn dessen *παρέμεινεν* (vgl. das *παρέμεινε* II 22, 5; I 331 Harvey III 3, 4; II 12) setzt voraus, daß Valentin in Rom gestorben ist. Ausgleichungsversuche bei Lipsius, Quellen der ältesten Ketzergesch. S. 256 ff Hilgenfeld, Ketzergesch. S. 255 Harnack, Lit.-Gesch. II 1, 292 ff. Immerhin beachte, daß die vita des Epiph. c. 59 u. 64 Valentinianer in Cypern erwähnt — **8** vgl. S. 388, 8 ff — **9 ff** vgl. Ps. Tertullian adv. omn. haer. 4 *hunc* (sc. *Christum*) *autem in substantia corporis nostri non fuisse, sed spiritale nescio quod corpus de caelo deferentem quasi aquam per fistulam, sic per Mariam virginem transmeasse nihil inde vel accipientem vel mutuantem* Irenaeus adv. haer. I 7, 2; I 60 Harvey Hippolyt refut. VI 35, 7; S. 165, 13 ff Wendland — **13 ff** vgl. Hippolyt refut. VI 36, 3; S. 166, 5 ff *τούτου χάριν ἐγεννήθη Ἰησοῦς ὁ σωτὴρ διὰ τῆς Μαρίας, ἵνα διορθώσηται ⟨τὰ⟩ ἐνθάδε, ὥσπερ ὁ Χριστὸς ὁ ἄνωθεν ἐπιπροβληθεὶς ὑπὸ τοῦ Νοὸς καὶ τῆς Ἀληθείας διωρθώσατο τὰ πάθη τῆς ἔξω Σοφίας* Irenaeus adv. haer. I 3, 1; I 24 Harvey — **16** vgl. Ps. Tert. adv. omn. haer. 4 *resurrectionem huius carnis negat, sed alterius* Irenaeus adv. haer. I 6, 1; I 51 Harvey

V M

2 † ὡς] ⁝σε σ oben drüber V corr ὦ M; entweder ganz zu streichen u. ⟨τε⟩ hinter *ναυάγιον* einzuschieben oder etwa ⟨ἐσώθη, οὕτως⟩ hinter *σωματικῶς* zu ergänzen * **13** *μήτε* M | *τὸν*² < M **14** *ἀλλὰ* getilgt V corr | *τοῦτον* + *δὲ* V M | *δι᾽ οὐδὲν ἕτερον ἢ* am Rande nachgetragen V corr < M

θῶδες καὶ ληρῶδες, | μὴ τὸ σῶμα τοῦτο ἀνίστασθαι, ἀλλ' ἕτερον P172
μὲν ἐξ αὐτοῦ, ὃ δὴ πνευματικὸν καλοῦσι· μόνων δὲ ἐκείνων τῶν
παρ' αὐτοῖς πνευματικῶν καὶ τῶν ἄλλων ⟨τῶν⟩ ψυχικῶν καλου-
μένων *, ἐάν γε οἱ ψυχικοὶ δικαιοπραγήσειαν, τοὺς δὲ ὑλικοὺς καὶ σαρ-
5 κικοὺς καὶ γηΐνους καλουμένους παντάπασιν | ἀπόλλυσθαι καὶ μηδ' Ö322
ὅλως σῴζεσθαι. χωρεῖν δὲ ἑκάστην οὐσίαν πρὸς τοὺς ἰδίους αὐτῆς 7
προβολέας, τὴν μὲν ὑλικὴν τῇ ὕλῃ ἐκδιδομένην καὶ τὸ σαρκικὸν καὶ
γήϊνον τῇ γῇ· τρία γὰρ τάγματα βούλονται εἶναι ἀνθρώπων, πνευ- 8
ματικῶν ψυχικῶν σαρκικῶν, τὸ δὲ τάγμα τὸ πνευματικὸν ἑαυτοὺς λέ-
10 γουσιν, ὥσπερ καὶ γνωστικούς, καὶ μήτε καμάτου ἐπιδεομένους ἢ
μόνον τῆς γνώσεως καὶ τῶν ἐπιρρημάτων τῶν αὐτῶν μυστηρίων.
πᾶν δὲ ὁτιοῦν ποιεῖν ἀδεῶς ἕκαστον αὐτῶν καὶ μηδὲν πεφροντικέναι·
ἐξ ἅπαντος γάρ φασι σωθήσεσθαι πνευματικὸν ὂν τὸ αὐτῶν τάγμα.
τὸ δὲ ἕτερον τάγμα τῶν ἀνθρώπων ἐν κόσμῳ, ὅπερ ψυχικὸν καλοῦ- 9
15 σιν, ἐφ' ἑαυτοῦ σῴζεσθαι μὴ δυνάμενον, εἰ μή τι ἂν καμάτῳ καὶ
δικαιοπραγίᾳ ἑαυτὸ ἀνασώσειε. τὸ δὲ ὑλικὸν τάγμα τῶν ἐν τῷ
κόσμῳ ἀνθρώπων μήτε δύνασθαι χωρεῖν τὴν γνῶσίν φασι μήτε δέχε-
σθαι ταύτην, κἂν θέλοι ὁ ἐκ τούτου τοῦ τάγματος ὁρμώμενος, ἀπόλ-
λυσθαι δὲ ἅμα [σὺν] ψυχῇ καὶ σώματι. τὸ δὲ ἑαυτῶν τάγμα πνευματι- 10
20 κὸν ὂν σῴζεσθαι σὺν σώματι ἄλλῳ, ἐνδοτέρῳ τινὶ ὄντι, ὅπερ αὐτοὶ
σῶμα πνευματικὸν καλοῦσι φανταζόμενοι. τοὺς δὲ ψυχικοὺς κεκμη- 11

2 ff vgl. Irenaeus adv. haer. I 6, 1 ff; I 53 ff Harvey *πᾶν τὸ πνευματικόν, τουτέστιν οἱ πνευματικοὶ ἄνθρωποι . . . ἐπαιδεύθησαν γὰρ τὰ ψυχικὰ οἱ ψυχικοὶ ἄνθρωποι οἱ δι' ἔργων καὶ πίστεως ψιλῆς βεβαιούμενοι . . . . . διὸ καὶ ἡμῖν μὲν ἀναγκαῖον εἶναι τὴν ἀγαθὴν πρᾶξιν ἀποφαίνονται· ἄλλως γὰρ ἀδύνατον σωθῆναι. αὐτοὺς δὲ μὴ διὰ πράξεως, ἀλλὰ διὰ τὸ φύσει πνευματικοὺς εἶναι πάντῃ τε καὶ πάντως σωθήσεσθαι δογματίζουσιν. ὡς γὰρ τὸ χοϊκὸν ἀδύνατον σωτηρίας μετασχεῖν . ., οὕτως πάλιν τὸ πνευματικὸν θέλουσιν οἱ αὐτοὶ εἶναι ἀδύνατον φθορὰν καταδέξασθαι κἂν ὁποίαις συγκαταγένωνται πράξεσιν . . . διὸ δὴ καὶ τὰ ἀπειρημένα πάντα ἀδεῶς οἱ τελειότατοι πράττουσιν αὐτῶν* I 7, 5; I 64 f *ἀνθρώπων δὲ τρία γένη ὑφίστανται, πνευματικὸν χοϊκὸν ψυχικόν . . καὶ τὸ μὲν χοϊκὸν εἰς φθορὰν χωρεῖν καὶ τὸ ψυχικόν, ἐὰν τὰ βελτίονα ἕληται, ἐν τῷ τῆς Μεσότητος τόπῳ ἀναπαύεσθαι* — **21 ff** Mißverständnis von Irenaeus adv. haer. I 7, 5; I 65 ff Harvey *τὰ δὲ πνευματικά, ἃ ἂν κατασπείρῃ ἡ Ἀχαμώθ, ἕκτοτε ἕως τοῦ νῦν δικαίαις ψυχαῖς παιδευθέντα ἐνθάδε καὶ ἐκτραφέντα διὰ τὸ νήπια ἐκπεπέμφθαι, ὕστερον τελειότητος*

V M

4 * etwa ⟨εἶναι σωτηρίαν⟩ * | vor οἱ ψυχικοὶ + καὶ M | ὑλικούς + τε M **15** ἀφ' aus ἐφ' V corr **16** ἑαυτὸ U] ἑαυτῷ V M **17** χωρεῖν angeflickt V corr **19** [σὺν] *

κότας πολὺ καὶ ὑπεραναβεβηκότας τὸν Δημιουργὸν ἄνω δοθήσεσθαι τοῖς ἀγγέλοις τοῖς ἅμα Χριστῷ οὖσιν, οὐδέν τι τῶν σωμάτων ἀνακομιζομένους, ἀλλὰ μόνον τὰς ψυχὰς ἐν πληρώματι εὑρεθείσας τῆς αὐτῶν γνώσεως καὶ τὸν Δημιουργὸν ὑπερβεβηκυίας δίδοσθαι τοῖς μετὰ τοῦ Χριστοῦ ἀγγέλοις εἰς νύμφας. | D14

8. Τοιαύτη ἐστὶν ἡ κατ᾽ αὐτοὺς τραγῳδία, ἔχουσα μὲν καὶ πλείω τούτων· ἐγὼ δὲ μόνον ἅτινα φύσει ἀναγκαῖον εἶναι ἡγησάμην εἰς τοὐμφανὲς ἐλθεῖν, ταῦθ᾽ ὑπηγόρευσα, ὡς ἡ εἰς ἡμᾶς † γνῶσις ἦλθεν· τὸ πόθεν τε ὥρμᾶτο ἐν ποίοις δὲ καιροῖς ὑπῆρχεν καὶ ἀπὸ ποίων τὰς προφάσεις εἴληφεν καὶ τίς αὐτοῦ ἡ διδασκαλία, ἅμα τε τίσιν ἐβλάστησε τῷ βίῳ κακόν, | ἀπὸ μέρους τε, ὡς ἔφην, τῆς τούτου διδα- P17
σκαλίας ἐμνημόνευσα. τὰ δὲ λοιπὰ τῆς αὐτοῦ λεπτολογίας οὐκ ἐβουλήθην ἀπ᾽ ἐμαυτοῦ συντάξαι, εὑρὼν παρὰ τῷ ἁγιωτάτῳ Εἰρηναίῳ τῷ ἀρχαίῳ τὴν κατ᾽ αὐτοῦ πραγματείαν γεγενημένην. ἕως δὲ ἐνταῦθα τὰ ὀλίγα ταῦτα διεξελθών, τὰ ἐξῆς ἀπὸ τῶν τοῦ προειρημένου ἀνδρός, δούλου θεοῦ, Εἰρηναίου δέ φημι, τὴν παράθεσιν ὁλοσχερῶς ποιήσομαι. ἔχει δὲ οὕτως·

8,1 2 3

⟨ΕΚ⟩ ΤΩΝ ΤΟΥ ΑΓΙΟΥ ΕΙΡΗΝΑΙΟΥ

Ἐπεὶ τὴν ἀλήθειαν παραπεμπόμενοί τινες ἐπεισάγουσι λόγους ψευδεῖς καὶ »γενεαλογίας ἀπεράντους, αἵτινες ζητήσεις μᾶλλον παρ|έχουσι«, καθὼς Ö32

9,1

ἀξιωθέντα νύμφας ἀποδοθήσεσθαι τοῖς τοῦ σωτῆρος ἀγγέλοις δογματίζουσι, τῶν ψυχῶν αὐτῶν ἐν Μεσότητι κατ᾽ ἀνάγκην μετὰ τοῦ δημιουργοῦ ἀναπαυσαμένων εἰς τὸ παντελές. καὶ αὐτὰς μὲν τὰς ψυχὰς πάλιν ὑπομερίζοντες λέγουσι ἃς μὲν φύσει ἀγαθὰς ἃς δὲ φύσει πονηράς. καὶ τὰς μὲν ἀγαθὰς ταύτας εἶναι τὰς δεκτικὰς τοῦ σπέρματος γινομένας, τὰς δὲ φύσει πονηρὰς μηδέποτε ἂν ἐπιδέξασθαι ἐκεῖνο τὸ σπέρμα

20 I Tim. 1, 4

V M von **19 ff** an Irenaeus adv. haer. I; I 1 ff Harvey (= lat.); als Nebenzeugen Tertullian adv. Valent. u. Hippolyt refut. VI 29 ff. — Die lateinische Übersetzung des Irenaeus geht auf eine griechische Handschrift zurück, die mit der von Epiph. benutzten eine Anzahl von Verderbnissen teilt, also zur selben Familie gehört

1 *ὑπεραναβεβηκότας* angeflickt V^{corr} | *δίδοσθαι* V **2 f** *ἀνακομιζομένους*, *ἀνα* getilgt u. *ους* zu *οις* verändert V^{corr} **5** *τοῦ* < M **8** † *γνῶσις ἦλθεν*] lies wohl *ἐλθοῦσα γνῶσις ⟨περιεῖχεν⟩* * **9** *τὸ*] *τοῦ* V | *τε*] *δὲ* V **13** vor *παρὰ* + *τὰ* M **14** *κατ᾽* hineingeflickt V^{corr} **15** *ἐνταῦθα* getilgt, *τούτου* drüber geschrieben V^{corr} | *τὰ*^{1} < M **17** *ἔχει δὲ οὕτως* angesetzt V^{corr} < M **18** *⟨Ἐκ⟩* Ausgg. **19** *ἐπὶ* M **20** *καὶ* < M

ὁ ἀπόστολός φησιν »ἢ οἰκοδομὴν θεοῦ τὴν ἐν πίστει«, καὶ διὰ τῆς
πανούργως συγκεκροτημένης πιθανότητος παράγουσι τὸν νοῦν τῶν ἀπειρο-
τέρων καὶ αἰχμαλωτίζουσιν αὐτούς, ῥᾳδιουργοῦντες τὰ λόγια τοῦ κυρίου, 2
ἐξηγηταὶ κακοὶ τῶν καλῶς εἰρημένων γινόμενοι, καὶ πολλοὺς ἀνατρέπουσιν,
ἀπάγοντες αὐτοὺς προφάσει γνώσεως ἀπὸ τοῦ τόδε τὸ πᾶν συστησαμένου
καὶ κεκοσμηκότος, ὡς ὑψηλότερόν τι καὶ μεῖζον ἔχοντες ἐπιδεῖξαι τοῦ τὸν
οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς πεποιηκότος θεοῦ, πιθανῶς 3
μὲν ἐπαγόμενοι διὰ λόγων τέχνης τοὺς ἀκεραίους εἰς τὸν τοῦ ζητεῖν τρόπον,
ἀπιθάνως δὲ ἀπολλύντες αὐτοὺς ἐν τῷ βλάσφημον καὶ ἀσεβῆ τὴν γνώμην
αὐτῶν κατασκευάζειν εἰς τὸν δημιουργόν, μηδὲ ἔν τῳ διακρίνειν δυναμένων
τὸ ψεῦδος ἀπὸ τοῦ ἀληθοῦς | — ἡ γὰρ πλάνη καθ' ἑαυτὴν μὲν οὐκ ἐπιδείκ- 4 D148
νυται, ἵνα μὴ γυμνωθεῖσα γένηται κατάφωρος, πιθανῷ δὲ περιβλήματι
πανούργως κοσμουμένη καὶ αὐτῆς τῆς ἀληθείας * ἀληθεστέραν ἑαυτὴν
παρέχει φαίνεσθαι διὰ τῆς ἔξωθεν φαντασίας τοῖς ἀπειροτέροις, καθὼς 5
ὑπὸ τοῦ κρείττονος ἡμῶν εἴρηται ἐπὶ τῶν τοιούτων, ὅτι λίθον τὸν τίμιον
σμάραγδον ὄντα καὶ πολυτίμητόν τισιν ὕαλος ἐνυβρίζει διὰ τέχνης παρο-
μοιουμένη, ὁπόταν μὴ παρῇ ὁ σθένων δοκιμάσαι καὶ τέχνην διελέγξαι τὴν
πανούργως γενομένην· ὅταν δὲ ἐπιμιγῇ χαλκὸς εἰς τὸν ἄργυρον, τίς εὐκόλως
δυνήσεται τοῦτον ἀκέραιος ⟨ὢν⟩ δοκιμάσαι; — ἵνα οὖν μὴ ⟨καὶ⟩ παρὰ τὴν 6
ἡμετέραν αἰτίαν συναρπάζωνταί τινες ὡς πρόβατα ὑπὸ λύκων, | ἀγνοοῦντες P174
αὐτοὺς διὰ τὴν ἔξωθεν τῆς προβατίου δορᾶς ἐπιβολήν, οὓς φυλάσσειν παρήγ-
γελκεν ἡμῖν ὁ κύριος, ὅμοια μὲν ⟨ἡμῖν⟩ λαλοῦντας, ἀνόμοια δὲ φρονοῦντας.
ἀναγκαῖον ἡγησάμην, ἐντυχὼν τοῖς ὑπομνήμασι τῶν ὡς αὐτοὶ λέγουσιν
Οὐαλεντίνου μαθητῶν, ἐνίοις δ' αὐτῶν καὶ συμβαλὼν καὶ καταλαβόμενος
τὴν γνώμην αὐτῶν, μηνῦσαί σοι, ἀγαπητέ, τὰ τερατώδη καὶ βαθέα μυστή- 7

20ff vgl. Matth. 7, 15

V M lat.

2 *παρεισάγουσιν* V *εισ* getilgt V^{corr} **3** *τοῦ* < V **4** *κακῶς*, *λ* oben drüber V^{corr} **5** *ἀπάγοντες*] *attrahentes* (= *ἐπάγοντες*) lat. | *τοῦ τόδε*] *τούτου δὲ* M **6** *κεκοσμηκότος*] *ordinavit* lat. **9** *ἀπιθάνως*] *male* lat. **10** *μηδὲ*] *non* lat. | *ἔν τῳ* *] *ἐν τῷ* V M < lat. **11** *πλάνη* aus *ἡδονὴ* V^{corr} | *καθ' αὐτὴν*(!) V **13** * *ridiculum est et dicere* (= *γελοῖον τὸ καὶ εἰπεῖν*) lat. **14** *φαίνεσθαι*] *ut decipiat* lat. **16** *καὶ* < lat. **16f** *παρωμοιωμένη*? nach *assimilatum* lat. Jül. **17** *σθένων*] *ἰσχύων* M | *τέχνη* M **18** *δὲ*] *enim* lat. | vor *χαλκὸς* + *δ* V **19** *ἀκέραιος ⟨ὢν⟩* Ausgg.] < V M, *ἀκεραίως*(!) < *ὢν* am Rande angeflickt V^{corr} *rudis cum sit* lat. | *'ιν'* M | *⟨καὶ⟩* Ausgg.] *et* lat. **21** *προβατείου*, *ει* aus *ι* V^{corr} | *δορᾶς*, *ο* aus *ω* V | *ἐπιβουλὴν* V **22** *⟨ἡμῖν⟩* *] *nobis* lat. **24** *συμβάλλων* M

ρια, ἅ »οὐ πάντες χωροῦσιν«, ἐπεὶ μὴ πάντες τὸν ἐγκέφαλον ἐξεπτύκασιν, ὅπως καὶ σὺ μαθὼν αὐτὰ πᾶσι τοῖς μετὰ σοῦ φανερὰ ποιήσῃς καὶ παραινέσῃς αὐτοῖς φυλάξασθαι τὸν βυθὸν τῆς ἀνοίας καὶ τῆς εἰς τὸν θεὸν βλασφημίας. καὶ καθὼς δύναμις ἡμῖν, τήν τε γνώμην αὐτῶν τῶν νῦν **8**
παραδιδασκόντων (λέγω δὴ τῶν περὶ Πτολεμαῖον), ἀπάνθισμα οὖσαν τῆς Οὐαλεντίνου σχολῆς, συντόμως καὶ σαφῶς ἀπαγγελοῦμεν καὶ ἀφορμὰς ⟨ἄλλοις⟩ δώσομεν κατὰ τὴν ἡμετέραν μετριότητα πρὸς τὸ ἀνατρέπειν αὐτήν, ἀλλόκοτα καὶ ἀσύστατα καὶ ἀνάρμοστα τῇ ἀληθείᾳ ἐπιδεικνύντες τὰ ὑπ' αὐτῶν λεγόμενα, μήτε συγγρά|φειν εἰθισμένοι μήτε λόγων τέχνην ἠσκηκότες, **9** Ö
ἀγάπης δὲ ἡμᾶς προτρεπομένης σοί τε καὶ πᾶσι τοῖς μετὰ σοῦ μηνῦσαι D14
τὰ μέχρι μὲν νῦν κεκρυμμένα, ἤδη δὲ κατὰ τὴν χάριν τοῦ θεοῦ εἰς φανερὸν ἐληλυθότα διδάγματα. »οὐδὲν γάρ ἐστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτόν, ὃ οὐ γνωσθήσεται«.

10. Οὐκ ἐπιζητήσεις δὲ παρ' ἡμῶν, τῶν ἐν Κελτοῖς διατριβόντων καὶ **10**,
περὶ βάρβαρον διάλεκτον τὸ πλεῖστον ἀσχολουμένων, λόγων τέχνην ἣν οὐκ ἐμάθομεν οὔτε δύναμιν συγγράφεως ἣν οὐκ ἠσκήσαμεν οὔτε καλλωπισμὸν λέξεων οὔτε πιθανότητα ἣν οὐκ οἴδαμεν, ἀλλὰ ἁπλῶς καὶ ἀληθῶς καὶ **2**
ἰδιωτικῶς τὰ μετὰ ἀγάπης σοὶ γραφέντα μετὰ ἀγάπης σὺ προσδέξῃ καὶ αὐτὸς αὐξήσεις αὐτὰ παρὰ σεαυτῷ (ἅτε ἱκανώτερος ἡμῶν τυγχάνων), οἱονεὶ
σπέρματα καὶ ἀρχὰς λαβὼν παρ' ἡμῶν, καὶ ἐν τῷ πλάτει σοῦ τοῦ νοῦ **3**
ἐπὶ πολὺ καρποφορήσεις τὰ δι' ὀλίγων ὑφ' ἡμῶν εἰρημένα καὶ δυνατῶς παραστήσεις τοῖς μετὰ σοῦ τὰ ἀσθενῶς ὑφ' ἡμῶν ἀπηγγελμένα. καὶ ὡς **4**
ἡμεῖς ἐφιλοτιμήθημεν, πάλαι ζητοῦντός σου μαθεῖν τὴν γνώμην αὐτῶν, μὴ μόνον σοὶ ποιῆσαι φανεράν, | ἀλλὰ καὶ ἐφόδια δοῦναι πρὸς τὸ ἐπι- P17
δεικνύειν αὐτὴν ψευδῆ, οὕτως δὲ καὶ σὺ φιλοτίμως τοῖς λοιποῖς διακονήσεις, κατὰ τὴν χάριν τὴν ὑπὸ τοῦ κυρίου σοὶ διδομένην, εἰς τὸ μηκέτι παρασύρεσθαι τοὺς ἀνθρώπους ὑπὸ τῆς ἐκείνων πιθανολογίας, οὔσης τοιαύτης.

1 vgl. Matth. 19, 11 — **12** Matth. 10, 26

V M lat.

1 *ἐξεπτύκασιν*] *habent* lat. **3** *τὸν*^{2} < V | *θεὸν* Ausgg.] *deum* lat. *Χριστὸν* V M **5** vor *ἀπάνθισμα* + *velut* lat. **6** ⟨*ἄλλοις*⟩ ***] *aliis* lat. **7 f** *ἀλλόκοτα καὶ* < lat. **8** *καὶ ἀσύστατα* < V **9** *εἰθισμένοι* aus *ἠθισμένοι* V corr *ἠθισμένοι* M **10** *σύ τε* M **12** *διδάγματα* + *ipsorum* lat. **13** vor *κρυπτὸν* + *nihil* lat. **14** *Κελτοῖς* Ausgg.] *Celtis* lat. *δελφοῖς* V *ἀδελφοῖς* M **16** *ἠσκήσαμεν*] *ἠκούσαμεν* M **18** *σοι γραφέντα*] *συγγραφέντα* M | *σὺ* aus *σοὶ* V < M **19** *αὐξήσῃς* M **22** *παραστήσῃς* M **24** *μὴ*| *ἢ* M | *φανερὰ* V **25** *οὕτω* V | *δὲ* < lat. | *διακονήσῃς* M **26** *δεδομένην* aus *διδομένην* V corr *διδομένην* M

Λέγουσιν γάρ τινα εἶναι ἐν ἀοράτοις καὶ ἀκατονομάστοις ὑψώμασι 5
τέλειον Αἰῶνα προόντα· τοῦτον δὲ καὶ Προαρχὴν καὶ Προπάτορα καὶ
Βυθὸν καλοῦσιν. ὑπάρχοντα δ' αὐτὸν ἀχώρητον καὶ ἀόρατον, ἀίδιόν τε
καὶ ἀγέννητον, ἐν ἡσυχίᾳ καὶ ἠρεμίᾳ πολλῇ γεγονέναι ἐν ἀπείροις αἰῶσι
χρόνων· συνυπάρχειν δ' αὐτῷ καὶ Ἔννοιαν, ἣν δὴ καὶ Χάριν καὶ Σιγὴν
ὀνομάζουσι. καὶ ποτὲ ἐννοηθῆναι ἀφ' ἑαυτοῦ προβαλέσθαι τὸν Βυθὸν 6
τοῦτον ἀρχὴν τῶν πάντων, καὶ καθάπερ σπέρμα τὴν προβολὴν | ταύτην, D150
ἣν προβαλέσθαι ἐνενοήθη, [καὶ] καταθέσθαι ὡς ἐν μήτρᾳ ⟨ἐν⟩ τῇ συνυπ-
αρχούσῃ ἑαυτῷ Σιγῇ. ταύτην δὲ ὑποδεξαμένην τὸ σπέρμα τοῦτο καὶ 7
ἐγκύμονα γενομένην ἀποκυῆσαι Νοῦν, ὅμοιόν τε καὶ ἴσον τῷ προβαλόντι
καὶ μόνον χωροῦντα τὸ μέγεθος τοῦ πατρός· τὸν δὲ Νοῦν τοῦτον καὶ
Μονογενῆ καλοῦσι καὶ Πατέρα καὶ ἀρχὴν τῶν πάντων. συμπροβεβλῆσθαι 8
δὲ αὐτῷ Ἀλήθειαν καὶ εἶναι ταύτην πρώτην καὶ ἀρχέγονον Πυθαγορικὴν
τετρακτύν, ἣν καὶ ῥίζαν τῶν | πάντων καλοῦσιν. ἔστιν γὰρ Βυθὸς καὶ Ö328
Σιγή, ἔπειτα Νοῦς καὶ Ἀλήθεια. αἰσθόμενον δὲ τὸν Μονογενῆ τοῦτον 9
ἐφ' οἷς προεβλήθη, προβαλεῖν καὶ αὐτὸν Λόγον καὶ Ζωήν, πατέρα πάντων
τῶν μετ' αὐτὸν ἐσομένων καὶ ἀρχὴν καὶ μόρφωσιν παντὸς τοῦ Πληρώ-
ματος· ἐκ δὲ τοῦ Λόγου καὶ τῆς Ζωῆς προβεβλῆσθαι κατὰ συζυγίαν
Ἄνθρωπον καὶ Ἐκκλησίαν. καὶ εἶναι ταύτην ἀρχέγονον Ὀγδοάδα, ῥίζαν 10
καὶ ὑπόστασιν τῶν πάντων, τέτρασιν ὀνόμασι παρ' αὐτοῖς καλουμένην,
Βυθῷ καὶ Νῷ καὶ Λόγῳ καὶ Ἀνθρώπῳ. εἶναι γὰρ αὐτῶν ἕκαστον ἀρρε-
νόθηλυν, οὕτως· πρῶτον τὸν Προπάτορα ἡνῶσθαι κατὰ συζυγίαν τῇ
ἑαυτοῦ Ἐννοίᾳ, τὸν δὲ Μονογενῆ τουτέστιν τὸν Νοῦν τῇ Ἀληθείᾳ, τὸν
δὲ Λόγον τῇ Ζωῇ καὶ τὸν Ἄνθρωπον τῇ Ἐκκλησίᾳ.

V M lat. (dazu von Z. 1ff an Tertullian u. Hippolyt)

1 *γὰρ* < lat. | *ἀκατονομάστοις*, *ο* aus *ω* V corr *ἀκατωνομάστοις* M **2** *προ-*
άρχην V **3** *ὑπάρχοντα δ' αὐτὸν ἀχώρητον καὶ ἀόρατον*] *esse autem illum in-*
visibilem et quem nulla res capere possit. Cum autem a nullo caperetur et esset
invisibilis lat. (wohl Doppelschreibung) **4** *ἀγέννητον*] *ingenitus* lat. *innatum* Tert.
5 *χρόνοις* M < lat.; [*χρόνων*]? Jül. **6** *προβαλλέσθαι*, erstes *λ* getilgt V corr **7** *τοῦ-*
τον Ausgg.] *τούτων* V M *hunc* lat. **8** *ἣν* < lat. | [*καὶ*] *; das *et* in lat. ist keine
Bestätigung dieses *καί*, sondern hängt mit der Weglassung von *ἣν* zusammen
8f ⟨*ἐν* *⟩ *τῇ συνυπαρχούσῃ ἑαυτῷ Σιγῇ*] *eius quae cum eo erat Sige* lat. *in Siyae*
suae velut in genitalibus vulvae locis Tert. **10** *προβάλλοντι* erstes *λ* getilgt V corr
qui emiserat lat. **13** *πρῶτον* V **15** *δὲ* *] *τε* V M *autem* lat. **17** *τῶν*]
τὸν V | *καὶ*[2] hineingeflickt V corr **18** *δὲ*] *δὴ* V | vor *προβεβλῆσθαι* ein *τοῦ*
getilgt V corr **20** *καλουμένων* V **21** *Bython et Nun et Logon et Anthropon* lat.
22 *τὸν Προπάτορα*] *Propatorem illum* lat. **23** *Ἔννοίᾳ* + *id est cogitationi,*
quam et Gratiam et Silentium vocant lat.

Τούτους δὲ τοὺς Αἰῶνας εἰς δόξαν τοῦ Πατρὸς προβεβλημένους, 11
βουληθέντας καὶ αὐτοὺς διὰ τοῦ ἰδίου δοξάσαι τὸν Πατέρα, προβαλεῖν
προβολὰς ἐν συζυγίᾳ· τὸν μὲν Λόγον καὶ | τὴν Ζωὴν μετὰ τὸ προβαλέσθαι P176
τὸν Ἄνθρωπον καὶ τὴν Ἐκκλησίαν, ἄλλους δέκα Αἰῶνας, ὧν τὰ ὀνόματα
λέγουσι ταῦτα· Βύθιος καὶ Μῖξις, Ἀγήρατος καὶ Ἕνωσις, Αὐτοφυὴς καὶ
Ἡδονή, Ἀκίνητος καὶ Σύγκρασις, Μονογενὴς καὶ Μακαρία. οὗτοι ⟨οἱ⟩
δέκα Αἰῶνες, οὓς φάσκουσιν ἐκ Λόγου καὶ Ζωῆς προβεβλῆσθαι. τὸν 12
δὲ Ἄνθρωπον καὶ αὐτὸν προβαλεῖν μετὰ τῆς Ἐκκλησίας Αἰῶνας δώδεκα,
οἷς ταῦτα τὰ ὀνόματα | χαρίζονται· Παράκλητος καὶ Πίστις, Πατρικὸς καὶ D151
Ἐλπίς, Μητρικὸς καὶ Ἀγάπη, Ἀείνους καὶ Σύνεσις, Ἐκκλησιαστικὸς καὶ
Μακαριότης, Θελητὸς καὶ Σοφία.

Οὗτοί εἰσιν οἱ τριάκοντα Αἰῶνες τῆς πλάνης αὐτῶν, οἱ σεσιγημένοι 13
καὶ μὴ γινωσκόμενοι. τοῦτο τὸ ἀόρατον καὶ πνευματικὸν κατ' αὐτοὺς
Πλήρωμα, τριχῇ διεσταμένον εἰς ὀγδοάδα καὶ δεκάδα καὶ δωδεκάδα. καὶ 14
διὰ τοῦτο τὸν σωτῆρα λέγουσιν (οὐδὲ γὰρ κύριον ὀνομάζειν αὐτὸν θέλουσι)
τριάκοντα ἔτεσι κατὰ τὸ φανερὸν μηδὲν πεποιηκέναι, ἐπιδεικνύντα τὸ
μυστήριον τούτων τῶν Αἰώνων. ἀλλὰ καὶ ἐπὶ τῆς παραβολῆς τῶν εἰς 15
τὸν ἀμπελῶνα πεμπομένων ἐργατῶν φασι φανερώτατα τοὺς τριάκοντα
τούτους Αἰῶνας μεμηνῦσθαι. πέμπονται γὰρ οἱ μὲν περὶ πρώτην ὥραν,
οἱ δὲ περὶ τρίτην, οἱ δὲ περὶ ἕκτην, οἱ δὲ περὶ ἐνάτην, ἄλλοι δὲ περὶ
ἑνδεκάτην· συντιθέμεναι οὖν αἱ προειρημέναι ὧραι εἰς αὐτὰς τὸν τῶν
τριάκοντα ἀριθμὸν ἀναπληροῦσι. μία γὰρ καὶ τρεῖς καὶ ἓξ καὶ ἐννέα καὶ
ἕνδεκα τριάκοντα γίνονται. διὰ δὲ τῶν ὡρῶν τοὺς Αἰῶνας μεμηνῦσθαι
θέλουσι. καὶ ταῦτ' εἶναι τὰ μεγάλα καὶ θαυμαστὰ καὶ ἀπόρρητα 16
μυστήρια, ἃ καρποφοροῦσιν αὐτοί, καὶ εἴ πού τι τῶν ἐν πλήθει εἰρημένων
ἐν ταῖς γραφαῖς δυνηθείη προσαρμόσαι καὶ εἰκάσαι τῷ πλάσματι αὐτῶν. | Ö330

11. Τὸν μὲν οὖν Προπάτορα αὐτῶν γινώσκεσθαι μόνῳ λέγουσι τῷ 11, 1
ἐξ αὐτοῦ γεγονότι Μονογενεῖ τουτέστιν τῷ Νῷ, τοῖς δὲ λοιποῖς πᾶσιν
ἀόρατον καὶ ἀκατάληπτον ὑπάρχειν. μόνος δὲ ὁ Νοῦς κατ' αὐτοὺς ἐτέρ-
πετο θεωρῶν τὸν Πατέρα καὶ τὸ μέγεθος τὸ ἀμέτρητον αὐτοῦ κατανοῶν

17 ff vgl. Matth. 20, 1 ff

V M lat. (Tert., Hipp.)

2 *προβάλλειν* M **3** *προβαλ///έσθαι*, λ getilgt V corr **5** *βίθιος* aus *βίθυος* V corr *βίθυος* M **6** ⟨*οἱ*⟩ * **10** vor *Ἐκκλησιαστικὸς* + *καὶ* V M < lat. **15** *αὐτὸν ὀνομάζειν* M **18** *φησι* M **19 f** *ὁ μὲν . . . ὁ δὲ . . . οἱ δὲ* M **21** *τὸν τῶν*] *τῶν τὸν* M **23** *γίνωνται* M **25** *ἐν πλήθει* < lat. **26** *δυνηθείη προσαρμόσαι*] *poterunt adaptare* lat.; nach *δυνηθείη* ist wohl eine vor Epiph. u. lat. entstandene Lücke anzunehmen, auszufüllen etwa nach S. 409, 12 f ⟨*ἕλκεσθαι εἰς τοῦτο, βούλονται*⟩ *

ἠγάλλετο. καὶ διενοεῖτο καὶ τοῖς λοιποῖς Αἰῶσιν ἀνακοινώσασθαι τὸ 2
μέγεθος τοῦ Πατρός, ἡλίκος τε καὶ ὅσος ὑπῆρχεν, καὶ ὡς ἦν ἄναρχός τε
καὶ ἀχώρητος καὶ οὐ καταληπτὸς ἰδεῖν· κατέσχεν δὲ αὐτὸν ἡ Σιγὴ βου-
λήσει τοῦ Πατρὸς διὰ τὸ θέλειν πάντας | αὐτοὺς εἰς ἔννοιαν καὶ πόθον P177
ζητήσεως τοῦ προειρημένου Προπάτορος αὐτῶν ἀναγαγεῖν. καὶ οἱ μὲν 3 D152
λοιποὶ ὁμοίως Αἰῶνες ἡσυχῇ πως ἐπεπόθουν τὸν προβολέα τοῦ σπέρματος
αὐτῶν ἰδεῖν καὶ τὴν ἄναρχον ῥίζαν ἱστορῆσαι. προήλατο δὲ ὁ πολὺ τελευ- 4
ταῖος καὶ νεώτατος τῆς δωδεκάδος τῆς ὑπὸ τοῦ Ἀνθρώπου καὶ τῆς
Ἐκκλησίας προβεβλημένης Αἰὼν τουτέστιν ἡ Σοφία καὶ ἔπαθε πάθος
ἄνευ τῆς ἐπιπλοκῆς τοῦ ⟨συ⟩ζύγου τοῦ Θελητοῦ, ὃ ἐνήρξατο μὲν ἐν τοῖς
περὶ τὸν Νοῦν καὶ τὴν Ἀλήθειαν ἀπέσκηψε δὲ εἰς τοῦτον τὸν παρατρα-
πέντα, προφάσει μὲν ἀγάπης ἡ τόλμης δέ, διὰ τὸ μὴ κεκοινωνῆσθαι τῷ Πατρὶ
τῷ τελείῳ, καθὼς καὶ ὁ Νοῦς. τὸ δὲ πάθος εἶναι ζήτησιν τοῦ Πατρός·
ἤθελε γάρ, ὡς λέγουσι, τὸ μέγεθος αὐτοῦ καταλαβεῖν. ἔπειτα μὴ 5
δυνηθέντα διὰ τὸ ἀδυνάτῳ ἐπιβαλεῖν πράγματι καὶ ἐν πολλῷ πάνυ ἀγῶνι
γενόμενον διά τε τὸ μέγεθος τοῦ βάθους καὶ τὸ ἀνεξιχνίαστον τοῦ Πατρὸς
καὶ τὴν πρὸς αὐτὸν στοργήν, ἐκτεινόμενον ἀεὶ ἐπὶ τὸ πρόσθεν ὑπὸ τῆς
γλυκύτητος αὐτοῦ τελευταῖον ἂν καταπεπόσθαι καὶ ἀναλελύσθαι εἰς τὴν
ὅλην οὐσίαν, εἰ μὴ τῇ στηριζούσῃ καὶ ἐκτὸς τοῦ ἀῤῥήτου μεγέθους φυλασ-
σούσῃ τὰ ὅλα συνέτυχε δυνάμει. ταύτην δὲ τὴν δύναμιν καὶ Ὅρον καλοῦσιν, 6
ὑφ' ἧς ἐπεσχῆσθαι καὶ ἐστηρίχθαι καὶ μόγις ἐπιστρέψαντα εἰς ἑαυτὸν καὶ
πεισθέντα, ὅτι ἀκατάληπτός ἐστιν ὁ Πατήρ, ἀποθέσθαι τὴν προτέραν
ἐνθύμησιν σὺν τῷ ἐπιγενομένῳ πάθει ἐκ τοῦ ἐκπλήκτου ἐκείνου θαύματος.

12. Ἔνιοι δὲ αὐτῶν οὕτως τὸ πάθος τῆς Σοφίας καὶ τὴν ἐπι- 12, 1
στροφὴν μυθολογοῦσιν· ἀδυνάτῳ καὶ ἀκαταλήπτῳ πράγματι αὐτὴν ἐπι-

V M lat. (Tert., Hipp.)

4 *θέλειν* + ⟨*αὐτὸν*⟩? * **5** *προειρημένου* < lat. | *Προπάτορος*] *Patris* lat. | *ἀγαγεῖν* V **6** *ὁμοίως αἰῶνες*] *aeones omnes* lat. **7** *προήλατο, ἡ* auf Rasur V^{corr} *προσήλετο* M | *ὁ πολὺ* *, nach *valde ultimus* lat.] *πολὺ ὁ* V M **9** *προβεβλημένος* V **10** ⟨*συ*⟩*ζύγου* Ausgg., nach *coniugis* lat.] *ζυγοῦ* V M **11f** *παρατραπέντα, τραπεν* auf Rasur V^{corr} **12** *πρόφασιν* V | † *τόλμης*] *temeritatis* lat. *τόλμη* M (richtige Verbesserung des vor Epiph. u. lat. liegenden Fehlers) | *κεκοινῶσθαι* M *communicaverat* lat. **15** *δυνηθέντα* *] *δυνηθῆναι* V M *quum non posset* lat. | *τὸ*] *τῷ* M | *καὶ* < lat. | vor *πολλῷ* + *τῷ* V **16** *τε* < M **19** *ὅλην*] *universam* lat. *reliquam* Tert. (nicht vorzuziehen, vgl. S. 407, 23; der Sinn ist: sie wäre aufgelöst worden in die gesamte d. h. in die allgemeine Substanz) **21** *καὶ*^{2} < lat. | *ἐπιστρέψαν* M **22** *πεισθέντα* + *iam lat.* **23** *ἐπιγινομένῳ* V | *ἐκπλήττου* M **24** *οὕτως* Dind., nach *huiusmodi* lat.] *πῶς* V M **25** *μυθολογοῦσιν*] *velut fabulam narrant* lat. | *ἀκαταλή|||πτῳ, μ* getilgt V^{corr}

χειρή|σασαν τεκεῖν οὐσίαν ἄμορφον, οἵαν φύσιν εἶχεν θήλεια τεκεῖν· ἣν 2 (2
καὶ κατανοήσασαν πρῶτον μὲν λυπηθῆναι διὰ τὸ ἀτελὲς τῆς γενέσεως,
ἔπειτα φοβηθῆναι μήτι καὶ αὐτὸ τὸ εἶναι τέλος | ἔχῃ· εἶτα ἐκστῆναι καὶ D1
ἀπορῆσαι, ζητοῦσαν τὴν αἰτίαν καὶ ὅντινα τρόπον ἀποκρύψῃ τὸ γεγο-
νός. ἐγκαταγενομένην δὲ τοῖς πάθεσι λαβεῖν ἐπιστροφὴν καὶ ἐπὶ τὸν 3
Πατέρα ἀναδραμεῖν πειραθῆναι καὶ | μέχρι τινὸς τολμήσασαν ἐξασθενῆσαι P17
καὶ ἱκέτιν τοῦ Πατρὸς γενέσθαι. συνδεηθῆναι δὲ αὐτῇ καὶ τοὺς λοιποὺς 4
Αἰῶνας, μάλιστα δὲ τὸν Νοῦν. ἐντεῦθεν λέγουσι πρώτην ἀρχὴν ἐσχηκέναι
τὴν οὐσίαν τῆς ὕλης, ἐκ τῆς ἀγνοίας καὶ τῆς λύπης καὶ τοῦ φόβου καὶ
τῆς ἐκπλήξεως.

Ὁ δὲ Πατὴρ τὸν προειρημένον Ὅρον ἐπὶ τούτοις διὰ τοῦ Μονογενοῦς 5
προβάλλεται ἐν εἰκόνι ἰδίᾳ, ἀσύζυγον ἀθήλυντον· τὸν γὰρ Πατέρα ποτὲ
μὲν μετὰ συζυγίας τῆς Σιγῆς, ποτὲ δὲ καὶ ὑπὲρ ἄρρεν καὶ ὑπὲρ θῆλυ
εἶναι θέλουσι. τὸν δὲ Ὅρον τοῦτον καὶ Σταυρὸν καὶ Λυτρωτὴν καὶ 6
Καρπιστὴν καὶ Ὁροθέτην καὶ Μεταγωγέα καλοῦσι. διὰ δὲ τοῦ Ὅρου
τούτου φασὶ κεκαθάρθαι καὶ ἑστηρίχθαι τὴν Σοφίαν καὶ ἀποκατασταθῆναι
τῇ συζυγίᾳ. χωρισθείσης γὰρ τῆς Ἐνθυμήσεως ἀπ' αὐτῆς σὺν τῷ ἐπι- 7
γενομένῳ πάθει, αὐτὴν μὲν ἐντὸς Πληρώματος μεῖναι, τὴν δὲ ἐνθύμησιν
αὐτῆς σὺν τῷ πάθει ὑπὸ τοῦ Ὅρου ἀφορισθῆναι καὶ ἀποσταυρωθῆναι
καὶ ἐκτὸς αὐτοῦ γενομένην εἶναι μὲν πνευματικὴν οὐσίαν, ⟨ὡς⟩ φυσικήν τινα
Αἰῶνος ὁρμὴν τυγχάνουσαν, ἄμορφον δὲ καὶ ἀνείδεον διὰ τὸ μηδὲν κατα-
λαβεῖν. καὶ διὰ τοῦτο καρπὸν ἀσθενῆ καὶ θῆλυν αὐτὴν λέγουσι.

13. Μετὰ δὲ τὸ ἀφορισθῆναι ταύτην ἐκτὸς τοῦ Πληρώματος τῶν 13,
Αἰώνων τήν τε Μητέρα αὐτῆς ἀποκατασταθῆναι τῇ ἰδίᾳ συζυγίᾳ, τὸν

V M lat. (Tert., Hipp.)

1 ἔσχεν M | θήλεια Dind., nach *foemina* lat.] θήλειαν V M **2** καὶ < lat. **3** μήτι *] μηδε aus μητε V corr μήτε M *ne* lat. | αὐτὸ τὸ εἶναι] *hoc ipsum* lat.; nach αὐτὸ τὸ εἶναι vielleicht einzusetzen ⟨αὐτῇ⟩ *, vgl. S. 410, 13 f | τέλος Dind., nach *finem* lat. u. *ne finis quoque insisteret* Tert.] τελείως V M | ἔχῃ Pet.] ἔχειν V M **4** ἀπορῆσαι] *aporiatam id est confusam* lat. | ἀποκρύψει aus ἀποκρύψῃ V corr **4 f** τὸ γεγονὸς] *id quod erat natum* lat. **5** τοῖς] *iis* lat. **6** vor ἐξασθενῆσαι + *tandem* lat. **7** ἱκέτιν aus ἱκέτην V corr ἱκέτην M **8** lies πρῶτον? * **12** σύζυγον, ἀ drüber gesetzt V corr σύζυγον M | ἀθήλυντον] *masculo-foemina* lat. *feminam marem* Tert.; trotzdem ist wohl nicht ἀρρενόθηλυν einzusetzen **13** ὑπὲρ] beidemale *pro* lat. **14** καὶ Σταυρὸν καὶ Λυτρωτὴν Ausgg.] καὶ συλλυτρωτὴν V M *et Stauron et Lytroten* lat. **17** τῇ συζυγίᾳ] *coniugi* lat. *coniugio* Tert. **17 f** ἐπιγενομένῳ *] ἐπιγινομένω V M *appendice* lat. Tert. **19** ἀποσταυρωθῆναι Ausgg.] ἀποστερηθῆναι V M *crucifixam* lat. Tert. **20** ⟨ὡς⟩ *] *ut* lat. Tert. **22** διὰ τοῦτο] διὰ τὸ M | αὐτὴν *] αὐτὸν V M *eius* lat. **23** αὐτὴν M

Μονογενῆ πάλιν ἑτέραν προβαλέσθαι συζυγίαν κατὰ προμήθειαν τοῦ
Πατρός, ἵνα μὴ ὁμοίως ταύτῃ πάθῃ τις τῶν Αἰώνων, Χριστὸν καὶ Πνεῦμα
ἅγιον, εἰς πῆξιν καὶ στηριγμὸν τοῦ Πληρώματος, ὑφ' ὧν καταρτισθῆναί
⟨φασιν⟩ τοὺς Αἰῶνας. τὸν μὲν γὰρ Χριστὸν διδάξαι αὐτοὺς συζυγίας 2
φύσιν, † ἀγεννήτου | κατάληψιν γινώσκοντας ἱκανοὺς εἶναι ἀναγορεῦσαί τε D154
ἐν αὐτοῖς τὴν τοῦ Πατρὸς ἐπίγνωσιν, ὅτι τε ἀχώρητός ἐστι καὶ ἀκατά- Ö334
ληπτος καὶ οὐκ ἔστιν οὔτε ἰδεῖν οὔτε ἀκοῦσαι αὐτὸν ἢ διὰ μόνου τοῦ
Μονογενοῦς γινώσκεται· καὶ τὸ μὲν αἴτιον τῆς αἰωνίου διαμονῆς τοῖς 3
λοιποῖς τὸ ἀκατάληπτον ὑπάρχειν τοῦ Πατρός, τῆς δὲ γενέσεως αὐτῶν
καὶ μορφώσεως τὸ καταληπτὸν αὐτοῦ, ὅ δὴ υἱός ἐστιν. καὶ ταῦτα μὲν ὁ
ἄρτι προβληθεὶς Χριστὸς ἐν αὐτοῖς ἐδημιούργησε.

Τὸ δὲ [ἐν] Πνεῦμα τὸ ἅγιον ἐξισωθέντας αὐτοὺς πάντας εὐχαριστεῖν 4
ἐδίδαξεν καὶ τὴν ἀληθι|νὴν ἀνάπαυσιν ⟨εἰσ⟩ηγήσατο. οὕτως τε μορφῇ καὶ P179
γνώμῃ ἴσους κατασταθῆναι τοὺς Αἰῶνας λέγουσι, πάντας γενομένους Νόας
καὶ πάντας Λόγους καὶ πάντας Ἀνθρώπους καὶ πάντας Χριστούς, καὶ
τὰς θηλείας ὁμοίως πάσας Ἀληθείας καὶ πάσας Ζωὰς καὶ Πνεύματα καὶ
Ἐκκλησίας. στηριχθέντα δὲ ἐπὶ τούτῳ τὰ ὅλα καὶ ἀναπαυσάμενα τελέως 5
μετὰ μεγάλης χαρᾶς φησὶν ὑμνῆσαι τὸν Προπάτορα, πολλῆς εὐφρασίας
μετασχόντα. καὶ ὑπὲρ τῆς εὐποιίας ταύτης βουλῇ μιᾷ καὶ γνώμῃ τὸ 6
πᾶν Πλήρωμα τῶν Αἰώνων, συνευδοκοῦντος τοῦ Χριστοῦ καὶ τοῦ Πνεύ-
ματος, τοῦ δὲ Πατρὸς αὐτῶν συνεπισφραγιζομένου, ἕνα ἕκαστον τῶν

V M lat. (Tert., Hipp.)

2 *ἵνα μὴ — Αἰώνων* < lat. *ne qua eiusmodi rursus concussio incuteret* Tert. *πάθῃ τις*] *παθητὸς* M **3** *εἰς πῆξιν — Πληρώματος* < lat. *pleromati muniendo iamque figendo* Tert. **4** ⟨*φασιν*⟩ *] dicunt* lat. | *διάξαι* M **5** † *ἀγεννήτου κατάληψιν γινώσκοντας ἱκανοὺς εἶναι*] *innati comprehensionem cognoscentes sufficientes sive idoneos esse* lat. *et innati coniectationem et idoneos efficere* Tert.; altes Verderbnis, lies etwa ⟨*πρὸς*⟩ *ἀγεννήτου κατάληψιν γεννητοὺς* ⟨*μὴ*⟩ *ἱκανοὺς εἶναι* oder ⟨*τοὺς*⟩ *ἀγεννήτου κατάληψιν γινώσκοντας* ⟨*μόνον πρὸς συζυγίαν μετ' αὐτοῦ*⟩ *ἱκανοὺς εἶναι* * | *ἀναγορεῦσαί τε ἐν αὐτοῖς*] *generandi in se* Tert. **6f** *ἀκατάλη///πτος*, *μ* getilgt V corr **7** *μόνου* < M **8** *γινώσκεται* < lat. **8f** *τοῖς λοιποῖς*] *iis omnibus* lat. **9** *ἀκατάληπτον* Ausgg.] *πρῶτον καταληπτὸν* V M *incomprehensibile* lat. | *αὐτῶν* *] *αὐτοῦ* V M < lat. *illorum* Tert. **12** [*ἐν*] *] < lat. **13** ⟨*εἰσ*⟩*ηγήσατο* Ausgg.] *induxit* lat. **14** *τοὺς* < M **15** *καὶ πάντας Λόγους* < Tert. | *πάντας*[1] < lat. | *Χριστοὺς*] *iheletos* Tert. **15f** hinter *καὶ*[4] Rasur von 6 Buchstaben V corr *καὶ πάντας*(!) M **16** *Ἀληθείας*] *Sigas* Tert. | *πάσας*[2] < lat. **16f** *καὶ Πνεύματα καὶ Ἐκκλησίας*] *in Ecclesias in Fortunatas* Tert. **17** *δὲ*] *quoque* lat. | *ἀναπαυσάμενα*] *requiescentia* lat. | *τελείας* M **18** *φησὶν*] *dicunt* lat. **19** *μετασχόντα*] *participantem* (sc. *Propatorem*) lat. | *βουλῇ μιᾷ*] *βούλημα* M **21** *τοῦ δὲ — συνεπισφραγιζομένου* < lat. Tert.

Αἰώνων ὅπερ εἶχεν ἐν ἑαυτῷ κάλλιστον καὶ ἀνθηρότατον συνενεγκαμένους καὶ συνερανισαμένους καὶ ταῦτα ἁρμοδίως πλέξαντας καὶ ἐμμελῶς ἑνώσαντας, προβαλέσθαι πρόβλημα εἰς τιμὴν καὶ δόξαν τοῦ Βυθοῦ, τελειότατον κάλλος τι καὶ ἄστρον τοῦ Πληρώματος, τέλειον Καρπὸν τὸν Ἰησοῦν, ὃν καὶ Σωτῆρα προσαγορευθῆναι καὶ Χριστὸν καὶ Λόγον πατρωνυμικῶς καὶ τὰ Πάντα, διὰ τὸ ἀπὸ πάντων εἶναι· δορυφόρους τε αὐτῷ εἰς τιμὴν † τὴν αὐτῶν ὁμογενεῖς ἀγγέλους συμπροβεβλῆσθαι. 7

14. Αὕτη μὲν οὖν ἐστιν ἡ ἐντὸς Πληρώματος ὑπ' | αὐτῶν λεγομένη πραγματεία, καὶ ἡ τοῦ πεπονθότος Αἰῶνος καὶ μετὰ μικρὸν ἀπολωλότος, ὡς ἐν πολλῇ † ὕλῃ διὰ ζήτησιν τοῦ Πατρὸς *, συμφορὰ καὶ ἡ τοῦ Ὅρου καὶ Σταυροῦ καὶ Λυτρωτοῦ καὶ Καρπιστοῦ καὶ Ὁροθέτου καὶ Μεταγωγέως ἐξ ἀγῶνος σύμπηξις καὶ ἡ τοῦ πρώτου Χριστοῦ σὺν τῷ Πνεύματι τῷ ἁγίῳ ἐκ μετανοίας ὑπὸ τοῦ Πατρὸς αὐτῶν μεταγενεστέρα τῶν Αἰώνων γένεσις καὶ ἡ τοῦ δευτέρου Χριστοῦ, ὃν καὶ Σω|τῆρα λέγουσιν, ἐξ ἐράνου σύνθετος κατασκευή. ταῦτα δὲ φανερῶς μὲν μὴ εἰρῆσθαι διὰ τὸ μὴ πάντας χωρεῖν τὴν γνῶσιν αὐτῶν, μυστηριωδῶς δὲ ὑπὸ τοῦ Σωτῆρος διὰ παραβολῶν μεμηνῦσθαι τοῖς συνιεῖν δυναμένοις οὕτως· τοὺς μὲν γὰρ τριάκοντα Αἰῶνας μεμηνῦσθαι διὰ τῶν τριάκοντα ἐτῶν, ὡς προέφαμεν, ἐν οἷς οὐδὲν ἐν φανερῷ φάσκουσι πεποιηκέναι τὸν σωτῆρα, καὶ διὰ τῆς παραβολῆς τῶν ἐργατῶν τοῦ ἀμπελῶνος. καὶ τὸν Παῦλον φανερώτατα λέγουσι | τούσδε Αἰῶνας ὀνομάζειν πολλάκις, ἔτι δὲ καὶ τὴν τάξιν αὐτῶν τετηρηκέναι οὕτως εἰπόντα »εἰς πάσας τὰς γενεὰς τῶν αἰώνων τοῦ αἰῶνος«. ἀλλὰ καὶ ἡμᾶς ἐπὶ τῆς εὐχαριστίας λέγοντας »εἰς τοὺς αἰῶνας τῶν αἰώνων« ἐκείνους τοὺς Αἰῶνας σημαίνειν· καὶ ὅπου ἂν αἰὼν ἢ αἰῶνες ὀνομάζωνται, τὴν ἀναφορὰν 14, D15 Ö33 2 3 4 P 5

15 f vgl. Matth. 19, 11 — **22** Ephes. 3, 21

V M lat. (Tert., Hipp.)

2 *καὶ συνερανισαμένους*] *καὶ ἐρανισαμένους* V *collationem fecisse* lat. | *ἁρμονίως* M **3** *προβλήματα* V *problema* + *et* lat. **4** *κάλλος τι*] *κάλλος τε* V *ἀλλ' ὅς τι* M | *τὸν* hineingeflickt V corr < M **6** *τὰ Πάντα* Ausgg.] *κατὰ Πάντα* V M *omnia* lat. Tert. | *αὐτῷ*] *αὐτῶν* V **7** *τὴν*] *τῶν* M | *τὴν αὐτῶν*] *ipsorum* lat.; alter Fehler für [*τὴν*] *αὐτοῦ*? * **8** *λεγομένη* aus *γενομένη* V corr **10** vor *ὡς* + *et* lat. | † *ὕλῃ*] *materia* lat.; alter Fehler für *λύπῃ* * **10** * ⟨*ἐγένετο*⟩ * | *ἡ* < M **11** *Σταυροῦ* Ausgg.] *στύλου* V M *crucis* lat. | *Σταυροῦ* + *ipsorum* lat. | *μεταγωγέος* M **12** *ἐξάγωνος* V *ex agonia* lat. **13** *τῶν αἰωνίων* M **14** *ἐράνου* aus *οὐρανοῦ* V corr *οὐρανοῦ* M **16** *Σωτῆρος*] *πατρὸς* M **17** *μὲν γὰρ* < lat. **20** *τούσδε*] *τούς τε* M **21** *πολλάκις*] *saepissime* lat. **22** *εἰπόντα*] *εἶπεν τὰ* M | *τῶν αἰώνων τοῦ αἰῶνος*] *saeculi saeculorum* lat. **23** *ἐπὶ τῆς εὐχαριστίας*] *in gratiarum actionibus* lat. | *εἰς* < lat.

εἰς ἐκείνους εἶναι θέλουσιν. τὴν δὲ τῆς δωδεκάδος τῶν Αἰώνων προ- 6
βολὴν μηνύεσθαι διὰ τοῦ δωδεκαετῆ ὄντα τὸν κύριον διαλεχθῆναι τοῖς
νομοδιδασκάλοις καὶ διὰ τῆς τῶν ἀποστόλων ἐκλογῆς· δώδεκα γὰρ ἀπό-
στολοι. καὶ τοὺς λοιποὺς δεκαοκτὼ Αἰῶνας φανεροῦσθαι διὰ τοῦ μετὰ 7
τὴν ⟨ἐκ⟩ νεκρῶν ἀνάστασιν δεκαοκτὼ μησὶν λέγειν διατετριφέναι αὐτὸν
σὺν τοῖς μαθηταῖς· ἀλλὰ καὶ διὰ τῶν προηγουμένων τοῦ ὀνόματος αὐτοῦ
δύο γραμμάτων, τοῦ τε ἰῶτα καὶ τοῦ ἦτα, τοὺς δεκαοκτὼ Αἰῶνας εὐσήμως
μηνύεσθαι. καὶ τοὺς δέκα Αἰῶνας ὡσαύτως διὰ τοῦ ἰῶτα γράμματος, 8
ὃ προηγεῖται τοῦ | ὀνόματος αὐτοῦ, σημαίνεσθαι λέγουσιν. καὶ διὰ τοῦτο D156
εἰρηκέναι τὸν σωτῆρα »ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ, ἕως ἂν
πάντα γένηται«.

Τὸ δὲ περὶ τὸν δωδέκατον Αἰῶνα γεγονὸς πάθος ὑποσημαίνεσθαι 9
λέγουσι διὰ τῆς ἀποστασίας Ἰούδα, ὃς δωδέκατος ἦν τῶν ἀποστόλων, καὶ
ὅτι τῷ δωδεκάτῳ μηνὶ ἔπαθεν· ἐνιαυτῷ γὰρ ἑνὶ βούλονται αὐτὸν μετὰ τὸ
βάπτισμα αὐτοῦ κεκηρυχέναι. ἔτι τε ἐπὶ τῆς αἱμορροούσης σαφέστατα 10
τοῦτο δηλοῦσθαι· δώδεκα γὰρ ἔτη παθοῦσαν αὐτὴν ὑπὸ τῆς τοῦ σωτῆρος
παρουσίας τεθεραπεῦσθαι, ἁψαμένην τοῦ κρασπέδου αὐτοῦ, καὶ διὰ τοῦτο
εἰρηκέναι τὸν σωτῆρα »τίς μου ἥψατο;« διδάσκοντα τοὺς μαθητὰς τὸ
γεγονὸς ἐν τοῖς Αἰῶσι μυστήριον καὶ τὴν ἴασιν τοῦ πεπονθότος Αἰῶνος.
ἡ γὰρ παθοῦσα δώδεκα ἔτη ἐκείνη ἡ δύναμις, ἐκτεινομένης αὐτῆς καὶ εἰς 11
ἄπειρον ῥεούσης τῆς οὐσίας, ὡς λέγουσιν, εἰ μὴ ἔψαυσε τοῦ φορήματος
τοῦ υἱοῦ τουτέστιν τῆς Ἀληθείας τῆς πρώτης τετράδος ἥτις διὰ τοῦ κρα-
σπέδου | μεμήνυται, ἀνελύθη ἂν εἰς τὴν ⟨ὅλην⟩ οὐσίαν αὐτῆς. ἀλλὰ ἔστη Ö 338
καὶ ἐπαύσατο τοῦ πάθους· ἡ γὰρ ἐξελθοῦσα δύναμις τοῦ υἱοῦ (εἶναι δὲ

10 Matth. 5, 18 — **18** Mark. 5, 30

V M lat. (Tert., Hipp.)

3 *ἀπόστολοι*] *apostolos elegit* lat. **5** ⟨*ἐκ*⟩ *νεκρῶν* Ausgg.] *a mortuis* lat. **9** *αὐτῶν* M | *σημαίνεσθαι λέγουσιν* Ausgg.] *σημαίνουσι λέγεσθαι* V M *significari dicunt* lat. **13** *διὰ τῆς ἀποστασίας Ἰούδα* Ausgg.] *τῆς ἀποστασίας διὰ Ἰούδαν* (*Ἰούδα* M) V M *per apostasiam Judae* lat. | *ὃς* aus *ὡς* V corr *ὡς* M | *ἀποστόλων* + *γενομένης προδοσίας δείκνυσθαι λέγουσιν* V M **15** *αἱμορρούσης* M **17** *ἁψαμένην* Ausgg.] *ἁψαμένης* V M *cum tetigisset* lat. **20** *ἡ . . . . δύναμις*] *per illam . . . significatur* lat.; lies wohl *ἐκείνη ἦν δύναμις* ⟨*ἥτις*⟩ * | *ἐκτεινομένης*] *eo quod extenderetur* lat. **21** *τῆς οὐσίας* + *eius* lat. | vor *εἰ μὴ* + *et* lat. | *φρονήματος* M **22** *τοῦ υἱοῦ* *] *αὐτοῦ* V M *illius filii* lat. **23** *ἀνελύθη*] *advenisse* lat. | *εἰς* aus *πρὸς* V corr *πρὸς* M | ⟨*ὅλην*⟩ *] *in omnem substantiam* lat., vgl. S. 403, 19 | *αὐτῆς*] *suam* lat.; [*αὐτῆς*] Jül. **24** *ἡ γὰρ ἐξελθοῦσα*] *per egressam* (zum vorhergehenden Satz gezogen) lat. | *τοῦ υἱοῦ* *] *τούτου* V M *filii* lat.

ταύτην τὸν Ὄρον θέλουσιν) ἐθεράπευσεν αὐτὴν καὶ τὸ πάθος ἐχώρισεν ἀπ' αὐτῆς.

Τὸ δὲ ⟨τὸν⟩ Σωτῆρα, τὸν ἐκ πάντων ὄντα, τὸ Πᾶν εἶναι διὰ τοῦ | λόγου 12 P
τοῦ »πᾶν ἄρρεν διανοῖγον μήτραν« δηλοῦσθαι λέγουσιν· ὃς τὸ Πᾶν ὢν
διήνοιξε τὴν μήτραν τῆς Ἐνθυμήσεως τοῦ πεπονθότος Αἰῶνος † καὶ ἐξορι-
σθείσης ἐκτὸς τοῦ Πληρώματος, ἣν δὴ καὶ δευτέραν Ὀγδοάδα καλοῦσι,
περὶ ἧς μικρὸν ὕστερον ἐροῦμεν. καὶ ὑπὸ τοῦ Παύλου δὲ φανερῶς διὰ 13
τοῦτο εἰρῆσθαι λέγουσι »καὶ αὐτός ἐστι τὰ πάντα«, καὶ πάλιν »πάντα
εἰς αὐτὸν καὶ ἐξ αὐτοῦ τὰ πάντα«, καὶ πάλιν »ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ
πλήρωμα τῆς θεότητος«· καὶ τό »ἀνακεφαλαιώσασθαι δὲ τὰ πάντα ἐν τῷ
Χριστῷ διὰ τοῦ | θεοῦ«, ⟨οὕτως⟩ ἑρμηνεύουσιν εἰρῆσθαι καὶ εἴ τινα ἄλλα D157
τοιαῦτα.

15. Ἔπειτα περὶ τοῦ Ὄρου αὐτῶν, ὃν δὴ καὶ πλείοσιν ὀνόμασιν 15, 1
καλοῦσι, δύο ἐνεργείας ἔχειν αὐτὸν ἀποφαίνονται, τήν τε ἑδραστικὴν καὶ
τὴν μεριστικήν· καὶ καθὰ μὲν ἑδράζει καὶ στηρίζει, Σταυρὸν εἶναι, καθὸ
δὲ μερίζει καὶ διορίζει, Ὄρον. τὸν δὲ σωτῆρα οὕτως λέγουσι μεμηνυκέναι 2
τὰς ἐνεργείας αὐτοῦ· καὶ πρῶτον μὲν τὴν ἑδραστικὴν ἐν τῷ εἰπεῖν »ὃς οὐ
βαστάζει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ μοι, μαθητὴς ἐμὸς οὐ δύναται
εἶναι« καὶ ⟨πάλιν⟩ »ἆρας τὸν σταυρὸν ἀκολούθει μοι«· τὴν δὲ διοριστι- 3
κὴν αὐτοῦ ἐν τῷ εἰπεῖν »οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν«. καὶ
τὸν Ἰωάννην δὲ λέγουσιν αὐτὸ τοῦτο μεμηνυκέναι, εἰπόντα »τὸ πτύον ἐν τῇ
χειρὶ αὐτοῦ· διακαθαριεῖ τὴν ἅλωνα καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην
αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ«. καὶ διὰ τούτου τὴν 4
ἐνέργειαν τοῦ Ὄρου μεμηνυκέναι· πτύον γὰρ ἐκεῖνο τὸν σταυρὸν ἑρμηνεύ-
ουσιν εἶναι, ὃν δὴ καὶ ἀναλίσκειν τὰ ὑλικὰ πάντα ὡς ἄχυρα πῦρ, καθαίρειν

4 Luk. 2, 23 (Exod. 13, 12) — **8** vgl. Kol. 3, 11 — Röm. 11, 36 — **9** Kol. 2, 9 — **10** Ephes. 1, 10 — **17** Luk. 14, 27 — **19** vgl. Mark. 10, 21 — **20** Matth. 10, 34 — **21** Luk. 3, 17

V M lat. (Tert., Hipp.)

1 *ταύτης* V | vor *ἐθεράπευσεν* + *qui* lat. | *ἐχώρησεν* V M **3** ⟨*τὸν*⟩ * **4** *ὢν* < M **5** †*καὶ*] *et* lat.; alter Fehler, lies *τῆς* * **10** *δὲ* < lat. **11** ⟨*οὕτως*⟩ Ausgg.] *sic* lat. **14** *ἀποφαίνονται* *] *ἀποφαινόμενοι* V M *ostendunt* lat. **16** *καὶ διορίζει* < lat. | *τὸν*] *τὸ* M | *δὲ* *] *μὲν* V M *autem* lat. | *σωτῆρα* Ausgg.] *Σταυρὸν* V M *salvatorem* lat. | *λέγουσιν* < lat. **18** *ἐμὸς* < M **19** ⟨*πάλιν*⟩ *] *iterum* lat. | *σταυρὸν* + *αὐτοῦ* V M **20** *αὐτοῦ* < lat. **22** *διακαθαριεῖ*] *emundare* lat. | *τὴν ἀποθήκην* aus *ἀποθήκας* V corr *ἀποθήκας* M *horreum* lat. **23** *διὰ τούτου*] *per haec* lat.(?) **24** *ἐκεῖνον*, *ν* angeflickt V corr *ἐκεῖνον* M **25** *ὃν δὴ καὶ ἀναλίσκειν*] *quae scilicet consumit* lat. | *καθαίρειν*] *emundat* lat.

δὲ τοὺς σῳζομένους ὡς τὸ πτύον τὸν σῖτον. Παῦλον δὲ τὸν ἀπόστολον καὶ αὐτὸν ἐπιμιμνήσκεσθαι τούτου τοῦ σταυροῦ λέγουσιν οὕτως »ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί, τοῖς δὲ σῳζομένοις δύναμις θεοῦ«, καὶ πάλιν »ἐμοὶ δὲ μὴ γένοιτο ἐν μηδενὶ καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ κόσμῳ«. 5

Τοιαῦτα μὲν οὖν περὶ τοῦ Πληρώματος αὐτῶν καὶ τοῦ πλάσματος πάντων λέγουσιν, ἐφαρμόζειν | βιαζόμενοι τὰ καλῶς εἰρημένα τοῖς κακῶς ἐπινενοημένοις ὑπ' αὐτῶν. καὶ οὐ μόνον ἐκ τῶν εὐαγγελικῶν καὶ τῶν ἀποστολικῶν | πειρῶνται τὰς ἀποδείξεις ποιεῖσθαι, παρατρέποντες τὰς ἑρμηνείας καὶ ῥᾳδιουργοῦντες τὰς ἐξηγή|σεις, ἀλλὰ καὶ ἐκ νόμου καὶ προφητῶν, ἅτε πολλῶν παραβολῶν καὶ ἀλληγοριῶν εἰρημένων καὶ εἰς πολλὰ ἕλκεσθαι δυναμένων † τὸ ἀμφίβολον διὰ τῆς ἐξηγήσεως, * δεινοτέρως τῷ πλάσματι αὐτῶν καὶ δολίως ἐφαρμόζοντες αἰχμαλωτίζουσιν ἀπὸ τῆς ἀληθείας τοὺς μὴ ἑδραίαν τὴν πίστιν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ διαφυλάσσοντας. 6 Ö 340 P 182 D 158 7

16. Τὰ δὲ ἐκτὸς τοῦ Πληρώματος λεγόμενα ὑπ' αὐτῶν ἐστιν τοιαῦτα· τὴν Ἐνθύμησιν τῆς ἄνω Σοφίας, ἣν καὶ Ἀχαμὼθ καλοῦσιν, ἀφορισθεῖσαν τοῦ ⟨ἄνω⟩ Πληρώματος σὺν τῷ πάθει λέγουσιν ἐν σκιᾶς καὶ κενώματος τόποις ἐκβεβράσθαι κατὰ ἀνάγκην· ἔξω γὰρ φωτὸς ἐγένετο καὶ Πληρώματος, ἄμορφος καὶ ἀνείδεος ὥσπερ ἔκτρωμα, διὰ τὸ μηδὲν κατειληφέναι. οἰκτείραντα δὲ αὐτὴν τὸν ⟨ἄνω⟩ Χριστὸν καὶ διὰ τοῦ Σταυροῦ ἐπεκταθέντα τῇ ἰδίᾳ δυνάμει μορφῶσαι μόρφωσιν, τὴν κατ' οὐσίαν μόνον ἀλλ' οὐ τὴν κατὰ γνῶσιν· καὶ πράξαντα τοῦτο ἀναδραμεῖν, συστείλαντα αὐτοῦ τὴν δύναμιν, καὶ καταλιπεῖν ⟨αὐτήν⟩, ὅπως αἰσθομένη τοῦ περὶ αὐτὴν πάθους διὰ τὴν ἀπαλλαγὴν τοῦ Πληρώματος ὀρεχθῇ τῶν διαφερόν- **16, 1** 2

2 I Kor. 1, 18 — **4** Gal. 6, 14

V M lat. (Tert., Hipp.)'

2 *ἐπιμιμνήσκεσθαι, μι* hineingeflickt V corr *ἐπιμνήσκεσθαι* M **3** *σῳζομένοις + ἡμῖν* V **8** *πάντων* Ausgg.] *πάντες* V M *universorum* lat. | *ἐφορμίζειν* V **13** *ἕλκεσθαι* Dind.] *ἕλκειν* V M *trahi* lat. | † *τὸ ἀμφίβολον διὰ τῆς ἐξηγήσεως,* *] *ambiguum per expositionem* lat.; altes Verderbnis, lies etwa *διὰ τὸ ἀμφίβολον τῆς ἐξηγήσεως, ⟨τὰ αὐτοῖς δοκοῦντα⟩* *, vgl. schon Öh. | *δεινοτέρως* Ausgg.] *ἕτεροι δὲ δεινῶς* V M *propensius* lat. **14** *δολίως*] *ῥᾳδίως*, aber getilgt u. dafür am Rande *δολίως* V **15** *ἑδρασίαν* M **19** *⟨ἄνω⟩* *] *superiore* lat. | *ἐν σκιᾶς*] *in umbra* lat. | *κενώματος* Ausgg.] *σκηνώματος* V M *vacuitatis* lat. **22** *δὲ* *] *τε* V M *autem* lat. *⟨ἄνω⟩* Ausgg.] *superiorem* lat. **23** *ἐπεκτα///θέντα, ν* ausradiert V corr *ἐπικταν-θέντα* M **24** *τοῦτο*] *haec* lat. **25** *⟨αὐτήν⟩* Dind.] *illam* lat.

των, ἔχουσά τινα ὀδμὴν ἀφθαρσίας ἐγκαταλειφθεῖσαν αὐτῇ ⟨ὑπὸ⟩ τοῦ Χριστοῦ καὶ τοῦ ἁγίου Πνεύματος. διὸ καὶ αὐτὴν τοῖς ἀμφοτέροις ὀνόμασι 3 καλεῖσθαι, Σοφίαν τε πατρωνυμικῶς (ὁ γὰρ πατὴρ αὐτῆς Σοφία κλῄζεται) καὶ Πνεῦμα ἅγιον ἀπὸ τοῦ περὶ τὸν Χριστὸν πνεύματος. μορφωθεῖσαν 4 δὲ αὐτὴν καὶ ἔμφρονα γενηθεῖσαν, παραυτίκα δὲ κενωθεῖσαν τοῦ ἀοράτως αὐτῇ συνόντος Λόγου τουτέστιν τοῦ Χριστοῦ, ἐπὶ ζήτησιν ὁρμῆσαι τοῦ καταλιπόντος αὐτὴν φωτὸς καὶ μὴ δυνηθῆναι καταλαβεῖν αὐτὸ διὰ τὸ κωλυθῆναι ὑπὸ τοῦ Ὄρου. καὶ ἐνταῦθα τὸν Ὄρον κωλύοντα αὐτὴν τῆς εἰς τοὔμπροσθεν ὁρμῆς εἰπεῖν »Ἰαώ«· ὅθεν τὸ Ἰαὼ ὄνομα γεγενῆσθαι | D1
φάσκουσι. μὴ δυνηθεῖσαν δὲ διοδεῦσαι τὸν Ὄρον διὰ τὸ συμπεπλέχθαι 5
τῷ πάθει | καὶ μόνην ἀπολειφθεῖσαν ἔξω, παντὶ μέρει τοῦ πάθους ὑπο- P1
πεσεῖν, πολυμεροῦς καὶ πολυποικίλου ὑπάρχοντος, καὶ παθεῖν λύπην μέν, ὅτι οὐ κατέλαβεν, | φόβον δέ, μὴ καθάπερ αὐτὴν τὸ φῶς οὕτω καὶ Ö3
τὸ ζῆν ἐπιλίπῃ, ἀπορίαν τε ἐπὶ τούτοις. ἐν ἀγνοίᾳ δὲ τὰ πάντα· καὶ οὐ 6
καθάπερ ἡ μήτηρ αὐτῆς, ἡ πρώτη Σοφία Αἰών, ἑτεροίωσιν ἐν τοῖς πάθεσιν εἶχεν, ἀλλὰ ἐναντιότητα. ἐπισυμβεβηκέναι δ' αὐτῇ καὶ ἑτέραν διάθεσιν, τὴν τῆς ἐπιστροφῆς ἐπὶ τὸν ζωοποιήσαντα.

Ταύτην σύνταξιν καὶ οὐσίαν τῆς ὕλης γεγενῆσθαι λέγουσιν, ἐξ ἧς 7
ὅδε ὁ κόσμος συνέστηκεν. ἐκ μὲν γὰρ τῆς ἐπιστροφῆς τὴν τοῦ κόσμου καὶ τοῦ Δημιουργοῦ πᾶσαν ψυχὴν τὴν γένεσιν εἰληφέναι, ἐκ δὲ τοῦ φόβου καὶ τῆς λύπης τὰ λοιπὰ τὴν ἀρχὴν ἐσχηκέναι. ἀπὸ γὰρ τῶν δακρύων αὐτῆς γεγονέναι πᾶσαν ἔνυγρον οὐσίαν, ἀπὸ δὲ τοῦ γέλωτος τὴν φωτεινήν, ἀπὸ δὲ τῆς λύπης καὶ ἐκπλήξεως τὰ σωματικὰ τοῦ κόσμου στοιχεῖα. ποτὲ 8
μὲν γὰρ ἔκλαιε καὶ ἐλυπεῖτο, ὡς λέγουσι, διὰ τὸ καταλελεῖφθαι μόνην ἐν τῷ σκότει καὶ τῷ κενώματι, ποτὲ δὲ εἰς ἔννοιαν ἥκουσα τοῦ καταλιπόντος αὐτὴν φωτὸς διεχεῖτο καὶ ἐγέλα, ποτὲ δ' αὖ πάλιν ἐφοβεῖτο, ἄλλοτε δὲ διηπόρει καὶ ἐξίστατο.

17. Καὶ τί γάρ; τραγῳδία πολλὴ λοιπὸν ἦν ἐνθάδε καὶ φαντασία, 17, 1

V M lat. (Tert., Hipp.)

1 *αὐτὴν* V | ⟨*ὑπὸ*⟩ Ausgg.] *a* lat. **5** *δὲ*[1] ***] *τε* V M *autem* lat. | *κε///νωθεῖσαν* aus *καὶ ἐνωθεῖσαν* V^{corr} | *ἀοράτου, ου* aus *ως* V^{corr} **9** *ὅθεν* + *et* lat. | *τὸ*] *τῶ* M **10** . . . *δὲ*] *et* lat. **11** *μόνον* M **11f** vor *ὑποπεσεῖν* + *καὶ* M **12** *πολυποικίλου///, ς* wegradiert V^{corr} *πολυποικίλους* M | *παθεῖν* + *eam* lat. **14** *ἐπιλείπη* M | *τε*] *autem* lat. | *ἐν* < lat. **15** *πρώτη* < M **18** *σύστασιν* V *collectionem* lat. | *καὶ οὐσίαν — λέγουσιν* am Rande nachgetragen V^{corr} < M **19** *ὅδε ὁ*] *ἤδη ὁ* M **26** *αὖ πάλιν*] *αὐλεῖν* M **28** *καὶ τί γὰρ*] *et quidem enim* lat. | *τραγῳδία/// πολλὴ////*, je ein *σ* wegradiert V^{corr} | *λοιπὸν ἦν* am Rande nachgetragen V^{corr} *ἦν* (< *λοιπὸν*) M *est iam* lat. | *φαντασία//*, *σ* wegradiert V^{corr}

ἑνὸς ἑκάστου αὐτῶν ἄλλως καὶ ἄλλως σοβαρῶς ἐκδιηγουμένου, ἐκ ποτα-
ποῦ πάθους ἐκ ποίου στοιχείου ἡ οὐσία τὴν γένεσιν εἴληφεν· ἃ καὶ 2
εἰκότως δοκοῦσί μοι μὴ ἅπαντας θέλειν ἐν φανερῷ διδάσκειν, ἀλλ' ἢ
μόνους ἐκείνους τοὺς καὶ μεγάλους μισθοὺς ὑπὲρ τηλικούτων μυστηρίων
τελεῖν δυναμένους. οὐκέτι γὰρ ταῦτα ὅμοια ἐκείνοις περὶ ὧν ὁ κύριος 3
ἡμῶν εἴρηκε »δωρεὰν ἐλάβετε, δωρεὰν δότε«, | ἀλλὰ ἀνακεχωρηκότα καὶ D160
τερατώδη καὶ βαθέα μυστήρια μετὰ πολλοῦ καμάτου περιγινόμενα τοῖς
φιλοψευδέσι. τίς γὰρ οὐκ ἂν ἐκδαπανήσειε πάντα τὰ ὑπάρχοντα αὐτοῦ, 4
ἵνα μάθῃ ὅτι ἀπὸ τῶν δακρύων τῆς Ἐνθυμήσεως τοῦ πεπονθότος Αἰῶνος
θάλασσαι καὶ πηγαὶ καὶ ποταμοὶ καὶ πᾶσα ἔνυδρος οὐσία τὴν γένεσιν
εἴληφεν, ἐκ δὲ τοῦ γέλωτος αὐτῆς τὸ φῶς καὶ ἐκ τῆς ἐκπλήξεως καὶ
ἀμηχανίας τὰ σωματικὰ τοῦ κόσμου στοιχεῖα; | P184

Βούλομαι δὲ καὶ αὐτὸς συνεισενεγκεῖν τι τῇ καρποφορίᾳ αὐτῶν. 5
ἐπειδὴ γὰρ ὁρῶ τὰ μὲν γλυκέα ὕδατα ὄντα, οἷον πηγὰς καὶ ποταμοὺς καὶ
ὄμβρους καὶ τὰ τοιαῦτα, τὰ δὲ ἐν ταῖς θαλάσσαις ἁλμυρά, ἐπινοῶ μὴ
πάντα ἀπὸ τῶν δακρύων αὐτῆς προβεβλῆσθαι, διότι τὸ δάκρυον ἁλμυρὸν
τῇ ποιότητι ὑπάρχει. φανερὸν οὖν ὅτι τὰ ἁλμυρὰ ὕδατα ταῦτά ἐστι τὰ 6
ἀπὸ τῶν δακρύων. εἰκὸς δὲ αὐτὴν ἐν ἀγωνίᾳ | πολλῇ καὶ ἀμηχανίᾳ γεγο- Ö344
νυῖαν καὶ ἱδρωκέναι. ἐντεῦθεν δὴ κατὰ τὴν ὑπόθεσιν αὐτῶν ὑπολαμβάνειν
δεῖ, πηγὰς καὶ ποταμοὺς καὶ εἴ τινα ἄλλα ὕδατα γλυκέα ὑπάρχει τὴν
γένεσιν [μὴ] ἐσχηκέναι ἀπὸ τῶν ⟨ἱδρώτων⟩ αὐτῆς. ἀπίθανον γάρ, μιᾶς 7
ποιότητος οὔσης τῶν δακρύων, τὰ μὲν ἁλμυρά, τὰ δὲ γλυκέα ὕδατα ἐξ
αὐτῶν προελθεῖν. τοῦτο δὲ πιθανώτερον, τὰ μὲν εἶναι ἀπὸ τῶν δακρύων,
τὰ δὲ ἀπὸ τῶν ἱδρώτων. ἐπειδὴ ⟨δὲ⟩ καὶ θερμὰ καὶ δριμέα τινὰ ὕδατά 8
ἐστιν ἐν τῷ κόσμῳ, νοεῖν ὀφείλεις τί ποιήσασα καὶ ἐκ ποίου μορίου προή-
κατο ταῦτα. ἁρμόζουσι γὰρ τοιοῦτοι καρποὶ τῇ ὑποθέσει αὐτῶν.

Διοδεύσασαν οὖν πᾶν πάθος τὴν Μητέρα αὐτῶν καὶ μόγις ὑπερκύψασαν 9
ἐπὶ ἱκεσίαν τραπῆναι τοῦ καταλιπόντος αὐτὴν φωτὸς τουτέστιν τοῦ Χριστοῦ

6 Matth. 10, 8

V M lat. (Tert., Hipp.)

1 *σοβαρῶς, o* aus *ω* V^{corr} *σωβαρῶς* M **2** vor *ἐκ* + *et* lat. **3** *εἰκότως*] *οὐκ ἀπεικότως* M *convenienter* lat. **5** *ταῦτα*] *dicunt* lat. **6** nach *ἀλλὰ* ein *καὶ* getilgt V^{corr} **9** *τοῦ πεπονθότος Αἰῶνος*] *quae est ex passione Aeonis* lat. **11** *ἐκ τῆς* angeflickt V^{corr} **16 f** *τὸ δάκρυον ἁλμυρὸν . . . ὑπάρχει*] *lacrymae salsae sunt* lat. **21** [*μὴ*] *] < lat. | ⟨ἱδρώτων⟩ Ausgg.] *sudoribus* lat. **22 f** *ὕδατα ἐξ — πιθανώτερον* am Rande nachgetragen V^{corr} | *ἐξ αὐτῶν — πιθανώτερον* < M **23** *προελθεῖν*] *exisse* lat. **24** ⟨*δὲ*⟩ Dind.] *autem* lat. | *τινὰ* angeflickt V^{corr} < M *quaedam* lat. **25** *τῷ* < M

λέγουσιν· ὃς ἀνελθὼν εἰς τὸ Πλήρωμα αὐτὸς μὲν εἰκὸς ὅτι ὤκνησεν ἐκ
δευτέρου κατελθεῖν, τὸν Παράκλητον δὲ ἐξέπεμψεν ⟨πρὸς⟩ αὐτὴν τουτέστι
τὸν Σωτῆρα, ἐνδόντος αὐτῷ | πᾶσαν τὴν δύναμιν τοῦ Πατρὸς καὶ πᾶν ὑπ' 10 D1
ἐξουσίαν παραδόντος καὶ τῶν Αἰώνων δὲ ὁμοίως, ὅπως »ἐν αὐτῷ τὰ πάντα
κτισθῇ, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, θρόνοι θεότητες κυριότητες«. ἐκπέμ- 11
πεται δὲ πρὸς αὐτὴν μετὰ τῶν ἡλικιωτῶν αὐτοῦ τῶν ἀγγέλων. τὴν δὲ
Ἀχαμὼθ ἐντραπεῖσαν αὐτὸν λέγουσιν πρῶτον μὲν κάλυμμα ἐπιθέσθαι δι'
αἰδῶ, μετέπειτα δὲ ἰδοῦσαν αὐτὸν σὺν ὅλῃ τῇ καρποφορίᾳ αὐτοῦ προσδρα-
μεῖν αὐτῷ, δύναμιν λαβοῦσαν ἐκ τῆς ἐπιφανείας αὐτοῦ. κἀκεῖνον μορ- 12
φῶσαι αὐτὴν μόρφωσιν τὴν κατὰ γνῶσιν καὶ ἴασιν τῶν παθῶν ποιήσασθαι
αὐτῆς, χωρίσαντα αὐτὰ αὐτῆς, μὴ ἀμελήσαντα δὲ αὐτῶν (οὐ γὰρ ἦν δυνατὸν
ἀφανισθῆναι ⟨αὐτὰ⟩ ὡς τὰ τῆς προτέρας, διὰ τὸ ἐκτικὰ ἤδη καὶ δυνατὰ
εἶναι), | ἀλλ' ἀποκρίναντα χωρίσει συγχέαι καὶ πῆξαι καὶ ἐξ ἀσωμάτου P185
πάθους εἰς ἀσώματον [τὴν] ὕλην μεταβαλεῖν αὐτά· εἶθ' οὕτως ἐπιτηδειό- 13
τητα καὶ φύσιν ἐμπεποιηκέναι αὐτοῖς, ὥστε εἰς συγκρίματα καὶ σώματα
ἐλθεῖν, πρὸς τὸ γενέσθαι δύο οὐσίας, τὴν φαύλην ⟨ἐκ⟩ τῶν παθῶν, τήν
τε τῆς ἐπιστροφῆς ἐμπαθῆ· καὶ διὰ τοῦτο δυνάμει τὸν Σωτῆρα δεδημιουργη-
κέναι φάσκουσι. τὴν δὲ Ἀχαμὼθ ἐκτὸς τοῦ πάθους γενομένην, [καὶ] 14
συλλαβοῦσαν τῇ χαρᾷ τῶν σὺν αὐτῷ φώτων τὴν θεωρίαν (τουτέστιν τῶν
ἀγγέλων τῶν μετ' αὐτοῦ) καὶ ἐγκισσήσασαν αὐτοὺς κεκυηκέ|ναι καρποὺς Ö346
κατὰ τὴν εἰκόνα ⟨αὐτῶν⟩ διδάσκουσι, κύημα πνευματικὸν καθ' ὁμοίωσιν
γεγονὸς τῶν δορυφόρων τοῦ Σωτῆρος.

18. Τριῶν οὖν ἤδη τούτων ὑποκειμένων κατ' αὐτούς, τοῦ μὲν ἐκ τοῦ 18, 1
πάθους, ὃ ἦν ὕλη· τοῦ δὲ ἐκ τῆς ἐπιστροφῆς, ὃ ἦν τὸ ψυχικόν· τοῦ δὲ ὃ

4 Kol. 1, 16

V M lat. (Tert., Hipp.)

1 *ἀνελθὼν* + *μὲν* V **2** *ἐκπέμψειν* M | ⟨*πρὸς*⟩ Ausgg.] *ad* lat. **3** *πᾶν*] *omnia* lat. **4** *δὲ ὁμοίως*] *δεόμενος* V **11** vor *αὐτὰ* + *δ'* V | *μὴ . . . δὲ*] *et non* lat. | *δυνατὸν* *] *δυνατὰ* V M *possibile* lat. **12** ⟨*αὐτὰ*⟩ *] *eas* lat. **13** *χωρίσει* *] *χωρήσεις τοῦ* aus *χωρὶς εἰς* V corr *χωρήσει τοῦ* M *separatim* lat. **14** *εἰς ἀσώματον* [*τὴν*] *ὕλην*] *in incorporalem materiam* lat. *in materiae corporalem paraturam* Tert. (nicht vorzuziehen vgl. S. 413, 20) | [*τὴν*] * | *εἶθ' οὕτως*] *et sic* lat. **15** *εἰσπε-ποιηκέναι* M **16f** *τὴν . . . τήν τε*] *una quidem . . . altera autem* lat. **16** ⟨*ἐκ*⟩ Dind.] *ex* lat. **17** *τῆς ἐπιστροφῆς*] *conversionis* lat.; lies ⟨*ἐκ*⟩ *τῆς ἐπιστροφῆς* *, vgl. Z. 24 **18** *τὴν δὲ*] *τήν τε* V *hanc autem* lat. | [*καὶ*] * < lat. **19** *συλλαβοῦσαν*] *concepisse* lat. | *τῇ χαρᾷ*] *de gratulatione* lat.; lies *ἐν χαρᾷ*? * | *σὺν* Ausgg.] *ἐν* V M *cum* lat. | *τὴν θεωρίαν*] zu *ἐγκισσή-σασαν* gezogen = *delectatam in conspectu eorum* lat. *contemplatione . . . subfermen-tata* Tert. **20** *ἐγκισσήσαν*, *σα* drüber V corr *ἐγκισσησαν* M **21** ⟨*αὐτῶν*⟩ *] *illius* lat. *ipsam* Tert. **22** *γεγονὸς τῶν*, *τῶν* angeflickt V corr *γεγονότων* M **23** *ἤδη* < lat.

ἀπεκύησεν, τουτέστιν τὸ πνευματικόν, οὕτως ἐτράπη ἐπὶ τὴν μόρφωσιν
αὐτῶν. ἀλλὰ τὸ μὲν πνευματικὸν μὴ δεδυνῆσθαι αὐτὴν μορφῶσαι, ἐπειδὴ 2
ὁμοούσιον ὑπῆρχεν αὐτῇ. τετράφθαι δὲ ἐπὶ τὴν μόρφωσιν τῆς γενομένης
ἐκ τῆς | ἐπιστροφῆς αὐτῆς ψυχικῆς οὐσίας προβαλεῖν τε τὰ παρὰ τοῦ D162
Σωτῆρος μαθήματα. καὶ πρῶτον ⟨μὲν⟩ μεμορφωκέναι αὐτὴν ἐκ τῆς ψυχικῆς 3
οὐσίας λέγουσι τὸν Πατέρα καὶ βασιλέα πάντων, τῶν τε ὁμοουσίων αὐτῷ
τουτέστιν τῶν ψυχικῶν, ἃ δὴ δεξιὰ καλοῦσι, καὶ τῶν ἐκ τοῦ πάθους καὶ τῆς
ὕλης, ἃ δὴ ἀριστερὰ λέγουσι. πάντα γὰρ τὰ μετ' αὐτὸν φάσκουσι ⟨αὐτὸν⟩ 4
μεμορφωκέναι, λεληθότως κινούμενον ὑπὸ τῆς Μητρός· ὅθεν καὶ Μητρο-
πάτορα καὶ Ἀπάτορα καὶ Δημιουργὸν αὐτὸν καὶ Πατέρα καλοῦσι, τῶν μὲν
δεξιῶν πατέρα λέγοντες αὐτὸν τουτέστιν τῶν ψυχικῶν, τῶν δὲ ἀριστερῶν
τουτέστιν τῶν ὑλικῶν δημιουργόν, συμπάντων δὲ βασιλέα. τὴν γὰρ 5
Ἐνθύμησιν ταύτην βουληθεῖσαν εἰς τιμὴν τῶν Αἰώνων τὰ πάντα ποιῆσαι,
εἰκόνας λέγουσι πεποιηκέναι αὐτῶν, μᾶλλον δὲ τὸν Σωτῆρα δι' αὐτῆς. καὶ
αὐτὴν μὲν † ἐν εἰκόνι τοῦ ἀοράτου Πατρὸς τετηρηκέναι, μὴ γινωσκομένην
ὑπὸ τοῦ Δημιουργοῦ, τοῦτον δὲ τοῦ μονογενοῦς υἱοῦ, τῶν δὲ λοιπῶν
Αἰώνων τοὺς ὑπὸ τούτου | γεγονότας ἀρχαγγέλους τε καὶ ἀγγέλους. P186

Πατέρα οὖν καὶ θεὸν λέγουσιν αὐτὸν γεγονέναι τῶν ἐκτὸς τοῦ Πλη- 6
ρώματος, ποιητὴν ὄντα πάντων ψυχικῶν τε καὶ ὑλικῶν. διακρίναντα γὰρ
τὰς δύο οὐσίας συγκεχυμένας καὶ ἐξ ἀσωμάτων σωματοποιήσαντα, δεδη-
μιουργηκέναι τά τε οὐράνια καὶ τὰ γήϊνα, καὶ γεγονέναι ὑλικῶν καὶ ψυχι-
κῶν, δεξιῶν καὶ ἀριστερῶν δημιουργόν, κούφων καὶ βαρέων, ἀνωφερῶν
καὶ κατωφερῶν. ἑπτὰ γὰρ οὐρανοὺς κατεσκευακέναι, ὧν ἐπάνω τὸν 7
Δημιουργὸν εἶναι λέγουσιν. καὶ διὰ τοῦτο Ἑβδομάδα καλοῦσιν αὐτόν, τὴν
δὲ Μητέρα τὴν Ἀχαμὼθ Ὀγδοάδα, ἀποσῴζουσαν τὸν ἀριθμὸν τῆς ἀρχε-
γόνου καὶ πρώτης τοῦ Πληρώματος Ὀγδοάδος. τοὺς δὲ ἑπτὰ οὐρανοὺς 8
[οὐκ] εἶναι νοητούς φασιν, ἀγγέ|λους δὲ αὐτοὺς ὑποτίθενται, καὶ τὸν Δημι- Ö348
ουργὸν δὲ καὶ αὐτὸν ἄγγελον, θεῷ δὲ ἐοικότα, | ὡς καὶ τὸν παράδεισον, D163

V M lat. (Tert., Hipp.)

1 f *οὕτως — πνευματικὸν* < M, vgl. Z. 3 **3** nach *ὑπῆρχεν* folgt in M *οὕτως ἐτράπη ἐπὶ τὴν μόρφωσιν αὐτῶν· ἀλλὰ τὸ μὲν πνευματικὸν μὴ δεδυνῆσθαι αὐτὴν μορφῶσαι ἐπειδὴ ὁμοούσιον ὑπῆρχεν αὐτῇ | τῆς γενομένης* < M **5** ⟨*μὲν*⟩ ***] *quidem* lat. **6** *τὸν Πατέρα*] *deum patrem et salvatorem* lat. *τὸν θεὸν καὶ πατέρα* Theodoret haeret. fab. comp. I 7; darnach lies wohl *τὸν ⟨θεὸν καὶ⟩ Πατέρα **, vgl. Z. 18 | *τε* < lat. | *αὐτῶ///, ν* weggeschabt V corr *αὐτῶν* M **8** *λέγουσι*] *καλοῦσιν* V | *μετ'*] *κατ'* V | ⟨*αὐτὸν*⟩ ***] *eum* lat. **11** *τῶν*[1] < M **12** *τῶν* < M **15** † *ἐν εἰκόνι*] *in imagine* lat.; alter Fehler für *τὴν εἰκόνα ** **17** *τούτου* Ausgg.] *τούτων* V M (*ab*) *hoc* lat. **18** *τῶν*] *τὸν* M **19** *ὄντα*] *esse* lat. **22** vor *ἀριστερῶν* ein *δι'* weggekratzt V corr **23** *γὰρ*] *quoque* lat. **24** *λέγουσιν εἶναι* M **25** *τῆς*] *τοὺς* V **26** *πρώτης*] *πρὸ τῆς* V **27** [*οὐκ*] Ausgg.] *quos* (= *οὓς*, Doppelschreibung; daraus *οὐκ* verderbt) lat. < Tert. **28** *δὲ*[1] < lat.

ὑπὲρ τρίτον οὐρανὸν ὄντα, τέταρτον ἀρχάγγελον λέγουσι δυνάμει ὑπάρχειν καὶ ἀπὸ τούτου τι εἰληφέναι τὸν Ἀδὰμ διατετριφότα ἐν αὐτῷ.

Ταῦτα δὲ τὸν Δημιουργὸν φάσκουσιν ἀφ' ἑαυτοῦ μὲν ὠῆσθαι ⟨κατὰ 9
πάντα⟩ κατασκευάζειν, πεποιηκέναι δ' αὐτὰ τῆς Ἀχαμὼθ προβαλλούσης. οὐρανὸν ⟨γὰρ⟩ πεποιηκέναι μὴ εἰδότα οὐρανόν· καὶ ἄνθρωπον πεπλακέναι, ἀγνοοῦντα [τὸν] ἄνθρωπον· γῆν τε δεδειχέναι, μὴ ἐπιστάμενον [τὴν] γῆν· καὶ ἐπὶ πάντων οὕτως λέγουσιν ἠγνοηκέναι αὐτὸν τὰς ἰδέας ὧν 10
ἐποίει καὶ αὐτὴν τὴν Μητέρα, αὐτὸν δὲ μόνον ὠῆσθαι πάντα εἶναι.
αἰτίαν δ' αὐτῷ γεγονέναι τὴν Μητέρα τῆς ποιήσεως ταύτης φάσκουσι, τὴν 11
οὕτω βουληθεῖσαν προαγαγεῖν αὐτόν, κεφαλὴν μὲν καὶ ἀρχὴν τῆς ἰδίας οὐσίας, κύριον δὲ τῆς ὅλης πραγματείας. ταύτην δὲ τὴν Μητέρα καὶ 12
Ὀγδοάδα καλοῦσι καὶ Σοφίαν καὶ Γῆν καὶ Ἱερουσαλὴμ καὶ ἅγιον Πνεῦμα καὶ Κύριον ἀρσενικῶς· ἔχειν δὲ τὸν τῆς Μεσότητος τόπον αὐτὴν καὶ εἶναι ὑπεράνω μὲν τοῦ Δημιουργοῦ, ὑποκάτω δὲ ἢ ἔξω τοῦ Πληρώματος μέχρι συντελείας.

19. Ἐπεὶ οὖν τὴν ὑλικὴν οὐσίαν ἐκ τριῶν παθῶν συστῆναι λέγουσι, 19,
φόβου τε καὶ λύπης καὶ ἀπορίας, ἐκ μὲν τοῦ φόβου καὶ τῆς ἐπιστροφῆς τὰ ψυχικὰ τὴν σύστασιν εἰληφέναι· ἐκ μὲν τῆς ἐπιστροφῆς τὸν Δημιουρ- 2
γὸν βούλονται τὴν γένεσιν ἐσχηκέναι, ἐκ δὲ τοῦ φόβου τὴν | λοιπὴν πᾶσαν P187
ψυχικὴν ὑπόστασιν ὡς ψυχὰς ἀλόγων ζῴων καὶ θηρίων καὶ ἀνθρώπων. ⟨καὶ⟩ διὰ τοῦτο ἀτονώτερον αὐτὸν ὑπάρχοντα πρὸς τὸ γινώσκειν τὰ πνευ- 3
ματικὰ αὐτὸν νενομικέναι μόνον εἶναι θεὸν καὶ διὰ τῶν προφητῶν εἰρηκέναι »ἐγὼ θεός, πλὴν ἐμοῦ οὐδείς«. ἐκ δὲ τῆς λύπης τὰ πνευματικὰ 4
τῆς πονηρίας διδάσκουσι γεγονέναι· ὅθεν ⟨καὶ⟩ τὸν Διάβολον τὴν γένεσιν ἐσχηκέναι, ὃν καὶ Κοσμοκράτορα καλοῦσι, καὶ τὰ δαιμόνια καὶ τοὺς ἀγ-

23 Jes. 45, 5; 46, 9 — **23 f** vgl. Ephes. 6, 12

V M lat. (Tert., Hipp.)

1 ἄγγελον V | *δυνάμει*] *virtutem* lat. **3** *μὲν ὠῆσθαι*] *μὴ νενοῆσθαι* M **3 f** ⟨*κατὰ πάντα*⟩ *] *in totum* lat. **4** *τῆς Ἀχαμὼθ προβαλλούσης*] *Achamoth* lat. **5** ⟨*γὰρ*⟩ Dind.] *enim* lat. **5 f** *πεπλακέναι — ἄνθρωπον* am Rande nachgetragen V corr **6** [*τὸν*] * | *δεδειχέναι*] *ostendisse* lat.; wohl alter Fehler für ⟨*ἀνα*⟩*δεδειχέναι*, *τετευχέναι* Jül. | [*τὴν*] * **7** *ἰδέας* aus *εἰδέας* V corr *εἰδέας* M **8 f** *αὐτὸν δὲ — τὴν μητέρα* < M **9** *ποιήσεως* *] *οἰήσεως* V M *operationis* lat. **10** *προαγαγεῖν* M **14** *τοῦ* [2]] *τούτου* M **19** *λύπην* M **20** *ὡς ψυχὰς* < lat. | *καὶ θηρίων* < lat. **21** ⟨*καὶ*⟩ *] *et* lat. | *ἀτονώτερον*] *superiorem* (*ἀνώτερον*) lat. | *πρὸς τὸ γινώσκειν*] *praescire* lat. | *τὰ* *] *τινὰ* V M **22** vor *αἰτὸν* + *et* lat. **22 f** *αὐτὸν νενομικέναι — τὰ πνευματικὰ* < M **22** *εἶναι* < lat. **23** *λοιπῆς* aus *λύπης* V **24** ⟨*καὶ*⟩ *] *et* lat. **25 f** *καὶ τοὺς ἀγγέλους*] < lat. *angelorum* Tert.

γέλους καὶ πᾶσαν τὴν πνευματικὴν τῆς | πονηρίας ὑπόστασιν. ἀλλὰ τὸν 5 D164
μὲν Δημιουργὸν υἱὸν ψυχικὸν τῆς Μητρὸς αὐτῶν λέγουσι, τὸν δὲ Κοσμο-
κράτορα κτίσμα τοῦ Δημιουργοῦ. καὶ τὸν μὲν Κοσμοκράτορα γινώσκειν
τὰ ὑπὲρ αὐτόν, ὅτι πνεῦμά ἐστι τῆς πονηρίας, τὸν δὲ Δημιουργὸν ἀγνοεῖν,
ἅτε ψυχικὸν ὑπάρχοντα. οἰκεῖν δὲ τὴν Μητέρα αὐτῶν εἰς τὸν ὑπερουράνιον 6
τόπον τουτέστιν ἐν τῇ Μεσότητι, τὸν Δημιουργὸν δὲ εἰς τὸν ἐπουράνιον
τόπον τουτέστιν ἐν τῇ Ἑβδομάδι, τὸν ⟨δὲ⟩ Κοσμοκράτορα ἐν τῷ καθ' ἡμᾶς
κόσμῳ. ἐκ | δὲ τῆς ἐκπλήξεως καὶ ἀμηχανίας ὡς ἐκ τοῦ ⟨ἐκ⟩στασιμω- 7 Ö350
τέρου τὰ σωματικὰ καθὼς προείπαμεν τοῦ κόσμου στοιχεῖα γεγονέναι·
γῆν μὲν κατὰ τὴν ἐκπλήξεως στάσιν, ὕδωρ δὲ κατὰ τὴν φόβου κίνησιν,
ἀέρα δὲ κατὰ τὴν λύπης πῆξιν· τὸ δὲ πῦρ ἅπασιν αὐτοῖς ἐμπεφυκέναι
θάνατον καὶ φθοράν, ὡς καὶ τὴν ἄγνοιαν τοῖς τρισὶ πάθεσιν ἐγκεκρύφθαι
διδάσκουσι.

Δημιουργήσαντα δὴ τὸν κόσμον πεποιηκέναι καὶ τὸν ἄνθρωπον τὸν 8
χοϊκόν, οὐκ ἀπὸ ταύτης δὲ τῆς ξηρᾶς γῆς, ἀλλὰ ἀπὸ τῆς ἀοράτου οὐσίας,
ἀπὸ τοῦ κεχυμένου καὶ ῥευστοῦ τῆς ὕλης λαβόντα· καὶ εἰς τοῦτον ἐμφυ-
σῆσαι τὸν ψυχικὸν διορίζονται. καὶ τοῦτον εἶναι τὸν κατ' εἰκόνα καὶ 9
ὁμοίωσιν γεγονότα, καὶ κατ' εἰκόνα μὲν τὸν ὑλικὸν ὑπάρχειν, παραπλήσιον
μέν, ἀλλ' οὐχ ὁμοούσιον ὄντα τῷ θεῷ· καθ' ὁμοίωσιν δὲ τὸν ψυχικόν,
ὅθεν καὶ πνεῦμα ζωῆς τὴν οὐσίαν αὐτοῦ εἰρῆσθαι, ἐκ πνευματικῆς ἀπορ-
ροίας οὖσαν. ὕστερον δὲ περιτεθεῖσθαι λέγουσιν αὐτῷ τὸν δερμάτινον 10
χιτῶνα· τοῦτο δὲ τὸ αἰσθητὸν σαρκίον εἶναι θέλουσι.

Τὸ δὲ κύημα τῆς Μητρὸς αὐτῶν τῆς Ἀχαμὼθ ὃ κατὰ τὴν θεωρίαν 11
τῶν περὶ τὸν Σωτῆρα ἀγγέλων ἀπεκύησεν, ὁμοούσιον ὑπάρχον τῇ Μητρὶ

V M lat. (Tert., Hipp.)

2 *ψυχικὸν* getilgt V corr | *αὐτῶν*] *suae* lat.; vgl. Z. 5 u. 23 (mit *αὐτῶν* sind die Valentinianer gemeint) **3** *κτίσμα τοῦ — Κοσμοκράτορα* < M **4** *πνεῦμά ἐστι*] *πνεύματος* M | *πνεῦμα . . τῆς πονηρίας*] *spiritalis nequitia* lat. **5** *δὲ* < lat. | *ὑπερουράνιον*] *coelestis* lat. **6** *ἐπουράνιον*] *ὑπερουράνιον* V **7** *τόπον* < V | ⟨*δὲ*⟩ Ausgg.] *vero* lat. | *Κοσμοκράτορα*] *παντοκράτορα* M **8** *ἀμηχανίας*] *aporia* lat. **8 f** *ἐκ τοῦ* ⟨*ἐκ*⟩*στασιμωτέρου* *] *ἐκ τοῦ ἀσημοτέρου* V *ἐκ στασιμωτέρου* M *de vesaniori* lat. **10** *γῆν* Ausgg.] *τὴν* V M *terram* lat. | *μὲν*] *vero* lat. | vor *φόβου* + *τοῦ* V | *τῶν δακρύων* hinter *φόβου* nachgetragen V corr < M u. lat. **11** *δὲ*[1] Ausgg.] *τε* V M *vero* lat. | *λύπης*] *materiae* (*ὕλης*) lat. **14** *δὴ*] *δὲ* M **15** *χο///ικὸν*, *ο//* aus *ω* V corr **16** vor *ἀπὸ* + *et* lat. | *τοῦ κεχυμένου καὶ ῥευστοῦ τῆς ὕλης*] *ab effusili* (*effusibili*?) *et fluida materia* lat. *de fluxili et fusili eius* (sc. *materiae*) Tert. **18** *καὶ* < lat. **19** *οὐκ* M | *ὄντα*] *esse* lat. **20** *ὅθεν*] *ὁ θεὸς* M **22** *θέλουσι*] *λέγουσιν* V **24** *σωτῆρα*] *ἀέρα* M | *ὑπάρχοντα* M

πνευματικόν, καὶ αὐτὸ ἠγνοηκέναι τὸν Δημιουργὸν λέγουσι καὶ λεληθότως P18
κατατεθεῖσθαι εἰς αὐτὸν μὴ εἰδότος αὐτοῦ, ἵνα | δι' αὐτοῦ εἰς τὴν ἀπ' D16
αὐτοῦ ψυχὴν σπαρὲν καὶ εἰς τὸ ὑλικὸν τοῦτο σῶμα, κυοφορηθὲν ⟨τε⟩
ἐν τούτοις καὶ αὐξηθὲν ἕτοιμον γένηται πρὸς ὑποδοχὴν τοῦ τελείου
⟨Λόγου⟩. ἔλαθεν οὖν, ὥς φασι, τὸν Δημιουργὸν ὁ συγκατασπαρεὶς 12
τῷ ἐμφυσήματι αὐτοῦ ὑπὸ τῆς Σοφίας πνευματικὸς ἄνθρωπος ἀρρήτῳ
⟨δυνάμει καὶ⟩ προνοίᾳ. ὡς γὰρ τὴν Μητέρα ἠγνοηκέναι, οὕτω καὶ τὸ
σπέρμα αὐτῆς· ὃ δὴ καὶ αὐτὸ Ἐκκλησίαν εἶναι λέγουσιν, ἀντίτυπον τῆς
ἄνω Ἐκκλησίας. καὶ τοῦτο εἶναι τὸν ἐν αὐτοῖς ἄνθρωπον ἀξιοῦσιν· 13
ὥστε ἔχειν αὐτοὺς τὴν μὲν ψυχὴν ἀπὸ τοῦ Δημιουργοῦ, τὸ δὲ σῶμα ἀπὸ
τοῦ χοὸς καὶ τὸ σαρκικὸν ἀπὸ τῆς ὕλης, τὸν δὲ πνευματικὸν ἄνθρωπον
ἀπὸ τῆς Μητρὸς τῆς Ἀχαμώθ.

20. Τριῶν οὖν ὄντων τὸ μὲν ὑλικόν, ὃ καὶ ἀριστερὸν καλοῦσι, κατὰ 20,
ἀνάγκην ἀπόλλυσθαι λέγουσιν, ἅτε μηδεμίαν ἐπιδέξασθαι πνοὴν ἀφθαρ-
σίας δυνάμενον· τὸ δὲ ψυχικόν, ὃ καὶ δεξιὸν προσαγορεύουσιν, ἅτε μέσον
ὂν τοῦ τε πνευματικοῦ καὶ τοῦ ὑλικοῦ, ἐκεῖσε χωρεῖν, ὅπου ἂν | καὶ τὴν Ö 35
πρόσκλισιν ποιήσηται· τὸ δὲ πνευματικὸν ἐκπεπέμφθαι, ὅπως ἐνθάδε τῷ 2
ψυχικῷ συζυγὲν μορφωθῇ, συμπαιδευθὲν αὐτῷ ἐν τῇ ἀναστροφῇ. καὶ
τοῦτ' εἶναι λέγουσι τὸ ἅλας καὶ τὸ φῶς τοῦ κόσμου. ἔδει γὰρ τῷ ψυχικῷ
καὶ αἰσθητῶν παιδευμάτων· διὸ καὶ κόσμον κατεσκευάσθαι λέγουσι. καὶ 3
τὸν σωτῆρα δὲ ἐπὶ τοῦτο παραγεγονέναι τὸ ψυχικόν, ἐπεὶ καὶ αὐτεξούσιόν
ἐστιν, ὅπως αὐτὸ σώσῃ. ὧν γὰρ ἤμελλε σῴζειν, τὰς ἀπαρχὰς αὐτὸν 4
εἰληφέναι φάσκουσιν, ἀπὸ μὲν τῆς Ἀχαμὼθ τὸ πνευματικόν, ἀπὸ δὲ τοῦ
Δημιουργοῦ ἐνδεδύσθαι τὸν ψυχικὸν Χριστόν, ἀπὸ δὲ τῆς οἰκονομίας περι-
τεθεῖσθαι σῶμα, ψυχικὴν ἔχον οὐσίαν, κατεσκευασμένον δὲ ἀρρήτῳ τέχνῃ
πρὸς τὸ καὶ ὁρατὸν καὶ ψηλαφητὸν καὶ παθητὸν γενέσθαι. καὶ ὑλικὸν

19 vgl. Matth. 5, 13. 14

V M lat. (Tert., Hipp.)

1 *αὐτὸν* V **3** *κυοφορηθέν*] *gestatum . . velut in utero* lat. (Tert. umschreibt noch freier) | ⟨*τε*⟩ *] *quoque* lat. **5** ⟨*Λόγου*⟩ Ausgg.] *rationis* lat. *sermoni* Tert. **7** ⟨*δυνάμει καὶ*⟩ Ausgg.] *virtute et* lat. | *ἠγνοηκέναι*] *ignoravit* lat. **8** *δὴ* < lat. **9** *τοῦτο* Ausgg.] *τότε* V *τὸ* M *hunc* lat. **11** *σαρκικὸν*] *σαρκίον* M *carneum* lat. **14** *ἐπιδείξασθαι* V **16** *καὶ*[2] < lat. **17** *πρόσκλισιν* Ausgg.] *πρόσκλησιν* V M *declinaverit* lat. *adnuerit* Tert. **19** *θέλουσι* aus *λέγουσι* V corr *dicunt* lat. | *τῷ ψυχικῷ* Ausgg.] *τῶν ψυχικῶν* V M *animali* lat. *animalem* Tert. **20** *καὶ*[1] < lat. steht bei Tert. | *δι' ὧν* aus *διὸ* V corr **21** *καὶ* < lat. **22** *ἔμελλε* M | vor *τὰς ἀπαρχὰς* + *eorum* lat. **24** *ψυχικὸν*] *psychicum id est animalem* lat. **25** *ἔχων* M **26** *πρὸς τῶ* V | *ἀόρατον* aus *ὁρατὸν* V corr | *γεγενῆσθαι* aus *γενέσθαι* V corr

δὲ οὐδ' ὁτιοῦν εἰληφέναι λέγουσιν αὐτόν· μὴ γὰρ εἶναι | τὴν ὕλην δεκτικὴν D166
σωτηρίας. τὴν δὲ συντέλειαν ἔσεσθαι, ὅταν μορφωθῇ καὶ τελειωθῇ 5
γνώσει πᾶν τὸ πνευματικόν, τουτέστιν οἱ πνευματικοὶ ἄνθρωποι οἱ τὴν τελείαν γνῶσιν ἔχοντες περὶ θεοῦ καὶ ⟨τὰ⟩ τῆς Ἀχαμὼθ μεμυημένοι μυστήρια·
5 εἶναι δὲ τούτους ⟨ἑαυτοὺς⟩ ὑποτίθεν|ται. ἐπαιδεύθησαν δὲ τὰ ψυχικὰ οἱ 6 P189
ψυχικοὶ ἄνθρωποι, οἱ δι' ἔργων καὶ πίστεως ψιλῆς βεβαιούμενοι καὶ μὴ τὴν τελείαν γνῶσιν ἔχοντες· εἶναι δὲ τούτους ἀπὸ τῆς ἐκκλησίας ἡμᾶς λέγουσι. διὸ καὶ ἡμῖν μὲν ἀναγκαῖον εἶναι τὴν ἀγαθὴν πρᾶξιν ἀποφαί- 7
νονται (ἄλλως γὰρ ἀδύνατον σωθῆναι), αὐτοὺς δὲ μὴ διὰ πράξεως ἀλλὰ
10 διὰ τὸ φύσει πνευματικοὺς εἶναι πάντῃ τε καὶ πάντως σωθήσεσθαι δογματίζουσιν. ὡς γὰρ τὸ χοϊκὸν ἀδύνατον σωτηρίας μετασχεῖν (οὐ γὰρ εἶναι 8
δεκτικὸν αὐτῆς λέγουσιν αὐτό), οὕτως πάλιν τὸ πνευματικόν, ὃ αὐτοὶ εἶναι θέλουσιν, ἀδύνατον φθορὰν καταδέξασθαι, κἂν ὁποίαις συγκαταγένωνται πράξεσιν. ὃν γὰρ τρόπον χρυσὸς ἐν βορβόρῳ κατατεθεὶς οὐκ ἀπβοάλλει 9
15 τὴν καλλονὴν αὐτοῦ, ἀλλὰ τὴν ἰδίαν φύσιν διαφυλάττει, τοῦ βορβόρου μηδὲν ἀδικῆσαι δυναμένου τὸν χρυσόν, οὕτω δὲ καὶ αὐτοὺς λέγουσι, κἂν ἐν ὁποίαις ὑλικαῖς πράξεσι καταγένωνται, μηδὲν αὐτοὺς παραβλάπτεσθαι μηδὲ ἀποβάλλειν τὴν πνευματικὴν ὑπόστασιν.

21. Διὸ δὴ καὶ τὰ ἀπειρημένα πάντα ἀδεῶς οἱ τελειότατοι πράτ- **21**, 1
20 τουσιν αὐτῶν, περὶ ὧν αἱ γραφαὶ διαβεβαιοῦνται τοὺς ποιοῦντας αὐτὰ βασιλείαν θεοῦ μὴ κληρονομήσειν. καὶ γὰρ εἰδωλόθυτα ἀδιαφόρως ἐσθί- 2
ουσι, μηδὲν μολύνεσθαι ὑπ' αὐτῶν ἡγούμενοι, καὶ ἐπὶ πᾶσαν ἑορτά|σιμον Ö354

20 vgl. Gal. 5, 21

V M lat. (Tert., Hipp.)

1 *δὲ* oben drüber V corr | *εἰληφέναι λέγουσιν*] *suscepit* lat. **4** ⟨*τὰ*⟩ Jül. | vor *τῆς Ἀχαμὼθ* + *ab* lat. (vgl. S. 420,14) **4 f** *μεμυημένοι—ὑποτίθενται* Ausgg.] *μεμυημένοι μυστήρια εἶναι τούτους ὑποτίθενται* V hinter *Ἀχαμώθ* Punkt; dann *μεμυημένους δὲ μυστήρια εἶναι τούτους ὑποτίθενται* V corr M *initiati sunt mysteria. esse autem hos semetipsos dicunt* lat. **5** *ἐπαιδεύθησαν*] *erudiuntur* lat. | *δὲ*[2] Dind.] *γὰρ* nachgetragen V corr < M *autem* lat. **5 f** *τὰ ψυχικὰ οἱ ψυχικοὶ*] *psychica* (*id est animalia*) *psychici* (*id est animales*) lat. **7** *τούτους* + ⟨*τοὺς*⟩? * **10** *φύσει πνευματικοὺς, ει* auf Rasur, *πνευματικοὺς* nachgetragen V corr | *πάντῃ δὲ καὶ πάντως*] *omnimodo* lat. **12** *αὐτῆς*] *salutis* lat. | *αὐτό* *] *αὐτοὶ* V M *illum* lat. **12 f** *θέλουσιν* zweimal geschrieben, hinter *πνευματικὸν* u. hinter *εἶναι*, das zweite getilgt V corr **12** *ὃ* Ausgg.] *οἱ* V M *quod* lat. | *αὐτοὶ*[2] *semetipsos* lat. **16** *δὲ* < lat.; *δὴ* Jül. **16 f** *κἂν ἐν ὁποίαις* Ausgg.] *κἂν ἐν ποίαις* V *καὶ ἐν ποίαις ἂν* M **19** *ἀπειρημένα, ἀπ* angeflickt V corr *προειρημένα* M | *τελειώτατοι* M **21** *κληρονομῆσαι* M | *ἀδιαφόρως* Ausgg.] *διαφόρως* V M *indifferenter* lat. **22** *μηδὲ* V

τῶν ἐθνῶν τέρψιν εἰς τιμὴν τῶν εἰδώλων γινομένην πρῶτοι συνίασιν, ὡς μηδὲ τῆς παρὰ θεῷ καὶ ἀνθρώποις μεμισημένης [τῆς] τῶν θηριομάχων καὶ μονομαχίας ἀνδροφόνου θέας ἀπέχεσθαι ἐνίους αὐτῶν· οἱ δὲ καὶ 3
ταῖς τῆς σαρκὸς ἡδοναῖς κατακόρως | δουλεύοντες, τὰ σαρκικὰ τοῖς σαρ- D16
κικοῖς τὰ πνευματικὰ τοῖς πνευματικοῖς ἀποδίδοσθαι λέγουσιν. καὶ οἱ 4
μὲν αὐτῶν λάθρα τὰς διδασκομένας ὑπ' αὐτῶν τὴν διδαχὴν ταύτην γυναῖκας διαφθείρουσιν, ὡς πολλάκις ὑπ' ἐνίων αὐτῶν ἐξαπατηθεῖσαι, ἔπειτα ἐπιστρέψασαι γυναῖκες εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ σὺν τῇ λοιπῇ πλάνῃ καὶ τοῦτο ἐξωμολογήσαντο· οἱ δὲ καὶ κατὰ τὸ φανερὸν ἀπερυθριά- 5
σαντες, ὧν ἂν ἐρασθῶσι γυναικῶν, ταύτας ἀπ' ἀνδρῶν ἀποσπάσαντες ἰδίας γαμετὰς ἠγήσαντο. ἄλλοι δ' αὖ πάλιν σεμνῶς κατ' ἀρχάς, ὡς μετὰ | 6 P
ἀδελφῶν προσποιούμενοι συνοικεῖν, προϊόντος τοῦ χρόνου ἠλέγχθησαν, ἐγκύμονος τῆς ἀδελφῆς ὑπὸ τοῦ ἀδελφοῦ γενηθείσης.

Καὶ ἄλλα δὲ πολλὰ μυσαρὰ καὶ ἄθεα πράσσοντες ἡμῶν μέν, διὰ τὸν 7
φόβον τοῦ θεοῦ φυλασσομένων καὶ μέχρις ἐννοίας καὶ λόγου ἁμαρτεῖν, κατατρέχουσιν ὡς ἰδιωτῶν καὶ μηδὲν ἐπισταμένων, ἑαυτοὺς δὲ ὑπερυψοῦσι, τελείους ἀποκαλοῦντες καὶ σπέρματα ἐκλογῆς. ἡμᾶς μὲν γὰρ ἐν χρήσει 8
τὴν χάριν λαμβάνειν λέγουσι, διὸ καὶ ἀφαιρεθήσεσθαι αὐτῆς· αὐτοὺς δὲ ἰδιόκτητον ἄνωθεν ἀπὸ τῆς ἀρρήτου καὶ ἀνονομάστου συζυγίας κατελη-
λυθυῖαν ἔχειν τὴν χάριν, καὶ διὰ τοῦτο προστεθήσεσθαι αὐτοῖς· διὸ καὶ ἐκ παντὸς τρόπου δεῖν αὐτοὺς ἀεὶ τὸ τῆς συζυγίας μελετᾶν μυστήριον. καὶ τοῦτο πείθουσι τοὺς ἀνοήτους, αὐταῖς λέξεσι λέγοντες οὕτως· ὃς ἂν 9
ἐν κόσμῳ γενόμενος γυναῖκα οὐκ ἐφίλησεν, ὥστε αὐτὴν κρατηθῆναι, οὐκ ἔστιν ἐξ ἀληθείας καὶ οὐ χωρήσει εἰς ἀλήθειαν· ὁ δὲ ἀπὸ κόσμου ὢν [μὴ]
κρατηθεὶς γυναικὶ οὐ χωρήσει εἰς ἀλήθειαν διὰ τὸ ἐν ἐπιθυμίᾳ κρατη-

V M lat. (Tert., Hipp.)

1 *τέρψιν*] *pro voluntate* (*voluptate*?) lat. **2** *μηδὲ*] *in nihilo quidem* lat. | [*τῆς*]* **2f** *τῶν θηριομάχων καὶ μονομαχίας* < lat. **3** *ἐνίους αὐτῶν* < lat. **4** *ταῖς* nachgetragen V corr < M **5** vor *τὰ πνευματικὰ* + *καὶ* V **7** vor *πολλάκις* + *multae* lat. (wohl Zusatz, vgl. die Weglassung von *ἐνίους* u. *ὑπ' ἐνίων* Z. 3 u. 7 in lat.) | *ὑπ' ἐνίων αὐτῶν*] *ab iis* lat. **9** *ἐξομολογήσαντο* V M, in V verbessert von späterer Hand **9f** *ἀπερυθριάσαντες*] *ne quidem erubescentes* lat. **10** *γυναικῶν* < M | *ἀποσπόντες* M **11** *ἰδίας* < M | *ἠγήσαντο*] *fecerunt* lat. | *αὖ πάλιν*] < lat. | vor *σεμνῶς* + *valde* lat. **14** *μυσαρὰ*, *α* auf Rasur V corr *μυσερὰ* M | *μὲν*] *δὲ* M **15** *ἐννοίας*] *mentibus nostris* lat. | *λόγου*] *sermonibus* lat. **17** *μὲν* angeflickt V corr < M **19** *ἀνο///νομάστου*, *ο* aus *ω* V corr *ἀνωνομάστου* M | *συ///ζυγίας*, *ν* ausradiert V corr **19f** *συγκαταλελῆθυῖαν* V **20** *καὶ*[2] < lat. **21** *συ///ζυγίας*, *ν* ausradiert V corr **23** *αὐτὴν κρατηθῆναι*] *ei coniungatur* lat.; lies wohl *αὐτῆς κρατηθῆναι** **24** [*μὴ*] Ausgg.] < lat. **25** *κρατηθεὶς γυναικὶ*] *mixtus mulieri* lat. (Verschlechterung; der Sinn ist: von einem Weibe überwältigt) **25f** *κρατηθῆναι*] *mixtus est* lat.

θῆναι γυναικός. διὰ τοῦτο οὖν ἡμῖν, οὓς ψυχικοὺς ὀνομάζουσι καὶ ἐκ 10
κόσμου εἶναι λέγουσι, [καὶ] ἀναγκαίαν εἶναι τὴν ἐγκράτειαν καὶ ἀγαθὴν πρᾶξιν,
ἵνα δι' αὐτῆς ἔλθωμεν εἰς τὸν τῆς Μεσότητος τόπον, αὐτοῖς δέ, πνευματι-
κοῖς τε καὶ τελείοις καλουμένοις, μη|δαμῶς. οὐ γὰρ πρᾶξις εἰς Πλήρωμα D168
εἰσάγει, ἀλλὰ τὸ σπέρμα τὸ ἐκεῖθεν νήπιον μὲν ἐκπεμπόμενον, ἐνθάδε
⟨δὲ⟩ τελειούμενον.

Ὅταν δὲ πᾶν τὸ σπέρμα τελειωθῇ, τὴν μὲν Ἀχαμὼθ τὴν Μητέρα 11
αὐτῶν μεταστῆναι τοῦ τῆς Μεσότητος τόπου λέγουσι καὶ ἐντὸς Πληρώ-
ματος εἰσελθεῖν καὶ ἀπολαβεῖν τὸν νυμφίον αὐτῆς τὸν Σωτῆρα, τὸν ἐκ
πάντων γεγονότα, ἵνα συζυγία γένηται τοῦ | Σωτῆρος καὶ τῆς Σοφίας τῆς Ö356
Ἀχαμώθ. καὶ τοῦτο εἶναι νυμφίον καὶ νύμφην, νυμφῶνα δὲ τὸ πᾶν
Πλήρωμα. τοὺς δὲ πνευματικοὺς ἀποδυσαμένους τὰς ψυχὰς καὶ πνεύ- 12
ματα νοερὰ γενομένους, ἀκρατήτως καὶ ἀοράτως ἐντὸς Πληρώματος εἰσελ-
θόντας, νύμφας ἀποδοθήσεσθαι τοῖς περὶ τὸν Σωτῆρα ἀγγέλοις. τὸν δὲ 13
Δημιουργὸν μεταβῆναι καὶ αὐτὸν εἰς τὸν τῆς Μητρὸς Σοφίας τόπον, του-
τέστιν ἐν τῇ Μεσότητι. τάς τε τῶν δικαίων ψυχὰς ἀναπαύ|σεσθαι καὶ P191
αὐτὰς ἐν τῷ τῆς Μεσότητος τόπῳ· μηδὲν γὰρ ψυχικὸν ἐντὸς Πληρώματος
χωρεῖν. τούτων δὲ γενομένων οὕτως τὸ ἐμφωλεῦον τῷ κόσμῳ πῦρ ἐκ- 14
λάμψαν καὶ ἐξαφθὲν καὶ κατεργασάμενον πᾶσαν ὕλην συναναλωθήσεσθαι
αὐτῇ καὶ εἰς τὸ μηκέτ' εἶναι χωρήσειν διδάσκουσι. τὸν δὲ Δημιουργὸν
μηδὲν τούτων ἐγνωκέναι ἀποφαίνονται πρὸ τῆς τοῦ Σωτῆρος παρουσίας.

22. Εἰσὶ δὲ οἱ λέγοντες προβαλέσθαι αὐτὸν καὶ Χριστόν, υἱὸν ἴδιον, 22, 1
ἀλλὰ καὶ * ψυχικόν, ⟨καὶ⟩ περὶ τούτου διὰ τῶν προφητῶν λελαλη-
κέναι. εἶναι δὲ τοῦτον τὸν διὰ Μαρίας διοδεύσαντα, καθάπερ ὕδωρ διὰ
σωλῆνος ὁδεύει, καὶ εἰς τοῦτον ἐπὶ τοῦ βαπτίσματος κατελθεῖν ἐκεῖνον
τὸν ἀπὸ τοῦ Πληρώματος ἐκ πάντων Σωτῆρα ἐν εἴδει περιστερᾶς· γεγο-
νέναι δὲ ἐν αὐτῷ καὶ τὸ ἀπὸ τῆς Ἀχαμὼθ σπέρμα πνευματικόν. τὸν 2
οὖν κύριον ἡμῶν ἐκ τεσσάρων τούτων σύνθετον γεγονέναι φάσκουσιν, ἀπο-

V M lat. (Tert., Hipp.)

1 *οὖν*] *quidem* lat. | *ἡμῖν* Ausgg.] *ἡμᾶς* VM *nobis* lat. | *οὓς* Ausgg.] *καλοὺς* VM *quos* lat. **1f** *ἐκ κόσμου*] *ἐγκόσμους* M *de saeculo* lat. **2** [*καὶ*1] * < lat. | *εἶναι* *] *ἡμῖν* VM < lat. **4f** *οὐ πράξεις γὰρ εἰς πληρώσεις ἄγει* M **5** *μὲν* < V **6** ⟨*δὲ*⟩ Ausgg.] *autem* lat. **10** *συ///ζυγία, ν* ausradiert V **11** *τοῦτο, το* angeflickt V corr *τοῦ* M **16** *ἀναπαύεσθαι* M **18** *ἐμφολεῦον* M **18f** *ἐκλάμψαν, λαμψ* auf Rasur V corr *ἐκάλυψεν* M *exardescens* lat. **19** *καὶ κατεργασάμενον*] *consumit et* lat. **20** *διδάσκουσι* < lat. **22** *καὶ* < lat.(?) **23** * alte Lücke; ergänze ⟨*αὐτὸν*⟩ * | ⟨*καὶ* Ausgg.] *et* lat. **26** *ἐκ πάντων* + ⟨*ὄντα*⟩? * | *ἐν* oben drüber V corr **28f** *ἀποσῴζοντα* Ausgg.] *αὐτὸ σώζοντα* V M *servantem* lat.

σῴζοντα τὸν τύπον τῆς ἀρχεγόνου καὶ πρώτης τετρακτύος, | ἔκ τε τοῦ D16
πνευματικοῦ ὃ ἦν ἀπὸ τῆς Ἀχαμὼθ καὶ ἐκ τοῦ ψυχικοῦ ὃ ἦν ἀπὸ τοῦ
Δημιουργοῦ καὶ ἐκ τῆς οἰκονομίας ὃ ἦν κατεσκευασμένον ἀρρήτῳ τέχνῃ
καὶ ἐκ τοῦ Σωτῆρος ὃ ἦν ⟨ἡ⟩ κατελθοῦσα εἰς αὐτὸν περιστερά. καὶ 3
τοῦτον μὲν ἀπαθῆ διαμεμενηκέναι (οὐ γὰρ ἐνεδέχετο παθεῖν αὐτόν, ἀκρά-
τητον καὶ ἀόρατον ὑπάρχοντα) καὶ διὰ τοῦτο ἦρθαι, προσαγομένου αὐτοῦ
τῷ Πιλάτῳ, τὸ εἰς αὐτὸν κατατεθὲν πνεῦμα Χριστοῦ. ἀλλ᾽ οὐδὲ τὸ ἀπὸ
τῆς Μητρὸς σπέρμα πεπονθέναι λέγουσιν· ἀπαθὲς γὰρ καὶ αὐτό, † τὸ πνευ-
ματικὸν καὶ ἀόρατον καὶ αὐτῷ τῷ Δημιουργῷ. ἔπαθεν δὲ λοιπὸν ὁ κατ᾽ 4
αὐτοὺς ψυχικὸς Χριστὸς καὶ ὁ ἐκ τῆς οἰκονομίας κατεσκευασμένος μυστη-
ριωδῶς, ἵν᾽ ἐπιδείξῃ ⟨δι᾽⟩ αὐτοῦ ἡ Μήτηρ τὸν τύπον τοῦ ἄνω Χριστοῦ,
ἐκείνου τοῦ ἐπεκταθέντος τῷ σταυρῷ καὶ μορφώσαντος τὴν Ἀχαμὼθ μόρ-
φωσιν τὴν κατ᾽ οὐσίαν· πάντα γὰρ ταῦτα τύπους ἐκείνων εἶναι λέγουσι.

Τὰς δὲ ἐσχηκυίας τὸ σπέρμα τῆς Ἀχαμὼθ ψυχὰς ἀμείνους λέγουσι 5
γεγονέναι τῶν λοιπῶν· διὸ καὶ πλέον τῶν ἄλλων ἠγαπῆσθαι ὑπὸ τοῦ
Δημιουργοῦ, | μὴ εἰδότος τὴν αἰτίαν, ἀλλὰ παρ᾽ αὐτοῦ λογιζομένου εἶναι Ö35
τοιαύτας. διὸ καὶ εἰς προφήτας, φασίν, ἔτασσεν αὐτὰς καὶ ἱερεῖς | καὶ 6 P
βασιλεῖς. καὶ πολλὰ ὑπὸ τοῦ σπέρματος τούτου εἰρῆσθαι διὰ τῶν προφη-
τῶν ἐξηγοῦνται, ἅτε ὑψηλοτέρας φύσεως ὑπάρχοντος. πολλὰ δὲ καὶ τὴν
Μητέρα περὶ τῶν ἀνωτέρω εἰρηκέναι λέγουσιν, ἀλλὰ καὶ διὰ τούτου καὶ
τῶν ὑπὸ τούτου γενομένων ψυχῶν *. καὶ λοιπὸν τέμνουσι τὰς προφη- 7
τείας, τὸ μέν τι ἀπὸ τῆς Μητρὸς εἰρῆσθαι θέλοντες, τὸ δέ τι ἀπὸ τοῦ
σπέρματος, τὸ δέ τι ἀπὸ τοῦ Δημιουργοῦ. ἀλλὰ καὶ τὸν Ἰησοῦν ὡσαύτως 8
τὸ μέν τι ἀπὸ τοῦ Σωτῆρος εἰρηκέναι, τὸ δέ τι ἀπὸ τῆς Μητρός, τὸ δέ τι
ἀπὸ τοῦ Δημιουργοῦ, καθὼς ἐπιδείξομεν προϊόντος ἡμῖν τοῦ λόγου. | D17

Τὸν δὲ Δημιουργόν, ἅτε ἀγνοοῦντα τὰ ὑπὲρ αὐτόν, κινεῖσθαι μὲν ἐπὶ 9
τοῖς λεγομένοις, καταπεφρονηκέναι δὲ αὐτῶν, ἄλλοτε ἄλλην αἰτίαν νομί-

V M lat. (Tert., Hipp.)

4 ⟨ἡ⟩ *] *illa* lat. **6** *προσαγο|||μένου, o* aus *ω* V corr **7** *τὸ*[1]] *τὸν* M **8** † *τὸ*] *quippe* lat., lies (ἅτε oder) ὃν * **9** *αὐτῷ τῷ δημιουργῷ*] *τὸ τοῦ δημιουργοῦ* M **9f** *κατ᾽ αὐτοὺς ὁ* V **10** *καὶ* hineingeflickt V corr **11** ⟨δι᾽⟩ Ausgg.] *per* lat. **14** *τῆς Ἀχαμὼθ*] *ab Achamoth* lat. | *ἀμείνους* + *εἶναι* V **15** *πλεῖον* V **17** *φησὶν* M | *ἔτασεν* M **18** *ὑπὸ*] *de* lat. | *εἰρῆσθαι*] *dicta* lat. **19** *ἐξηγοῦνται* aus *ἐξηγεῖσθαι* V corr | *ὑψηλωτέρας* V | *ὑπαρχούσας* aus *ὑπάρχοντας* V corr **20** *διὰ τούτου* V M *per hunc* lat.; wohl alter Fehler für *διὰ τοῦ Δημιουργοῦ* * **21** *ψυχῶν, ψυ* vorn angeflickt V corr *χῶν* M | *] alte Lücke; ergänze wohl ⟨*πολλὰ εἰρῆσθαι φάσκουσιν*⟩* * **22** *θέλοντες*] *docentes* lat. | *ἀπὸ τοῦ*] *ab ipso* lat. **23** *ἀλλὰ* < lat. | *ὡσαύτως*] *tantundem* lat. **24** *ἀπὸ τοῦ Σωτῆρος*] *Salvatorem* lat. **25** *ἐπιδείξωμεν* M | vor *προϊόντος* + *ἔτι* M

σαντα, ἢ τὸ πνεῦμα τὸ προφητεῦον, ἔχον καὶ αὐτὸ ἰδίαν τινὰ κίνησιν, ἢ τὸν ἄνθρωπον ἢ τὴν προσπλοκὴν τῶν χειρόνων. καὶ οὕτως ἀγνοοῦντα 10
διατετελεκέναι ἄχρι τῆς παρουσίας τοῦ Σωτῆρος· ἐλθόντος δὲ τοῦ Σωτῆρος μαθεῖν αὐτὸν παρ' αὐτοῦ πάντα λέγουσιν καὶ ἄσμενον αὐτῷ προσ-
χωρῆσαι μετὰ πάσης τῆς δυνάμεως αὐτοῦ, καὶ αὐτὸν εἶναι τὸν ἐν τῷ 11
εὐαγγελίῳ ἑκατόνταρχον, λέγοντα τῷ σωτῆρι »καὶ γὰρ ἐγὼ ὑπὸ τὴν ἐμαυτοῦ ἐξουσίαν ἔχω στρατιώτας καὶ δούλους, καὶ ὃ ἐὰν προστάξω, ποιοῦσι«.

τελέσειν δὲ αὐτὸν τὴν κατὰ τὸν κόσμον οἰκονομίαν μέχρι τοῦ δέοντος 12
καιροῦ, μάλιστα δὲ διὰ τὴν τῆς ἐκκλησίας ἐπιμέλειαν καὶ διὰ τὴν ἐπί-
γνωσιν τοῦ ἑτοιμασθέντος αὐτῷ ἐπάθλου, ὅτι εἰς τὸν τῆς Μητρὸς τόπον χωρήσει.

23. Ἀνθρώπων δὲ τρία γένη ὑφίστανται, πνευματικὸν χοϊκὸν ψυχικόν, **23**, 1
καθὼς ἐγένοντο Κάϊν Ἄβελ Σήθ, ⟨ἵνα δείξωσι⟩ καὶ ἐκ τούτων τὰς τρεῖς φύσεις, οὐκέτι καθ' ἕνα ἀλλὰ κατὰ γένος. καὶ τὸ μὲν χοϊκὸν εἰς φθορὰν 2
χωρεῖν καὶ τὸ ψυχικόν, ἐὰν τὰ βελτίονα ἕληται ἐν τῷ τῆς Μεσότητος τόπῳ ἀναπαύσεσθαι· ἐὰν δὲ τὰ χείρω, χωρήσειν καὶ αὐτὸ πρὸς τὰ ὅμοια. τὰ δὲ πνευματικά, ἃ ἐγκατασπείρει ἡ Ἀχαμώθ, ἕκτοτε ἕως τοῦ νῦν δι- 3
καίαις ψυχαῖς παιδευθέντα ἐνθάδε καὶ ἐκτραφέντα, διὰ τὸ νήπια ἐκπέμπεσθαι, ὕστερον τελειότητος ἀξιωθέντα νύμφας ἀποδοθήσεσθαι τοῖς τοῦ
Σωτῆρος ἀγγέλοις δογματίζουσι, τῶν ψυχῶν αὐτῶν κατ' ἀνάγ|κην ἐν P193
Μεσότητι μετὰ τοῦ Δημιουργοῦ ἀνα|παυσαμένων εἰς τὸ παντελές. καὶ 4 Ö360
αὐτὰς μὲν τὰς ψυχὰς πάλιν ὑπομερίζοντες λέγουσιν ἃς μὲν φύσει ἀγαθάς, ἃς δὲ φύσει πονηράς. καὶ τὰς μὲν ἀγαθὰς ταύτας εἶναι τὰς δεκτικὰς τοῦ | σπέρ- D171
ματος γινομένας, τὰς δὲ φύσει πονηρὰς μηδέποτε ἂν ἐπιδέξασθαι ἐκεῖνο τὸ σπέρμα.

6 Matth. 8, 9 Luk. 7, 8

V M lat. (Tert., Hipp.)

2 *χειρόνων* Ausgg.] *χειρῶν* V M *peiorum* lat. **3** *διατετελεκέναι*] *conservasse* (*διατετηρηκέναι*) lat. | *κυρίου*(!)· *ἐλθόντος δὲ τοῦ* am Rande nachgetragen V^{corr} < M *salvatoris. cum venisset autem* lat. **4** *καὶ* hineingeflickt V^{corr} < M *et* lat. **4 f** *προσχωρῆσαι* *] *προσχωρήσαντα* V M *cessisse* lat. **8** *αὐτὸν*, *o* aus *ω* V^{corr} | *τὴν κατὰ τὸν κόσμον οἰκονομίαν*] *eam quae secundum ipsum est mundi creationem* (= *τὴν κατ' αὐτὸν κόσμου οἰκ.*) lat. **9** *ἐπιμέλειαν*] *diligentiam atque curam* lat. | vor *καὶ* + *ἀλλὰ* V **10** *αὐτῷ* < lat. **13** *⟨ἵνα δείξωσι⟩* *] *ut ostendant* lat. **14** *Ἓν* aus *ἕνα* V^{corr} **15** *καὶ*] *vero* lat. | *τὰ*] *τε* M **16** *ἀναπαύ///εσθαι*, *σ* ausradiert V^{corr} **17** *ἃ ἐγκατασπείρει* Dind.] *ἃ ἂν κατασπείρῃ*, *ἃ ἂν* auf Rasur V^{corr} *ἐγκατασπείρει* (ohne *ἃ*) M *inseminat* (gleichfalls kein *quae*) lat. **17 f** *δικαίαις*] *propter quod et* (*διὸ καὶ αἱ*) lat. **18** *ἐνθάδε* + *quidem* lat. | vor *ἐκτραφέντα* + *semina* lat. | *τραφέντα* M **18 f** *ἐκπεπέμφθαι* V *emittantur* lat. **20** *δογματίζουσι*] *respondent* lat. **22** *μὲν*] *autem* lat.

24. Τοιαύτης δὲ τῆς ὑποθέσεως αὐτῶν οὔσης, ἣν οὔτε προφῆται ἐκή- **24**, 1
ρυξαν, οὔτε ὁ κύριος ἐδίδαξεν οὔτε ἀπόστολοι παρέδωκαν, ἣν περισσοτέρως
αὐχοῦσιν πλεῖον τῶν ἄλλων ἐγνωκέναι, ἐξ ἀγράφων ἀναγινώσκοντες
καὶ τὸ δὴ λεγόμενον ἐξ ἄμμου σχοινία πλέκειν ἐπιτηδεύοντες, ἀξιοπίστως 2
προσαρμόζειν πειρῶνται τοῖς εἰρημένοις ἤτοι παραβολὰς κυριακὰς ἢ ῥήσεις
προφητικὰς ἢ λόγους ἀποστολικούς, ἵνα τὸ πλάσμα αὐτῶν μὴ ἁμάρτυρον
εἶναι δοκῇ, τὴν μὲν τάξιν καὶ τὸν εἱρμὸν τῶν γραφῶν ὑπερβαίνοντες καὶ
ὅσον ἐφ' ἑαυτοῖς λύοντες τὰ μέλη τῆς ἀληθείας. μεταφέρουσι δὲ καὶ 3
μεταπλάττουσι καὶ ἄλλο ἐξ ἄλλου ποιοῦντες ἐξαπατῶσι πολλοὺς τῇ τῶν
ἐφαρμοζομένων κυριακῶν λογίων κακοσυνθέτῳ φαντασίᾳ. ὅνπερ τρόπον 4
εἴ τις βασιλέως εἰκόνος καλῆς κατεσκευασμένης ἐπιμελῶς ἐκ ψηφίδων ἐπι-
σήμων ὑπὸ σοφοῦ τεχνίτου, λύσας τὴν ὑποκειμένην τοῦ ἀνθρώπου ἰδέαν
μετενέγκοι τὰς ψηφῖδας ἐκείνας καὶ μεθαρμόσοι καὶ ποιήσοι μορφὴν κυνὸς
ἢ ἀλώπεκος καὶ ταύτην φαύλως κατεσκευασμένην, ἔπειτα διορίζοιτο καὶ 5
λέγοι ταύτην εἶναι τὴν τοῦ βασιλέως ἐκείνην εἰκόνα τὴν καλήν, ἣν ὁ σοφὸς
τεχνίτης κατεσκεύασεν, δεικνὺς τὰς ψηφῖδας τὰς καλῶς ὑπὸ τοῦ τεχνίτου
τοῦ πρώτου εἰς τὴν τοῦ βασιλέως εἰκόνα συντεθείσας, κακῶς δὲ ὑπὸ τοῦ
ὑστέρου εἰς κυνὸς μορφὴν μετενεχθείσας, καὶ διὰ τῆς τῶν ψηφίδων φαν-
τασίας μεθοδεύοι τοὺς ἀπειροτέρους τοὺς κατάληψιν βασιλικῆς μορφῆς οὐκ
ἔχοντας καὶ πείθοι ὅτι αὕτη ἡ σαπρὰ τῆς ἀλώπεκος ἰδέα ἐκείνη ἐστὶν ἡ
καλὴ τοῦ βασιλέως εἰκών· τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι γραῶν μύθους 6
συγκαττύσαντες, ἔπειτα ῥήματα καὶ λέξεις καὶ παραβολὰς ὅθεν καὶ ποθὲν
ἀποσπῶντες, ἐφαρμόζειν βούλονται τοῖς μύθοις αὐτῶν τὰ | λόγια τοῦ θεοῦ. D172
καὶ ὅσα μὲν τοῖς ἐντὸς τοῦ Πληρώματος ἐφαρμόζουσιν, εἰρήκαμεν. | **25**, 1
ὅσα δὲ καὶ τοῖς ἐκτὸς τοῦ Πληρώματος αὐτῶν προσοικειοῦν πειρῶνται ἐκ P 19
τῶν γραφῶν, ἔστιν τοιαῦτα· τὸν κύριον ἐν τοῖς ἐσχάτοις τοῦ κόσμου 2

V M lat. **1—23** bei Ephrem Syrus *περὶ τῆς ἀρετῆς* c. 8; I 224f Assemani

1 *δὲ*] *igitur* lat. **2** lies ⟨*δι'*⟩ *ἣν*? * **2f** *περισσοτέρως* *] *περὶ τῶν ὅλων* V M *abundantius* lat. **3** *πλείων* M **4** *σχοινίον* Ephr. | *ἀξιοπίστως*] *fide digna* lat. *ἀξιόπιστα* Ephr. **8** *ὅσον*] *οἷον* M **9f** *τῇ τῶν — λογίων*] *ex iis quae aptant ex dominicis eloquiis* lat. **10** *κακοσυνθέτων* M | *φαντασίᾳ* getilgt, dafür *σοφίᾳ* am Rand gesetzt V corr **11** *εἰκόνα . . . κατεσκευασμένην* Ephr. **12** *εἰδέαν* Ephr. **13** *μεθαρμόσοι καὶ*] *reformans* lat. | *καὶ ποιήσοι*] *ποιήσας* Ephr. | *ποιήσοι* + *ex iis* lat. **14** *ταύτης . . κατεσκευασμένης* Ephr. **15** *τοῦ* < M | *εἰκόνα ἐκείνην* Ephr. **16** *καλὰς* Ephr. **17** *συντελεσθείσας* Ephr. **18** *δευτέρου* Ephr. **19** *μορφῆς βασιλικῆς* Ephr. **20** *αὕτη*] *αὐτὴ* M | *εἰδέα* Ephr. | *ἐστὶν ἐκείνη* Ephr. **22** *συγκαττύσαντες*] *assu*[*m*]*entes* lat. *συγκαττύνουσι* Ephr. | *ἔπειτα — παραβολὰς*] *διά τε ῥημάτων καὶ λέξεων καὶ παραβολῶν* Ephr. **23** *μεθαρμόζειν* Ephr. | *ἑαυτῶν* Ephr. **24** *τοῖς* < M | *τοῖς ἐντὸς*] *ἐν τοῖς* V **25** *προσοικειοῦν*] *ad suos*(?) *insinuare* lat. **26** *κύριον*] *χριστὸν* M

χρόνοις διὰ τοῦτο ἐληλυθέναι ἐπὶ τὸ πάθος λέγουσιν, ἵν' ἐπιδείξῃ τὸ περὶ τὸν ἔσχατον τῶν Αἰώνων γεγονὸς πάθος καὶ διὰ τούτου τοῦ τέλους ἐμφήνῃ τὸ τέλος τῆς περὶ τοὺς Αἰῶνας πραγματείας. | τὴν δὲ δωδεκαετῆ παρ- **3** Ö 362
θένον ἐκείνην, τὴν τοῦ ἀρχισυναγώγου θυγατέρα, ἣν ἐπιστὰς ὁ κύριος ἐκ
5 νεκρῶν ἤγειρεν, τύπον εἶναι διηγοῦνται τῆς Ἀχαμώθ, ἣν ἐπεκτανθεὶς ὁ Χριστὸς αὐτῶν ἐμόρφωσεν καὶ εἰς αἴσθησιν ἤγαγε τοῦ καταλιπόντος αὐτὴν φωτός. ὅτι δὲ αὐτῇ ἐπέφανεν ⟨ἑαυτὸν⟩ ὁ σωτήρ, ἐκτὸς οὔσῃ τοῦ Πλη- **4**
ρώματος ἐν ἐκτρώματος μοίρᾳ, τὸν Παῦλον λέγουσιν εἰρηκέναι ἐν τῇ πρώτῃ πρὸς Κορινθίους »ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί«.
10 τήν τε μετὰ τῶν ἡλικιωτῶν τοῦ Σωτῆρος παρουσίαν πρὸς τὴν Ἀχαμὼθ **5**
ὁμοίως πεφανερωκέναι αὐτὸν ἐν τῇ αὐτῇ ἐπιστολῇ εἰπόντα »δεῖ τὴν γυναῖκα κάλυμμα ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς ἀγγέλους«· καὶ ὅτι ἥκοντος τοῦ Σωτῆρος πρὸς αὐτὴν δι' αἰδῶ κάλυμμα ἐπέθετο ἡ Ἀχαμώθ ⟨ἐπὶ τὸ πρόσωπον αὐτῆς⟩, Μωσέα πεποιηκέναι φανερόν, κάλυμμα θέμενον ἐπὶ
15 τὸ πρόσωπον αὐτοῦ. καὶ τὰ πάθη δὲ αὐτῆς ἃ ἔπαθεν *, ἐπισεσημειῶ- **6**
σθαι τὸν κύριον φάσκουσιν, καὶ ἐν μὲν τῷ εἰπεῖν ἐν τῷ σταυρῷ »ὁ θεός μου, εἰς τί ἐγκατέλιπές με« μεμηνυκέναι αὐτὸν ὅτι ἀπελείφθη ἀπὸ τοῦ φωτὸς ἡ Σοφία καὶ ἐκωλύθη ὑπὸ τοῦ Ὅρου τῆς εἰς τοὔμπροσθεν ὁρμῆς, τὴν δὲ λύπην αὐτῆς ἐν τῷ εἰπεῖν »περίλυπός ἐστιν ἡ ψυχή μου«, τὸν δὲ
20 φόβον ἐν τῷ εἰπεῖν »πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον« καὶ τὴν ἀπορίαν δὲ ὡσαύτως ἐν τῷ εἰρηκέναι »καὶ τί εἶπω οὐκ οἶδα«. D 173

Τρία δὲ γένη ἀνθρώπων οὕτως δεδειχέναι διδάσκουσιν αὐτόν· τὸ μὲν **7**
ὑλικὸν ἐν τῷ ἀποκριθῆναι τῷ λέγοντι· ἀκολουθήσω σοι »οὐκ ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ποῦ τὴν κεφαλὴν κλίνῃ«· τὸ δὲ ψυχικὸν ἐν τῷ εἰρη-

9 I Kor. 15, 8 — **11** I Kor. 11, 10 — **14** vgl. II Kor. 3, 13 — **16** Matth. 27, 46 Mark. 15, 34 — **19** Matth. 26, 38 — **20** Matth. 26, 39 — **21** Joh. 12, 27 — **23** Matth. 8, 19 Luk. 9, 57 — Matth. 8, 20 Luk. 9, 58

V M lat.

2 *αἰώνων*] *ἀγώνων* M | *διὰ τούτου* *] *δι' αὐτοῦ* V M *per hunc* lat. **3** *δὲ* < M **5** *ἤγειρεν*] *liberavit* lat. | *ἐπεκτανθεὶς* M **6** *αὐτῶν*] *αὐτὸν*, am Rande nachgetragen V corr **7** ⟨*ἑαυτὸν*⟩ Dind.] *semetipsum* lat. **8** *μύρα* aus *μοίρα* V corr *partu* (*parte*?) lat. **9** *ὡς περὶ* M **12 f** *ἥκοντος*] *ἦκον τοὺς* M **13 f** ⟨*ἐπὶ τὸ πρόσωπον αὐτῆς*⟩ *] *in faciem suam* lat.; die Ergänzung ist notwendig, um den folgenden Ausfall in lat. zu erklären (Gleichendung) **14 f** *Μωσέα — ἐπὶ τὸ πρόσωπον αὐτοῦ* < lat. **15** * ⟨*ἐν τῷ μὲν ἀπολειφθῆναι αὐτὴν ἀπὸ τοῦ φωτός*⟩ *] *in hoc quidem quod derelicta est a lumine* lat.; die Worte folgen in lat. erst hinter *dicunt* (*φάσκουσιν*) Z. 16, gehören jedoch an diese Stelle **16** *καὶ ἐν μὲν τῷ εἰπεῖν ἐν τῷ σταυρῷ* *] *ἐν τῷ σταυρῷ καὶ ἐν μὲν τῷ εἰπεῖν* V M (< *καὶ*) *in eo cum dicit in cruce* lat. **16 f** *ὁ θεός μου* zweimal lat. **19** vor *περίλυπος* + *quam* lat. **22** *δὲ* oben drüber V corr | *οὕτως* < lat.

κέναι τῷ εἰπόντι· ἀκολουθήσω σοι, ἐπίτρεψον δέ μοι πρῶτον ἀποτάξασθαι
τοῖς οἰκείοις »οὐδεὶς ἐπ' ἄροτρον τὴν χεῖρα ἐπιβαλὼν καὶ εἰς τὰ ὀπίσω
βλέπων εὔθετός ἐστιν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν« (τοῦτον γὰρ λέγουσι 8
τῶν μέσων εἶναι· | κἀκεῖνον δὲ ὡσαύτως τὸν τὰ πλεῖστα μέρη τῆς δικαιο- P195
σύνης ὁμολογήσαντα πεποιηκέναι, ἔπειτα μὴ θελήσαντα ἀκολουθῆσαι,
ἀλλὰ ὑπὸ πλούτου ἡττηθέντα πρὸς τὸ μὴ τέλειον γενέσθαι, καὶ τοῦτον τοῦ
ψυχικοῦ γένους γεγονέναι θέλουσι)· τὸ δὲ πνευματικὸν ἐν τῷ εἰπεῖν »ἄφες 9
τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ πορευθεὶς διάγγελλε τὴν
βασιλείαν τοῦ θεοῦ«, καὶ ἐπὶ Ζακχαίου τοῦ τελώνου εἰπών »σπεύσας
κατάβηθι, ὅτι σήμερον ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι«· τούτους γὰρ πνευ-
ματικοῦ γένους καταγγέλλουσι γεγονέναι. καὶ τὴν τῆς ζύμης παρα- 10
βολήν, ἣν ἡ γυνὴ ἐγκεκρυφέναι. λέγεται εἰς ἀλεύρου σάτα τρία, τὰ τρία
γένη δηλοῦν λέγουσι. γυναῖκα μὲν γὰρ τὴν Σοφίαν λέγεσθαι διδάσκουσιν,
ἀλεύρου δὲ σάτα τρία τὰ τρία γένη τῶν ἀνθρώπων, πνευμα|τικὸν ψυχικὸν Ö364
χοϊκόν· ζύμην δὲ αὐτὸν τὸν σωτῆρα εἰρῆσθαι διδάσκουσι. καὶ τὸν 11
Παῦλον ⟨δὲ⟩ διαρρήδην εἰρηκέναι χοϊκοὺς ψυχικοὺς πνευματικούς· ὅπου
μέν »οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί«, ὅπου δέ »ψυχικὸς δὲ ἄνθρω-
πος οὐ δέχεται τὰ τοῦ πνεύματος«, ὅπου δέ »πνευματικὸς ἀνακρίνει τὰ
πάντα«. τὸ δέ »ψυχικὸς δὲ οὐ δέχεται τὰ τοῦ πνεύματος« ἐπὶ τοῦ Δημι-
ουργοῦ φασὶν εἰρῆσθαι, ὃν ψυχικὸν ὄντα μὴ ἐγνωκέναι μήτε τὴν Μητέρα
πνευματικὴν οὖσαν μήτε τὸ σπέρμα αὐτῆς μήτε τοὺς ἐν τῷ Πληρώματι
Αἰῶνας. ὅτι δὲ ὧν ἤμελλε σῴζειν ὁ Σωτήρ, | τούτων τὰς ἀπαρχὰς ἀνέ- 12 D
λαβεν τὸν Παῦλον εἰρηκέναι »καὶ εἰ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα«,
ἀπαρχὴν μὲν τὸ πνευματικὸν εἰρῆσθαι διδάσκοντες, φύραμα δὲ ἡμᾶς τοῦ-
τέστιν τὴν ψυχικὴν ἐκκλησίαν, ἧς τὸ φύραμα ἀνειληφέναι λέγουσιν αὐτὸν
καὶ ἐν αὑτῷ συνανεστακέναι, ἐπειδὴ ἦν αὐτὸς ζύμη.

1 Luk. 9, 61 — **2** Luk. 9, 62 — **4** vgl. Matth. 19, 16ff — **7** Matth. 8, 22 Luk. 9, 60 — **9** Luk. 19, 5 — **11** vgl. Matth. 13, 33 — **17** I Kor. 15, 48 — I Kor. 2, 14 — **18** I Kor. 2, 15 — **19** I Kor. 2, 14 — **23** Röm. 11, 16

V M lat.

1 *ἀποτάξασθαι*] *ire et renunciare* lat. **3** *ἐν* < lat. | *γὰρ*] *autem* lat. **4** *τῶν μέσων* Dind.] *τὸν μέσον* V M *de mediis* lat. **5** *μὴ θελήσαντα*] *noluisse* lat. **6f** vor *τοῦ ψυχικοῦ* + *de* lat. **9** *ἐπὶ Ζακχαίου τοῦ τελώνου*] *Zacchaeo publicano* lat. | *σπεύσας* < lat. **10f** *τούτους — γεγονέναι* < lat. **10** *τούτους, σ* angeflickt V^{corr} *τούτου* M **12** *ἡ* < M **13** *γὰρ* < lat. **14** *δὲ* oben drüber V^{corr} | *τρία*^{1} < V | *τὰ τρία* < M **16** ⟨*δὲ*⟩ *] *autem* lat. **17** *δὲ* < M **19** *τὸ δὲ* < lat. | *δὲ*^{2} < M **21** *τῷ* < M **22** *δὲ ὧν* Ausgg.] *ἰδὼν* V M *eorum quos* lat. **23** *τὸν* < M | *εἰ*] *ἦν* V **25** *ἧς*] *εἰς* M **26** *ἐν αὐτῷ*] *cum semetipso* lat. | *συνανεσταλκέναι* V *erexisse* lat.

26. Καὶ ὅτι ἐπλανήθη ἡ Ἀχαμὼθ ἐκτὸς τοῦ Πληρώματος καὶ ἐμορ- **26, 1**
φώθη ὑπὸ τοῦ Χριστοῦ καὶ ἀνεζητήθη ὑπὸ τοῦ Σωτῆρος, μηνύειν αὐτὸν
λέγουσιν ἐν τῷ εἰπεῖν αὐτὸν ἐληλυθέναι ἐπὶ τὸ πεπλανημένον ⟨πρόβατον⟩.
πρόβατον μὲν γὰρ πεπλανημένον τὴν Μητέρα αὐτῶν ἐξηγοῦνται λέγεσθαι, **2**
ἐξ ἧς τὴν ὧδε θέλουσιν ἐσπάρθαι ἐκκλησίαν· πλάνην δὲ τὴν ἐκτὸς Πλη-
ρώματος ἐν ⟨πᾶσι⟩ τοῖς πάθεσι διατριβήν, ἐξ ὧν γεγονέναι τὴν ὕλην ὑπο-
τίθενται. τὴν δὲ γυναῖκα | τὴν σαροῦσαν τὴν οἰκίαν καὶ εὑρίσκουσαν **3** P196
τὴν δραχμὴν τὴν ἄνω Σοφίαν διηγοῦνται λέγεσθαι, ἥτις ἀπολέσασα τὴν
Ἐνθύμησιν αὐτῆς, ὕστερον καθαρισθέντων πάντων διὰ τῆς τοῦ Σωτῆρος
παρουσίας εὑρίσκει αὐτήν. διὸ καὶ ταύτην ἀποκαθίστασθαι κατ᾽ αὐτοὺς
ἐντὸς Πληρώματος. Συμεῶνα ⟨δὲ⟩ τὸν εἰς τὰς ἀγκάλας λαβόντα τὸν **4**
Χριστὸν καὶ εὐχαριστήσαντα τῷ θεῷ καὶ εἰπόντα »νῦν ἀπολύεις τὸν
δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ« τύπον εἶναι τοῦ Δημι-
ουργοῦ λέγουσιν, ὃς ἐλθόντος τοῦ Σωτῆρος ἔμαθε τὴν μετάθεσιν αὐτοῦ
καὶ ηὐχαρίστησε τῷ Βυθῷ. καὶ διὰ τῆς Ἄννας τῆς ἐν τῷ εὐαγγελίῳ **5**
κηρυσσομένης προφήτιδος, ἑπτὰ ἔτη μετὰ ἀνδρὸς ἐζηκυίας, τὸν δὲ λοιπὸν
ἅπαντα χρόνον χήρας μεμενηκυίας, ἄχρις οὗ τὸν σωτῆρα ἰδοῦσα ἐπέγνω
αὐτὸν καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι, φανερώτατα τὴν Ἀχαμὼθ μηνύεσθαι
διορίζονται, ἥτις πρὸς ὀλίγον ἰδοῦσα ⟨τότε⟩ τὸν Σωτῆρα μετὰ τῶν ἡλικιωτῶν
αὐτοῦ, τῷ λοιπῷ χρόνῳ παντὶ μένουσα ἐν τῇ Μεσότητι προσεδέχετο αὐτόν,
πότε πάλιν ἐλεύσεται καὶ ἀπο|καταστήσει αὐτὴν τῇ αὐτῆς συζυγίᾳ. D175
καὶ τὸ ὄνομα δὲ αὐτῆς μεμηνῦσθαι ὑπὸ τοῦ σωτῆρος ἐν τῷ εἰρηκέναι »καὶ **6**
ἐδικαιώθη | ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς«, καὶ ὑπὸ Παύλου δὲ οὕτως Ö366
»σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις«. καὶ τὰς συζυγίας δὲ τὰς ἐντὸς **7**
Πληρώματος τὸν Παῦλον εἰρηκέναι φάσκουσιν ἐπὶ ἑνὸς δείξαντα· περὶ γὰρ
τῆς περὶ τὸν βίον συζυγίας γράφων ἔφη »τὸ μυστήριον τοῦτο μέγα ἐστίν,
ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν«.

3 vgl. (Luk. 19, 10) Matth. 18, 12ff Luk. 15, 3ff — **7** vgl. Luk. 15, 8ff — **12** Luk. 2, 28f — **15** vgl. Luk. 2, 36ff — **22** Luk. 7, 35 — **24** I Kor. 2, 6 — **26** Ephes. 5, 32

V M lat.

3 ⟨*πρόβατον*⟩ Ausgg.] *ovem* lat. **6** ⟨*πᾶσι*⟩ Ausgg.] *omnibus* lat. | *διατρίβειν* aus *διατριβὴν* V corr **10** *ταύτην ἀποκαθίστασθαι*] *haec restituitur* lat. **11** ⟨*δὲ*⟩ Dind.] *autem* lat. **12** *θεῷ* *] *Χριστῷ* V M *deo* lat. **14** *ὃς*] *ὡς* V **15** *καὶ*[2] < M **16** *κηρυσσομένης*] *dicitur* lat. | *προφήτιδος* < lat. **17** *ἐπέγνω*, *έ* auf Rasur V corr *ἐπιγνῶ* M **18** *μηνῦσθαι* M **19** *ἥτις*] *εἴτις* V | ⟨*τότε*⟩ *] *tunc* lat. **21** *συ///ζυγία*, *ν* ausradiert V corr **24** *συ///ζυγίας*, *ν* ausradiert V corr **25** *ἐπὶ ἑνὸς*] *ἐπιεικῶς* M **26** *τὸν βίον*] *hanc vitam* lat. | *συ///ζυγίας*, *ν* ausradiert V corr | *τὸ* + *enim* lat. **27** *εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν*] *in Christo et ecclesia* lat.

27. Ἔτι δὲ Ἰωάννην τὸν μαθητὴν τοῦ κυρίου διδάσκουσι τὴν πρώτην 27, 1
Ὀγδοάδα μεμηνυκέναι, αὐταῖς λέξεσι λέγοντες οὕτως· Ἰωάννης, ὁ μα- 2
θητὴς τοῦ κυρίου, βουλόμενος εἰπεῖν τὴν τῶν ὅλων γένεσιν, καθ' ἣν τὰ
πάντα προέβαλεν ὁ Πατήρ, ἀρχήν τινα ὑποτίθεται τὸ πρῶτον γεννηθὲν
ὑπὸ τοῦ θεοῦ, ὃ δὴ καὶ υἱὸν καὶ μονογενῆ θεὸν κέκληκεν, ἐν ᾧ τὰ πάντα
ὁ Πατὴρ προέβαλε σπερματικῶς. ὑπὸ δὲ τούτου φησὶ τὸν Λόγον προβε- 3
βλῆσθαι καὶ ἐν αὐτῷ τὴν ὅλην τῶν Αἰώνων οὐσίαν, ἣν αὐτὸς ὕστερον
ἐμόρφωσεν ὁ Λόγος. ἐπεὶ οὖν περὶ πρώτης γενέσεως λέγει, καλῶς ἀπὸ
τῆς ἀρχῆς τουτέστιν τοῦ Υἱοῦ καὶ τοῦ Λόγου τὴν διδασκαλίαν | ποιεῖται. P197
λέγει δὲ οὕτως »ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν θεὸν 4
καὶ θεὸς ἦν ὁ Λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν«· πρότερον δια- 5
στείλας τὰ τρία, θεὸν καὶ Ἀρχὴν καὶ Λόγον, πάλιν αὐτὰ ἑνοῖ, ἵνα
καὶ τὴν προβολὴν ἑκατέρων αὐτῶν δείξῃ, τοῦ τε Υἱοῦ καὶ τοῦ
Λόγου, καὶ τὴν πρὸς ἀλλήλους ἅμα καὶ τὴν πρὸς τὸν Πατέρα ἕνωσιν.
ἐν γὰρ τῷ Πατρὶ καὶ ἐκ τοῦ Πατρὸς ἡ Ἀρχή, ἐν δὲ τῇ Ἀρχῇ καὶ ἐκ τῆς 6
Ἀρχῆς ὁ Λόγος. καλῶς οὖν εἶπεν »ἐν ἀρχῇ ἦν ὁ Λόγος«· ἦν γὰρ ἐν τῷ
Υἱῷ. »καὶ ὁ Λόγος ἦν πρὸς τὸν θεόν«· καὶ γὰρ ἡ Ἀρχὴ *. καὶ »θεὸς
ἦν ὁ Λόγος«, ἀκολούθως· τὸ γὰρ ἐκ θεοῦ γεννηθὲν θεός ἐστιν. »οὗτος
ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν« | ἔδειξε τὴν τῆς προβολῆς τάξιν. »πάντα δι' 7 D17
αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν«· πᾶσι γὰρ τοῖς μετ'
αὐτὸν Αἰῶσι μορφῆς καὶ γενέσεως αἴτιος ὁ Λόγος ἐγένετο. ἀλλ' »ὃ γέγο-
νεν ἐν αὐτῷ, φησί, ζωή ἐστιν«. ἐνθάδε καὶ συζυγίαν ἐμήνυσεν· τὰ μὲν γὰρ
ὅλα ἔφη δι' αὐτοῦ γεγενῆσθαι, τὴν δὲ ζωὴν ἐν αὐτῷ. αὕτη οὖν ἡ ἐν 8
αὐτῷ γενομένη οἰκειοτέρα ἐστὶν [ἐν] αὐτῷ τῶν δι' αὐτοῦ γενομένων· σύν- 9
εστι γὰρ αὐτῷ καὶ δι' αὐτοῦ καρποφορεῖ. ἐπειδὴ γὰρ ἐπιφέρει »καὶ ἡ ζωὴ

10—19 Joh. 1, 1—2 — **19** Joh. 1, 3 — **21** Joh. 1, 3—4 — **25** Joh. 1, 4

V M lat.

1 *δὲ* Ausgg.] *τε* V M *autem* lat. **2** *ὀγδοάδα* + *et omnium generationem* lat. (wohl ein Rest des folgenden Ausfalls) **2—4** *λέγοντες — ὁ πατὴρ* < lat. **4** vor *ἀρχὴν* + *itaque* lat. | *γεννηθὲν*] *factum* lat. **5** *δὴ καὶ*] *etiam* lat. | *υἱὸν*] *Nun . . et filium* lat. (Doppelschreibung in der Vorlage) | *μονογενῆ θεὸν*] *unigenitum domini* lat. | vor *θεὸν* ein *καὶ* hineingeflickt V corr | *ἐν ᾧ*] *ἐν τῷ* M **6** *προέβαλε*] *praemisit* lat. | *φησὶ*] *aiunt* lat. **7** *οὐσίαν, ο* auf Rasur V corr *θυσίαν* M **9** *υἱοῦ* *, vgl. Z. 13] *θεοῦ* V M *filio* lat. **11** *οὗτος*] *οὕτως* V **12** *τὰ τρία*] *in tria* lat. **13** *τοῦ τε Υἱοῦ*] *id est filii* lat. **14** [*τὴν*]^{2}? * **17** *] alte Lücke, ergänze ‹ἦν πρὸς τὸν Πατέρα› * **18** vor *οὗτος* wohl ausgefallen ‹*τῷ δέ*› * **21** *ἀλλὰ* V **22** *καὶ*] *enim* lat. | *συ//ζυγίαν, υ* ausradiert V corr *syzygias* lat. **23** *αὐτοῦ* *] *ἑαυτοῦ* V M *ipsum* lat. | *γεγενῆσθαι*] *facta sunt* lat. | *ζωὴν* < M **24** [*ἐν* *] *αὐτῷ* < lat. **25** *καρποφορεῖν* V | *γὰρ* < lat. | *ἡ* < M

ἦν τὸ φῶς τῶν ἀνθρώπων«, Ἄνθρωπον εἰπὼν ἄρτι καὶ τὴν Ἐκκλησίαν ὁμωνύμως τῷ Ἀνθρώπῳ ἐμήνυσεν, ὅπως διὰ τοῦ ἑνὸς ὀνόματος δηλώσῃ τὴν τῆς συζυγίας κοινωνίαν· ἐκ γὰρ τοῦ Λόγου καὶ τῆς Ζωῆς Ἄνθρωπος γίνεται καὶ Ἐκκλησία. φῶς δὲ εἶπεν τῶν ἀνθρώπων τὴν Ζωὴν διὰ τὸ **10**
πεφωτίσθαι αὐτοὺς ὑπ' αὐτῆς, ὃ δή ἐστι μεμορφῶσθαι καὶ πεφανε|ρῶσθαι. Ö368
τοῦτο δὲ καὶ ὁ Παῦλος λέγει »πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστίν«. ἐπεὶ τοίνυν ἡ Ζωὴ ἐφανέρωσε καὶ ἐγέννησε τόν τε Ἄνθρωπον καὶ τὴν Ἐκκλησίαν, φῶς εἴρηται αὐτῶν. σαφῶς οὖν δεδήλωκεν ὁ Ἰωάννης διὰ τῶν **11**
λόγων τούτων τά τε ἄλλα καὶ τὴν τετράδα τὴν δευτέραν· Λόγον καὶ Ζωήν, Ἄνθρωπον καὶ Ἐκκλησίαν. ἀλλὰ μὴν καὶ τὴν πρώτην ἐμήνυσε τετράδα. **12**
διηγούμενος γὰρ περὶ τοῦ σωτῆρος καὶ λέγων πάντα τὰ ἐκτὸς τοῦ Πληρώματος δι' αὐτοῦ μεμορφῶσθαι, καρπὸν εἶναί φησιν αὐτὸν παντὸς τοῦ Πληρώματος. καὶ γὰρ φῶς εἴρηκεν αὐτὸν τὸ ἐν τῇ σκοτίᾳ. φαινόμενον **13**
καὶ μὴ καταληφθὲν ὑπ' αὐτῆς, ἐπειδὴ πάντα τὰ γενόμενα ἐκ τοῦ πάθους ἁρμόσας ἠγνοήθη ὑπ' αὐτῶν. | καὶ υἱὸν δὲ καὶ ἀλήθειαν καὶ ζωὴν λέγει **14** P198
αὐτὸν καί »λόγον σάρκα γενόμενον· οὗ τὴν δόξαν ἐθεασάμεθα, φησί, καὶ ἦν ἡ δόξα αὐτοῦ οἷα ἦν ἡ τοῦ μονογενοῦς, ἡ ὑπὸ τοῦ Πατρὸς δοθεῖσα αὐτῷ, πλήρης χάριτος καὶ ἀληθείας«. λέγει δὲ οὕτως »καὶ ὁ Λόγος | **15** D177
σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός, πλήρης χάριτος καὶ ἀληθείας«· ἀκριβῶς οὖν καὶ τὴν πρώτην ἐμήνυσε τετράδα, Πατέρα εἰπὼν καὶ Χάριν καὶ [τὸν] Μονογενῆ καὶ Ἀλήθειαν. οὕτως ὁ Ἰωάννης περὶ τῆς πρώτης καὶ **16**
μητρὸς τῶν ὅλων Αἰώνων Ὀγδοάδος εἴρηκε. Πατέρα γὰρ εἴρηκε καὶ Χάριν καὶ Μονογενῆ καὶ Ἀλήθειαν καὶ Λόγον καὶ Ζωὴν καὶ Ἄνθρωπον καὶ Ἐκκλησίαν.

28. Ὁρᾷς, ἀγαπητέ, τὴν μέθοδον, ᾗ χρώμενοι φρεναπατῶσιν ἑαυτούς, **28, 1**
ἐπηρεάζοντες ταῖς γραφαῖς, τὸ πλάσμα αὐτῶν ἐξ αὐτῶν συνιστάνειν πειρώ-

6 Ephes. 5, 13 — **11f** vgl. Joh. 1, 5 — **16** Joh. 1, 14 — **18** Joh. 1, 14

V M lat.

1 *ἄνθρωπον* + *autem* lat. **2** *τῷ Ἀνθρώπῳ* < lat. | *ὀνόματος*] *νοήματος* M **3** *συ///ζυγίας, ν* ausradiert V corr | *κοινωνίαν* aus *ὀνομασίαν* V corr *ὀνομασίαν* M *communionem* lat. **4** *γίνεται*] *generatur* lat. **5** *δή* < lat. **7** *ἡ Ζωὴ* am Rande nachgetragen V corr < M **8** *εἴρηται αὐτῶν* Ausgg.] *εἰρῆσθαι αὐτὸν* V M *dicta est eorum* lat. **10** vor *Ἄνθρωπον* + *καὶ* V **11** *λέγων*] *docens* lat. **12** *καρπὸν* + *quoque* lat. | *φησιν*] *dicens* lat. **12f** *παντὸς τοῦ πληρώματος*] *intra pleroma* lat. **14** *καταλειφθὲν* V | *ὑπ' αὐτῆς*] *ab eis* lat. **15** *ἁρμό///σας, o* aus *ω* V corr | *αὐτῆς* V **21** *καὶ*[1] < lat. **22** [*τὸν*] * **26** *ὁρᾷς* + *igitur* lat. | *ᾗ*] *οἱ*, oben drüber *ᾗ*, aber *οἱ* nicht gestrichen V corr | *φρεναπατοῦσιν, οῦ* /// aus *ῶ* V corr **27** *ἐπερεάζοντες* M | *τὰς γραφὰς* aus *ταῖς γραφαῖς* V corr

μενοι. διὰ τοῦτο γὰρ καὶ αὐτὰς παρεθέμην αὐτῶν τὰς λέξεις, ἵνα ἐξ
αὐτῶν κατανοήσῃς τὴν πανουργίαν τῆς μεθοδείας καὶ τὴν πονηρίαν τῆς
πλάνης. πρῶτον μὲν γὰρ εἰ προέκειτο Ἰωάννῃ τὴν ἄνω Ὀγδοάδα μηνῦσαι, 2
τὴν τάξιν ἣν τετηρήκει τῆς προβολῆς καὶ τὴν πρώτην τετράδα σεβασμιω-
τάτην οὖσαν, καθὼς λέγουσιν, ἐν πρώτοις ἂν τεθείκει τοῖς ὀνόμασι καὶ
οὕτως ἐπεζεύχει τὴν δευτέραν, ἵνα διὰ τῆς τάξεως τῶν ὀνομάτων ἡ τάξις
δειχθῇ τῆς Ὀγδοάδος, καὶ οὐκ ἂν μετὰ τοσοῦτον διάστημα ὡς ἐκλελησμένος,
ἔπειτα ἀναμνησθεὶς ἐπ᾽ ἐσχάτῳ τῆς πρώτης ἐμέμνητο τετράδος. ἔπειτα 3
δὲ καὶ τὰς συζυγίας σημαίνει θέλων καὶ τὸ τῆς Ἐκκλησίας οὐκ ἂν
παρέλιπεν ὄνομα, ἀλλ᾽ ἢ καὶ ἐπὶ τῶν λοιπῶν συζυγιῶν ἠρκέσθη τῇ τῶν
ἀρρένων προσηγορίᾳ, ὁμοίως δυναμένων κἀκείνων συνυπακούεσθαι, ἵνα τὴν
ἑνότητα διὰ | πάντων ᾖ πεφυλακώς, ⟨ἢ⟩ εἰ τῶν λοιπῶν τὰς συζύγους Ö 370
κατέλεγε, καὶ τὴν τοῦ Ἀνθρώπου ἂν μεμηνύκει σύζυγον καὶ οὐκ ἂν
ἀφῆκεν ἐκ μαντείας ἡμᾶς λαμβάνειν τοὔνομα αὐτῆς.

Φανερὰ οὖν ἡ τῆς ἐξηγήσεως ⟨αὐτῶν⟩ παραποίησις. τοῦ γὰρ Ἰωάννου ἕνα 4
θεὸν παντοκράτορα καὶ ἕνα μονογενῆ | Χριστὸν Ἰησοῦν κηρύσσοντος δι᾽ οὗ D 178
τὰ πάντα γεγονέναι λέγει, τοῦτον υἱὸν θεοῦ *, τοῦτον μονογενῆ, τοῦτον πάν-
των ποιητήν, τοῦτον φῶς ἀληθινὸν φωτίζον πάντα ἄνθρωπον, τοῦτον
κόσμου ποιητήν, | τοῦτον εἰς τὰ ἴδια ἐληλυθότα, τοῦτον αὐτὸν σάρκα P 199
γεγονότα καὶ ἐσκηνωκότα ἐν ἡμῖν, — οὗτοι παρατρέποντες κατὰ τὸ πιθανὸν 5
τὴν ἐξήγησιν ἄλλον μὲν τὸν Μονογενῆ θέλουσιν εἶναι κατὰ τὴν προβολὴν
ὃν δὴ καὶ Ἀρχὴν καλοῦσιν, ἄλλον δὲ τὸν Σωτῆρα γεγονέναι θέλουσι καὶ
ἄλλον τὸν Λόγον υἱὸν τοῦ Μονογενοῦς καὶ ἄλλον τὸν Χριστὸν εἰς ἐπανόρ-
θωσιν τοῦ Πληρώματος προβεβλημένον. καὶ ἓν ἕκαστον τῶν εἰρημένων 6
ἅπαντες ἀπὸ τῆς ἀληθείας ⟨καὶ⟩ καταχρησάμενοι τοῖς ὀνόμασιν εἰς τὴν
ἰδίαν ὑπόθεσιν μετήνεγκαν, ὥστε κατ᾽ αὐτοὺς ἐν τοῖς τοσούτοις τὸν
Ἰωάννην τοῦ κυρίου Χριστοῦ Ἰησοῦ μνείαν μὴ ποιεῖσθαι. εἰ γὰρ Πατέρα 7

V M lat.

1 *αὐτὸς* M | *τὰς λέξεις*] *astutias et dictiones* lat. **2** *μεθοδίας* V **3** *μὲν* < lat. | *Ἰωάννην* V | *μηνύσειν, ν* angeflickt V^{corr} **4 f** *σεβασμιωτάτην*] *venerabilior* lat. **5** *τεθήκει* V **7** *δειχθήσεται* M | *ὡς* oben drüber V^{corr} **8** *ἐν ἐσχάτῳ* M **9** *συ///ζυγίας, ν* ausradiert V^{corr} **10** *ἀλλ᾽ ἢ* aus *ἀλλὰ* V^{corr} *ἀλλὰ* M | *συ///ζυγιῶν, ν* ausradiert V^{corr} **12** *πεφυλαχὼς*? Jül. | ⟨*ἢ*⟩ Ausgg.] *aut* lat. | *συζύγους*] *coniunctiones* lat. **13** *σύ///ζυγον, ν* ausradiert V^{corr} **15** ⟨*αὐτῶν*⟩ *] *eorum* lat. **16** *παντοκράτορα*] *exponente* lat. | *Ἰησοῦν Χριστὸν* M **17** *] alte Lücke. ergänze etwa ⟨*λέγων*⟩ * **18** *φωτίζον* Dind.] *φωτίζοντα* V M *illuminans* lat. **19 f** *ἐληλυθότα . . γεγονότα . . ἐσκηνωκότα*] *venisse . . factum . . inhabitasse* lat. **20** *καὶ ἐσκηνωκότα* am Rande nachgetragen V^{corr} < M **20 f** *κατὰ τὸ πιθανὸν τὴν ἐξήγησιν*] *secundum verisimilem expositionem* lat. **25** ⟨*καὶ*⟩ *] *et* lat. **26** *καθ᾽ αὐτοὺς* V **27** *Χριστοῦ Ἰησοῦ *] Ἰησοῦ Χριστοῦ* V M *Christi Jesu* lat. | *μὴ* < V

εἴρηκε καὶ Χάριν καὶ Μονογενῆ καὶ Ἀλήθειαν καὶ Λόγον καὶ Ζωὴν καὶ Ἄνθρωπον καὶ Ἐκκλησίαν, κατὰ τὴν ἐκείνων ὑπόθεσιν περὶ τῆς πρώτης Ὀγδοάδος εἴρηκεν, ἐν ᾗ οὐδέπω Ἰησοῦς οὐδέπω Χριστός, ὁ τοῦ Ἰωάννου διδάσκαλος. ὅτι δὲ οὐ περὶ τῶν συζυγιῶν αὐτῶν ὁ ἀπόστολος εἴρηκεν, 8
ἀλλὰ περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃν καὶ Λόγον οἶδεν τοῦ θεοῦ, αὐτὸς πεποίηκε φανερόν. ἀνακεφαλαιούμενος γὰρ περὶ τοῦ εἰρημένου 9
αὐτῷ ἄνω ἐν ἀρχῇ Λόγου ἐπεξηγεῖται »καὶ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν«. κατὰ δὲ τὴν ἐκείνων ὑπόθεσιν οὐχ ὁ Λόγος σὰρξ ἐγένετο, ὅς γε οὐδὲ ἦλθέν ποτε ἐκτὸς Πληρώματος, ἀλλὰ ὁ ἐκ πάντων γεγονὼς καὶ μεταγενέστερος τοῦ Λόγου Σωτήρ.

29. Μάθετε οὖν, ἀνόητοι, ὅτι Ἰησοῦς ὁ παθὼν ὑπὲρ ἡμῶν, ὁ κατα- **29, 1**
σκηνώσας ἐν ἡμῖν, οὗτος αὐτός ἐστιν ὁ Λόγος τοῦ θεοῦ. εἰ μὲν γὰρ ἄλλος τις τῶν Αἰώνων ὑπὲρ τῆς ἡμῶν αὐτῶν σωτηρίας σὰρξ ἐγένετο, εἰκὸς ἦν περὶ ἄλλου εἰρηκέναι τὸν ἀπόστολον· εἰ δὲ ὁ Λόγος [ὁ] | τοῦ Πατρὸς ὁ D179
καταβὰς αὐτός ἐστιν † καὶ ὁ ἀναβάς, ὁ τοῦ μόνου θεοῦ μονογενὴς υἱός, κατὰ τὴν τοῦ Πατρὸς εὐδοκίαν σαρκωθεὶς ὑπὲρ ἀνθρώπων, οὐ περὶ ἄλλου τινὸς οὐδὲ περὶ Ὀγδοάδος ⟨ὁ Ἰωάννης⟩ τὸν λόγον πεποίηται, ἀλλ' ἢ περὶ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ. οὐδὲ γὰρ ὁ Λόγος κατ' αὐτοὺς προηγου- **2**
μένως σὰρξ γέγονεν. λέγουσι γὰρ τὸν Σωτῆρα ἐνδύσασθαι σῶμα ψυχικὸν ἐκ τῆς οἰκονομίας κατεσκευασμένον ἀρρήτῳ προνοίᾳ πρὸς | τὸ ὁρατὸν Ö372
γενέσθαι καὶ ψηλαφητόν. σὰρξ δέ ἐστιν ἡ ἀρχαία ἐκ τοῦ χοῦ κατὰ τὸν **3**
Ἀδὰμ [ἡ] γεγονυῖα πλάσις ὑπὸ τοῦ θεοῦ, ἣν ἀληθῶς γεγονέναι τὸν Λόγον τοῦ θεοῦ ἐμήνυ|σεν ὁ Ἰωάννης. καὶ λέλυται αὐτῶν ἡ πρώτη καὶ ἀρχέ- **4** P200
γονος Ὀγδοάς. ἑνὸς γὰρ καὶ τοῦ αὐτοῦ δεικνυμένου Λόγου καὶ Μονογενοῦς καὶ Ζωῆς καὶ Φωτὸς καὶ Σωτῆρος καὶ Χριστοῦ καὶ υἱοῦ θεοῦ, καὶ τούτου αὐτοῦ σαρκωθέντος ὑπὲρ ἡμῶν, λέλυται ἡ τῆς Ὀγδοάδος ⟨αὐτῶν⟩ σκηνοπηγία.

7 Joh. 1, 14 — 14f vgl. Ephes. 4, 10

V M lat.

4 *δὲ οὐ*] *οὐδὲ* M | *συ///ζυγιῶν*, *ν* ausradiert V **5** lies wohl *Χριστοῦ Ἰησοῦ* * | *οἶδεν* + *esse* lat. **7** *ἄνω* < lat. | *ἐν* oben drüber V^{corr} < M **9** *ὅς γε*] *ὥστε* M **9f** *ὁ ἐκ πάντων γεγονὼς καὶ* *, vgl. S. 419, 9] *ὁ ἐκ τῆς οἰκονομίας* V M *qui ex omnibus factus est et* lat. **13** *ἡμῶν αὐτῶν*] *nostra* lat. **14** [*ὁ*] * **15** † *καὶ ὁ* V M *et qui* lat.; alter Fehler für *ὁ καὶ* * | *ὁ τοῦ μόνου*] *ab uno* lat. **17** ⟨*ὁ Ἰωάννης*⟩ *] *Johannes* lat. (auch durch die syr. Übersetzung bestätigt) | *ἐμπέποιηται* V **18** lies wohl *Χριστοῦ Ἰησοῦ* * **19** *γὰρ* *] *δὲ* V M *enim* lat. **22** [*ἡ*] * **23** *ὁ* oben drüber V^{corr} < M **25** *καὶ*^{5} < lat. **26** ⟨*αὐτῶν*⟩ *] *illorum* lat. | *σκηνοπηγία* (auch durch die syr. Übersetzung bestätigt)] *compago* lat.

ταύτης δὲ λελυμένης διαπέπτωκεν αὐτῶν πᾶσα ἡ ὑπόθεσις, ἣν ψευδῶς ὀνειρώττοντες κατατρέχουσι τῶν γραφῶν, ἰδίαν ὑπόθεσιν ἀναπλασάμενοι.

Ἔπειτα λέξεις καὶ ὀνόματα σποράδην κείμενα συλλέγοντες μεταφέρουσι καθὼς προειρήκαμεν ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν, ὅμοια ποιοῦντες τοῖς ὑποθέσεις τὰς τυχούσας αὐτοῖς προβαλλομένοις, ἔπειτα πειρωμένοις ἐκ τῶν Ὁμήρου ποιημάτων μελετᾶν αὐτάς, ὥστε τοὺς ἀπειροτέρους δοκεῖν ἐπ᾽ ἐκείνης τῆς ἐξ ὑπογύου μεμελετημένης ὑποθέσεως Ὅμηρον τὰ ἔπη πεποιηκέναι καὶ πολλοὺς συναρπάζεσθαι διὰ τῆς τῶν ἐπῶν συνθέτου ἀκολουθίας, μὴ ἄρα ταῦθ᾽ οὕτως Ὅμηρος εἴη πεποιηκώς· ὡς ὁ τὸν Ἡρακλέα ὑπὸ Εὐρυσθέως ἐπὶ τὸν ἐν τῷ Ἅιδῃ κύνα πεμπόμενον διὰ τῶν Ὁμηρικῶν στίχων γράφων οὕτως (οὐδὲν γὰρ κωλύει παραδείγματος χάριν ἐπιμνησθῆναι καὶ τούτων, ὁμοίας καὶ τῆς αὐτῆς οὔσης ⟨τῆς⟩ ἐπιχειρήσεως τοῖς ἀμφοτέροις)· | D18(

ὣς εἰπὼν ἀπέπεμπε δόμων βαρέα στενάχοντα
φῶθ᾽ Ἡρακλῆα, μεγάλων ἐπίστορα ἔργων,
Εὐρυσθεύς, Σθενέλοιο πάις Περσηιάδαο
ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο.
βῆ ῥ᾽ ἴμεν, ὥς τε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθώς,
καρπαλίμως ἀνὰ ἄστυ, φίλοι δ᾽ ἅμα πάντες ἕποντο,
νύμφαι τ᾽ ἠίθεοί τε πολύτλητοί τε γέροντες,
οἴκτρ᾽ ὀλοφυρόμενοι, ὡς εἰ θανατόνδε κιόντα.
Ἑρμείας δ᾽ ἀπέπεμπεν ἰδὲ γλαυκῶπις Ἀθήνη·
ἤδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὥς ἐπονεῖτο.

τίς οὐκ ἂν τῶν ἀπανούργων συναρπαγείη ὑπὸ τῶν ἐπῶν τούτων καὶ νομίσειεν οὕτως αὐτὰ Ὅμηρον ἐπὶ ταύτης τῆς ὑποθέσεως πεποιηκέναι; ὁ δ᾽ ἔμπειρος τῆς Ὁμηρικῆς ὑποθέσεως ⟨ἐπιγνώσεται μὲν τὰ ἔπη, τὴν δὲ

14—23 *x* 76 *φ* 26 *T* 123 *Θ* 368 ζ 130 *Ω* 327 λ 38 *Ω* 328 λ 626 *B* 409

V M lat.

1 *ἡ* oben hinein V corr | *ἣν* + *πᾶς* M | *ψευδῶς*] *ἀψευδῶς* M *falso nomine* (*ψευδωνύμως*) lat. **2** *ἀναπλασάμενοι*] *ad . . . confingendam* lat. **6** *ἐκ*] *et* lat. | *ποιημάτων*] *versibus* lat. **6f** *ἀπειρο*///*τέρους*, *o* aus *ω* V **7** *ἐπ᾽*] *ex* lat. | *ἐξ ὑπογύου μεμελετημένης*] *temporali declamata* lat. **10** *ὡς ὁ* < M | *Ἡρακλέα* + *τὸν* M **13** ⟨*τῆς*⟩ * **14** *ἀπέπεμπε*, *πε* oben drüber V corr **15** *φωτ* M **18** *λέω* M **19** *ἅμα*] *ἀνὰ* V **22** *δ᾽ ἀπεπέμπεν*] *διαπέμπεν* M | *ἰδὲ*] *ἠδὲ* V **25** *αὐτὰ* + *εἰπεῖν* M **25f** *πεποιηκέναι* — *ὑποθέσεως* am Rande nachgetragen V corr < M **26f** ⟨*ἐπιγνώσεται μὲν τὰ* — *ὑπόθεσιν οὐκ*⟩ Ausgg.] *cognoscet quidem versus, argumentum autem non* lat.

ὑπόθεσιν οὐκ⟩ ἐπι|γνώσεται, εἰδὼς ὅτι τὸ μέν τι αὐτῶν ἐστι περὶ Ὀδυσσέως **10** P201
εἰρημένον, τὸ δὲ περὶ αὐτοῦ τοῦ Ἡρακλέος, τὸ δὲ περὶ τοῦ Πριάμου, τὸ
δὲ περὶ Μενελάου καὶ Ἀγαμέμνονος· ἄρας δὲ αὐτὰ καὶ ἓν ἕκαστον ἀπο-
δοὺς τῇ ἰδίᾳ ⟨βίβλῳ⟩ ἐκποδὼν ποιήσει τὴν ⟨παροῦσαν⟩ ὑπόθεσιν. οὕτω **11**
5 δὲ καὶ ὁ τὸν κανόνα τῆς ἀληθείας | ἀκλινῆ ἐν ἑαυτῷ κατέχων, ὃν διὰ τοῦ Ö374
βαπτίσματος εἴληφεν, τὰ μὲν ἐκ τῶν γραφῶν ὀνόματα καὶ τὰς λέξεις καὶ
τὰς παραβολὰς ἐπιγνώσεται, τὴν δὲ βλάσφημον ὑπόθεσιν ταύτην οὐκ ἐπι-
γνώσεται. καὶ γὰρ εἰ τὰς ψηφῖδας γνωρίσει, ἀλλὰ τὴν ἀλώπεκα ἀντὶ τῆς **12**
βασιλικῆς εἰκόνος οὐ παραδέξεται· ἓν ἕκαστον δὲ τῶν εἰρημένων ἀποδοὺς
10 τῇ ἰδίᾳ τάξει κα᾽ προσαρμόσας τῷ τῆς ἀληθείας σωματίῳ γυμνώσει καὶ
ἀνυπόστατον ἐπιδείξει τὸ πλάσμα αὐτῶν.

30. Ἐπειδὴ ⟨δὲ⟩ τῇ σκηνῇ ταύτῃ λείπει ἡ ἀπολύτρωσις, ἵνα τις τὸν **30, 1**
μῖμον αὐτῶν περαιώσας τὸν ἀνασκευάζοντα λόγον ἐπενέγκῃ, καλῶς ἔχειν
ὑπελάβομεν ἐπιδεῖξαι πρότερον ἐν οἷς οἱ πατέρες αὐτοὶ τοῦδε τοῦ μύθου
15 διαφέρονται πρὸς ἀλλήλους, ὡς ἐκ διαφόρων | πνευμάτων τῆς πλάνης D181
ὄντες. καὶ ἐκ τούτου γὰρ ἀκριβέστατα συνιδεῖν ἔσται (καὶ πρὸ τῆς ἀπο- **2**
δείξεως) βεβαίαν τὴν ὑπὸ τῆς ἐκκλησίας κηρυσσομένην ἀλήθειαν καὶ τὴν
ὑπὸ τούτων παραπεποιημένην ψευδηγορίαν.

Ἡ μὲν γὰρ ἐκκλησία, καίπερ καθ᾽ ὅλης τῆς οἰκουμένης ἕως περάτων **3**
20 τῆς γῆς διεσπαρμένη, παρὰ δὲ τῶν ἀποστόλων καὶ τῶν ἐκείνων μαθητῶν
παραλαβοῦσα τὴν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα τὸν πεποιηκότα
τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰς θαλάσσας καὶ πάντα τὰ ἐν αὐτοῖς πίστιν
καὶ εἰς ἕνα Χριστὸν Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ τὸν σαρκωθέντα ὑπὲρ τῆς **4**
ἡμετέρας σωτηρίας καὶ εἰς πνεῦμα ἅγιον τὸ διὰ τῶν προφητῶν κεκηρυχὸς **5**
25 τὰς οἰκονομίας καὶ τὴν ἔλευσιν καὶ τὴν ἐκ τῆς παρθένου γέννησιν καὶ τὸ
πάθος καὶ τὴν ἔγερσιν ἐκ νεκρῶν καὶ τὴν ἔνσαρκον εἰς τοὺς οὐρανοὺς
ἀνάληψιν τοῦ ἠγαπημένου * Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν καὶ τὴν ἐκ

V M lat. (von **19ff** armenische Übersetzung bei Jordan TU XXXVI 3 S. 62ff; jedoch weil zu frei nur in einem Fall berücksichtigt)

1 *ἐπεὶ γνώσεται* M **2** *αὐτοῦ* < lat. | *Ἡρακλέο///ς, ο* aus *ω* V corr *Ἡρακλέως* M **3** *ἄρας*] *ὁρᾶς* M **4** ⟨*βίβλῳ*⟩ Ausgg.] *libro* lat. | ⟨*παροῦσαν*⟩ ***] *praesentem* lat. **7** *ταύτην*] *illorum* lat. **10** *προσαρμό///σας, ο* aus *ω* V | *σωματείῳ* V **11** *ἐπιδεῖξαι* M **12** ⟨*δὲ*⟩ Dind.] *autem* lat. **13** *ἐπενεγκεῖν* V *ἐπενέγκει* M **14** *μύθου*] *θυμοῦ* V **16** *ἀκριβέστατα*] *diligenter* lat. | *ἔσται*] *est* lat. **16f** *πρὸ τῆς ἀποδείξεως*] *ex ostensione* lat. **17** vor *βεβαίαν* + *eam* lat. **19** *μὲν* < lat. | *καίπερ* < lat. **20** *διεσπαρμένη*] *seminata* lat. | *δὲ*] *et* lat. **21** *παραλαβοῦσα*] *accepit* lat. **22** *τὰς θαλάσσας*] *mare* lat. **24** *κεκηρυχὸς*] *καὶ κηρυχῶς* M **25** *οἰκονομίας* + *dei* lat. | *τὰς ἐλεύσεις* V **27** *ἀνάληψιν*] *adscensionem* lat. | ***] alte Lücke; ergänze ⟨*υἱοῦ*⟩ ***, *Sohnes* arm. | *Jesu Christi* lat.

τῶν οὐρανῶν ἐν τῇ δόξῃ τοῦ πατρὸς παρουσίαν αὐτοῦ ἐπὶ τὸ ἀνακεφαλαιώσασθαι τὰ πάντα καὶ ἀναστῆσαι πᾶσαν σάρκα πάσης ἀνθρωπότητος, ἵνα Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν καὶ θεῷ καὶ σωτῆρι καὶ βασιλεῖ κατὰ 6
τὴν εὐδοκίαν τοῦ πατρὸς τοῦ ἀοράτου πᾶν | γόνυ κάμψῃ ἐπουρανίων καὶ P20
ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται αὐτῷ καὶ κρίσιν δικαίαν ἐν τοῖς πᾶσι ποιήσηται, τὰ μὲν πνευματικὰ τῆς πονηρίας 7
καὶ ἀγγέλους τοὺς παραβεβηκότας καὶ ἐν ἀποστασίᾳ γεγονότας καὶ τοὺς ἀσεβεῖς καὶ ἀδίκους καὶ ἀνόμους καὶ βλασφήμους τῶν ἀνθρώπων εἰς τὸ αἰώνιον πῦρ πέμψῃ, τοῖς δὲ δικαίοις καὶ ὁσίοις καὶ τὰς ἐντολὰς αὐτοῦ 8
τετηρηκόσι καὶ ἐν τῇ ἀγάπῃ αὐτοῦ διαμεμενηκόσι (τοῖς ⟨μὲν⟩ ἀπ' ἀρχῆς, τοῖς δὲ ἐκ μετανοίας) ζωὴν χαρισάμενος ἀφθαρσίαν δωρήσηται καὶ δόξαν αἰωνίαν περιποιήσῃ — | Ö37

31. τοῦτο τὸ κήρυγμα παρειληφυῖα καὶ ταύτην τὴν πίστιν ὡς προ- **31,**
έφαμεν ἡ ἐκκλησία, καίπερ ἐν ὅλῳ | τῷ κόσμῳ διεσπαρμένη, ἐπιμελῶς D18
φυλάσσει ὡς ἕνα οἶκον οἰκοῦσα καὶ ὁμοίως πιστεύει τούτοις ὡς μίαν ψυχὴν καὶ τὴν αὐτὴν ἔχουσα καρδίαν καὶ συμφώνως ταῦτα κηρύσσει καὶ διδάσκει καὶ παραδίδωσιν ὡς ἓν στόμα κεκτημένη. κἂν γὰρ αἱ κατὰ 2
τὸν κόσμον διάλεκτοι ἀνόμοιαι, ἀλλ' ἡ δύναμις τῆς παραδόσεως μία καὶ ἡ αὐτή, καὶ οὔτε αἱ ἐν Γερμανίαις ἱδρυμέναι ἐκκλησίαι ἄλλως πεπιστεύκασιν ἢ ἄλλως παραδιδόασιν οὔτε ἐν ταῖς Ἰβηρίαις οὔτε ἐν Κελτοῖς οὔτε κατὰ τὰς ἀνατολὰς οὔτε ἐν Αἰγύπτῳ οὔτε ἐν Λιβύῃ οὔτε αἱ κατὰ μέσα τοῦ κόσμου ἱδρυμέναι· ἀλλ' ὥσπερ ὁ ἥλιος, τὸ κτίσμα τοῦ θεοῦ, ἐν ὅλῳ 3
τῷ κόσμῳ εἷς καὶ ὁ αὐτός, οὕτω καὶ τὸ * φῶς, τὸ κήρυγμα τῆς ἀληθείας, πανταχῇ φαίνει καὶ φωτίζει πάντας ἀνθρώπους τοὺς βουλομένους εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, καὶ οὔτε ὁ πάνυ δυνατὸς ἐν λόγῳ τῶν ἐν 4
ταῖς ἐκκλησίαις προεστώτων ἕτερα τούτων ἐρεῖ (οὐδεὶς γὰρ ὑπὲρ τὸν διδάσκαλον) οὔτε ὁ ἀσθενὴς ἐν τῷ λόγῳ ἐλαττώσει τὴν παράδοσιν· μιᾶς γὰρ καὶ τῆς αὐτῆς πίστεως οὔσης, οὔτε ὁ πολὺ περὶ αὐτῆς δυνάμενος εἰπεῖν ἐπλεόνασεν οὔτε ὁ τὸ ὀλίγον ἠλαττόνησεν.

1 vgl. Ephes. 1, 10 — **4** vgl. Phil. 2, 10f — **6** vgl. Ephes. 6, 12 — **24** vgl. I Tim. 2, 4 — **26** vgl. Matth. 10, 24

V M lat.

2 *πάσης ἀνθρωπότητος*] *humani generis* lat. **4** *εὐδο//κίαν, ο* aus *ω* V corr **5** *ἐξομολογήσηται* aus *ἐξομολογήσεται* V corr *ἐξομολογήσεται* M *confiteatur* lat. **6** *ἅπασι, ἅ* getilgt V corr **7** *ἐν ἀποστασίᾳ*] *apostatas* lat. **8** *τῶν ἀνθρώπων*] *homines* lat. **10** ⟨*μὲν*⟩ Ausgg.] *quidem* lat. **11** *τοῖς δὲ* + *καὶ* V **15** *ὡς*²] *videlicet quasi* lat. | *μία* M **16** *τὴν αὐτὴν*] *unum* lat. **17** *κἂν* Ausgg.] *καὶ* V M *etsi* lat. **18** *ἀλλ'*] *sed tamen* lat. **19** *ἡ* hineingeflickt V corr | *ἐν Γερμανίαις*] *in Germania* lat. **20** *παραδιδώασιν* M **20f** vor den Namen *in Hiberis — in Libya* überall *hae quae* gesetzt lat. **21** *ἀνατο//λὰς, ο* aus *ω* V **23** ***] alte Lücke, ergänze etwa ⟨*νοητὸν*⟩ * **26** *προεστότων* M

Τὸ δὲ πλεῖον ἢ ἔλαττον κατὰ σύνεσιν εἰδέναι τινὰς οὐκ ἐν τῷ τὴν 5
ὑπόθεσιν αὐτὴν ἀλλάσσειν γίνεται καὶ ἄλλον θεὸν παρεπινοεῖν παρὰ τὸν
δημιουργὸν καὶ ποιητὴν καὶ τροφέα τοῦδε τοῦ παντός, ὡς μὴ ἀρκουμένους
τούτῳ, ἢ ἄλλον Χριστὸν ἢ ἄλλον Μονογενῆ, ἀλλὰ ἐν τῷ τὰ ὅσα ἐν παρα- 6
βολαῖς εἴρηται προσεπεξεργάζεσθαι καὶ συνοικειοῦν τῇ τῆς πίστεως ὑπο-
θέσει καὶ ἐν τῷ τήν τε πραγματείαν καὶ τὴν οἰκονομίαν τοῦ θεοῦ τὴν
ἐπὶ τῇ ἀνθρωπό|τητι γενομένην ἐκδιηγεῖσθαι καὶ ὅτι ἐμακροθύμησεν ὁ P203
θεὸς ἐπί τε τῇ τῶν παραβεβηκότων ἀγγέλων ἀποστασίᾳ καὶ ἐπὶ τῇ παρακοῇ
τῶν ἀνθρώπων σαφηνίζειν· καὶ διὰ τί τὰ μὲν πρόσκαιρα τὰ δὲ | αἰώνια 7 D183
καὶ τὰ μὲν οὐράνια τὰ δὲ ἐπίγεια εἷς καὶ ὁ αὐτὸς θεὸς πεποίηκεν ἀπαγ-
γέλλειν· καὶ διὰ τί ἀόρατος ὢν ἐφάνη τοῖς προφήταις ὁ θεὸς οὐκ ἐν μιᾷ
ἰδέᾳ, ἀλλὰ ἄλλως ἄλλοις συνιεῖν· καὶ διὰ τί διαθῆκαι πλείους γεγόνασι
τῇ ἀνθρωπότητι μηνύειν, καὶ τίς ἑκάστης τῶν διαθηκῶν ὁ χαρακτὴρ
διδάσκειν· καὶ διὰ τί συνέκλεισε πάντα εἰς ἀπείθειαν ὁ θεός, ἵνα τοὺς 8
πάντας ἐλεήσῃ, ἐξερευνᾶν· καὶ διὰ τί ὁ Λόγος τοῦ θεοῦ σὰρξ ἐγένετο καὶ
ἔπαθεν, εὐχαριστεῖν· καὶ διὰ τί ἐπ᾽ ἐσχάτων τῶν καιρῶν ἡ παρουσία
τοῦ υἱοῦ τοῦ θεοῦ, τουτέστιν ἐν τῷ τέλει ἐφάνη ἡ ἀρχή, ἀπαγγέλλειν·
καὶ περὶ τοῦ τέλους καὶ τῶν μελλόντων ὅσα τε κεῖται ἐν ταῖς γραφαῖς, 9
ἀναπτύσσειν· καὶ | τί ὅτι τὰ ἀπεγνωσμένα ἔθνη συγκληρονόμα καὶ σύσ- Ö378
σωμα καὶ συμμέτοχα τῶν ἁγίων πεποίηκεν ὁ θεός, μὴ σιωπᾶν· καὶ πῶς 10
τὸ θνητὸν τοῦτο σαρκίον ἐνδύσεται ἀθανασίαν καὶ τὸ φθαρτὸν ἀφθαρσίαν,
διαγγέλλειν· πῶς τε ἐρεῖ »ὁ οὐ λαὸς λαὸς καὶ ἡ οὐκ ἠγαπημένη ἠγαπη-
μένη«, καὶ πῶς »πλείονα τῆς ἐρήμου τὰ τέκνα, μᾶλλον ἢ τῆς ἐχούσης
τὸν ἄνδρα« κηρύσσειν — ἐπὶ τούτων γὰρ καὶ ἐπὶ τῶν ὁμοίων αὐτοῖς ἐπε- 11
βόησεν ὁ ἀπόστολος »ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ,
ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ«, ἀλλὰ
οὐκ ἐν τῷ ὑπὲρ τὸν κτιστὴν καὶ δημιουργὸν Μητέρα τούτου καὶ αὐτῶν
Ἐνθύμησιν Αἰῶνος πεπλανημένου παρεπινοεῖν καὶ εἰς τοσοῦτον ἥκειν

14 vgl. Röm. 11, 32 — **19f** vgl. Ephes. 3, 6 — **21** vgl. I Kor. 15, 54 — **22** Hos. 2, 23 — **23** Jes. 54, 1 — **25** Röm. 11, 33

V M lat.

2 *αὐτὴν* < lat. **3** *τρομφέα*(!), *τ* vorgesetzt *εα* auf Rasur V^{corr} **4** *τούτους* V **5** *οἰκειοῦν* V **6** *τε* < lat. | *πραγματείαν*] *instrumentum* lat. | *τὴν*^{2} < V **7** *γινομένην* V **10** *τὰ μὲν οὐράνια* < M **11** *ὁ θεὸς*] *dei* lat. **12** *ἰδέα* aus *εἰδέα* V^{corr} *εἰδέα* M | *συνεῖν* M *adesse* (= *συνεῖναι*) lat. **16** *τῶν* < M **17** *ἡ ἀρχή*] *et non in initio* lat. **19** *τί*] *ἔτι* M **19f** *σύνσωμα* M **22** *ἐρεῖ ὁ*] *ἐρεῖς* M *fa*[*c*]*tus est* lat. **27** *τούτου* Ausgg.] *τούτων* VM *eius* lat. | *αὐτῶν* Ausgg.] *αὐτοῦ* V *αὐτὸν* M *illorum* lat.

βλασφημίας· οὐδὲ ⟨ἐν τῷ⟩ τὸ ὑπὲρ ταύτην πάλιν Πλήρωμα τότε μὲν 12
τριάκοντα, νῦν δὲ † ἀνήριθμον φῦλον Αἰώνων ἐπιψεύδεσθαι, καθὼς λέγουσιν
οὗτοι οἱ ἀληθῶς ἔρημοι θείας συνέσεως διδάσκαλοι, τῆς οὔσης ἐκκλησίας
πάσης μίαν καὶ τὴν αὐτὴν πίστιν ἐχούσης εἰς πάντα τὸν κόσμον, καθὼς
προέφαμεν.

32. Ἴδωμεν νῦν καὶ τὴν τούτων ἄστατον γνώμην, δύο που καὶ τριῶν 32,
ὄντων πῶς περὶ τῶν αὐτῶν οὐ τὰ | αὐτὰ λέγουσιν, ἀλλὰ τοῖς πράγμασιν D18
καὶ τοῖς ὀνόμασιν ἐναντία ἀποφαίνονται. ὁ μὲν γὰρ πρῶτος ἀπὸ τῆς 2
λεγομένης Γνωστικῆς αἱρέσεως τὰς | ἀρχὰς εἰς ἴδιον χαρακτῆρα διδασκαλείου P20
μεθαρμόσας Οὐαλεντῖνος οὕτως ἐξεφόρησεν, ὁρισάμενος εἶναι δυάδα ⟨τινὰ⟩
ἀνονόμαστον, ἧς τὸ μέν τι καλεῖσθαι Ἄρρητον, τὸ δὲ Σιγήν· ἔπειτα ἐκ 3
ταύτης τῆς δυάδος δευτέραν δυάδα προβεβλῆσθαι, ἧς τὸ μέν τι Πατέρα
ὀνομάζει, τὸ δὲ Ἀλήθειαν· ἐκ δὲ τῆς τετράδος ταύτης καρποφορεῖσθαι
Λόγον καὶ Ζωήν, Ἄνθρωπον καὶ Ἐκκλησίαν· εἶναί τε ταύτην Ὀγδοάδα
πρώτην. καὶ ἀπὸ μὲν τοῦ Λόγου καὶ τῆς Ζωῆς δέκα δυνάμεις λέγει προ- 4
βεβλῆσθαι, καθὼς προειρήκαμεν· ἀπὸ δὲ τοῦ Ἀνθρώπου καὶ τῆς Ἐκκλη-
σίας δώδεκα, ὧν μίαν ἀποστᾶσαν καὶ ὑστερήσασαν τὴν λοιπὴν πραγματείαν
πεποιῆσθαι. Ὅρους τε δύο ὑπέθετο, ἕνα μὲν μεταξὺ τοῦ Βυθοῦ καὶ τοῦ 5
λοιποῦ Πληρώματος, διορίζοντα τοὺς γεν⟨ν⟩ητοὺς Αἰῶνας ἀπὸ τοῦ ἀγε⟨ν⟩νήτου
Πατρός, ἕτερον δὲ τὸν ἀφορίζοντα αὐτῶν τὴν Μητέρα ἀπὸ τοῦ Πληρώματος.
καὶ τὸν Χριστὸν δὲ οὐκ ἀπὸ τῶν ἐν τῷ Πληρώματι Αἰώνων προβεβλῆσθαι· 6
ἀλλὰ ὑπὸ τῆς Μητρὸς ἔξω γενομένης κατὰ τὴν μνήμην τῶν κρειττόνων
ἀποκεκυῆσθαι μετὰ σκιᾶς τινος. καὶ τοῦτον μέν, ἅτε ἄρρενα ὑπάρχοντα, 7
ἀποκόψαντα ἀφ' ἑαυτοῦ τὴν σκιὰν ἀναδραμεῖν εἰς τὸ Πλήρωμα, τὴν δὲ
Μητέρα ὑπολειφθεῖσαν μετὰ τῆς σκιᾶς κεκενωμένην τε τῆς πνευματικῆς
ὑποστάσεως ἕτερον υἱὸν προενέγκασθαι, καὶ τοῦτον εἶναι | τὸν Δημιουργόν, Ö38
ὃν καὶ παντοκράτορα λέγει τῶν ὑποκειμένων. συμπροβεβλῆσθαι δὲ αὐτῷ

V M lat.

1 ⟨*ἐν τῷ*⟩ Ausgg.] *in eo* lat. | *τὸ*/// V corr *τὸν* M **2** *τριάκοντα* Ausgg.] *ἕνα* V M *triginta* lat. | † *ἀνήριθμον* (*ἀνήρυθμον* M) *φῦλον*] *innumerabiles multitudines* lat.; alter Fehler für *ἀνηρίθμων φύλων* * **4** *πάσης* hineingeflickt V corr < M **6** *καὶ* 2] *vel* lat. **7 f** *et nominibus et rebus* lat. **8** *πρῶτος*] *primus* lat.; wohl alter Fehler für *πρώτως* * **9** *ἀρχὰς . . . διδασκαλείου*] *antiquas . . . doctrinas* lat. **10** *ἐξεφόρησεν* Ausgg.] *ἐξηροφόρησεν* V *ἐξηφόρησεν* M | *ἐξεφόρησεν, ὁρισάμενος*] *definivit* lat. | ⟨*τινὰ*⟩ *] *quandam* lat. **11** *ἀνο*///*νόμαστον, ο* aus *ω* V corr *ἀνωνόμαστον* M **14** *τε*] *autem* lat. **18** *τε*] *autem* lat. **19** *λοιποῦ* < lat. | *γε⟨ν⟩νητοὺς . . . ἀγεν⟨ν⟩ήτου* *] *natos . . infecto* lat. **22** *ἔξω* + *autem* lat. | *μνήμην* Ausgg.] *γνώμην* V M *memoriam* lat. **25** *τε*] *autem* lat. **27** *συμπροβεβλῆσθαι, συμ* nachgetragen V corr *προβεβλῆσθαι* M

καὶ ἀριστερὸν ἄρχοντα ἐδογμάτισεν ὁμοίως τοῖς ῥηθησομένοις ὑφ' ἡμῶν ψευδωνύμοις Γνωστικοῖς. καὶ τὸν Ἰησοῦν ⟨δὲ⟩ ποτὲ μὲν ἀπὸ τοῦ συστα- 8
λέντος ἀπὸ τῆς Μητρὸς αὐτῶν συναναχυθέντος ⟨τε⟩ τοῖς ὅλοις προβεβλῆσθαί φησι, τουτέστιν ⟨ἀπὸ⟩ τοῦ Θελητοῦ, ποτὲ δὲ ἀπὸ τοῦ ἀναδραμόντος εἰς | τὸ Πλήρωμα, τουτέστιν τοῦ Χριστοῦ, ποτὲ δὲ ἀπὸ τοῦ Ἀνθρώπου καὶ τῆς Ἐκκλησίας. καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον ὑπὸ τῆς Ἀληθείας φησὶ 9
προβεβλῆσθαι εἰς ἀνάκρισιν καὶ καρποφορίαν τῶν Αἰώνων, ἀοράτως εἰς αὐτοὺς εἰσιόν· δι' οὗ τοὺς Αἰῶνας καρποφορεῖν τὰ φυτὰ τῆς ἀληθείας. D185

Πεπλήρωται τὰ Εἰρηναίου κατὰ τῶν Οὐαλεντίνων.

33. *Καὶ ταῦτα μὲν καὶ τὰ τοιαῦτα * ὁ προειρημένος ἀνὴρ πρε-* **33, 1**
σβύτης | Εἰρηναῖος, ὁ κατὰ πάντα ἐκ πνεύματος ἁγίου κεκοσμημένος, P205
ὡς γενναῖος ἀθλητὴς ὑπὸ ⟨τοῦ⟩ κυρίου προβεβλημένος καὶ ἐπαλειφ-
θεὶς τοῖς ἐπουρανίοις χαρίσμασι τοῖς κατὰ τὴν ἀληθινὴν πίστιν καὶ
γνῶσιν, καταπαλαίσας τε καὶ καταγωνισάμενος τὴν πᾶσαν αὐτῶν
ληρώδη ὑπόθεσιν, διεξῆλθεν κατὰ λεπτὸν τὰ ὑπ' αὐτῶν κενοφωνού-
μενα. ἀκρότατα δὲ αὐτοὺς ἐν τῷ ἕξῆς δευτέρῳ αὐτοῦ λόγῳ καὶ τοῖς **2**
ἄλλοις διήλεγξεν περιττοτέρως, βουλόμενός πως τὸν χαμαὶ ῥιφέντα
καὶ εἰς ἧτταν τραπέντα σῦραι καὶ ἐνώπιον πάντων θριαμβεῦσαί τε
καὶ φωρᾶσαι τὴν ἐν αὐτῷ τῷ ῥιφέντι ἀναίσχυντόν τε καὶ ἀσθενῆ
πρόκλησιν ματαιοφροσύνης. ἡμεῖς δὲ ἀρκεσθέντες τοῖς τε παρ' ἡμῶν **3**
λεχθεῖσιν ὀλίγοις καὶ τοῖς ὑπὸ τῶν τῆς ἀληθείας συγγραφέων τούτων
λεχθεῖσίν τε καὶ συνταχθεῖσιν, καὶ ὁρῶντες ὅτι ἄλλοι πεπονήκασι,
φημὶ δὲ Κλήμης καὶ Εἰρηναῖος καὶ Ἱππόλυτος καὶ ἄλλοι πλείους, οἳ
καὶ θαυμαστῶς τὴν κατ' αὐτῶν πεποίηνται ἀνατροπήν, οὐ πάνυ τι
τῷ καμάτῳ προσθεῖναι ὡς προεῖπον ἠθελήσαμεν, ἱκανωθέντες τοῖς
προειρημένοις ἀνδράσιν καὶ αὐτὸ τοῦτο διανοηθέντες, ὅτι παντὶ

16 vgl. Irenaeus adv. haer. II 1ff

V M lat. (bis Z. 8)

1 ἄριστον V | ἐδογμάτισεν < lat. | ὁμοίως] *similem* lat. **2** ψευδωνύμως V | ⟨δὲ⟩ *] *autem* lat. **2f** συνσταλέντος M **3** ⟨τε⟩ *] *et* lat. **4** ⟨ἀπὸ⟩ *] *a* lat. **6** Ἀληθείας Ausgg.] ἐκκλησίας V M *veritate* lat. **8** φυτὰ] *folia* (= φύλλα) lat. **9** Unterschrift *πεπλήρωνται τὰ Εἰρηναίου κατὰ Οὐαλεντίνων* V *πεπλήρωται τὰ Εἰρηναίου*, dann nach einer Leiste *κατὰ Οὐαλεντίνων* M **10** * ⟨διηγούμενος⟩ * **12** ⟨τοῦ⟩ U **15** λεπτὸν *] λόγον V M **15f** καινοφωνούμενα aus κενοφωνούμενα V corr **20** προύκλησιν V **21** ὀλίγοις nachgetragen V corr < M **22** καὶ συνταχθεῖσιν am Rande nachgetragen V corr **23** οἳ nachgetragen V corr < M

συνετῷ καὶ ἀπὸ αὐτῶν τῶν ἐν τοῖς διδάγμασιν αὐτῶν λόγων ἡ ἀνατροπὴ αὐτῶν † κατ᾽ αὐτῶν φανήσεται.

34. Πρῶτον μὲν ὅτι διάφορα παρ᾽ αὐτοῖς τὰ φρονήματα καὶ ἕτερος **34**, τὰ τοῦ ἑτέρου καταλύειν ἐπαγγέλλεται· | δεύτερον δὲ ὅτι ἀσύστατα τὰ D18 παρ᾽ αὐτοῖς μυθοποιήματα, οὔτε που γραφῆς εἰπούσης οὔτε τοῦ Μωυσέως νόμου οὔτε τινὸς προφήτου τῶν μετὰ Μωυσέα, ἀλλ᾽ οὔτε τοῦ σωτῆρος οὔτε τῶν αὐτοῦ εὐαγγελιστῶν, ἀλλ᾽ οὔτε μὴν τῶν ἀποστόλων. | Ö38 εἰ γὰρ ταῦτα ἀληθινὰ ὑπῆρχεν, ὁ ἐλθὼν φωτίσαι τὴν οἰκουμένην **2** κύριος καὶ πρὸ αὐτοῦ οἱ προφῆται, ἔπειτα δὲ καὶ οἱ ἀπόστολοι οἱ ἐλέγξαντες τὴν εἰδωλολατρείαν πᾶσάν τε παράνομον πρᾶξιν καὶ μὴ δειλιάσαντές γράφειν κατὰ πάσης παρανόμου διδασκαλίας καὶ ἐναντιότητος σαφῶς ἂν τὰ τοιαῦτα ἡμῖν κατήγγελλον, καὶ μάλιστα αὐτοῦ **3** τοῦ σωτῆρος λέγοντος ὅτι »τοῖς μὲν ἔξω ἐν παραβολαῖς, ὑμῖν δὲ †τὰς παραβολὰς εἰς ἐπίλυσιν βασιλείας οὐρανῶν ῥητέον«. ὅσας γοῦν **4** ἐν εὐαγγελίοις παραβολὰς εἴρηκεν εὐθὺς ἐπιλύσας φαίνεται· | ἀμέλει P20 φησὶν καὶ τίς ὁ κόκκος τοῦ σινάπεως καὶ τίς ἡ ζύμη καὶ τίς ἡ γυνὴ ἡ βαλοῦσα τὴν ζύμην εἰς τὰ τρία σάτα, τίς ὁ ἀμπελών, τίς ἡ συκῆ, τίς ὁ σπορεύς, τίς ἡ καλλίστη γῆ· καὶ μάτην οὗτοι ἐνθουσιῶνται **5** ὑπὸ δαιμόνων ἐλαυνόμενοι, περὶ ὧν φησιν ὁ ἁγιώτατος Παῦλος ὁ ἀπόστολος »ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς διδασκαλίας, προσέχοντες μύθοις καὶ διδασκαλίαις δαιμόνων«. καὶ πάλιν ὁ ἅγιος **6** Ἰάκωβος λέγων περὶ τῆς τοιαύτης διδασκαλίας ὅτι »οὐκ ἔστιν ἄνωθεν αὕτη ἡ σοφία κατερχομένη, ἀλλὰ ἐπίγειος ψυχικὴ δαιμονιώδης· ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνικὴ εὐπειθὴς ἀδιάκριτος, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν« καὶ τὰ ἑξῆς, ἧς οὐδὲ εἷς καρπὸς ἐν τοῖς προειρημένοις εὑρίσκεται. παρ᾽ αὐτοῖς γάρ »ἀκα- **7** ταστασία καὶ πᾶν παράνομον πρᾶγμα«, δαιμόνων τε κυήματα καὶ

13 f vgl. Mark. 4, 11 — **16 ff** vgl. Matth. 13, 31 ff. 33 Joh. 15, 1 ff Luk. 13, 6 ff Matth. 13, 37. 23 — **20** I Tim. 4, 1 — **22 ff** Jak. 3, 15. 17 — **26 f** Jak. 3, 16

V M

1 *καὶ* hineingeflickt V^{corr} < M | *ἐξ* auf Rasur statt *ἀπὸ* V^{corr} | *ἐν τοῖς* hineingeflickt V^{corr} **2** † *κατ᾽ αὐτῶν*] lies etwa *κατάδηλος* * **4** *τὰ*^{2} < M **5** *παρ᾽ αὐτῶν* M **9** *οἱ*^{3} < M **10** *εἰδωλολατρίαν* M **11 f** *ἐναντητὸς* M **12** *κατήγγελλον* aus *καταγγέλλειν* V^{corr} *καταγγέλλειν* M **14** † *τὰς παραβολὰς — οὐρανῶν*] lies wohl *τὴν ἐπίλυσιν τῶν παραβολῶν εἰς γνῶσιν τῆς βασιλείας οὐρανῶν* * **16** *σινάπεος*, *ο* aus *ω* V^{corr} **17** *τὴν ζύμην εἰς* nachgetragen V^{corr} < M **22** *διδασκαλίας* + ⟨*φησὶν*⟩? * **27** *πᾶν* aus *πάντα* V^{corr}

συρίγματα δρακόντων, ἄλλοτε ἄλλως καὶ ἄλλο ἑκάστου αὐτῶν λαλοῦντος· παρ᾽ οἷς οὐκ ἔλεος οὐκ οἶκτος εὑρίσκεται, ἀλλὰ διακρίσεις καὶ διαφοραί, καὶ οὐδαμοῦ ἁγνεία οὐδαμοῦ εἰρήνη οὐδαμοῦ ἐπιείκεια. | D 187

35. Βούλομαι δὲ πάλιν ἀναγκαζόμενος ὑπὸ τοῦ λόγου, εἰ καὶ **35, 1** παύσασθαι ὑπεσχόμην, ὀλίγων τῶν παρ᾽ αὐτοῖς εἰρημένων μνημονεύσας ἀνατρέψαι. οὐ γὰρ τοῦ κατὰ τέχνην μοι λόγου μέλει, ἀλλὰ τῆς τῶν ἐντυγχανόντων ὠφελείας. λέγουσι τοίνυν ὅτι ὁ δωδέ- **2** κατος αἰὼν ὁ ἐν ὑστερήματι γενόμενος παντελῶς τοῦ ἀριθμοῦ τῶν δώδεκα ἐξέπεσεν καὶ ἀπόλλυται ὁ ἀριθμὸς ὁ δωδέκατος. τοῦτο δέ **3** φασι γεγενῆσθαι τῷ τὸν Ἰούδαν, ὄντα δωδέκατον, ἐκπεπτωκέναι καὶ οὕτω τὸν δωδέκατον ἀριθμὸν ἠφανίσθαι· ὁμοίως δὲ καὶ περὶ τῆς αἱμορροούσης καὶ τῆς τὴν μίαν δραχμὴν ἀπὸ τῶν δέκα δραχμῶν ἀπολεσάσης. δείκνυται δὲ ὅτι οὔτε ὁ δωδέκατος αἰὼν πρόσωπον **4** τοῦ Ἰούδα ἔχειν δυνήσεται, ὡς τῷ ἁγιωτάτῳ Εἰρηναίῳ προείρηται, — Ἰούδας μὲν γὰρ παντελῶς ἀπόλωλεν, ὁ δωδέκατος δὲ λεγόμενος αἰὼν κατὰ τὸ αὐτῶν πλάσμα οὐκ ἐκενώθη· ἔστη γὰρ ἐνώπιον αὐτοῦ ὁ Μεταγωγεὺς ἢ ὁ Ὁροθέτης, φήσας πρὸς αὐτὸν | Ἰαώ, ὡς αὐτοί φασι, Ö 384 καὶ οὕτως ἐστερεώθη, — οὔτε ἡ δώδεκα ἔτεσιν αἱμορροοῦσα τῷ αὐτῶν **5** δράματι ὁμοιωθήσεται· ἐσώθη γὰρ μετὰ δώδεκα ἔτη, ἐν οἷς τῷ αἵματι τῆς ῥύσεως ἐφέρετο. | οὐ γὰρ ἐν τοῖς ἕνδεκα ἔτεσιν ἀπαθὴς P 207 διετέλει καὶ ἐν τῷ δωδεκάτῳ ἔρρευσεν, ἀλλὰ μᾶλλον ἐν τοῖς ἕνδεκα ἔρρει, τῷ δωδεκάτῳ δὲ σέσωσται, — οὔτε ἡ τὰς δέκα δραχμὰς κε- **6** κτημένη ἀπώλεσε τὴν μίαν εἰς τέλος, ἵνα ὁ αἰὼν τῆς ὕλης ἀπολωλὼς μυθεύηται παρ᾽ αὐτοῖς· ἦψεν γὰρ τὸν λύχνον καὶ ηὗρεν τὴν δραχμήν.

36. Ἐκ τοίνυν τῶν δύο λόγων τούτων ἢ τριῶν τὰ πάντα **36, 1** αὐτῶν εὐθὺς ἐλεγχθέντα καταληφθήσεται δραματουργήματα καὶ ἀδρανῆ καὶ ἔωλα τοῖς τῆς φρονήσεως υἱοῖς καὶ τέκνοις [τοῖς] τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς ἐκκλησίας. ἵνα γὰρ μὴ κατὰ τῶν αὐτῶν **2**

10 ff vgl. oben S. 407, 12 ff — **17 ff** vgl. oben S. 410, 8 ff

V M

1 ἄλλο] ἄλλου M **2** λαλούντων M **3** ἁγνεῖαι V **6** τῶν < M **7** μέ///λει, λ ausradiert V corr μέλλει M **9** ὁ < M **11** γεγενῆσθαι] lies wohl (σημαίνεσθαι oder) ⟨ἐν⟩ vor τῷ * **14** ἀπο///λεσάσης, ο aus ω V corr **15** τοῦ < M **16** δὲ oben hineingeflickt V corr **18** Ἰαώτ V M | ὡς αὐτοί] ὡσαύτως V **22** ἔρευσεν, ρ oben drüber V corr ἔρευσεν M **28** καταλειφθήσεται aus καταληφθήσεται V corr καταληφθήσεται M **29** [τοῖς] * **30** μὴ + ⟨ἀεί⟩? *

φερόμενος εἰς μῆκος ἄπειρον ἐλάσω τὴν πραγματείαν, ἕως | τῆς ἐν- D188
ταῦθα ὑφηγήσεως ποιησάμενος τὴν ὑπόμνησιν καὶ ἐπιθεὶς πέρας τῇ
τοσαύτῃ αὐτῶν μοχθηρίᾳ ἐπὶ τὰς ἑξῆς βαδιοῦμαι, θεὸν ἐπικαλούμενος 3
ὁδηγόν τε καὶ ἐπίκουρον τῆς ἡμῶν ἀσθενείας εἰς τὸ σωθῆναι ἀπὸ
ταύτης καὶ τῶν προειρημένων αἱρέσεων καὶ τῶν μελλουσῶν ἀναδεί-
κνυσθαι τοῖς τε φιλολόγοις καὶ βουλομένοις τὰ ἀκριβῆ εἰδέναι τῶν ἐν
τῷ κόσμῳ κενοφωνιῶν τε καὶ ἀσυστάτων δεσμῶν. εἰς πολλοὺς 4
γὰρ οὗτος τὴν ἑαυτοῦ ὀνειροπολίαν ἐπισπείρας, Γνωστικὸν ἑαυτὸν
καλέσας, πολλοὺς ὡς εἰπεῖν σκορπίους εἰς μίαν ἄλυσιν συνέδησεν, ὡς
ἡ παλαιὰ καὶ ἐναργὴς παραβολὴ ὑπάρχει, ὅτι ἄλυσίν τινα οἱ σκορ-
πίοι ἀπὸ ἑνὸς εἰς τὸν ἕτερον δεσμοῦντες ἕως δέκα ἢ καὶ πλείους
ἀπὸ στέγης ἢ δώματος ἑαυτοὺς χαλῶσι καὶ οὕτως μετὰ δόλου τὴν
λύμην τοῖς ἀνθρώποις ἐργάζονται. οὕτως καὶ οὗτος καὶ οἱ ἀπ' 5
αὐτοῦ καλούμενοι Γνωστικοὶ τῆς πλάνης ἀρχηγέται γεγόνασι καὶ παρ'
αὐτοῦ τὰς προφάσεις εἰληφότες ἕκαστος ὑφ' ἑτέρου μαθητευθεὶς
μετὰ τὸν διδάσκαλον προσθήκην τῆς πλάνης εἰργάσατο καὶ ἑτέραν
αἵρεσιν εἰσηγήσατο, ἐχομένην τῆς προτέρας. καὶ οὕτω κατὰ διαδοχὴν 6
εἰς διαφόρους αἱρέσεις αὐτοὶ οἱ κληθέντες Γνωστικοὶ ἐμερίσθησαν·
παρὰ Οὐαλεντίνου μέντοι ὡς ἔφην καὶ τῶν πρὸ αὐτοῦ τὰς προφάσεις
εἰληφότες. ὅμως αἱ προειρημέναι σὺν τῇ τούτου τοῦ Οὐαλεντίνου 7
τῇ τῆς ἀληθείας διδασκαλίᾳ καταπατηθεῖσαι ὑφ' ἡμῶν παρείσθωσαν, D189
ἡμεῖς δὲ τὰς ἑξῆς ἐν τῇ τοῦ θεοῦ δυνάμει διασκοπήσωμεν. | P208
Ö386

Κατὰ Σεκουνδιανῶν οἷς συνήφθη Ἐπιφάνης καὶ Ἰσίδωρος ιβ, τῆς δὲ ἀκολουθίας λβ.

1. *Παρελθόντες δὲ τὴν τοῦ Οὐαλεντίνου αἵρεσιν καὶ πολλὰ μοχ-* 1, 1
*θήσαντες ἐν τῇ ἀκανθώδει αὐτοῦ σπορᾷ, διὰ πολλοῦ ὡς εἰπεῖν **
καμάτου καὶ γεωργικῆς κακοπαθείας, ἐπὶ τὰ λείψανα τῆς ἀκανθώδους
αὐτοῦ σπορᾶς καὶ ἑρπετώδους αὐτοῦ θηριομορφίας ἐλευσόμεθα. τὸ 2

V M

3 *τὰς*] *τὰ* M **6** *τε* < V **7** *καινοφωνιῶν* aus *κενοφωνιῶν* V^{corr} | *δεσμῶν*] *δογμάτων* V, aber vgl. Z. 9ff **9** *εἰς* zu *ὡς* verändert V^{corr} **13** *λύμην*, *υ* auf Rasur V^{corr} **15** *ὑπειληφότες* V | *ἕκαστος*] *ἕτερος* V **17** *ἐχομένης*, *ς* statt *ν* V^{corr} | *κατὰ* + *τὴν* V **20** *τοῦ* angeflickt V^{corr} **21** *παρίσθωσαν* V *παρείτωσαν* M **22** Unterschrift *κατὰ Οὐαλεντίνων* V M **25 f** Überschrift *κατὰ Σεκουνδιανῶν . . . . . ιβ ἡ καὶ λβ* V M **26** *ἀκανθώθει* aus *ἀκανθώδη* V^{corr} *ἀκανθώδη* M | vor *διὰ* + *καὶ* M | * etwa ⟨*διαβεβηκότες*⟩ * **28** *παρελευσόμεθα* V

ἅγιον πνεῦμα αἰτησάμενοι παρὰ κυρίου εἰς τὸ δι᾽ αὐτοῦ σκεπάσαι τὰς ψυχὰς τῇ ἐν θεῷ διδασκαλίᾳ καὶ σεμνῷ λόγῳ καὶ τοὺς ἰοὺς ἀνασπάσαι δυνηθῆναι ἀπὸ τῶν οὕτως προειλημμένων. ἄρξομαι δὲ 3
περὶ τούτων λέγειν κατὰ διαδοχήν, τίς τίνος διάδοχος γεγένηται τῶν
5 ἐξ αὐτοῦ ὁρμωμένων καὶ ἑτέραν παρὰ τὴν ἐκείνου σποράν διδασκόντων.

Σεκοῦνδος τοίνυν, τὶς ἐξ αὐτῶν ὢν καὶ περισσότερόν τι βουλό- 4
μενος φρονῆσαι, τὰ μὲν πάντα κατὰ τὸν Οὐαλεντῖνον ἐξηγεῖται, περισσότερον δὲ ἦχον εἰς ἀκοὰς τῶν ἐμβεβροντημένων ἐξήχησεν.
10 οὗτος γὰρ κατὰ Οὐαλεντῖνον ὢν ὡς προεῖπον, ὑπὲρ δὲ Οὐαλεντῖνον 5
φρονῶν, λέγει εἶναι τὴν πρώτην Ὀγδοάδα τετράδα δεξιὰν καὶ τετράδα ἀριστεράν, οὕτως παραδιδοὺς καλεῖσθαι τὴν μὲν μίαν φῶς, τὴν δὲ ἄλλην σκότος· τὴν δὲ ἀποστᾶσάν τε καὶ ὑστερήσασαν δύναμιν μὴ 6
εἶναι ἀπὸ τῶν τριάκοντα αἰώνων, ἀλλὰ μετὰ τοὺς τριάκοντα αἰῶνας, ὡς
15 εἶναι ἀπὸ τῶν ⟨καρπῶν αὐτῶν τῶν⟩ μετὰ τὴν Ὀγδοάδα τὴν ἄλλην κατωτέρω γενομένων. τὰ δὲ πάντα περὶ Χριστοῦ καὶ τῶν ἄλλων δογμάτων 7
ὡσαύτως τῷ ἰδίῳ χορηγῷ τοῦ ἰοῦ καὶ δοτῆρι τοῦ δηλητηρίου Οὐαλεντίνῳ δογματίζει. μὴ πολλῶν δὲ ὄντων τῶν ὑπὸ τούτου διαφόρως 8
ξενολεκτουμένων ἀρκεσθῆναι μὲν ἡγησάμην δεῖν τοῖς προειρημένοις,
20 ἔχουσι καὶ ἀφ᾽ ἑαυτῶν τὴν ἀνατροπήν· ὅμως δ᾽ οὖν καὶ | περὶ αὐτοῦ D190
ὀλίγα λέξω, ἵνα μὴ δι᾽ ἀπορίαν παρεληλυθέναι τὰ κατ᾽ αὐτὸν δόξω.
εἰ γὰρ τετράδες δεξιαὶ καὶ εὐώνυμοι παρ᾽ αὐτοῖς τάσσονται, εὑρε- 9
θήσεταί τι ζητούμενον μέσον τοῦ τε δεξιοῦ καὶ τοῦ ἀριστεροῦ. πᾶν 10
γὰρ ὁτιοῦν δεξιὰς ἔχον καὶ εὐωνύμους τάξεις μέσον ἕστηκε τῶν εὐω-
25 νύμων αὐτοῦ καὶ δεξιῶν | καὶ οὐδαμοῦ δυνήσεται εἶναι δεξιὰ ἢ ἀρι- P209
στερά, εἰ μή τι ἂν ἐκ μεσολαβοῦντος σώματος ἑκατέρου μέρους ἡ διάκρισις γένοιτο. ἆρα οὖν, ὦ ἀνόητε Σεκοῦνδε καὶ οἱ ἀπὸ σοῦ ἠπατη- 11
μένοι, τὸ μεσαίτατον, ἀφ᾽ οὗπερ καὶ ἀριστερὰ καὶ δεξιὰ ὑποπίπτουσιν, ἔσται ἕν τι καὶ οὐ δυνήσεται ἀλλότριον εἶναι τοῦ ἑνός τινος 12 Ö388

V M **11—15** vgl. Irenaeus adv. haer. I 11, 2; I 101f Harvey (= lat.) Hippolyt refut. VI 38, 1; S. 168, 7ff Wendland Tert. adv. Valent. c. 38

1 *κυρίου*] *Χριστοῦ* V **1f** *σκεπάσαι τὰς ψυχὰς*] *ἐπᾶσαι ταῖς ψυχαῖς* V **7** *ὢν* < M | *περισσώτερον* V **8** *πάντα μὲν τὰ, μὲν τὰ* hineingeflickt Vcorr **10** *οὗτος, ο* aus *ω* Vcorr | *ὢν ὡς — Οὐαλεντῖνον* < M **15** *ἀπὸ τῶν ⟨καρπῶν αὐτῶν τῶν⟩* *] *a fructibus eorum* lat. *ἀπὸ τῶν καρπῶν αὐτῶν* Hipp. *a fructibus de substantia venientibus* Tert. **16** *γενομένην* V M **17** *ἰδίου* V | *τῷ ἰοῦ* V | *δωτῆρι* M **18** *ὑπ᾽ αὐτοῦ* M **24** *ἔχων* M **28** *μεσαίτατον* aus *μεσότατον* Vcorr *μεσώτατον* M, vgl. S. 440, 11f

τὸ ἐξ αὐτοῦ ὑποπῖπτον δεξιόν τε καὶ εὐώνυμον, καὶ ἐξ ἀνάγκης ἀναχθήσεται τὸ πᾶν εἰς τὸ ἓν ὄν, οὗ ἀνώτατον οὐδὲ ἕν ἐστιν οὔτε ὑποβεβηκὸς οὔτε κατώτατον, εἰ μὴ τὰ ὑπ᾽ αὐτοῦ ἐκτισμένα. καὶ ἔσται 13
τοῦτο φανερὸν τοῖς τὴν ἀλήθειαν καταμανθάνουσιν, ὅτι εἷς θεός
ἐστιν, πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα. εἰ δὲ εἷς θεός ἐστιν, ἐξ οὗ
τὰ πάντα, οὔτε τι ἀριστερόν ἐστιν ἐν αὐτῷ οὔτε ἐλάττωμα ἕτερον
οὔτε τι ὑποβεβηκός, πλὴν τῶν ὑπ᾽ αὐτοῦ ἐκτισμένων. τὰ δὲ μετὰ
πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα πάντα καλῶς ἐκτισμένα καὶ εἰς
σύστασιν ὑπ᾽ αὐτοῦ ἀφθόνως [εὖ] προεληλυθότα.

2. Εἰ δὲ καὶ πάλιν ἐρεῖ ὁ τοιοῦτος ἡμῖν προελθὼν ἕτερος ὄφις, 2, 1
ὅτι τὰ μὲν δεξιὰ καὶ εὐώνυμα ἐκτὸς τοῦ ἑνὸς ὑπάρχει, αὐτὸς δὲ μεσαίτατός ἐστιν καὶ ἑαυτῷ μὲν προσάγεται τὰ δεξιὰ καὶ χαίρει τούτοις, δεξιὰ δὲ ταῦτα καλεῖ καὶ φῶς, τὰ δὲ εὐώνυμα ὡς ἀλλότρια αὐτοῦ καὶ ἐπὶ ἀριστερᾷ κείμενα ἀπωθεῖται, λεγέτω μοι πόθεν λαμβάνει ταύτην τὴν γεωμετρίαν, ἵνα καλῶς ῥυθμίσῃ ἀμετάστατον δεξιάν τε καὶ εὐώνυμον. παρ᾽ ἡμῖν γὰρ δεξιὰ εἰκότως ὀνομάζεται 2
ἤτοι ἀριστερὰ ἀπὸ τῶν ἐν τῷ σώματι πεπηγμένων μελῶν, ἐν οἷς
οὐδέποτε ἐναλλαγὴ γίνεται. τὰ δὲ ἐκτὸς ἡμῶν δύναται εἶναι ποτὲ 3 D
μὲν δεξιά, ποτὲ δὲ εὐώνυμα. παντὶ μὲν γὰρ τῷ ὁρῶντι κατὰ ἀνατολὴν νότος εἴτ᾽ οὖν μεσημβρία δεξιὰ κληθήσεται, τὸ κλίμα δὲ τὸ
βόρειον ἤτοι ἀρκτῷον ἀριστερόν. τὸ δὲ ἀνάπαλιν ἐπὶ τὰ δυτικὰ 4
μέρη ἀναστραφέντος ἀνθρώπου τινὸς εὑρεθήσεται ἑτερωνύμως τὰ κλίματα· ὅπερ πρὸ ὥρας δεξιὸν ὑπῆρχεν νότιόν τε καὶ μεσημβρινόν, εἰς
ἀριστερὰ αὖθις μεταβαλλόμενον, καὶ τὸ εἰς ἀριστερὰν τοῦ τινος κεκλιμένου ἀνθρώπου εἴτ᾽ οὖν ἀρκτῷον εἴτ᾽ οὖν βόρειον κλίμα, εἰς δεξιὰν
αὐτοῦ μεταβαλλόμενον. ποῦ τοίνυν ὁ ἀπατεὼν ἐφηῦρεν ἑαυτῷ τὴν 5
κατὰ θεὸν γεωμετρίαν; καὶ ὦ τῆς τοιαύτης πολλῆς ληρολογίας τῆς τὰ
πάντα συγχεούσης. φάσκει δὲ τὸ Ὑστέρημα μετὰ τοὺς τριάκοντα 6

5f vgl. 1 Kor. 8, 6

V M 1—9 Joh. Cyparissiota VIII 10; Migne 152, 920

1f *ἀναδειχθήσεται, δει* getilgt V corr 2 nach ἓν[1] 2 Buchstaben, wohl *ον* ausradiert V | *ὄν* aus *ὄντα* V corr *ὄντα* M *quod est* Joh. Cyp. 3 *ἐκτισμένα* aus *κεκτισμένα* V corr *ἐκτισμένα* M 4 *perdidicerunt* (= *καταμαθοῦσι*) Joh. Cyp. 5 *δὲ*] *δὴ* V 9 [εὖ] *, (doppelte Lesart)] *large ab ipso sunt post bene profecta et constituta* Joh. Cyp. 11 *ἐκτὸς*] *ἐκ* V, vgl. Z. 18 12 *αὐτῷ* M | *μὲν* < M 14 *ἐπ᾽* M 16 *παρ᾽* am Rande nachgetragen V corr < M 16f bei *δεξιὰ* u. *ἀριστερὰ* ein *ν* wegradiert V corr 21 *τὸ* aus *τοῦ* V corr *τοῦ* M 22 *ἀποστραφέντος* M 24 *ἀριστερὰ*[2] V 26 *ἐφεῦρεν* M 28 *τὸ ὑστέρημα μετὰ* Pet.] *μετὰ τὸ ὑστέρημα* V M

αἰῶνας γεγενῆσθαι. | πόθεν ἄρα τὴν τοῦ Ὑστερήματος φύσιν κατεί- P210
ληφας, ὦ οὗτος, ἢ τὴν ἀποστᾶσαν δύναμιν, λέγε; εἰ μὲν γὰρ εὗρες 7
ταύτην ἀπὸ βλαστήματος τῶν ἄνω *, οὐ κτιστὴν ἀλλὰ γεννητήν,
(ἐπειδὴ σοί τε καὶ τῷ σου ἐπιστάτῃ οὐκ ἐκτισμένα τὰ κτιστὰ ὁρί-
ζεται, ἀλλὰ γεννητὰ καὶ ἀπὸ μετουσίας, ἑκάστης φύσεως παρ' ἑκά-
στης λαβούσης, τὰ αὖθις γεννώμενα * ἀναφῦναι), ἄρα γε κατὰ τὸν
ἑαυτοῦ λόγον κατὰ σαυτοῦ ὁπλίζῃ. εἰ γὰρ ἀπὸ τῶν ἄνω καὶ ἡ 8
ὑστέρα δύναμις καὶ ἡ ἀποστασία γεγένηται, ἔφυ δὲ ὡς εἰπεῖν καὶ ἐβλά-
στησεν, μετέχει ἄρα τῶν ἄνω χαρισμάτων, ἐπειδὴ ἐπικοινωνεῖ τῷ
Πληρώματι ἡ ὑστέρα καὶ τὸ Πλήρωμα τῇ ὑστέρᾳ, καὶ οὐδὲν διενεχ-
θήσεται τοῦτο πρὸς ἐκεῖνο οὔτε | ἐκεῖνο πρὸς τοῦτο, ἑκατέρων Ö390
κατὰ τὰ τέρματα ἀλλήλοις ἐπικοινωνούντων. καὶ ἐκ παντὸς λόγου 9
διελεγχθήσῃ ἐξ ἐπισπορᾶς δαίμονος ἔχων τὴν τῆς πλάνης σου βό-
σκησιν, πάντων ἐλεεινῶν ἐλεεινότατε.

3. Ἵνα δὲ μὴ παραλείψωμέν τι τῶν παρά τισιν γινομένων τε 3, 1
καὶ λεγομένων, κἂν τε ἐν ἑκάστῃ πολλοὶ | εἶεν οἱ ἔξαρχοι καὶ αὐ- D192
χοῦντες ἕτερα ἀνθ' ἑτέρων ὑπὲρ τοὺς αὐτῶν διδασκάλους μυθοποι-
εῖσθαι, ἔτι ἐπιμενῶ ὑφηγούμενος τοὺς ἐν αὐτῇ τῇ αἱρέσει ὄντας,
ἕτερα δὲ παρὰ τούτους λέγοντας, φημὶ δὲ περὶ Ἐπιφάνους τοῦ Ἰσι- 2
δώρου, ἐκ προφάσεως παραινετικῶν ῥημάτων ἑαυτὸν ἔτι εἰς περισ-
σότερον βυθὸν ταλαιπωρίας καταγαγόντος, τἀληθῆ μὲν εἰπεῖν ἀπὸ
Καρποκράτους τοῦ ἰδίου πατρὸς κατὰ σάρκα εἰληφότος τὰς προφάσεις,

19 ff zu Epiphanes vgl. Clemens Al. strom. III 5, 1 ff; II 197, 16 ff Stählin. — Die Anknüpfung des Epiphanes an Sekundus ist wohl veranlaßt durch den hinter Sekundus genannten *ἐπιφανὴς διδάσκαλος* der Valentinianer bei Irenaeus I 11, 3; I 102 f Harvey = Hippolyt refut. VI 38, 2; S. 168, 11 Wendland, vgl. Tertullian adv. Valent. 37; die Zusammenstellung des Epiphanes mit Isidor bedeutet keine Verwechslung, sondern ist Schlußfolgerung des Epiph. auf Grund der Ähnlichkeit ihrer Anschauungen

V M

2 ἢ < M | lies wohl *τῆς ἀποστάσης δυνάμεως* * **3** * etwa ⟨*ἀναφύσασαν*⟩ * | *γεννητὴν*, *ν* oben drüber V corr **4** *οὐκ* oben drüber V corr | *οὐ κεκτισμένα* M **5** *γεννητὰ*, *ν* oben drüber V corr **6** * etwa ⟨*ὑπολαμβάνεται*⟩ * **7** *αὐτοῦ* V **8** *ἀποστᾶσα* M | *γεγέννηται* M **9** *ἄνω* aus *ἀνθρωπίνων* V corr **10** *ἡ* < M | *καὶ τὸ — ὑστέρᾳ* < M **10 f** *προσενεχθήσεται* V **12** *τὰ* < M **18** *ἐπιμενῶ* Pet.] *ἐπιμένων* V M **19** *τούτους* Dind.] *τούτων* V M **19 f** *τοῦ Ἰσιδώρου*] *καὶ Ἰσιδώρου* Dind. Öh., falsch; *Ἐπιφάνης ὁ Ἰσιδώρου* soll im Mund des Epiph. ähnliches bedeuten, wie etwa *Εὐσέβιος ὁ Παμφίλου* **21** *εἰπεῖν* *] *οὖν* V M

συνημμένου δὲ τῇ αἱρέσει τοῦ προειρημένου Σεκούνδου καὶ αὐτοῦ τῶν Σεκουνδιανῶν ὑπάρχοντος. πολλὴ γὰρ ἑκάστου τῶν πεπλανημένων πρὸς τὸν ἕτερον διαφορὰ καὶ συρφετώδης ὡς εἰπεῖν πολυμιξία κενοφωνίας. οὗτος γὰρ ὁ Ἐπιφάνης, ὡς ἔφην, υἱὸς ὢν Καρποκράτους, μητρὸς δὲ Ἀλεξανδρείας οὕτω καλουμένης, τούτοις ὡς προεῖπον συνάπτεται· ἀπὸ Κεφαλληνίας μὲν τὸ πρὸς πατρὸς γένος ὤν, ἑπτακαιδεκαετῆ ⟨δὲ⟩ βιώσας χρόνον θᾶττον τὸν βίον κατέστρεψεν, τοῦ κυρίου ὥσπερ ἀκάνθας τοὺς φαύλους ἀπαλλάσσοντος, κρεῖττόν τι περὶ τῆς οἰκουμένης προνοοῦντος. μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν οἱ πρὸς αὐτοῦ πεπλανημένοι τῆς ἀπ᾽ αὐτοῦ πληγῆς οὐκ ἀπέσχοντο. ἐν Σάμῳ γὰρ ὡς θεὸς ἔτι καὶ εἰς δεῦρο τιμᾶται· τέμενος γὰρ αὐτῷ | ἱδρύσαντες οἱ ἐπιχώριοι θυσίας καὶ τελετὰς ἐπιτελοῦσι κατὰ νεομηνίαν, βωμοὺς δὲ αὐτῷ ἔστησαν καὶ μουσεῖον εἰς ὄνομα αὐτοῦ περίπυστον ἀνεστήσαντο, τὸ δὴ Ἐπιφάνους μουσεῖον καλούμενον. θύουσι γὰρ αὐτῷ οἱ Κεφαλλῆνες εἰς τοσαύτην πλάνην ἐληλακότες καὶ σπένδουσι καὶ ἐν τῷ ἱδρυμένῳ αὐτοῦ τεμένει εὐωχοῦνται ὕμνους τε αὐτῷ ᾄδουσι. διὰ ὑπερβολὴν δὲ τῆς ἐκείνου παιδείας, ἐγκυκλίου τε καὶ Πλατωνικῆς, ἣ πᾶσα τοῖς προειρημένοις κατά τε τὴν αἵρεσιν καὶ κατὰ τὴν ἑτέραν πλάνην, λέγω ⟨δὲ⟩ τὴν εἰς εἰδωλομανίαν τοὺς ἐπιχωρίους τρέψασαν, γέγονεν ἀπ᾽ αὐτοῦ ἀπάτη. συνήπτετο | γοῦν οὗτος ὁ Ἐπιφάνης Σεκούνδῳ καὶ τοῖς ἀμφ᾽ αὐτόν. τὴν γὰρ αὐτοῦ ἰοβολίαν ἀπεμάξατο, λέγω ⟨δὲ⟩ τὴν τῆς ἀδικούσης ἑρπετώδους

P21 D19

4—8 Clemens Al. strom. III 5, 2; II 197, 19 Stählin *υἱὸς ἦν Καρποκράτους καὶ μητρὸς Ἀλεξανδρείας τοὔνομα, τὰ μὲν πρὸς πατρὸς Ἀλεξανδρεύς, ἀπὸ δὲ μητρὸς Κεφαλληνεύς, ἔζησε δὲ τὰ πάντα ἑπτακαίδεκα ἔτη* — **11**—**17** Clem. Al. a. a. O. *θεὸς ἐν Σάμῃ τῆς Κεφαλληνίας τετίμηται, ἔνθα αὐτῷ ἱερὸν ῥυτῶν λίθων, βωμοὶ τεμένη μουσεῖον ᾠκοδόμηταί τε καὶ καθιέρωται, καὶ συνιόντες εἰς τὸ ἱερὸν οἱ Κεφαλλῆνες κατὰ νουμηνίαν γενέθλιον ἀποθέωσιν θύουσιν Ἐπιφάνει, σπένδουσί τε καὶ εὐωχοῦνται καὶ ὕμνοι ᾄδονται*; dazu Hilgenfeld Ketzergeschichte S. 402ff Usener Weihnachtsfest[2] S. 114[10] — **17**f Clemens Al. a. a. O. *ἐπαιδεύθη μὲν οὖν παρὰ τῷ πατρὶ τήν τε ἐγκύκλιον παιδείαν καὶ τὰ Πλάτωνος*

V M

1 *συνημμένου* aus *συνημμένον* V corr **3** *συρφετώδη///*, ς wegradiert V corr **6** *Κεφαλ̈ληνίας*, λ oben drüber V corr **7** ⟨δὲ⟩ * **11** *καὶ* hineingeflickt V corr **15** *Κεφαλῆνες* V **17** *τε* Dind.] δὲ V M **19** ⟨δὲ⟩ * **20** *συνείπετο* aus *συνήπετο* V corr *συνείπετο* M **22** ⟨δὲ⟩ * | *ἀδικούσης* durchgestrichen V corr < M | *ἑρπετώδου̣̃*, ς drüber V corr

φθορᾶς περιττολογίαν. 4. Ἰσίδωρον δὲ φάσκουσιν ἐν παραινέσεσι 4, 1
τῆς αὐτοῦ μοχθηρίας αἴτιον γεγενῆσθαι. εἰ δὲ καὶ αὐτὸς τὰ ἴσα
φρονῶν καὶ ἐξ αὐτῶν ὁρμώμενος ἐτύγχανεν ἢ ἐκ φιλοσόφων μαθὼν
παραινετικός τις καὶ αὐτὸς ὑπῆρχεν, οὐ πάνυ σαφῶς περὶ τοῦ Ἰσιδώ-
ρου γνῶναι ἠδυνήθημεν. πλὴν | οὗτοι πάντες καττύουσι τὴν ἴσην Ö 392
πραγματείαν.

Πρῶτον μὲν οὖν ἐνομοθέτει αὐτὸς ὁ Ἐπιφάνης σὺν τῷ αὐτοῦ 2
πατρί τε καὶ προστάτῃ τῆς αἱρέσεως Καρποκράτει καὶ τοῖς ἀμφ᾽
αὐτὸν κοινὰς εἶναι τὰς τῶν ἀνθρώπων γυναῖκας, ἔκ τε τῶν Πλά-
τωνος Πολιτειῶν τὴν πρόφασιν λαβὼν καὶ τὴν ἰδίαν ἐπιθυμίαν ἐκ-
τελῶν. ἐντεῦθεν δὲ τὴν ἀρχὴν ποιεῖται λέγων, ὡς ἐν τῷ εὐαγγελίῳ 3
ἐμφέρεται τοῦ σωτῆρος φάσκοντος τρεῖς μὲν εὐνούχους εἶναι, τόν τε
ἐξ ἀνθρώπων εὐνουχιζόμενον καὶ τὸν ἐκ γεννητῆς καὶ τὸν διὰ τὴν
βασιλείαν τῶν οὐρανῶν ἑαυτὸν ἑκουσίως εὐνουχίσαντα, καί φησιν·
»οἱ τοίνυν κατὰ ἀνάγκην, οὐ κατὰ λόγον εὐνοῦχοι γίνονται. οἱ δὲ ἕνεκα τῆς 4
βασιλείας τῶν οὐρανῶν ἑαυτοὺς εὐνουχίσαντες, διὰ τὰ ἐκ τοῦ γάμου συμ-
βαίνοντα, φασί, τὸν ἐπιλογισμὸν ⟨τοῦτον λαμβάνουσιν, τὴν περὶ τὸν πορι-
σμὸν⟩ τῶν ἐπιτηδείων ἀσχολίαν δεδιότες. ⟨καὶ τῷ⟩ »βέλτιον γαμῆσαι ἢ 5
πυροῦσθαι, μὴ εἰς πῦρ ἐμβάλῃς τὴν ψυχήν σου«, φησὶ λέγειν τὸν ἀπό-
στολον· ἡμέρας καὶ νυκτὸς ἀντέχων καὶ φοβούμενος, μὴ τῆς ἐγκρα-
τείας ἀποπέσῃς. πρὸς γὰρ τὸ ἀντέχειν γινομένη ψυχὴ μερίζεται τῆς
ἐλπίδος«. »ἀντέχου τοίνυν« ὡς ἤδη προεῖπον, τῆς παραινέσεως εἰς 6 P 212

1 über Isidor vgl. Clemens Al. strom. II 113, 3ff; II 174, 21ff Stählin III 1, 1ff; II 195, 3ff VI 53, 2ff; II 458, 19ff — **7—11** vgl. Clemens Al. strom. III 8, 1f; II 199, 4ff Stählin u. Theophilus ad Autol. III 6; S. 200 Otto — **11—14** vgl. Clemens Al. strom. III 1, 1f; II 195, 4ff Stählin — Matth. 19, 12 — **15**—S. **454**, **5** wörtlich aus Clemens Al. strom. III 1, 4ff; II 195, 14ff Stählin — **18** vgl. I Kor. 7, 9

V M **15**—S. **445**, **5** Clemens Al.

4 *καὶ αὐτὸς* angeflickt V corr **7** *οὖν* *] *ὅτι* V M **8** *τε καὶ πρωτοστάτη, τε καὶ πρω* auf Rasur V corr **9** *τῶν*² Dind.] *τοῦ* V M **13** *εὐνουχιζόμενον* V | *γενετῆς* aus *γεννητῆς* V corr *γεννητῆς* M **15 f** *τῆς βασιλείας τῶν οὐρανῶν*] *τῆς αἰωνίου βασιλείας* Clemens Al. **16** *εὐνουχίσαντες ἑαυτοὺς* Clemens Al. **16 f** *συμβαίνοντα, νοντα* auf Rasur V corr **17** *φασί* hinter *γάμου* (Z. 16) Clemens Al. **17 f** ⟨*τοῦτον — πορισμὸν*⟩ Clemens Al. **18** ⟨*καὶ τῷ*⟩ *] *καὶ τὸ* Clemens Al. | *βέλτιον*] *ἄμεινον* Clemens Al. **19** *φησὶ* < Clemens Al. **20** *νυκτὸς καὶ ἡμέρας* Clemens Al. **21** *τὸ*] viell. vorclementinischer Fehler für *τῷ* * | *γενομένη* Clemens Al. **22** *ἀντέχου* Clemens Al.] *ἀνέχου* V M **22 f** *ὡς ἤδη — τὸν λόγον* < Clemens Al.

μέσον φέρων τὸν λόγον φησὶ κατὰ λέξιν ὁ Ἰσίδωρος ἐν τοῖς Ἠθικοῖς »μαχίμης γυναικός, ἵνα μὴ ἀποσπασθῇς τῆς χάριτος τοῦ θεοῦ, τό τε πῦρ ἀποσπερματίσας εὐσυνειδήτως προσεύχου. ὅταν δέ, *φησίν*, | *ἡ* εὐχαριστία D19
σου εἰς *αἴ*τησιν ὑποπέσῃ καὶ στῇς ⟨εἰς⟩ τὸ λοιπόν, οὐ κατορθώσας, [μὴ]
σφαλῆναι, γάμησον«. *εἶτα πάλιν φησίν* »ἀλλὰ νέος τις ἢ πένης ἐστὶν 7
ἢ κατωφερὴς (*τουτέστιν ἀσθενὴς*) καὶ οὐ θέλει γῆμαι κατὰ τὸν λόγον, οὗτος τοῦ ἀδελφοῦ μὴ χωριζέσθω«. *αἰσχρὰς δέ τινας ὑπονοίας ἑαυτῷ προσποριζόμενος δραματουργεῖ ὁ τάλας* »λεγέτω« ⟨*γάρ*⟩ *φησιν* »ὅτι εἰσε- 8
λήλυθα ἐγὼ εἰς τὰ ἅγια, οὐδὲν δύναμαι παθεῖν«. ἐὰν δὲ ὑπόνοιαν ἔχῃ,
εἰπάτω· ἀδελφέ, ἐπίθες μοι χεῖρα, ἵνα μὴ ἁμαρτήσω, καὶ λήψεται βοή-
θειαν καὶ νοητὴν καὶ αἰσθητήν. θελησάτω μόνον ἀπαρτίσαι τὸ καλὸν καὶ ἐπιτεύξεται«. *εἶτα πάλιν φησίν* »ἐνίοτε τῷ μὲν στόματι λέγομεν· οὐ 9
θέλομεν ἁμαρτῆσαι, ἡ δὲ διάνοια ἔγκειται εἰς τὸ ἁμαρτάνειν. ὁ τοιοῦτος διὰ φόβον οὐ ποιεῖ ὃ θέλει, ἵνα μὴ ἡ κόλασις αὐτῷ ἐλλογισθῇ. ἡ δὲ ἀν-
θρωπότης ἔχει ἀναγκαῖά τινα καὶ φυσικά, ⟨τινὰ δὲ φυσικὰ⟩ μόνα· ἔχει τὸ περιβάλλεσθαι [τὸ] ἀναγκαῖον καὶ φυσικόν, φυσικὸν δὲ καὶ τὸ τῶν ἀφροδισίων, ⟨οὐκ⟩ ἀναγκαῖον δέ«·

5. »Ταύτας παρεθέμην τὰς φωνάς«, ⟨*φησὶν*⟩ *ὁ κατὰ τούτων γράψας*, 5, 1
»εἰς ἔλεγχον τῶν | μὴ βιούντων ὀρθῶς«, *καὶ Βασιλειδιανῶν καὶ Καρποκρα-* Ö394
τιανῶν καὶ τῶν ἀπὸ Οὐαλεντίνου καὶ τῶν Ἐπιφάνους καλουμένων, ᾧ δὴ συνήφθη Σεκοῦνδος ὁ προτεταγμένος. ἐξ ἀλλήλων γὰρ ἕκαστος, 2
ἤτοι οὗτος ἐκείνῳ μεταδοὺς ἢ ἐκεῖνος τούτῳ, τὰ δεινὰ ἀπεμπολή-

2 *μαχίμης γυναικὸς* nach Prov. 21, 9. 19; von dorther ergibt sich der Sinn unseres Satzes

V M Clemens Al.

3 *προσεύχῃ* Clemens Al. | *φησίν* hinter *εὐχαριστία σου* Clemens Al. **4** *ὑποπέσοι* V M | *στῇς ⟨εἰς⟩* *; *στῇς ⟨εἰς⟩ τὸ . . . σφαλῆναι* gehört zusammen = *du im Begriff bist zu fallen*] *τῆς* M *αἰτῆς* Hilgenfeld Stählin **4 f** *οὐ κατορθῶσαι, ἀλλὰ μὴ σφαλῆναι* Clemens Al. **4** [*μὴ*] *; viell. noch besser *οὐ* zu streichen u. *μὴ κατορθώσας* zu schreiben Jül. **5** *εἶτα πάλιν φησίν* < Clemens Al. | *ἐστιν* hinter *νέος τις* Clemens Al. **6** *κατωφερὴς* Clemens Al.] *καταφερὴς* V M | *τουτέστιν ἀσθενὴς* < Clemens Al. **7 f** *αἰσχρὰς δὲ — ὁ τάλας* < Clemens Al. **8** ⟨*γάρ*⟩ * | *φησίν* < Clemens Al. **10** vor *χεῖρα* + *τὴν* Clemens Al. **12** *εἶτα πάλιν φησίν* < Clemens Al. **13** *εἰς*] *ἐπὶ* Clemens Al. **14** *ἡ* hineingeflickt V^{corr} **15** *τινὰ ἀναγκαῖα* Clemens Al. | ⟨*τινὰ δὲ φυσικὰ*⟩ *] ⟨*καὶ φυσικὰ*⟩ Schwartz ⟨*ἄλλα δὲ φυσικὰ*⟩ Stählin **16** [*τὸ*] < Clemens Al. | *καὶ*^{2} < Clemens Al. **17** *οὐκ ἀναγκαῖον δὲ* Clemens Al.] *ἀναγκαίως δὲ*, als Anfang zum Folgenden gezogen V M **18** ⟨*φησὶν*⟩ * | ⟨*φησὶν*⟩ *ὁ κατὰ τούτων γράψας* < Clemens Al. **19** *εἰς ἔλεγχον τῶν* Clemens Al.] *ἐλέγχων* V M | *καὶ*^{1} < Clemens Al. **19—S. 445, 2** *καὶ Καρποκρατιανῶν — κατέθεντο* < Clemens Al. **20** *καλουμένων* Dind.] *καλουμένου* V M

σαντες καὶ εἴς τι πρὸς ἀλλήλους διαφερόμενοι, ὅμως ἐν μιᾷ αἱρέσει ἑαυτοὺς κατέθεντο, »ὥστε καὶ ἔχειν ἐξουσίαν ἐδογμάτισαν καὶ τοῦ ἁμαρτάνειν διὰ τὴν τελειότητα, ἢ πάντως γε σωθησομένων φύσει, κἂν τε νυνὶ ἁμάρτωσι, διὰ τὴν ἔμφυτον ἐκλογήν, ἐπεὶ μηδὲ τὰ αὐτὰ αὐτοῖς πράττειν συγχωροῦσιν οἱ προπάτορες τῶν δογμάτων τούτων«. 3

»Φασὶ δὲ καὶ οὗτοι ὡς ἐπὶ τὸ ὑψηλότερον καὶ γνωστικώτερον ἐπεκτεινόμενοι τὴν πρώτην τετράδα οὕτως· ἔστι τις πρὸ πάντων προαρχὴ προανεννόητος, ἄρρητός | τε καὶ ἀνονόμαστος, ἣν ἐγὼ Μονότητα καλῶ. D195 ταύτῃ τῇ Μονότητι συνυπάρχει δύναμις, ἣν καὶ αὐτὴν ὀνομάζω | Ἑνό- P213 τητα. αὕτη ἡ Ἑνότης ἥ τε Μονότης, τὸ Ἕν οὖσαι, προήκαντο, μὴ προέμεναι, ἀρχὴν ἐπὶ πάντων νοητήν, ἀγέννητόν τε καὶ ἀόρατον, ἣν ἀρχὴν ὁ λόγος Μονάδα καλεῖ. ταύτῃ τῇ Μονάδι συνυπάρχει δύναμις ὁμοούσιος αὐτῇ, ἣν καὶ αὐτὴν ὀνομάζω τὸ Ἕν. αὗται αἱ δυνάμεις, ἥ τε Μονότης καὶ Ἑνότης, Μονάς τε καὶ τὸ Ἕν, προήκαντο τὰς λοιπὰς προβολὰς τῶν αἰώνων«. 4 5 6

6. *Εἶτα οἱ καλῶς συγγραψάμενοι τὴν ἀλήθειαν ⟨περὶ⟩ τούτων ἐν τοῖς σφῶν αὐτῶν συγγράμμασιν ἤλεγξαν ⟨αὐτούς⟩, Κλήμης τε, (ὃν φασί τινες Ἀλεξανδρέα, ἕτεροι δὲ Ἀθηναῖον), ἀλλὰ καὶ ὁ ἱερὸς Εἰρηναῖος καταγελῶν αὐτῶν τὸ τραγικὸν ἐκεῖνο* [ὃ] *ἐπὶ τοῖς προειρημένοις εἰς μέσον φέρων ἧκεν ⟨τό⟩·* »ἰοὺ ἰού καὶ φεῦ φεῦ. τὸ 6,1 2 3

von **6ff** an ist Irenaeus die Quelle

V M Clemens Al. (bis *τούτων* Z. 5) **6**—S. **447**, **7** Irenaeus adv. haer. I 11, 3; I 102ff Harvey (= lat.) Hippolyt refut. VI 38, 2ff; S. 168, 11ff Wendland, vgl. Tertullian adv. Valent. 37 (Hipp. u. Tert. nur bis Z. 15; unwichtige Abweichungen ihres Textes sind nicht verzeichnet)

1 *εἴς τι*] ἔστι M **2** *ἐκτέθεντο* M | *ὥστε καὶ — ἐδογμάτισαν*] *ὡς ἦτοι ἐχόντων ἐξουσίαν* Clemens Al. | *καὶ τοῦ* Clemens Al.] *καὶ τὸ* V M **2f** *ἁμαρτεῖν* Clemens Al. **3** *πάντως* Clemens Al.] *πάντων* V M | *φύσει* Clemens Al.] *φυσικῶν* V M | *κἂν τε νυνὶ*] *κἂν νῦν* Clemens Al. **4** *τὰ αὐτὰ*] *ταῦτα* Clemens Al. **5** *τούτων* < Clemens Al. **6** *φασὶ δὲ καὶ οὗτοι*] *alius vero quidam, qui et clarus est magister ipsorum* lat. **7** *ἔστι — προαρχὴ*] *ἦν ἡ πρώτη ἀρχὴ* Hipp. | *τις*] *quidem* lat. **8** *προανεννόητος*] *proanennoetos* lat. *ἀνεννόητος* Hipp. *inexcogitabilis* Tert., vgl. S. 446, 4 | *ἀνο///νόμαστος*, *ο* aus *ω* V corr | *καλῶ* *, vgl. S. 446, 5] *ἀριθμῶ* V M *voco* lat. *καλεῖ* (vorher *ἐγὼ* <) Hipp. *nomino* Tert. **10** *ἑνό///της*, *ο* aus *ω* V corr | *τὸ Ἕν οὖσαι* < Hipp. | *μὴ*] *nihil* lat. **11** *ἀγέν///ητον ν* ausradiert V corr **11f** *ἀρχὴν ὁ λόγος* < Hipp. **13** *αὗται* + *autem* lat. | *αὗται αἱ* + *τέσσαρες*, dafür *ἥ τε — τὸ Ἕν* (Z. 14) < Hipp. **14f** *τῶν αἰώνων προβολὰς* Hipp. **16** ⟨*περὶ*⟩ * **17** *ἤλεγξαν*, erstes *λ* getilgt V corr | ⟨*αὐτούς*⟩ * **19** [*ὃ*] Dind. Öh. **20** ⟨*τό*⟩ *

τραγικὸν ὡς ἀληθῶς ἐπειπεῖν ἔστιν ἐπὶ τῇ τοιαύτῃ συμφορᾷ τῶν τὰ γελοιώδη ταῦτα γεγραφότων τῆς τοιαύτης ὀνοματοποιίας καὶ τῇ τοσαύτῃ τόλμῃ, ὡς ἀπερυθριάσας τῷ ψεύσματι αὐτοῦ ὀνόματα τέθεικεν. ἐν γὰρ τῷ λέγειν »ἔστιν τις προαρχὴ πρὸ πάντων προανεννόητος, ἣν ἐγὼ Μονότητα καλῶ«, καὶ πάλιν »ταύτῃ τῇ Μονότητι συνυπάρχει δύναμις, ἣν καὶ αὐτὴν ὀνομάζω Ἑνότητα«, σαφέ|στατα ὅτι τε πλάσμα αὐτοῦ ἐστι τὰ εἰρημένα Ö396 ὡμολόγηκε καὶ ὅτι αὐτὸς ὀνόματα τέθεικε τῷ πλάσματι, ὑπὸ μηδενὸς πρότερον ἄλλου τεθειμένα. καὶ σαφές ἐστιν ὅτι αὐτὸς ταῦτα τετόλμηκεν ὀνοματοποιῆσαι, καὶ εἰ μὴ παρῆν τῷ βίῳ αὐτός, οὐκ ἂν ἡ ἀλήθεια εἶχεν ὄνομα. οὐδὲν οὖν κωλύει καὶ ἄλλον τινὰ ἐπὶ τῆς αὐτῆς ὑποθέσεως οὕτως ὁρίσασθαι ὀνόματα· *εἶτα λοιπὸν εἰς ταῦτα ὁ αὐτὸς μακάριος Εἰρηναῖος, ὥς γε προείπαμεν, γελοιώδη ῥήματα καὶ αὐτὸς †προεῖπεν, ἑτερωνυμίαν ἀφ' ἑαυτοῦ ὡς ἀντάξια τῆς αὐτῶν ληρῳδίας χαριεντιζόμενος, πεπόνων γένη καὶ σικύων καὶ κολοκυνθῶν ὡς ἐπὶ | ὑποκει- D196 μένων τινῶν ἐπιπλασάμενος, † ὡς τοῖς φιλολόγοις σαφὲς ἂν εἴη ἀφ' ὧν προανέγνωσαν.*

7. Ἄλλοι δὲ πάλιν αὐτῶν τὴν πρώτην καὶ ἀρχέγονον Ὀγδοάδα τού- 7, 1
τοις τοῖς ὀνόμασι κεκλήκασι· πρῶτον Προαρχήν, ἔπειτα Ἀνεννόητον, τὴν δὲ τρίτην Ἄρρητον καὶ τὴν τετάρτην Ἀόρατον. καὶ ἐκ μὲν τῆς πρώτης 2
Προαρχῆς προβεβλῆσθαι πρώτῳ καὶ πέμπτῳ | ⟨τόπῳ⟩ Ἀρχήν, ἐκ δὲ τῆς P214
[ἀρχῆς τῆς] Ἀνεννοήτου δευτέρῳ καὶ ἕκτῳ τόπῳ Ἀκατάληπτον, ἐκ δὲ τῆς Ἀρρήτου τρίτῳ καὶ ἑβδόμῳ τόπῳ Ἀνονόμαστον, ἐκ δὲ τῆς Ἀοράτου Ἀγέννητον, Πλήρωμα τῆς πρώτης Ὀγδοάδος. ταύτας βούλονται τὰς δυνάμεις 3

11—16 vgl. Irenaeus adv. haer. I, 11, 4; I 105f Harvey

V M lat. von Z. 17 an auch Hipp.

1 *τραγικὸν* + *γὰρ* V **1f** *ἐπὶ τῇ — ὀνοματοποιίας*] *super hanc nominum factionem* lat. | *γελλοιώδη*, erstes *λ* getilgt V^{corr} **3** *ὀνόματα* Ausgg., vgl. Z. 7] *ὄνομα* V M *nomina* lat. **4** *τις* < lat. | *μονότητα* Ausgg.] *μονάδα* V M *monotetu* lat. **5** *μονότητι* Ausgg.] *μονάδι* V M *monotete* lat. **6** *ἑνότητα ὀνομάζω* V M *roco Henotetem* lat., vgl. S. 445, 9 | *πλάσμα*] *figmenta* lat. | *αὐτοῦ* zu *εἰρημένα* gezogen lat. **8** *πρότερον* < lat. **8f** *καὶ σαφὲς — ὀνοματοποιῆσαι* < lat. **9** *καὶ εἰ μὴ — αὐτός*] *qui nisi haec auderet* lat. | *οὐκ ἂν* + *hodie* lat. | *ἀλήθεια* + *secundum eum* lat. **10** *ὄνομα*] *nomina* lat. **12** † *προεῖπεν*] lies wohl *προφέρει* * **14** *γένη*] *γέννημα* M **15** † *ὡς*] lies etwa *ὧν ⟨τὸ εὔλογον⟩* * **18** *ἐκάλεσαν* Hipp. **18f** *πρῶτον — καὶ τὴν* < Hipp. **20** *⟨τόπῳ⟩* Ausgg.] *loco* lat. *τόπῳ* Hipp. | *δὲ* < lat. **21** [*ἀρχῆς τῆς*] Ausgg.] < lat. Hipp.; immerhin vgl. S. 445, 11 | *τόπῳ* < Hipp. | *δὲ*] *et . . autem* lat. **22** *ἀνωνόμαστον* V | *ἀοράτου* + *quarto et octavo loco* lat. **23** *πλήρωμα* + *hoc* lat. (fehlt auch bei Hipp.)

προϋπάρχειν τοῦ Βυθοῦ καὶ τῆς Σιγῆς, ἵνα τελείων τελειότεροι φανῶσιν ὄντες καὶ Γνωστικῶν γνωστικώτεροι· πρὸς οὓς δικαίως ἂν τις ἐπιφωνήσειεν· ὦ ληρολόγοι σοφισταί. καὶ γὰρ περὶ αὐτοῦ τοῦ Βυθοῦ διάφοροι γνῶμαι παρ' 4 αὐτοῖς. οἱ μὲν γὰρ αὐτὸν ἄζυγον λέγουσι, μήτε ἄρρενα μήτε θῆλυν μήτε ὅλως ὄντα τι, ἄλλοι δὲ ἀρρενόθηλυν αὐτὸν λέγουσιν εἶναι, ἑρμαφροδίτου φύσιν αὐτῷ περιάπτοντες. Σιγὴν δὲ πάλιν ἄλλοι συνευνέτιν αὐτῷ 5 προσάπτουσιν, ἵνα γένηται πρώτη συζυγία καὶ ἐκ τούτου καὶ ἐκ ταύτης τὰ κατάλοιπα οὕτω δραματουργήσωσι. καὶ πολλή τίς ἐστιν ἐν 6 αὐτοῖς ἡ εἰς ὕπνον βαθὺν τὸν νοῦν αὐτῶν καταφέρουσα ληρολόγος ὀνειροπολία.

Καὶ τί μοι ἐπὶ τὸ πολὺ κατατρίβεσθαι, φωρατῆς οὔσης τῆς κατ' 7 αὐτοὺς ὑποθέσεως καὶ τοῦ κατ' αὐτῶν ἐλέγχου καὶ ἀνατροπῆς ἀπὸ τῶν προειρημένων παντὶ τῷ βουλομένῳ τῆς ζωῆς αὐτοῦ ἔχεσθαι καὶ μὴ ἀπατᾶσθαι κενοῖς μύθοις; ἀλλὰ ταῦτά μοι περὶ τούτων εἰρή- 8 σθω. παρελθὼν δὲ ταύτην ἐπὶ τὰς ἑξῆς ⟨βαδιοῦμαι⟩, διασκοπήσω⟨ν⟩ ὁδὸν ἐμαυτῷ ἀσφαλῆ | καὶ τρίβον λείαν, ὅπως τὰς τούτων μοχθη- Ö 398 ρίας διεξιών τε καὶ ἐλέγχων ἐμαυτόν τε καὶ τοὺς ἀκούοντας ἐν τῇ τοῦ θεοῦ δυνάμει διασώσω διὰ | τῆς τοῦ κυρίου ἡμῶν διδασκαλίας D 197 καὶ ἀληθινῆς θεωρίας. ὡς μύαγρον ⟨οὖν⟩ ταύτην τὴν ἔχιδναν, τὴν 9 πολλαῖς ἑτέραις ἐχίδναις ἐοικυῖαν, τῷ ὑποδήματι τοῦ εὐαγγελίου καταπατήσαντες τὰς ἑξῆς διασκοπήσωμεν.

V M lat. Hipp. (bis Z. 7)

1—3 *ἵνα τελείων — σοφισταὶ* < Hipp. **3** *ὦ ληρολόγοι σοφισταὶ*] *o pepones, sophistae vituperabiles et non veri* lat.; darnach enthielt der griech. Text eine Anspielung auf *B* 235; ob Irenaeus sich in einem Vers versucht hat, bleibt fraglich **3 f** *πολλαὶ δὲ περὶ αὐτοῦ τοῦ Βυθοῦ καὶ διάφοροι γνῶμαι* Hipp. **4** *γὰρ* < Hipp. | *μήτε θήλειαν* auf Rasur V corr *μήτε θῆλυν* Hipp. **5 f** *μήτε ὅλως — περιάπτοντες* < Hipp. **6** *φύσιν* auf Rasur V corr *genesin* lat.; lies vielleicht *γένος* * | *περιάπτοντες*] *donant* lat. **6 f** *Σιγὴν — πρώτη συζυγία*] *ἄλλοι δὲ τὴν Σιγὴν θήλειαν αὐτῷ συμπαρεῖναι καὶ εἶναι ταύτην πρώτην συζυγίαν* Hipp. **12** *κατ' αὐτῶν* *] *κατ' αὐτοὺς* V M **15** *⟨βαδιοῦμαι⟩ διασκοπήσω⟨ν⟩* * **17** *τε καὶ ἐλέγχων ἐμ* nachgetragen V corr **19** *ὡς* auf Rasur V corr | *⟨οὖν⟩* * | *ταύτην* auf Rasur, hinter *ἔχιδναν* ein *ταύτην* ausradiert V corr **21** Unterschrift *κατὰ Σεκουνδιανῶν, οἷς συνάπτεται Ἐπιφανὴς καὶ Ἰσίδωρος* V M

Κατὰ Πτολεμαϊτῶν ιγ̄, τῆς δὲ ἀκολουθίας λγ̄.

1. *Τοὺς περὶ Σεκοῦνδον καὶ τὸν ὀνομασθέντα Ἐπιφάνην, ἐξ Ἰσι-* 1, 1
δώρου τὴν πρόφασιν εἰς ἑαυτοῦ ὑπόνοιαν ἀπεμπολήσαντα, Πτολε|- P 213
μαῖος διαδέχεται, τῆς μὲν αὐτῆς τῶν καλουμένων Γνωστικῶν ὑπάρ-
χων αἱρέσεως καὶ τῶν κατὰ Οὐαλεντῖνον ⟨εἷς ὢν⟩ σὺν ἑτέροις τισίν,
ἕτερα δὲ παρὰ τοὺς αὐτοῦ διδασκάλους ὑποτιθέμενος, οὗ καὶ τὸ
ὄνομα αὐχοῦσιν οἱ αὐτῷ πειθόμενοι, Πτολεμαῖοι καλούμενοι.

Οὗτος τοίνυν ὁ Πτολεμαῖος καὶ οἱ σὺν αὐτῷ ἔτι ἐμπειρότερος *ἡμῖν* 2
τῶν ἑαυτοῦ διδασκάλων προελήλυθε, τῇ ἐκείνων ὑφηγήσει προσθή-
κης τινὸς ὑπερβολὰς ἐξευρών. δύο γὰρ οὗτος συζύγους τῷ θεῷ τῷ παρ' 3
αὐτοῖς Βυθῷ καλουμένῳ ἐπενόησέν τε καὶ ἐχαρίσατο· ταύτας δὲ καὶ δια-
θέσεις ἐκάλεσεν, Ἔννοιάν τε καὶ Θέλημα. *καὶ τὴν μὲν Ἔννοιαν ἀεὶ* 4
συνυπάρξασαν αὐτῷ, ἐννοουμένην ἀεὶ τό τι προβαλέσθαι, τὸ δὲ
Θέλημα ἐν αὐτῷ ἐπιγινόμενον. πρῶτον γὰρ ἐνενοήθη ⟨τι⟩ προβαλεῖν,
εἶτα, *φησίν*, ἠθέλησεν. διὸ καὶ τῶν δύο διαθέσεων τούτων ἢ καὶ δυνά- 5
μεων (*δυνάμεις γὰρ αὐτὰς πάλιν καλεῖ*), τῆς Ἐννοίας καὶ τῆς Θελή-
σεως ὥσπερ συγκραθεισῶν εἰς ἀλλήλας ἡ προβολὴ τοῦ Μονογενοῦς καὶ
τῆς Ἀληθείας κατὰ συζυγίαν ἐγένετο. οὕστινας τύπους καὶ εἰκόνας τῶν 6
δύο διαθέσεων τοῦ Πατρὸς προελθεῖν τῶν ἀοράτων ὁρατάς, τοῦ μὲν Θελή-

V M 8—S. 450, 6 Irenaeus adv. haer. I 12, 1ff; I 109ff Harvey (= lat.), vgl. Hippolyt refut. VI 38, 5ff; S. 169, 13ff Wendland

1 Überschrift *κατὰ Πτολεμαϊτῶν τρισκαιδεκάτη ἡ καὶ λγ̄* V M **2** *τοὺς* Scaliger] *τοῦ* V M **3** *πρόφασιν* *] *παραίνεσιν* V M | *ἑαυτοῦ* *] *ἑαυτῶν* V M | *ἀπεμπολήσαντα* *] *ἀπεμπολήσαντας* V M **4** *αὐτῆς* Dind.] *αὐτῶν* V M **5** *Οὐαλεντίνων* V M | *⟨εἷς ὢν⟩* * | *τρισὶν* M **8—10** *οὗτος — ἐξευρών*] *hi vero qui sunt circa Ptolemaeum scientiores* lat. **9** *τῶν ἑαυτοῦ διδασκάλων* *] *τοῦ ἑαυτῶν διδασκάλου* V M **10** *συ///ζύγους, ν* ausradiert V^{corr} **10f** *τῷ θεῷ — ἐχαρίσατο*] *habere eum Bython dicunt* lat. *αὐτὸν ἔχειν λέγουσιν* Hipp. **11** *ταύτας δὲ*] *quas* lat. *ἃς* Hipp. **11f** *διαθέσεις* Ausgg.] *διάθεσιν* V M *dispositiones* lat. **12** *ἐκάλεσεν*] *vocant* lat. *καλοῦσιν* Hipp. | *τε* < lat. Hipp. | *Θέλημα*] *Thelesin* lat. *Θέλησιν* Hipp.; aber vgl. Z. 14 u. 19 **12—14** *καὶ τὴν μὲν — ἐπιγινόμενον* < lat. Hipp. **13** vor *αὐτῷ* + *ἐν* M **14** *⟨τι⟩* Dind.] *quid* lat. *τι* Hipp. **15** *εἶτα, φησίν*] *sicut dicunt, post deinde* lat. *ὥς φασιν, ἔπειτα* Hipp. | *καὶ*[1] < lat. | *τούτων διαθέσεων* Hipp. | *ἢ* < lat. Hipp. **16** *δυνάμεις — καλεῖ* < lat. Hipp. | vor *τῆς*[1] + *id est* lat., nach ihm + *τε* Hipp. | *τὰς ἐννοίας* M **17** *ὥσπερ* Dind. Öh.] *ὥστε* V M *velut* lat. *ὥσπερ* Hipp. | *ἡ προβολὴ* Dind. Öh.] *τῇ προβολῇ* V M *emissio* lat. *ἡ προβολὴ* Hipp. | *τοῦ* + *τε* Hipp. **18** *συ///ζυγίαν, ν* ausradiert V^{corr} **19** vor *τῶν ἀοράτων* + *ἐκ* Hipp. **19f** *τοῦ μὲν Θελήματος τὸν Νοῦν, τῆς δὲ Ἐννοίας τὴν Ἀλήθειαν* *] *τοῦ μὲν Θελήματος τὴν Ἀλήθειαν, τῆς δὲ Ἐννοίας τὸν Νοῦν* V M *Thelematis quidem Nun, Ennoeas autem Aletheian* lat. *τοῦ μὲν Θελήματος τὸν Νοῦν, τῆς δὲ Ἐννοίας τὴν Ἀλήθειαν* Hipp.

ματος τὸν Νοῦν, τῆς δὲ Ἐννοίας τὴν Ἀλήθειαν· καὶ διὰ τοῦτο τοῦ ⟨ἐπι-
γεννητοῦ⟩ Θελήματος ὁ μὲν ἄρρην εἰκὼν | γέγονεν, τῆς ⟨δὲ⟩ ἀγεννήτου D198
Ἐννοίας ὁ [δὲ] θῆλυς [τοῦ Θελήματος]. τὸ Θέλημα τοίνυν δύναμις ἐγέ- 7
νετο τῆς Ἐννοίας. ἐνενόει μὲν γὰρ ἀεὶ ἡ Ἔννοια τὴν προβολήν, οὐ μέν-
τοι προβαλεῖν αὐτὴ καθ' ἑαυτὴν ἠδύνατο ἃ ἐνενόει· ὅτε δὲ ἡ τοῦ Θελή-
ματος δύναμις ἐπεγένετο, τότε ὃ ἐνενόει προέβαλεν.

2. *Καὶ φεῦ τῆς τοιαύτης τοῦ ματαιόφρονος ληρῳδίας· τοῦτο* 2, 1
γὰρ | οὐκ ἂν οὐδὲ ἐπὶ ἀνθρώπου λαμβάνοιτο παρά τινι τῶν ἐχόντων Ö400
ἐρρωμένην τὴν διάνοιαν, μήτι γε ἐπὶ θεοῦ. δοκεῖ δέ μοι φρονι- 2
μώτερος αὐτοῦ ὑπάρχειν Ὅμηρος ἐν τῷ τὸν Δία φροντίδα παρ' αὐτῷ
ποιούμενον ἀναγράφεσθαι, μεριμνῶντά τε καὶ χαλεπαίνοντα καὶ
ἄϋπνον παννύχως διατετελεκότα, τὸ πῶς τοῖς Ἀχαιοῖς ἐπιβουλεύσῃ,
τῆς Θέτιδος αὐτὸν ἀξιωσάσης εἰς τὸ δίκην τῖσαι τοὺς τῶν Ἑλλήνων
ἐξάρχους τε καὶ αὐτοὺς τοὺς Ἕλληνας διὰ τὴν πρὸς τὸν Ἀχιλλέα ὕβριν.
οὐδὲν γὰρ οὗτος ὁ Πτολεμαῖος εἰς δόξαν τοῦ παρ' αὐτοῦ Πατρὸς τῶν 3
ὅλων [τοῦ] καὶ Βυθοῦ καλουμένου εὐλογώτερον τῶν παρὰ Ὁμήρου εἰς
τὸν Δία εἰρημένων ἐπενόησεν, ἀλλ' αὐτὸν κατείληφε | μᾶλλον τὸν Δία, 4 P216
ὡς παρὰ Ὁμήρου λαβὼν τὴν ἔννοιαν· μᾶλλον γὰρ τὴν Ὁμηρικὴν κατάλη-
ψιν περὶ Διὸς καὶ Ἀχαιῶν εἰκότως ἂν φήσειέν ⟨τις αὐτὸν ἐσχηκέναι⟩,

10 vgl. *B* 1ff

V M lat Hipp. (bis Z. 6)

1 *διὰ τοῦτο* *] *διὰ τούτου* V M *propter hoc* lat. *διὰ τοῦτο* Hipp. **1f** ⟨*ἐπι-γεννητοῦ*⟩ *] *adventitiae* lat. *ἐπιγεννητοῦ* Hipp. **2** *μὲν* < Hipp. | *ἄρρεν* V M **2f** *γέγονεν, τῆς* ⟨*δὲ*⟩ *ἀγεννήτου Ἐννοίας ὁ θῆλυς* [*τοῦ Θελήματος*] *] *τῆς ἀγεννήτου Ἐννοίας γέγονεν, ὁ δὲ θῆλυς τοῦ Θελήματος* V M *est . ., innatae vero Ennoeae foemininus* lat. *τῆς δὲ ἀγεννήτου Ἐννοίας ὁ θῆλυς,* < *γέγονεν* Hipp. **3** *τοίνυν δύναμις*] *quoniam . . . velut virtus* lat. *ἐπεὶ . . . ὥσπερ δύναμις* Hipp.; lies wohl *γὰρ ὥσπερ δύναμις* * **4** *ἐνενοεῖτο* Hipp. **4f** *μέντοι* + *γε* Hipp. + *et* lat. | *προβάλλειν* Hipp. | *κατ' αὐτὴν* Hipp. | *ἃ ἐνενόει*] *ἀλλὰ ἐνενοεῖτο* Hipp. **6** *ὃ* < Hipp. | *ἐνόει* M *ἐνενοεῖτο* Hipp. | *προβάλλει* Hipp. **7—9** *καὶ φεῦ — θεοῦ* < lat. **9—18** erweitert aus Irenaeus a. a. O. *non videntur tibi hi, o dilectissime, Homerici Jovis propter sollicitudinem non dormientis, sed curae habentis, quando poterit honorare Achillem et multos perdere Graecorum, apprehensionem habuisse* **9f** *φρονημώτερος* M **12** *διατετελεκῶτα* M **14** *ἀχιλλέα*, λ ausradiert V corr *ἀχιλέα* M **15** *παρ' αὐτοῦ*, *οῦ* auf Rasur V corr **16** *τοῦ καὶ* u. *καλουμένου* angeflickt V corr | [*τοῦ*] * **17** *ἐπενόησεν* auf Rasur V corr **19** *εἰκότος* M | ⟨*τις αὐτὸν ἐσχηκέναι*⟩ *] *videntur . . . habuisse* lat.

τὴν τοσαύτην αὐτοῦ τόλμαν ἐξεμέσαντα, ἢ ⟨*τὴν*⟩ περὶ τοῦ τῶν ὅλων δεσπότου, ὃς ἅμα τῷ ἐννοηθῆναι καὶ ἐπιτετέλεκε τοῦθ' ὅπερ ἠθέλησεν, καὶ ἅμα τῷ θελῆσαι καὶ ἐννοεῖται τοῦθ' ὅπερ καὶ ἠθέλησεν, τότε ἐννοούμενος ὅτε θέλει καὶ τότε θέλων ὅτε ἐννοεῖται, ὅλος ἔννοια ὤν, ὅλος θέλημα ὤν, ὅλος νοῦς, ὅλος φῶς, ὅλος ὀφθαλμός, ὅλος ἀκοή, ὅλος πηγὴ πάντων τῶν ἀγαθῶν *καὶ οὐδενὸς εἴσω πάθους περιεχόμενος· θεὸς γάρ, καὶ οὐ φροντίζων καὶ ἀπορῶν ὡς ὁ Βυθὸς ἤτοι ὁ Ζεύς, περὶ οὗ λέγοντα Ὅμηρον Πτολεμαῖος περὶ Βυθοῦ λέγων ἐμιμήσατο.*

εἰς δὲ περισσότερον ἔλεγχον τοῦ ἀπατεῶνος καθεξῆς ὑποτάξας | **6** D199 *παραθήσομαι τὰ ὑπ' αὐτοῦ φύσει Πτολεμαίου Φλώρᾳ τινὶ γυναικὶ γραφέντα ἐπαγωγά τε καὶ δηλητήρια ῥήματα, (ἵνα μή τις νομίσειεν ἡμᾶς ἐξ ἀκοῆς μόνον τὸν ἀπατεῶνα ἐλέγχειν, μὴ πρότερον ἐντυχόντας τῇ παρ' αὐτοῦ* ⟨*παρα*⟩*πεποιημένῃ διδασκαλίᾳ· πρὸς γὰρ τοῖς εἰρημένοις καὶ τὸν νόμον τοῦ θεοῦ τὸν διὰ Μωυσέως βλασφημῶν οὐκ αἰσχύνεται), ἃ καὶ ἔστι ταῦτα·*

Πτολεμαίου πρὸς Φλώραν.

3. »Τὸν διὰ Μωσέως τεθέντα νόμον, ἀδελφή μου καλὴ Φλώρα, ὅτι **3**, 1 μὴ πολλοὶ προκατελάβοντο, μήτε τὸν θέμενον αὐτὸν ἐγνωκότες μήτε τὰς προστάξεις αὐτοῦ ἀκριβῶς, ἡγοῦμαι καὶ σοὶ εὐσύνοπτον ἔσεσθαι μαθούσῃ

17 ff vgl. Stieren de Ptol. Valent. ad Floram epist. 1843 Hilgenfeld ZwTh 1881 S. 214 ff Harnack SBA 1902 S. 513 ff (mit textkritischen Beiträgen von Wilamowitz)

V M lat. (bis Z. 6) **1**—**5** Joh. Cyparissiota X 9; Migne 152, 985 B

1 f *quae potest ab ullo dici tanta illius audacia, quam de domino universi evomuit* Joh. Cyp. **1** *ἐξεμέσαντα* *] *ἐξεμέσας* V M | ⟨*τὴν*⟩ * **2** *δεσπότου*] *deus* lat. | *τῷ*] *τὸ* M | *καὶ* < lat. **3** f *τότε . . . ὅτε* Dind. Öh.] *τοῦτο . . . ὃ καὶ* V M Joh. Cyp. *tunc . . . cum* lat. **4** f *ὅλος θέλημα ὤν* < lat. **5** vor den einzelnen Gliedern + *et* lat. | *ὅλος φῶς* < lat. **6** *ἰσοπαθοῦς* aus *εἴσω πάθους* V corr *ἰσοπαθοῦς* M | *περιεχόμενος* *] *περιέχεται* V M **13** ⟨*παρα*⟩*πεποιημένῃ* U] *πεποιημένη* V M **17** *Μωσέως* *, vgl. S. 452, 11. 15. 16 usw. (eine Ausnahme bildet natürlich das Citat S. 452, 21)] *Μωυσέως* V M **18** das *μὴ*, das auch Harnack-Wilamowitz nach dem Vorgang der früheren Ausgaben (seit Cornarius) gestrichen haben, ist für den Sinn schlechthin unentbehrlich. Ich übersetze die Stelle »*daß wahrlich* (*μή*, nicht *οὐ*!, vgl. S. 451, 13) *nicht viele das durch Mose gegebene Gesetz vorher* (d. h. bisher) *verstanden haben* (vgl. das *προαποστερήσας* S. 451, 16, . . . *wird wohl auch dir deutlich werden*«. — Wil., der *προκαταλαβέσθαι* im Sinn von »*sich vorher* (d. h. vorschnell) *ein Urteil bilden*« auffaßt, möchte *μὴ* durch *εἰκῇ* ersetzen | *θέμενον αὐτὸν* Hilgenfeld, vgl. S. 456, 15] *θεμέλιον αὐτοῦ* V M **19** *αὐτοῦ* oben drüber V corr | *ἔσεσθαι*] *ἔπαισθαι* M

τὰς διαφωνούσας γνώμας περὶ αὐτοῦ. οἱ μὲν γὰρ ὑπὸ τοῦ θεοῦ καὶ 2
πατρὸς νενομοθετῆσθαι τοῦτον λέγουσιν, ἕτεροι δὲ τούτοις τὴν ἐναντίαν
ὁδὸν τραπέντες ὑπὸ τοῦ ἀντικειμένου φθοροποιοῦ διαβόλου τεθεῖσθαι τοῦτον
ἰσχυρίζονται, ὡς καὶ τὴν τοῦ κόσμου | προσάπτουσιν αὐτῷ δημιουργίαν, Ö 402
πατέρα καὶ ποιητὴν τοῦτον λέγοντες εἶναι τοῦδε τοῦ παντός. ⟨πάντως 3
δὲ⟩ διέπταισαν οὗτοι, διάδοντες ἀλλήλοις καὶ ἑκάτεροι αὐτῶν διαμαρτόντες
παρὰ σφίσιν αὐτοῖς τῆς τοῦ προκειμένου ἀληθείας. οὔτε γὰρ ὑπὸ τοῦ 4
τελείου θεοῦ καὶ πατρὸς φαίνεται τοῦτον τεθεῖσθαι (ἑπόμενον γάρ ἐστιν),
ἀτελῆ τε ὄντα καὶ τοῦ ὑφ᾽ ἑτέρου πληρωθῆναι ἐνδεῆ, ἔχοντά τε προστάξεις
ἀνοικείας τῇ τοῦ τοιούτου θεοῦ φύσει τε καὶ γνώμῃ· οὔτ᾽ αὖ πάλιν | τῇ τοῦ 5 P 217
ἀντικειμένου ἀδικίᾳ νόμον προσάπτειν * ⟨τὸ⟩ ἀδικεῖν ⟨ἀν⟩αιροῦντα· * τῶν τε
ἑξῆς τι μὴ συνορώντων, ⟨κατὰ⟩ τὰ ὑπὸ τοῦ σωτῆρος εἰρημένα· »οἰκία γὰρ
ἢ πόλις μερισθεῖσα ἐφ᾽ ἑαυτὴν ὅτι μὴ δύναται στῆναι« ὁ σωτὴρ ἡμῶν
ἀπεφήνατο. ἔτι τε τὴν τοῦ κόσμου δημιουργίαν ⟨αὐτοῦ⟩ ἰδίαν λέγει 6
εἶναι τά τε πάντα δι᾽ αὐτοῦ γεγονέναι καὶ | χωρὶς αὐτοῦ γεγονέναι οὐδὲν D 200
ὁ ἀπόστολος, προαποστερήσας τὴν τῶν ψευδηγορούντων ἀνυπόστατον σοφίαν,
καὶ οὐ φθοροποιοῦ θεοῦ, ἀλλὰ δικαίου καὶ μισοπονήρου· ἀπρονοήτων δέ
ἐστιν ἀνθρώπων ⟨τοῦτο⟩, τῆς προνοίας τοῦ δημιουργοῦ μὴ αἰτίαν λαμβανο-
μένων καὶ μὴ μόνον τὸ τῆς ψυχῆς ὄμμα, ἀλλὰ καὶ τὸ τοῦ σώματος
πεπηρωμένων.

12 Matth. 12, 25 — **14** Joh. 1. 11. 3; vgl. die Auslegung der Stelle bei Herakleon Origenes in Joh. tom. II § 100ff; S. 70, 3ff Preuschen (anders verwertet sie der Valentinianer bei Irenaeus adv. haer. I 8, 5; I 77f Harvey)

V M

2 *τοῦτον* Öh.] *τούτοις* V M **5f** *τοῦδε τοῦ παντός.* ⟨*πάντως δὲ*⟩ *, vgl. S. 456, 19] *τοῦτο δὲ τοῦ παντὸς* V M **6** *διαμαρτόντες* aus *ἁμαρτῶντες* V corr **8** *ἑπόμενον* Pet.] *ἑπόμενος* V M **9** *σφετέρου* aus *ὑφ᾽ ἑτέρου* hergestellt V corr *σφετέρου* M **11** *] *προσήκει* *, *χρὴ* Pet. | ⟨*τὸ*⟩ *ἀδικεῖν* ⟨*ἀν*⟩*αιροῦντα* *, *ἀδικίαν* ⟨*ἀν*⟩*αιροῦντα* Wil.] *ἀδικεῖν αἱροῦντος* V M **11f** * *τῶν — συνορώντων*] ergänze etwa ⟨*τοῦτο γὰρ εἴη τῶν ἀσυνέτων*⟩ * u. übersetze das Nächste: *u. solcher, die keine logische Folge zu erkennen vermögen* vgl. Z. 17f; Wil. schließt das Glied an *ἀδικίαν ἀναιροῦντα* an u. schreibt *τῶν τὸ ἑξῆς τε μὴ συνορώντων* | ⟨*κατὰ*⟩ *; Wil. schreibt ⟨*μήτε*⟩ u. verbindet das Glied mit *συνορώντων* **14** *τε* Wil.] *γε* V M | ⟨*αὐτοῦ*⟩ *ἰδίαν* *, *αὐτοῦ* sc. *τοῦ σωτῆρος* bildet den Gegensatz zu *φθοροποιοῦ θεοῦ* Z. 18] *θείαν* statt *ἰδίαν* Harnack **15** *τά τε* Pet.] *ἅτε* V M | *γεγονέναι*[2] Grabe] *γέγονεν* V M **18** ⟨*τοῦτο*⟩ *, sc. der Glaube, daß die Welt von einem *φθοροποιὸς θεὸς* herrühre | *μὴ αἰτίαν*] *μάτην* Harnack *μυωπίᾳ* Hilgenfeld; aber *αἰτίαν λαμβάνεσθαί τινος* hat den Sinn von »*Kenntnis nehmen*«

οὗτοι μὲν οὖν ὡς διημαρτήκασι τῆς ἀληθείας δῆλόν σοί ἐστιν ἐκ τῶν 7
εἰρημένων. πεπόνθασι δὲ τοῦτο ἰδίως ἑκάτεροι αὐτῶν, οἱ μὲν διὰ τὸ
ἀγνοεῖν τὸν τῆς δικαιοσύνης θεόν, οἱ δὲ διὰ τὸ ἀγνοεῖν τὸν τῶν ὅλων
πατέρα, ὃν μόνος ἐλθὼν ὁ μόνος εἰδὼς ἐφανέρωσε. περιλείπεται δὲ ἡμῖν 8
ἀξιωθεῖσί γε τῆς ἀμφοτέρων τούτων ⟨γνώσεως⟩ ἐκφῆναί σοι καὶ ἀκρι-
βῶσαι αὐτόν τε τὸν νόμον, ποταπός τις εἴη, καὶ τὸν ὑφ᾽ οὗ τέθειται, τὸν
νομοθέτην, ⟨τῶν⟩ ῥηθησομένων ἡμῖν τὰς ἀποδείξεις ἐκ τῶν τοῦ σωτῆρος
ἡμῶν λόγων παριστῶντες, δι᾽ ὧν μόνον ἔστιν ἀπταίστως ἐπὶ τὴν κατάληψιν
τῶν ὄντων ὁδηγεῖσθαι.

4. Πρῶτον οὖν μαθητέον ὅτι ὁ σύμπας ἐκεῖνος νόμος ὁ ἐμπεριεχό- 4, 1
μενος τῇ Μωσέως πεντατεύχῳ οὐ πρὸς ἑνός τινος νενομοθέτηται, λέγω δὴ
οὐχ ὑπὸ μόνου θεοῦ, ἀλλ᾽ εἰσί τινες αὐτοῦ προστάξεις καὶ ὑπ᾽ ἀνθρώπων
τεθεῖσαι. καὶ τριχῇ τοῦτον διαιρεῖσθαι οἱ τοῦ σωτῆρος λόγοι διδάσκουσιν
ἡμᾶς. εἴς τε γὰρ αὐτὸν τὸν θεὸν καὶ τὴν τούτου νο|μοθεσίαν διαιρεῖται, 2 Ö 4
⟨διαιρεῖται⟩ δὲ καὶ εἰς τὸν Μωσέα (οὐ καθὰ δι᾽ αὐτοῦ νομοθετεῖ ὁ θεός,
ἀλλὰ καθὰ ἀπὸ τῆς ἰδίας ἐννοίας ὁρμώμενος καὶ ὁ Μωσῆς ἐνομοθέτησέ
τινα) καὶ εἰς τοὺς πρεσβυτέρους τοῦ λαοῦ διαιρεῖται, ⟨οἱ⟩ καὶ αὐτοὶ
εὑρίσκονται ἐντολάς τινας ἐνθέντες ἰδίας. πῶς οὖν τοῦτο οὕτως ἔχον 3
ἐκ τῶν τοῦ σωτῆρος δείκνυται λόγων, μάθοις ἂν ἤδη. διαλεγόμενός 4
που ὁ σωτὴρ πρὸς τοὺς περὶ τοῦ ἀποστασίου συζητοῦντας αὐτῷ, ὃ δὴ
ἀποστά|σιον ἐξεῖναι νενομοθέτητο, ἔφη αὐτοῖς ὅτι »Μωυσῆς πρὸς τὴν D 201
σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν τὸ ἀπολύειν τὴν γυναῖκα αὐτοῦ. ἀπ᾽ ἀρχῆς
γὰρ οὐ γέγονεν οὕτως. | θεὸς γάρ, φησί, συνέζευξε ταύτην τὴν συζυγίαν, P 218
καὶ ὃ συνέζευξεν ὁ κύριος, ἄνθρωπος, ἔφη, μὴ χωριζέτω«. ἐνταῦθα ἕτερον 5
μὲν ⟨τὸν⟩ τοῦ θεοῦ δείκνυσι νόμον, τὸν κωλύοντα χωρίζεσθαι γυναῖκα ἀπὸ
ἀνδρὸς αὐτῆς, ἕτερον δὲ τὸν τοῦ Μωσέως, τὸν διὰ τὴν σκληροκαρδίαν ἐπι-
τρέποντα χωρίζεσθαι τοῦτο τὸ ζεῦγος. καὶ δὴ κατὰ τοῦτο ἐναντία τῷ 6
θεῷ νομοθετεῖ ὁ Μωσῆς· ἐναντίον γάρ ἐστι τῷ μὴ * διαζευγνύναι. ἐὰν

4 vgl. Matth. 11, 27 (Joh. 1, 18) — 21 Matth. 19, 8. 6

V M

2 *ἑκάτεροι* Harnack] *ἑκάτερος* V M 5 *γε* Dind.] *τε* V M | ⟨*γνώσεως*⟩ Corn. Pet.; zu *ἀμφοτέρων τούτων* ist selbstverständlich *θεῶν* zu ergänzen | *ἐκνηφῆναι, νη* durchgestrichen V corr 7 ⟨*τῶν*⟩ Dind. 8 *παριστῶντες*] Änderung in *παριστῶντας* nicht nötig | *μόνων* Hilgenfeld | *κατάλη|||ψιν, μ* ausradiert V corr 12 *αὐτοῦ* Dind. Öh.] *αὐτῶν* V M 14 *τὸν* < M 15 ⟨*διαιρεῖται*⟩ Öh. | *καθὰ*] *καθ᾽ αὐτὸ* V 17 ⟨*οἱ*⟩ Cornarius | *αὐτοὶ* *] *πρῶτοι* V M 20 *συ|||ζητοῦντας, ν* wegradiert V 23 *συ|||ζυγίαν, ν* ausradiert V 25 ⟨*τὸν*⟩ Klosterm. 26 *Μωυσέως* V M 28 * ⟨*χωρίζειν, τὸ*⟩ Jül. ⟨*τὸ διαζευγνύναι*⟩ *τῷ μὴ διαζευγνύναι* Hilgenfeld

μέντοι καὶ τὴν τοῦ Μωσέως γνώμην, καθ' ἣν τοῦτο ἐνομοθέτησεν, ἐξετάσωμεν, εὑρεθήσεται τοῦτο οὐ κατὰ προαίρεσιν ποιήσας τὴν ἑαυτοῦ, ἀλλὰ κατὰ ἀνάγκην διὰ τὴν τῶν νενομοθετημένων ἀσθένειαν. ἐπεὶ γὰρ τὴν **7** τοῦ θεοῦ γνώμην φυλάττειν οὐκ ἠδύναντο οὗτοι, ἐν τῷ μὴ ἐξεῖναι αὐτοῖς ἐκβάλλειν τὰς γυναῖκας αὐτῶν, αἷς τινὲς αὐτῶν ἀηδῶς συνῴκουν καὶ ἐκινδύνευον ἐκ τούτου ἐκτρέπεσθαι πλέον εἰς ἀδικίαν καὶ ἐκ ταύτης εἰς ἀπώλειαν, τὸ ἀηδὲς τοῦτο βουλόμενος ἐκκόψαι αὐτῶν ὁ Μωσῆς, δι' οὗ καὶ **8** ἀπόλλεσθαι ἐκινδύνευον, δεύτερόν τινα, ὡς κατὰ περίστασιν ἧττον κακὸν ἀντὶ μείζονος ἀντικαταλλασσόμενος, τὸν τοῦ ἀποστασίου νόμον ἀφ' ἑαυτοῦ ἐνομοθέτησεν αὐτοῖς, ἵνα, ἐὰν ἐκεῖνον μὴ δύνωνται φυλάσσειν, κἂν τοῦτόν **9** γε φυλάξωσι καὶ μὴ εἰς ἀδικίας καὶ κακίας ἐκτραπῶσι, δι' ὧν ἀπώλεια αὐτοῖς ἔμελλεν τελειοτάτη ἐπακολουθήσειν. αὕτη μὲν ἡ τούτου γνώμη, **10** καθ' ἣν ἀντινομοθετῶν εὑρίσκεται τῷ θεῷ· πλὴν ὅτι γε Μωσέως αὐτοῦ δείκνυται ἐνταῦθα ἕτερος ὢν παρὰ τὸν τοῦ θεοῦ νόμον, ἀναμφισβήτητόν ἐστι, κἂν δι' ἑνὸς τανῦν ὦμεν δεδειχότες.

ὅτι δὲ καὶ τῶν πρεσβυτέρων εἰσίν τινες συμπεπλεγμέναι παραδόσεις **11** ἐν τῷ νόμῳ, δηλοῖ καὶ τοῦτο ὁ σωτήρ. »ὁ γὰρ θεός« φησίν »εἶπεν, τίμα τὸν πατέρα | σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται. ὑμεῖς δέ, **12** D202 φησίν, εἰρήκατε, τοῖς πρεσβυτέροις λέγων· δῶρον τῷ θεῷ ὃ ἐὰν ὠφεληθῇς ἐξ ἐμοῦ, καὶ ἠκυρώσατε τὸν νόμον τοῦ θεοῦ, διὰ τὴν παράδο|σιν ὑμῶν Ö406 τῶν πρεσβυτέρων. τοῦτο δὲ Ἡσαΐας ἐξεφώνησεν εἰπών· ὁ λαὸς οὗτος **13** τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ. μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων«. σαφῶς **14** οὖν ἐκ τούτων εἰς τρία διαιρούμενος ὁ σύμπας ἐκεῖνος δείκνυται νόμος· Μωσέως τε γὰρ αὐτοῦ καὶ τῶν πρεσβυτέρων καὶ αὐτοῦ τοῦ θεοῦ εὕρομεν νομοθεσίαν ἐν αὐτῷ. | αὕτη μὲν οὖν ἡ διαίρεσις τοῦ σύμπαντος ἐκείνου P219 νόμου ὧδε ἡμῖν διαιρεθεῖσα τὸ ἐν αὐτῷ ἀληθὲς ἀναπέφαγκεν.

5. Πάλιν δὲ δὴ τὸ ἓν μέρος, ὁ αὐτοῦ τοῦ θεοῦ νόμος, διαιρεῖται εἰς **5, 1** τρία τινά· εἴς τε τὴν καθαρὰν νομοθεσίαν τὴν ἀσύμπλοκον τῷ κακῷ, ὅς καὶ κυρίως νόμος λέγεται, ὃν οὐκ ἦλθε καταλῦσαι ὁ σωτὴρ ἀλλὰ πληρῶσαι

17 ff Matth. 15, 4—9 — **30** vgl. Matth. 5, 17

V M

1 *Μωυσέως* V M **2** *εὑρεθήσεται* aus *εὑρεθήσεσθαι* V corr **3** *κατὰ ἀνάγκην* aus *ἀνάγκη* V corr **5** *αἷς τινὲς* Pet.] *αἵτινες* V M **8** *ἀπόλλεσθαι* ist wohl nicht zu ändern **9** *τὸν* aus *τῶν* V corr **10** *τοῦτον*, *ν* oben drüber V corr **14** *ὧν* + ⟨*νόμος*⟩? Harnack; wohl nicht nötig **18** *ἡμεῖς* V **20** *παράδο///σιν*, *ο* aus *ω* V corr *παράδωσιν* M **21** *οὗτο///ς*, *ο* aus *ω* V corr **25** *Μωυσέως* V M

(οὐ γὰρ ἦν ἀλλότριος αὐτοῦ ὃν ἐπλήρωσεν, ⟨ἔδει δὲ πληρώσεως⟩· οὐ γὰρ
εἶχεν τὸ τέλειον) καὶ εἰς τὸν συμπεπλεγμένον τῷ χείρονι καὶ τῇ ἀδικίᾳ,
ὃν ἀνεῖλεν ὁ σωτὴρ ἀνοίκειον ὄντα τῇ ἑαυτοῦ φύσει· διαιρεῖται δὲ καὶ εἰς 2
τὸ τυπικὸν καὶ συμβολικὸν τὸ κατ᾽ εἰκόνα τῶν πνευματικῶν καὶ διαφε-
ρόντων νομοθετηθέν· ὃ μετέθηκεν ὁ σωτὴρ ἀπὸ αἰσθητοῦ καὶ φαινομένου
ἐπὶ τὸ πνευματικὸν καὶ ἀόρατον.

καὶ ἔστι μὲν ὁ τοῦ θεοῦ νόμος, ὁ καθαρὸς καὶ ἀσύμπλοκος τῷ 3
χείρονι, αὐτὴ ἡ δεκάλογος, οἱ δέκα λόγοι ἐκεῖνοι οἱ ἐν ταῖς δυσὶ πλαξὶ
δεδιχασμένοι, εἴς τε ἀναίρεσιν τῶν ἀφεκτέων καὶ εἰς πρόσταξιν τῶν ποιη-
τέων, οἳ καίπερ καθαρὰν ἔχοντες τὴν νομοθεσίαν, μὴ ἔχοντες δὲ τὸ τέλειον,
ἐδέοντο τῆς παρὰ τοῦ σωτῆρος πληρώσεως.

ὁ δέ [ἐστι] συμπεπλεγμένος τῇ ἀδικίᾳ, οὗτος ὁ κατὰ τὴν ἄμυναν καὶ 4
ἀνταπόδοσιν τῶν προαδικησάντων κείμενος, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ
ὀδόντα | ἀντὶ ὀδόντος ἐκκόπτεσθαι κελεύων καὶ φόνον ἀντὶ φόνου ἀμύνασθαι· D203
οὐδὲν γὰρ ἧττον καὶ ὁ δεύτερος ἀδικῶν ἀδικεῖ, τῇ τάξει μόνον διαλλάσσων
τὸ αὐτὸ ἐργαζόμενος ἔργον. τοῦτο δὲ τὸ πρόσταγμα δίκαιον μὲν ἄλλως 5
καὶ ἦν καὶ ἔστι, διὰ τὴν ἀσθένειαν τῶν νομοθετηθέντων ἐν παρεκβάσει
τοῦ καθαροῦ νόμου τεθέν, ἀνοίκειον δὲ τῇ τοῦ πατρὸς τῶν ὅλων φύσει
τε καὶ ἀγαθότητι. ἴσως δὲ τοῦτο κατάλληλον, ἐπάναγκες δὲ μᾶλλον· ὁ 6
γὰρ καὶ τὸν ἕνα φόνον οὐ βουλόμενος ἔσεσθαι ἐν τῷ λέγειν »οὐ φονεύσεις«,
προστάξας τὸν φονέα ἀντιφονεύεσθαι, δεύτερον νόμον νομοθετῶν καὶ δυσὶ
φόνοις βραβεύων ὁ τὸν ἕνα ἀπαγορεύσας ἔλαθεν ἑαυτὸν ὑπ᾽ ἀνάγκης
κλαπείς. διὸ δὴ ὁ ἀπ᾽ ἐκείνου παραγενόμενος υἱὸς τοῦτο τὸ μέρος τοῦ 7
νόμου ἀνῄρηκεν, ὁμολογήσας καὶ αὐτὸ εἶναι τοῦ θεοῦ, ⟨ὥσπερ⟩ ἔν τε
τοῖς ἄλλοις | † καταριθμεῖται τῇ παλαιᾷ αἱρέσει καὶ ἐν οἷς ἔφη »ὁ θεὸς Ö408
εἰπών· ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω«.

13 vgl. Matth. 5, 38 Lev. 24, 20 — **20** Exod. 20, 13 — **25** Matth. 15, 4

V M

1 ⟨ἔδει δὲ πληρώσεως⟩ *, vgl. Z. 11 **2** *τὸν*] *τὸ* V | *συμπεπλεγμένον*, *ε* oben drüber V^{corr} | *χείρο///νι*, *ο* aus *ω* V^{corr} **2f** *τῇ ἀδικίᾳ ὃν* Pet.] *τὴν ἀδικίαν ἣν* V M **4** *πνευματικῶν καὶ* Pet., vgl. S. 455, 1] *κατ᾽ εἰκόνα* (wiederholt) V M **5** *νομοθετηθὲν*, *θὲν* auf Rasur V^{corr} | *δ* hineingeflickt V^{corr} **9** *ἀφεκτέων* Corn.] *ἀφθέγκτων* V M **12** [*ἐστι*] * **18** *τῇ*] *τῆς* M **19** *τοῦτο*] *τούτῳ*? Harnack; aber der Sinn ist, daß dieses (sc. Gebot: Blut um Blut) vielleicht zweckmäßig, aber doch nur aus einer Notlage zu begreifen ist **24** *αὐτὸ* vermutungsweise Harnack] *αὐτὸς* V M; die Erläuterung bringt Z. 25f: indem Jesus das (gleichfalls eine Todesstrafe ankündigende) alttestamentliche Wort mit der Formel *ὁ θεὸς εἰπών* einführt, bekennt er, daß auch dieser Teil des Gesetzes von Gott herrührt | ⟨*ὥσπερ*⟩ * **25** † *καταριθμεῖται*] lies wohl *συγκατατέθειται* *

τὸ δέ ἐστι μέρος αὐτοῦ τυπι|κόν, τὸ κατ᾽ εἰκόνα τῶν πνευματικῶν 8 P225
καὶ διαφερόντων κείμενον, τὰ ἐν προσφοραῖς λέγω καὶ περιτομῇ καὶ
σαββάτῳ καὶ νηστείᾳ καὶ πάσχα καὶ ἀζύμοις καὶ τοῖς τοιούτοις νομοθετη-
θέντα. πάντα γὰρ ταῦτα, εἰκόνες καὶ σύμβολα ὄντα, τῆς ἀληθείας 9
φανερωθείσης μετετέθη· κατὰ μὲν τὸ φαινόμενον καὶ ⟨τὸ⟩ σωματικῶς ἐκτε-
λεῖσθαι ἀνῃρέθη, κατὰ δὲ τὸ πνευματικὸν ἀνελήφθη, τῶν μὲν ὀνομάτων τῶν
αὐτῶν μενόντων, ἐνηλλαγμένων δὲ τῶν πραγμάτων. καὶ γὰρ προσφορὰς 10
προσφέρειν προσέταξεν ἡμῖν ὁ σωτήρ, ἀλλ᾽ οὐχὶ τὰς δι᾽ ἀλόγων ζῴων ἢ
τούτων τῶν θυμιαμάτων, ἀλλὰ διὰ πνευματικῶν αἴνων καὶ δοξῶν καὶ
εὐχαριστίας καὶ διὰ τῆς εἰς τοὺς πλησίον κοινωνίας καὶ εὐποιίας. καὶ 11
περιτομὴν περιτετμῆσθαι ἡμᾶς βούλεται, ἀλλ᾽ οὐχὶ τῆς ἀκροβυστίας τῆς
σωματικῆς, ἀλλὰ καρδίας τῆς πνευματικῆς. καὶ τὸ σάββατον ⟨δὲ⟩ φυλάσσειν· 12 D204
ἀργεῖν γὰρ θέλει ἡμᾶς ἀπὸ τῶν ἔργων τῶν πονηρῶν. καὶ νηστεύειν δέ· 13
ἀλλὰ οὐχὶ τὴν σωματικὴν βούλεται νηστείαν ἡμᾶς νηστεύειν, ἀλλὰ τὴν
πνευματικήν, ἐν ᾗ ἐστιν ἀποχὴ πάντων τῶν φαύλων. φυλάσσεται μέντοι
γε καὶ παρὰ τοῖς ἡμετέροις ἡ κατὰ τὸ φαινόμενον νηστεία, ἐπεὶ καὶ ψυχῇ
τι συμβάλλεσθαι δύναται αὕτη μετὰ λόγου γινομένη, ὁπότε μηδὲ διὰ τὴν
πρός τινας μίμησιν γίνεται μήτε διὰ τὸ ἔθος μήτε διὰ τὴν ἡμέραν, ὡς
ὡρισμένης ⟨εἰς⟩ τοῦτο ἡμέρας. ἅμα δὲ καὶ εἰς ἀνάμνησιν τῆς ἀληθινῆς 14
νηστείας, ἵνα οἱ μηδέπω ἐκείνην δυνάμενοι νηστεύειν ἀπὸ τῆς κατὰ τὸ
φαινόμενον νηστείας ἔχωσι τὴν ἀνάμνησιν αὐτῆς. καὶ τὸ πάσχα δὲ ὁμοίως 15
καὶ τὰ ἄζυμα, ὅτι εἰκόνες ἦσαν, δηλοῖ καὶ Παῦλος ὁ ἀπόστολος »τὸ δὲ
πάσχα ἡμῶν, λέγων, ἐτύθη Χριστός«, καί »ἵνα ἦτε, φησίν, ἄζυμοι, μὴ
μετέχοντες ζύμης (ζύμην δὲ νῦν τὴν κακίαν λέγει), ἀλλ᾽ ἦτε νέον φύραμα«.
6. Οὕτως γοῦν καὶ αὐτὸς ὁ τοῦ θεοῦ εἶναι νόμος ὁμολογούμενος εἰς 6, 1
τρία διαιρεῖται, εἴς τε τὸ πληρούμενον ἀπὸ τοῦ σωτῆρος (τὸ γάρ »οὐ
φονεύσεις, οὐ μοιχεύσεις, οὐκ ἐπιορκήσεις« ἐν τῷ μηδ᾽ ὀργισθῆναι μηδὲ
ἐπιθυμῆσαι μηδὲ ὀμόσαι περιείληπται)· διαιρεῖται δὲ καὶ εἰς τὸ ἀναιρού- 2
μενον τελείως. τὸ γάρ »ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος«
συμπεπλεγμένον τῇ ἀδικίᾳ καὶ αὐτὸ ἔργον τῆς ἀδικίας ἔχον, ἀνῃρέθη ὑπὸ
τοῦ σωτῆρος διὰ τῶν ἐναντίων. τὰ δὲ ἐναντία ἀλλήλων ἐστὶν ἀναιρετικά· | 3 P221
»ἐγὼ γὰρ λέγω ὑμῖν μὴ ἀντιστῆ|ναι ὅλως τῷ πονηρῷ, ἀλλὰ ἐάν τίς σε Ö410

22 I Kor. 5, 7 — **26** Matth. 5, 21ff — **29** Matth. 5, 38 — **32** Matth. 5, 39

V M

2 *διαφερόντων* Pet.] *διαφερόντως* V M | *τὰ*] *τὸ* M **5** ⟨*τὸ*⟩ * **6** *ἀνε-λή///φθη*, *μ* getilgt V corr **12** ⟨*δὲ*⟩ * **14** *σωματικὴν* + *νηστείαν* (also das Wort zweimal) M **19** ⟨*εἰς*⟩ Pet. **24** vor *ζύμης* + *τῆς* M | *δὲ* Dind. Öh.] *τε* V M **25** *οὕτως* Grabe] *οὗτος* V M **26** *τε* hineingeflickt V corr

ῥαπίσῃ, στρέψον αὐτῷ καὶ τὴν ἄλλην σιαγόνα«. διαιρεῖται δὲ καὶ εἰς 4
τὸ μετατεθὲν καὶ ἐναλλαγὲν ἀπὸ τοῦ σωματικοῦ ἐπὶ τὸ πνευματικόν, τὸ
συμβολικὸν τοῦτο ⟨τὸ⟩ κατ᾽ εἰκόνα τῶν διαφερόντων νενομοθετημένον. αἱ 5
γὰρ εἰκόνες καὶ τὰ σύμβολα παραστατικὰ ὄντα ἑτέρων πραγμάτων καλῶς | D205
ἐγίνοντο μέχρι μὴ παρῆν ἡ ἀλήθεια· παρούσης δὲ τῆς ἀληθείας τὰ τῆς
ἀληθείας δεῖ ποιεῖν, οὐ τὰ τῆς εἰκόνος. ταῦτα δὲ καὶ οἱ μαθηταὶ αὐτοῦ 6
καὶ ὁ ἀπόστολος Παῦλος ἔδειξε, τὸ μὲν τῶν εἰκόνων, ὡς ἤδη εἴπομεν, διὰ
τοῦ πάσχα καὶ τῶν ἀζύμων δείξας δι᾽ ἡμᾶς, τὸ δὲ τοῦ συμπεπλεγμένου
νόμου τῇ ἀδικίᾳ, εἰπών »τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι κατηργῆσθαι«.
τὸ δὲ τοῦ ἀσυμπλόκου τῷ χείρονι, »ὁ μὲν νόμος« εἰπών »ἅγιος, καὶ ἡ
ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή«.

7. Ὡς μὲν οὖν συντόμως ἔστιν εἰπεῖν, αὐτάρκως οἶμαί σοι δεδεῖχθαι 7, 1
καὶ τὴν ἐξ ἀνθρώπων παρεισδύσασαν νομοθεσίαν καὶ αὐτὸν τὸν τοῦ θεοῦ
νόμον τριχῇ διαιρούμενον. περιλείπεται δὲ ἡμῖν τίς ποτέ ἐστιν οὗτος ὁ 2
θεὸς ὁ τὸν νόμον θέμενος. ἀλλὰ καὶ τοῦτο ἡγοῦμαί σοι δεδεῖχθαι ἐπὶ
τῶν προειρημένων, εἰ ἐπιμελῶς ἀκήκοας. εἰ γὰρ μήτε ὑπ᾽ αὐτοῦ τοῦ 3
τελείου θεοῦ τέθειται οὗτος, ὡς ἐδιδάξαμεν, μήτε μὴν ὑπὸ τοῦ διαβόλου,
ὃ μηδὲ θεμιτόν ἐστιν εἰπεῖν, ἕτερός τίς ἐστι παρὰ τούτους οὗτος ὁ θέμενος
τὸν νόμον. οὗτος δὲ δημιουργὸς καὶ ποιητὴς τοῦδε τοῦ παντός ἐστι 4
κόσμου καὶ τῶν ἐν αὐτῷ· ἕτερος ὢν παρὰ τὰς τούτων οὐσίας μέσος ⟨τε⟩
τούτων καθεστώς, ἐνδίκως καὶ τὸ τῆς μεσότητος ὄνομα ἀποφέροιτο ἄν.
καὶ εἰ ὁ τέλειος θεὸς ἀγαθός ἐστι κατὰ τὴν ἑαυτοῦ φύσιν, ὥσπερ καὶ 5
ἔστιν (ἕνα γὰρ μόνον εἶναι ἀγαθὸν θεὸν τὸν ἑαυτοῦ πατέρα ὁ σωτὴρ
ἡμῶν ἀπεφήνατο, ὃν αὐτὸς ἐφανέρωσεν), ἔστι δὲ καὶ ὁ τῆς τοῦ ἀντικει-
μένου φύσεως κακός τε καὶ πονηρὸς ἐν ἀδικίᾳ χαρακτηριζόμενος, τούτων
δὲ οὖν μέσος καθεστὼς καὶ μήτε ἀγαθὸς ὢν μήτε μὴν κακὸς μήτε ἄδικος,
ἰδίως γε λεχθείη ἂν δίκαιος, τῆς κατ᾽ αὐτὸν δικαιοσύνης ὢν βραβευτής.
καὶ ἔσται μὲν καταδεέστερος τοῦ τελείου θεοῦ καὶ τῆς ἐκείνου δικαιοσύνης 6
ἐλάττων οὗτος ὁ θεός, ἅτε δὴ καὶ γεννητὸς ὢν καὶ οὐκ ἀγέννητος | (εἷς D206

9 Ephes. 2, 15 — **10** Röm. 7, 12 — **23** vgl. Matth. 19, 17

V M

1 *σιαγῶνα* M | *διαιρεῖται* *] *ἀλληγορεῖται* V M **3** ⟨*τὸ*⟩ Harnack **5** *ἡ* angeflickt V^{corr} **6** *δεῖ* aus *δὴ* V^{corr} **7** *τὸ μὲν* Oporinus] *τὸν μὲν* V M | *εἶπο///μεν*, *ο* aus *ω* V^{corr} **10** *ἡ* hineingeflickt V^{corr} **13** *παρεισδύσαν* V **14** *ἡμῖν* + *δεῖξαι*⟩? * + ⟨*τὸ*⟩ Jül. | *ποτέ ἐστιν* nachgetragen V^{corr} | *οὗτο ς*, *ο* aus *ω* V^{corr} **20** ⟨*τε*⟩ * **25** *φύσεως*] *δυνάμεως*, aber am Rande dafür *φύσεως* V^{corr} **26** *δὲ*] *δὴ* Hilgenfeld **27** *γε* *] *τε* V M

γάρ ἐστιν ἀγέννητος ὁ πατήρ, | ἐξ οὗ τὰ πάντα, ἰδίως τῶν πάντων ἠρτη- P222
μένων ἀπ᾽ αὐτοῦ), μείζων δὲ καὶ κυριώτερος τοῦ ἀντικειμένου γενήσεται
καὶ ἑτέρας οὐσίας τε καὶ φύσεως πεφυκὼς παρὰ τὴν ἑκατέρων τούτων
οὐσίαν. τοῦ μὲν γὰρ ἀντικειμένου ἐστὶν ἡ οὐσία φθορά τε καὶ σκότος 7
(ὑλικὸς γὰρ οὗτος καὶ πολυσχιδής), τοῦ δὲ πατρὸς τῶν ὅλων τοῦ ἀγεννήτου
ἡ οὐσία ἐστὶν ἀφθαρσία τε καὶ φῶς αὐτοόν, ἁπλοῦν τε καὶ | μονοειδές· Ö412
ἡ δὲ τούτου οὐσία διττὴν μέν τινα δύναμιν προήγαγεν, αὐτὸς δὲ τοῦ
κρείττονός ἐστιν εἰκών. μηδέ σε τανῦν τοῦτο θορυβείτω, θέλουσαν 8
μαθεῖν πῶς ἀπὸ μιᾶς ἀρχῆς τῶν ὅλων, ⟨ἁπλῆς⟩ οὔσης τε καὶ ὁμολογου-
μένης ἡμῖν καὶ πεπιστευμένης, τῆς ἀγεννήτου καὶ ἀφθάρτου καὶ ἀγαθῆς,
συνέστησαν καὶ αὗται αἱ φύσεις, ἥ τε τῆς φθορᾶς καὶ ⟨ἡ⟩ τῆς μεσότητος,
ἀνομοούσιοι αὗται καθεστῶσαι, τοῦ ἀγαθοῦ φύσιν ἔχοντος τὰ ὅμοια ἑαυτῷ
καὶ ὁμοούσια γεννᾶν τε καὶ προφέρειν. μαθήσῃ γάρ, θεοῦ διδόντος, ἐξῆς 9
καὶ τὴν τούτων ἀρχήν τε καὶ γέννησιν, ἀξιουμένη τῆς ἀποστολικῆς παρα-
δόσεως, ἣν ἐκ διαδοχῆς καὶ ἡμεῖς παρειλήφαμεν μετὰ καὶ τοῦ κανονίσαι
πάντας τοὺς λόγους τῇ τοῦ σωτῆρος ἡμῶν διδασκαλίᾳ.

ταῦτά σοι, ὦ ἀδελφή μου Φλώρα, δι᾽ ὀλίγων εἰρημένα οὐκ ἠτόνησα 10
καὶ τὸ τῆς συντομίας προέγραψα ἅμα τε τὸ προκείμενον ἀποχρώντως
ἐξέφηνα, ἃ καὶ εἰς τὰ ἑξῆς τὰ μέγιστά σοι συμβαλεῖται, ἐάν γε ὡς καλὴ
γῆ καὶ ἀγαθὴ γονίμων σπερμάτων τυχοῦσα τὸν δι᾽ αὐτῶν καρπὸν ἀνα-
δείξῃς.

Πτολεμαίου πρὸς Φλώραν ἐπληρώθη.

8. *Τίς δὲ τούτων τῶν ῥημάτων καὶ τῆς τοῦ γόητος τούτου καὶ* 8, 1
[τῆς] τῶν σὺν αὐτῷ ἀνέξεται φρενοβλαβείας, Πτολεμαίου δέ φημι καὶ

1 vgl. I Kor. 8, 6 — **19f** vgl. Matth. 13, 8f

V M

1 *ἀγέννητος* am Rande nachgetragen V corr **3** *πεφυκὼς* + ⟨*εὑρεθήσεται*⟩? * **5** *πολυσδὴς* M **7** hinter *προήγαγεν* vermuten Stieren u. Harnack eine Lücke, Stieren ergänzt ⟨*τόν τε διάβολον καὶ τὸν δημιουργόν*⟩; aber *τούτου* muß sich, wie sowohl das Vorhergehende, als auch das folgende *αὐτὸς* schlechthin fordert, auf den *δημιουργὸς* beziehen. Die *διττὴ δύναμις*, die er hervorbringt, ist die zwischen Licht u. Finsternis geteilte d. h. die *μεσότης*; vgl. S. 456, 21 u. 457, 11 **8** *τοῦτο* am Rande nachgetragen V corr **9** ⟨*ἁπλῆς*⟩ *, vgl. Z. 6] *μιᾶς* Harnack **10** *τῆς* Pet.] *τοῦ* V M **11** ⟨*ἡ*⟩ Dind. **14** *τούτων* Stieren] *τούτου* V M **17** *ἠτόνησα*] *ἐφθόνησα* Pet. (Verschlechterung) **18** *τε* *] *μὲν* V M | *ἀποχρόντως* M **20** *τὸν*] *τῶν* M **24** [*τῆς*] * | *φρενοβλαβίας* aus *φραινοβλαβείας* V corr *φρενοβλαβίας* M | *δέ* *] *τε* V M

τῶν ἀμφ᾽ αὐτόν, εἰς | τοσοῦτον κυκώντων καὶ καττυόντων πλά- D207
σματα; οὔτε γὰρ τῶν παλαιῶν τραγῳδοποιῶν τις οὔτε οἱ καθεξῆς 2
μιμηλοὶ τὸν τρόπον, οἱ περὶ Φιλιστίωνα λέγω καὶ Διογένη τὸν τὰ
ἄπιστα γράψαντα ἢ οἱ ἄλλοι πάντες οἱ τοὺς μύθους ἀναγεγραφότες
καὶ ῥαψῳδήσαντες, τοσοῦτον ψεῦδος ἠδυνήθησαν ἐκτυπῶσαι, ὡς 3
οὗτοι | τολμηρῶς φερόμενοι κατὰ τῆς ἑαυτῶν ζωῆς φεινὰ ἑαυτοῖς P223
κατεσκεύασαν καὶ τὸν νοῦν τῶν πειθομένων αὐτοῖς ἀνθρώπων εἰς
μωρὰς ζητήσεις περιέβαλον καὶ γενεαλογίας ἀπεράντους, αὐτοὶ τὰ ἐν 4
χερσὶ μὴ ἐπιστάμενοι καὶ τὰ ἐπουράνια ἐπαγγελλόμενοι μέτροις τισὶν
ὁροθετεῖν καί τινων μαιωτικῶν μητρῶν ὡς ἐπουρανίων, τῶν οὐκ
οὐσῶν ὡς ὑπαρχουσῶν ἐπιστήμας ἀναδεχόμενοι. ἀκούσας δέ τις 5
παρὰ τούτων, εἰ μὲν τῶν ἀφρονεστάτων εἴη, τῷ ψεύδει νομίζων τι
παρ᾽ αὐτοῖς μετάρσιον ἐγνωκέναι ῥᾳδίως ὑπαχθήσεται (»ὅτι πᾶν
ὄρνεον κατὰ γένος συνάγεται, καὶ τῷ ὁμοίῳ κολληθήσεται ἀνήρ«,
φησὶν ἡ γραφή)· εἰ δέ τις περιτύχοι αὐτοῖς τῶν συνετῶν καὶ τὸν 6
εὔλογον λογισμὸν κεκτημένων, καταγελάσει μὲν τῆς | τοσαύτης ληρῳ- Ö414
δίας, ἀπ᾽ αὐτῆς δὲ τῆς ὑποθέσεως τῶν παρ᾽ αὐτοῖς λεγομένων τὴν
ἀνατροπὴν εἴσεται. ἐλέγχονται γὰρ οὗτοι παντάπασι, καθ᾽ ἑαυτῶν
ὁπλιζόμενοι τὰ ψεύδη τῆς αὐτῶν ματαιοπονίας.
πόθεν γὰρ ὑμῖν, ὦ οὗτοι Πτολεμαῖοί τε καὶ Πτολεμαῖαι, τοῦ 7
Βυθοῦ τὰ μέτρα καὶ αἱ μαιώσεις τῶν τοκετῶν καὶ γεννητικῶν ὑπο-
θέσεων ἡ γνῶσις; ὡς γὰρ παρόντες καὶ τῶν ἐπουρανίων τὰς 8
φύσεις θεασάμενοι καὶ ὡς αὐτοῦ προόντες τοῦ παρ᾽ ὑμῖν Βυθοῦ
καλουμένου, ἐπαγγέλλεσθε τὴν εἴδησιν ἡμῖν ὑποδεικνύναι, οὐδενὸς 9
πώποτε τῶν προφητῶν τοῦτο εἰρηκότος, οὐκ αὐτοῦ Μωυσέως οὐ
τῶν πρὸ αὐτοῦ οὐ τῶν μετ᾽ αὐτὸν οὐ τῶν εὐαγγελιστῶν οὐ τῶν
ἀποστόλων, εἰ μὴ ἄρα τὰ ἐθνόμυθα ποιήματα εἴποις τῶν περὶ
Ὀρφέα | τε καὶ Ἡσίοδον καὶ Ἰκέσιον καὶ Στησίχορον, παρ᾽ οἷς αἱ τῶν D208
ἀνθρώπων γενεαὶ μετεποιήθησαν εἰς θεῶν ἐπωνυμίας καὶ τὰ ἐν
ἀνθρώποις τετελεσμένα ποιητικῶς ἐδραματουργήθη. κἀκεῖνοι γὰρ 10

8 vgl. I Tim. 1, 4 — 13 Sir. 13, 16 — 27 vgl. oben haer. 31, 2, 4ff; S. 384, 11ff

V M

1 *κυκ///ώντων*, aus *κυκλούντων* V corr | *κατᾰτυόντων*, *ᾰ* getilgt V corr 10 zu *μαιωτικῶν μητρῶν*, vgl. Z. 21 | *ὡς* hineingeflickt V corr 12 *νομίζων τι* Pet.] *νομίζοντι* V M 13 lies *παρ᾽ αὐτῶν*? * 15 *τὸν*, lies vielleicht *τῶν* * 20 *ὑμῖν ὦ οὗτοι* aus *οὗτοι ὦ ὑμῖν* V corr *ὑμῖν οὗτοι ὦ* M 23 *αὐτοῦ* *] *αὐτοὶ*, *οἱ* auf Rasur V corr *αὐτοὶ* M 24 *ἡμῖν* *] *ὑμῖν* V M 28 *Στησίχρονον* V M

οὕτως ἐνόμισαν, ἐκθειάσαντές ⟨τε⟩ τοὺς περὶ Δία καὶ Ῥέαν καὶ Ἥραν καὶ Ἀθηνᾶν καὶ Ἀπόλλωνα καὶ Ἀφροδίτην καὶ τὰς τούτων κακίας γονὰς τιμήσαντες, εἰς φαντασίαν πολυθεΐας καὶ εἰδωλολατρείας τὸν κόσμον ἐνέβαλον. ἀλλὰ οὐκέτι μοι πολλή τις χρεία γενήσεται εἰς 11
τὴν σοῦ, ὦ Πτολεμαῖε, ἀνατροπήν τε καὶ ἔλεγχον καὶ τῶν κατὰ σέ. ἤδη τῶν σῶν προπατόρων τὸν ἔλεγχον ἱκανῶς εἰληφότων. διὰ δὲ τῶν προειρημένων τὴν κατὰ σοῦ αἰσχύνην συστησάμενος διέξειμι τὴν τῶν ἑτέ|ρων πλάνην, θεὸν ἐπικαλούμενος ἐπίκουρον τῆς ἡμῶν P224
μετριότητος, ὅπως τὴν παρ' ἑκάστῳ ἔθνει κακῶς ἐπινενοημένην ὑπόθεσιν φωράσω τε καὶ θριαμβεύσω, ἐπὶ τῇ ἐπαγγελίᾳ τῆς σπουδῆς παρὰ θεοῦ αἰτούμενος τὴν χάριν.

9. Ἵνα δὲ μὴ ἀβασάνιστα ᾖ τὰ τρία σου λεξείδια, ἃ δὴ πρὸς 9, 1
Φλώραν τὸ γύναιον ἐπιστέλλων ἐκομπάσω, ⟨ὦ⟩ Πτολεμαῖε (ἀεὶ γὰρ αἱ ὀφιώδεις διδασκαλίαι γυναικάρια σεσωρευμένα ἁμαρτίαις ἀπατῶσι, κατὰ τὸν τοῦ ἀποστόλου λόγον), [καὶ] αὐτὰς δὴ τὰς λέξεις καιρίως ἐνταῦθα παραθέμενος, καὶ τὴν αὐτῶν ἀνατροπήν, ἀναγκαίαν οὖσαν εἰς τὸ μὴ καταλειφθῆναι ῥίζαν τῆς ζιζανιώδους σου σπορᾶς, ἑξῆς ἀκολούθως ποιήσομαι.

Φάσκεις γάρ, ὦ οὗτος, τὸν νόμον τριχῇ διηρῆσθαι καὶ τὸ μὲν 2
ἔχειν τι ἐκ τοῦ θεοῦ, τὸ δὲ ἐκ Μωυσέως, τὸ δὲ ἐκ τῶν πρεσβυτέρων. καὶ ὅτι μὲν ⟨ὅπερ⟩ ἐκ τῶν πρεσβυτέρων οἴει γεγραμμένον οὐκ ἔχεις 3
που ἀποδεῖξαι, τοῦτό ἐστι δῆλον. οὐδαμοῦ γὰρ ἐν νόμῳ ἐμφέρονται αἱ τῶν πρεσβυτέρων παραδόσεις. ἀλλὰ | ἀγνοῶν καὶ τὰς βίβλους καὶ D209
τὴν ἀλήθειαν φαντάζῃ συκοφαντῶν καὶ τὰς ἀκολουθίας † ἀγνοῶν ἑκάστης ἀκριβοῦς εἰδήσεως. αἱ γὰρ παραδόσεις τῶν πρεσβυτέρων 4
δευ|τερώσεις παρὰ τοῖς Ἰουδαίοις λέγονται. εἰσὶ δὲ αὗται τέσσαρες· Ö416
μία μὲν ἡ εἰς ὄνομα Μωυσέως φερομένη, δευτέρα δὲ ἡ τοῦ καλουμένου Ῥαββὶ Ἀκίβα, τρίτη Ἀδδᾶ ἤτοι Ἰούδα, τετάρτη τῶν υἱῶν

8 *τῶν ἑτέρων*, gemeint sind die nächstfolgenden Häresen — **13 f** vgl. II Tim. 3, 6 — **25 ff** vgl. zu haer. 15, 2, 1; S. 209, 29 ff

V M

1 ⟨*τε*⟩ * | *Δία*///, *ν* wegradiert V corr *Δίαν* M **2** *κακίας* ist, als Genitiv gefaßt, unanstößig **5 f** *καὶ τῶν — ἔλεγχον* < M **6** vor *ἤδη* ein *καὶ* getilgt V corr **13** *ἐκομπάσω*, *α* auf Rasur V corr | ⟨*ὦ*⟩ U | *ἀεὶ*] *ἃ δεῖ* M **15** [*καὶ*] * **16** *παραθέμενος* *] *παραθήσομαι* V M **18** *ποιήσο*///*μαι*, *ο* aus *ω* V **19** *τὸ*] *τὸ*///, *ν* wegradiert V corr **21** ⟨*ὅπερ*⟩ * **24** † *ἀγνοῶν*] vom Abschreiber aus Z. 23 wiederholt; lies wohl *ἀλλοιῶν* *

Ἀσαμωναίου. ἐπεὶ ποῦ ἔχεις, φιλόνεικε καὶ ἀκατάστατε τὴν γνώμην, δεῖξαι ἐν ταῖς πέντε βίβλοις τῆς πεντατεύχου καὶ θεοῦ νομοθεσίας ὅτι ἐρρήθη ὁ λόγος ὁ παρὰ τῷ σωτῆρι εἰρημένος »⟨ὃς⟩ ἐρεῖ τῷ πατρὶ αὐτοῦ κορβὰν ὅ ἐστι δῶρον, οὐκ ὠφεληθήσεταί τι ἐξ αὐτοῦ«; ἀλλὰ οὐκ ἔχεις δεῖξαι. ἆρα γοῦν ἐξέπεσέ σου ὁ λόγος, τοῦ ῥήματος οὐδαμοῦ ἐν τῇ πεντατεύχῳ ἐμφερομένου, καὶ μάτην τὴν ὑπὸ σοῦ ἠπατημένην Φλώραν ἐφάντασας. τὰ δὲ ὑπὸ Μωυσέως * οὐκ ἐκτὸς τοῦ θεοῦ καὶ αὐτὰ ἐνομοθετήθη, ἀλλὰ ἐκ τοῦ θεοῦ διὰ Μωυσέως, ὃ καὶ ἐξ αὐτῆς τῆς τοῦ σωτῆρος ἐπικρίσεως δείκνυται. αὐτὰς γὰρ ἃς παρήγαγες μαρτυρίας κατὰ σαυτοῦ ἐπισυνήγαγες. φάσκει γὰρ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ ὅτι »Μωυσῆς ἔγραψεν κατὰ τὴν σκληροκαρδίαν ὑμῶν«· ὃ δὲ ἔγραψε Μωυσῆς οὐκ ἐκτὸς βουλήσεως θεοῦ ἔγραψεν, ἀλλ' ἐκ πνεύ|ματος ἁγίου ἐνομοθέτησε. λέγει γὰρ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ· P225 »ὃ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω«. καὶ πῶς συνέζευξεν, διεξῆλθεν * τὸ ῥῆμα ἵνα μάθωμεν λέγων »ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ καὶ κολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν«. εἶτα ἐπιφέρει λέγων »ὃ οὖν ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω«· καίτοι γε οὐδαμοῦ τοῦ κυρίου τοῦτο εἰρηκότος, ὁπηνίκα τὸν Ἀδὰμ καὶ τὴν Εὔαν ἔπλασεν ἢ μόνον »ποιήσωμεν αὐτῷ κατ' αὐτὸν βοηθόν«. ἀλλὰ τοῦτο ὑπὸ τοῦ Ἀδὰμ εἴρηται, ὅτε ἀνέστη ἐκ τοῦ ὕπνου καὶ εἶπεν »τοῦτο νῦν ὀστοῦν | ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· D210 αὕτη κληθήσεται γυνὴ ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὕτη«· εἶτά φησιν »ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ κολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν«. οὐ τοῦ θεοῦ τοίνυν τοῦτο εἰπόντος, τοῦ δὲ Ἀδὰμ εἰρηκότος, τοῦ κυρίου δὲ ἐπιμαρτυροῦντος ἐν τῷ εὐαγγελίῳ θεοῦ εἶναι τὸ ῥῆμα τὸ διὰ τοῦ Ἀδὰμ εἰρημένον, ἀπ' αὐτῆς τῆς ὑποθέσεως ἔδειξεν, ὅτι ἐκεῖ μὲν Ἀδὰμ εἴρηκεν θεοῦ δὲ βουλήσει ἐφθέγγετο καὶ ὧδε ὁ Μωυσῆς ἐνομοθέτησεν θεοῦ αὐτῷ καταγγείλαντος τὴν νομοθεσίαν. καὶ αὗται μὲν ἤδη αἱ δύο σου λέξεις διέπεσον, καὶ

3 Mark. 7, 11 — **11** Matth. 19, 8 — **14** Matth. 19, 6 — **15** Matth. 19, 5 — **20** Gen. 2, 18 — **22** Gen. 2, 23 — **24** Gen. 2, 24

V M

3 ⟨ὃς⟩ Ausgg. **7** * ⟨νομοθετηθέντα⟩ * **15** * etwa ⟨συνιστάνων⟩ * **16** αὐτοῦ² < M **18** ὃ οὖν nachgetragen V corr **29** *βουλήσει* *] *βούλησ///ις*, ι aus ει V corr *βούλησις* M

οὐ πόρρωθεν, ἀλλὰ ἀπ᾽ αὐτῆς τῆς χρήσεως. καὶ ὅτι μὲν νομοθεσία 13
θεοῦ ἔστιν, τοῦτο δῆλον. πανταχοῦ δὲ θεὸς νομοθετεῖ τὰ μὲν εἰς
χρόνους, τὰ δὲ εἰς τύπους, τὰ δὲ εἰς ἀποκάλυψιν τῶν μελλόντων
ἔσεσθαι ἀγαθῶν, ὧν ἐλθὼν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἔδειξε τὴν
πλήρωσιν ἐν τῷ εὐαγγελίῳ.

10. Τὰ δὲ τῆς παρὰ σοὶ ἑτέρας θεῶν διαιρέσεως τριχῆ πάλιν 10, 1
διαιρεθείσης ἐπαναλαβὼν καὶ αὐτὰ δείξω παρὰ σοὶ σεσυκοφαντημένα
καὶ οὐκ | ἄλλο τι ὂν ἀλλὰ γόητος τὸ ἔργον. ποῖος γὰρ ἡμῖν τρίτος 2 Ö418
θεὸς πάρεστιν, ἐκ δύο συσταθεὶς ὁμοιωμάτων καὶ οὔθ᾽ ἕτερον ὢν
τῶν δύο, οὔτε τὴν κακίαν ἔχων καὶ ἀδικίαν ὡς ἔφης, οὔτε τὴν ἀγα-
θότητα καὶ φωτεινὴν οὐσίαν, μεσαίτατος δὲ ὢν δίκαιος; καὶ γὰρ 3
ἀληθῶς ἀλλότριος ὢν πάσης δικαιοσύνης εἰκότως ἀγνοεῖς τί ποτέ
ἐστι δικαιοσύνη, ἑτέραν αὐτὴν παρὰ τὴν ἀγαθότητα νομίζων. πολὺ
δὲ ἐλεγχθήσῃ, ὦ ῥᾳδιουργὲ καὶ ἀλλότριε τῆς ἀληθείας· οὐδαμόθεν
γὰρ γίνεται τὸ δίκαιον ἀλλ᾽ ἐξ ἀγαθότητος καὶ οὐδὲ ἄλλως τις γενή-
σεται ἀγαθός, εἰ μὴ ἦ | δίκαιος. ὅθεν καὶ ὁ κύριος, ἐπαινῶν τὴν 4 P226
νομοθεσίαν καὶ τοὺς αὐτῆς δικαίους, ἔλεγεν »κοσμεῖτε τοὺς τάφους
τῶν προ|φητῶν καὶ οἰκοδομεῖτε τὰ μνημεῖα τῶν δικαίων, καὶ οἱ D211
πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς«. πόθεν δὲ γεγόνασι προφῆται καὶ
δίκαιοι ἀλλ᾽ ἢ ἀπὸ τῆς τοῦ πατρὸς ἀγαθότητος; καὶ ἵνα δείξῃ ὅτι 5
ἐν τῷ μέρει τῆς ἀγαθότητος ὁ δίκαιος ἔστηκεν, ἔλεγεν »ὅμοιοι γένεσθε
τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς, ὅτι ἀνατέλλει αὐτοῦ τὸν ἥλιον
ἐπὶ ἀγαθοὺς καὶ πονηροὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους«, ἵνα
δείξῃ τὸ δίκαιον ἀγαθὸν καὶ τὸ ἀγαθὸν δίκαιον καὶ τὸ πονηρὸν
ἄδικον καὶ τὸ ἄδικον πονηρόν.

Τὴν δὲ ἐπιπλοκὴν ἣν ἔφης τοῦ νόμου οὐ δύνασαι ἀποδεῖξαι. 6
ἐάλως γὰρ συκοφαντῶν τὸν νόμον, ἐπιπλοκήν τινα αὐτῷ προσάπτων,
διὰ τὸ εἰρηκέναι τὸν νόμον »ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα
ἀντὶ ὀδόντος« καὶ ἐπειδὴ φονεύει ὁ νόμος τὸν φονευτήν. ἀλλὰ ἐξ 7
αὐτῆς τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πραγματείας δειχθήσεται
ὅτι οὐκ ἐπιπλοκή τις ἦν, ἀλλ᾽ ἡ αὐτὴ ἦν νομοθεσία καὶ τὸ αὐτὸ

17 Matth. 23, 29 Luk. 11, 47 — **21** Matth. 5, 45 — **28** Lev. 24, 20 — **29** vgl. Lev. 24, 17

V M

7 *διαιρεθείσης, εισ*η auf Rasur V^{corr} **9** *ἕτερον* *] *ἕτερος* V M **10** *κακίαν ἔχων — οὔτε τὴν* < M **15** nach *ἀλλ᾽* 4 Buchstaben ausradiert V **18** *μνημεῖα, εῖα* auf Rasur V^{corr}

ἐνεργεῖ τῇ ὑπὸ τοῦ σωτῆρος εἰρημένῃ ἐντολῇ ὅτι »ἐάν τίς σε τυπτήσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην«. καὶ ⟨γὰρ καὶ⟩ 8 ὁ νόμος πάλαι τοῦτο κατεσκεύαζε λέγων »ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ«, τουτέστιν »στρέψον αὐτῷ τὴν σιαγόνα«. ἵνα γὰρ διαφύγοι ἃ πάθοι ἂν εἰ πλήξει, παρεῖχε τὴν σιαγόνα τῷ τύπτοντι, εἰδὼς ὅτι εἰ ἀφέλοι ὀφθαλμόν, τὰ αὐτὰ πείσεται διὰ τὸν νόμον.

11. Ὡς γὰρ ὁ πατὴρ βούλεται παιδεύειν τὰ τέκνα καὶ ἑκάστῃ **11, 1** ἡλικίᾳ ἁρμοζόμενος προβαίνει τῇ παιδείᾳ, καὶ οὐκ ἴσως τὸ μικρὸν βρέφος παιδεύει τῷ μειρακίῳ οὐδὲ τὸ μειράκιον ὡσαύτως τῷ νεανίσκῳ οὐδὲ τὸν νεανίαν τῷ τελείῳ ἀνδρί, ἀλλὰ τῷ μὲν ὑποτιτθίῳ διὰ **2** δακτύλου παιδεία γίνεται, παιδίῳ δὲ μείζονι διὰ χειρὸς ῥαπίσματος, μειρακίῳ δὲ διὰ ἱμάντος, νεανίσκῳ διὰ ῥάβδου, ἀνδρὶ δὲ ἐκδίκησις τῶν μειζόνων παραπτωμάτων μαχαίρᾳ διὰ νόμου, οὕτως καὶ ὁ κύριος ἑξῆς ἑνο|μοθέτει ἑκάστῃ γενεᾷ τὰ ἁρμόζοντα. ἐκείνους μὲν γὰρ φόβῳ **3** D212 ἐσωφρόνιζεν, ὡς παιδίοις μικροῖς διαλεγόμενος καὶ ἀγνοοῦσι τὴν δύναμιν τοῦ ἁγίου πνεύματος, τοὺς δὲ τελείους τελείων ἠξίου μυστηρίων. καὶ ἐν τῷ εὐαγγελίῳ γὰρ οὕτω πως λέγει τοῖς μαθηταῖς **4** P227 ἐν πολλοῖς τόποις »οὐκ οἴδατε | τί ποιῶ, ὕστερον δὲ γνώσεσθε«, Ö420 τουτέστιν ὅταν τέλειοι γένησθε· καὶ πάλιν »οὐκ ἤδεισαν, ἕως ἀνέστη ἐκ τῶν νεκρῶν«. ὁ δὲ Παῦλος »οὔπω γὰρ ἠδύνασθε, ἀλλ᾽ οὐδὲ ἔτι **5** δύνασθε«, δεικνὺς ὅτι καιρῶν προϊόντων τελειότεραι ἐντολαί, οὖσαι μὲν αἱ αὐταί, μεταβαλλόμεναι δὲ εἰς ἑτέραν σχέσιν, ἀλλὰ τοῖς νέοις μὲν ἄλλως σχηματιζόμεναι, ἑτέρως δὲ τοῖς ἐντελεστέροις. νομο- **6** θετήσας γὰρ ὁ νόμος »ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ« οὐκ εἶπεν αὐτοῖς, ἐκβάλετε ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ἀλλ᾽ ἐὰν ἐκβάλῃ τις ὀφθαλμόν, ἐκβληθήσεται ὁ ὀφθαλμὸς τοῦ ἐκβαλόντος· ἕκαστος δὲ φειδόμενος τοῦ ἰδίου σώματος παρεδίδου τὴν σιαγόνα τύπτεσθαι καὶ οὐκ ἔτυπτε. καὶ ἀπὸ τότε ἐφυλάττετο τὰ νῦν ἐν τῷ εὐαγγελίῳ τηλαυγῶς εἰρη- **7**

18 Joh. 13, 7 — **19** vgl. Joh. 2, 22 — **20** I Kor. 3, 2f — **24** Lev. 24, 20

V M

1 *τῇ//// . . . . εἰρημένη// ἐντολῇ////*, überall ein Buchstabe wegradiert V corr | *ὅτι* *] *τὸ* V M **2** *⟨γὰρ καὶ⟩* * **9** *τῷ μειρακίῳ* am Rande nachgetragen V corr | *τῷ νεανίσκῳ* am Rande nachgetragen V corr **10** *τῷ τελείῳ ἀνδρὶ* auf Rasur V corr **13** *μαχαίρᾳ* *] *μάχαιρα* V M **19** *γένησθε* aus *γενήσεσθαι* V corr **21** *τελειό////τεραι*, *ο* aus *ω* V corr | vor *ἐντολαὶ* Rasur von 5 Buchstaben V corr **21f** *οὖσαι μὲν* auf Rasur V corr **22** *αἱ αὐταὶ* nachgetragen V corr *ἑαυταὶ* M | [*ἀλλὰ*]? * **25** *ἐκβάλλετε* M

μένα, τότε μὲν ἀνάγκη ὡς νέων σωφρονιζομένων, νῦν δὲ προαιρέσει
ἅτε δὴ τελείων πειθομένων. εἰ δὲ φάσκεις περιπλοκὴν εἶναι ταύτην, 8
τὸ λέγειν »ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ« καὶ τὸ τὸν φονέα φονεύεσθαι,
ἰδοὺ καὶ περὶ τῆς ἡμέρας τῆς κρίσεως βλέπομεν τὸν σωτῆρα λέγοντα
»*ὅτι ἐλεύσεται ὁ αὐτοῦ δεσπότης*« (*τοῦτο δὲ περὶ ἑαυτοῦ ἔλεγεν,*
αὐτὸς πάντων ὢν δεσπότης) *καί φησιν* »*καὶ διχοτομήσει αὐτὸν τὸν*
δοῦλον καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει«. *οὐκοῦν καὶ* 9
κατὰ τοῦ σωτῆρος ἐξοπλίζῃ συκοφαντῶν πάλιν ῥήματα καὶ εἴποις ἂν
τοῦτον μὴ εἶναι ἀγαθόν (*καίτοι γε ἐκ πατρὸς ἀγαθοῦ γεγεννημένον*
καὶ ἀγαθὸν ὄντα), *ἀλλὰ δίκαιον καὶ* [*οὐθ'*] *ἕτερον παρὰ τὸν πατέρα.*
δύνασαι ἄρα καὶ αὐτὸν ἀπαλλοτριοῦν τῆς τοῦ πατρὸς οὐσίας, ᾧ οὗτος, 10
ὁ προελθὼν ἡμῖν πάλιν διαι|ρέτης καὶ γεωμέτρης τῶν νόμων, τριχῶς D213
τὰ πάντα διαιρῶν. καὶ τῷ μὲν εἰπεῖν ὅτι εἰς τύπους συμβολικῶς 11
τινα ἐν τῷ νόμῳ γέγραπται, ὀλίγα παρήψω τῆς ἀληθείας, ἵνα διὰ
τῶν ὀλίγων δυνηθῇς καὶ εἰς τὰ ἄλλα ἀπατῆσαι. καὶ γὰρ τῷ 12
ὄντι »ἐκείνοις τυπικῶς συνέβαινεν, ἐγράφη δὲ ἡμῖν εἰς νουθεσίαν, εἰς
οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν«, ⟨ὥς⟩ φησιν ὁ ἁγιώτατος
ἀπόστολος, περί τε περιτομῆς λέγων καὶ σαββάτου καὶ τῶν ἄλλων.
εἴθε δὲ τὰ πάντα ἠλήθευες καὶ οὐκέτι τρίτον μέσον θεὸν τὸν 13
μὴ ὄντα ἔφερες ἡμῖν, μᾶλλον δὲ σαυτῷ καὶ τοῖς ὑπὸ σοῦ ἠπατη-
μένοις. | P228

12. *Νομίζω δὲ καὶ ἐν τῷ παρόντι ἱκανῶς πρὸς τάς σου λέξεις,* **12**, 1
ὦ ἀγύρτα, εἰρῆσθαι, ὧν ποιήσας τὸν ἔλεγχον ἐπὶ τὰς ἑξῆς αἱρέσεις
βαδιοῦμαι, τὸν αὐτὸν θεὸν συνήθως ἐπικαλούμενος ἐπικουρῆσαι τῇ
ἡμῶν μετριότητι εἰς τὸ φωρᾶσαι ἑκάστης αἱρέσεως παραπεποιημένης
τὸν ἔλεγχον. ὅτι μὲν γὰρ συρίγμασιν ἑαυτοῦ, ὡς ἀπὸ θαλάσσης 2
ἀνελθὼν καρχα|ρίας καὶ ἔχιδναν προκαλούμενος, τὴν Φλώραν διὰ Ö422
τῶν γραμμάτων αὐτήν τε καὶ ἄλλους σὺν αὐτῇ ἠπάτησεν, δέδεικται
ἐν τοῖς εἰρημένοις· ἐν δὲ τῇ τῆς ἀληθείας σαγήνῃ ἧς τὸ αἴνιγμα ὁ 3

5 Matth. 24, 50f — **16** I Kor. 10, 11 — **29f** vgl. Matth. 13, 51ff

V M

1 *ὡς* auf Rasur V corr **2** vor *ἅτε* zwei Buchstaben ausradiert V corr **8** *κατὰ* *] *περὶ* V M | *συκοφαντεῖν* aus *συκοφαντῶν* V corr *συκοφαντεῖν* M **10** [*οὐθ'*] *] erst nachgetragen V corr steht in M **13** *εἰπεῖν ὅτι* am Rande nachgetragen V corr **16f** *εἰς οὓς — κατήντησεν* nachgetragen V corr **17** ⟨*ὥς*⟩ * **19** *εἴθε* auf Rasur V corr **23** *αἱρέσεις* am Rande nachgetragen V corr **25** *μετριό///τητι* *o* aus *ω* V corr **29** nach *ἧς* 2—3 Buchstaben ausradiert V corr

κύριος ἐν τῷ εὐαγγελίῳ βασιλείαν οὐρανῶν ἀπεφήνατο ἐνειλήσαντες καὶ τῶν πονηρῶν ἰχθύων ἕνα ὄντα αὐτὸν ἐλέγξαντες τῷ τὰ μοχθηρὰ ῥήματα αὐτοῦ φωρατὰ ποιῆσαι, τῇ τῆς ἀληθοῦς πίστεως διδασκαλίᾳ ἡττήσαμεν. ἐν τῇ τοῦ θεοῦ τοίνυν δυνάμει συντρίψαντες τοῦτον 4
5 *αὐτοὶ μὲν θεῷ εὐχαριστήσωμεν, ἐπὶ δὲ τὰς ἑξῆς ὁμοίως ὡς προεῖπον* P 229
προέρχεσθαι ἐπιβαλώμεθα. | D 214
Ö 424

V M

3 *ῥήματα*, *ῥή* auf Rasur V corr | *αὐτοῦ* am Rande nachgetragen V corr
6 Unterschrift *κατὰ Πτολεμαίων* V M

UNIVERSITY OF ILLINOIS-URBANA
281.1G87 C001
DIE GRIECHISCHEN CHRISTICHEN SCHRIFTSTEL
25 1915
3 0112 024027606